




THEMISTII

ORATIONES

EX CODICE MEDIOLANENSI

EMENDATAE

A

GUILIELMO DINDORFIO.

LIPSIAE

C. CNOBLOCH.

MDCCCXXXII.

PRAEFATIO.

Themistii longe quam ferebatur emendatius edendi copiam Friderici Iacobsii amicitia mihi fecit. Qui quum oratoris huius accuratius pertractandi consilium ante multos annos cepisset, id primum omnium agendum esse intellexerat, ut praeclari codicis Mediolanensis, inde a Petavii temporibus celebrati, lectionem accurate excerptam sibi compararet, nec difficulter ab Francisco Bentivolio, collegii Ambrosiani doctore eruditissimo, impetraverat ut libri illius ad Harduini editionem exigendi laborem sibi imponi pateretur. Sed quum insecutis temporibus alia ex aliis negotia Iacobsium ab instituto opere detinerent, ante hos sex annos, quo tempore Aristidis editionem ego praeparabam, Themistii similiter edendi curam mihi obtulit. Ego autem, qui bene scirem Iacobsii multo quam mea studia huic scriptori fore fructuosiora, voluntati viri egregii non prius obtemperandum esse putavi quam planissime intellexissem non posse eum permoveri ut eandem Themistio operam impertiret quam Achilli Tatio, Philostratis et Aeliano tanta cum laude praestitit. Eo igitur in loco quum res sita esset, ne eiusmodi quidem editionem, quae verba scriptoris valde corrupti quantum praestantissimi codicis ope effici posset emendata exhi-

beret, utilitate sua carituram esse iudicavi. Complectitur autem codex Mediolanensis (A), qui in bibliotheca Ambrosiana numeratur I, 22. partis superioris, declamationes tres et triginta hoc ordine, 20. 28. 29. 25. 26. 27. 11. 1. 2. 8. 6. 3. *Δημηγορίαν Κωνσταντίου* (p. 21—27. ed. meae). 30. 14. 31. 17. 19. 16. 32. 15. 18. 24. 13. 26. 34. 21. 7. 10. 9. 5. 4. 33. Est chartaceus, neque admodum antiquus, ut videbatur Angelo Maio, qui orationem trigesimam quartam ex hoc ipso libro primum edidit Mediolani anno 1816. nuper repetitam in collectione *Classicorum auctorum*, quam magno litterarum emolumento Romae parare coepit vir illustris, volumine quarto p. 306—353.: quae altera editio tum demum mihi allata est, quum mea esset typis descripta. Primus et hunc codicem totum et alium eiusdem bibliothecae excussit Henricus Valesius, cuius ex schedis lectiones plures Wyttenbachius, Bastius et Boissonadius protulerunt.

Codicum Monacensium duorum, 59. et 113., ab Iacobsio inspectorum specimina nonnulla apposui, integram lectionem edi operae pretium non fuit. Oratio inedita, quam in codice nescio quo Monacensi deprehendere sibi videbatur Hardtius in annotatione ad Pollucis Physica p. 226., inter editas est quinta decima, ubi quae Hardtius illic attulit leguntur p. 235. ed. meae.

Ad orationem septimam lectiones nonnullas ex codice quodam Taurinensi edidit Amadeus Peyron in Notitia librorum Valpergae Calusii p. 63.

Inter libros editos principem locum tenet octo orationum (21. 20. 22. 23. 19. 18. 24. 25.) editio Victoris Trincavelli cum aliis Themistii Alexandrique Aphrodisiensis scriptis in aedibus Aldi Manutii excusa anno 1534. cuius ab Harduini exemplo diversitas haec est: lectiones autem editioni Aldinae cum Stephaniana communes uncis inclusi, recipiendas in meam editionem asterisco designavi:

P. 265, 4 μὴ] μὴν 13 ἐπ'] ἀλλ' 18 συγχωρεῖ] ξυγχωρεῖ 25 εἰσιόν τι] (εἰσιόντι) 266, 11 Τοῦτο] τούτῳ 14 ἃς] οὓς 15 μὲν om. 20 ἐσκευασμένοις] ἐγσκευασμένοις 23 δὲ] (*δὴ) 26 οὐ om. 267, 1 ἀληθινῶς] ἀληθινὸς 7 ἀρύεται] ἀῤῥύεται 9 ἀρυόμενος] ἀῤῥυόμενος 268, 3 νεουργῶν] γεουργῶν 18 κύνες] κῦνες 269, 1 περιαθροῦντες] περιαρθροῦντες [Sic apud Photium lex. p. 290, 13. in codice περιαρθροῦντος scriptum pro περιαθροῦντος] 5 ἐγκράτειά τε] ἐγκρατεία τε 11 ἐπιβολὴ] ἐπιβουλὴ 18 ἐπὶ] περὶ cum codice Ambrosiano 25 σιτοπομπεία] (σιτοπομπία cum A.) 270, 1 ἀχυμότερος] ἀκυκότερος 271, 3 τοῦ] *τῶν 8 περιβόλου] περιβούλου 18 σκιαγραφία] σκιογραφία 25 καλλύνεται] καλύνεται 272, 1 ἐπιούσης] ἐποιούσης 9 Κωνσταντῖνος] ὁ κωνσταντῖνος cum A. 273, 1. Πελιάδας] (πελειάδας) 9 εὐδόκιμον πάλιν] (εὐδόκιμον πάλαι) 12 πολιαρχίᾳ] (πολυαρχίᾳ) 27 (habet ἐπ' ὄψει μὲν τοῦ δήμου, quae apud Harduinum typothetae culpa exciderunt) 30 τόξον] (*τόξων) 274, 11 Νουμᾶς] (νοῦμας) 15 ὁ θεσπέσιος] ὁ om. 21 μετριωτέρα καὶ δυνατωτέρα] μετριώτερα καὶ δυνατώτερα 275, 17 αὕτη] (αὐτὴ) 18 φαίη] φαίην 21 (ἀλλ' om.) 276, 2 ἢ] εἰ 14 Λυδὸν] (*τὸν λυδὸν) 34 μέρους μικροῦ] (μέρος σμικρὸν) 277, 2 φιλιτίῳ] (φιλητίῳ) 7 δὲ] (τὲ) φῦλα] (φίλα) 9 πρᾶος] πρᾶον 18 δημοσίων] (δύο μόνων) ταμιείων] ταμίων 33 βουλαῖον] (βούλιον) καί μοι συλλάβεσθε] (σύν μοι λάβεσθε) 278, 2 ἰδοὺ] ἰδὸν οὕτως] οὗτος 3 ὑμῖν] ἡμῖν 7 περ om. 8 ᾄσεσθε] (ᾄσεσθαι) 11 ἄπο] (ἀπὸ) 17 οὐδ'] (οὐδὲ) 22 (τοῦ om.) 25 (τῶν om.) 26 μόνον] (μόνος) 279, 4 τοι] (τι) 11 ἢ τὸν] (ἤτοι) 16 ὡς Δομετιανὸν] (καὶ δομετιανὸν) 19 ἐφροιμιάζετο] (ἐφωρμιάζετο) 280, 2 περιμνήσαντα] (περιμνήσαντι) 8 πυθέσθαι] (πείθεσθαι)

12 αὕτη] (αὐτή) 13 ἤ] (καὶ ἤ) 24 ἀφιεῖσαν] ἐποιοῦσαν 27 ἐνδιέτριψας] ἐνδιέτριψε ὅ τι] (ὅτῳ) 281, 18 ὅτῳ] (οὕτω) 21 Ἀλλὰ] (*ἀλλ') 24 μικρᾶς] μακρὰς (recte μακρᾶς Steph.) μελλήσεως] μελήσεως 25 ἐξεκέκοπτο] (ἐξεκέχυντο) 282, 2 ἀναγνωρισθῆναι] (ἀναγνωσθῆναι) 4 σὺν] (ἐν) 22 ὑποτεμνομένοις] (ὑποτεμνόμενοι) 283, 8 ἐμποδὼν] ἐκποδὼν 9 τοὺς] (τοῦ) 15 ἐξορμᾷ σε] (ἐξορμεῖται) 25 αὐτοφυής τις καὶ] αὐτοφυὴς καὶ 286, 1 ἄττα] ἅττα constanter ἐργάζεσθαι] ἐργάσασθαι cum A (Recte ἐργάσεσθαι Steph.) 16 ἀπαγγελεῖ] ἀπαγγέλει 287, 3 ἐξηῦρεν] (ἐξηῦρον) 6 μετοικήσει] μετοικίσει 10 Ἤ που] (εἴπου) 288, 13 Κιττιεὺς] (κιτιεύς) 289, 5 τὸν] (*τῶν) 6 εἰσελκυσμένος] (εἰσελκυσμένω) 8 μύρον] μῦρον 9 δὴ οὐχ — ἀπῴκισται] (om.) 291, 1 ἔμπλεων] ἔμπλεον 5 χρυσᾶ] χρυσὰ 22 αὐτῷ] αὐτῷ 23 συνάγοι] συνάγει 25 ἔχοι] ἔχει 293, 9 ἐργάσεσθαι] ἐργάζεσθαι 16 ἐπεκελεύετο] ἐπεκελεύετο 23 Σωκράτους] σωκράτης 295, 1 ἄλλος] ἄλλως 12 σπουδῆς] (σπουδῆς) 296, 2 συνελέγητε] συνελέγηται 6 ἑωρᾶσθαι] ἑωρᾶσθε 297, 6 ἀπλῆν] ἀπλήν 298, 12 μαρίλης] μαρίλλας 17 λεοντῆν] λεοντήν 299, 25 ἀπο τρόπου] ἀποτρόπου 27 αἰσχύνειν αὐτὸ] αἰσχύνην αὐτῷ 300, 5 ὀλίγου] ὀλίγον τεχνίων] τεχνιῶν (hoc est τεχνῶν, quod ex A restituendum) 18 ἆρα] ἄρα 301, 18 βούλεσθαι] βούλεσθε 21 ἀχλὺν] ἀχλῦν 22 ἡμῖν] ὑμῖν 302, 1 δὲ] (*δὴ) 4 οἰκίαις] οἰκείαις 15 δ'] δὲ 22 Ἆρα] ἄρα 31 ἕλκειν] ἕλκει cum A 303, 15 καταβάλλοντες] καταβάλοντες 21 μὴ] μὴν 16 αὐτοῦ] αὐτοῦ 29 ῥωμαλέως] ῥωμαλαίως 32 ποιησαμένου] ποιησαμένῳ 14 ναμάτων] (τῶν ναμάτων) 305, 2 ξυμφέρειν] (ξυμφύρειν) 25 αὐτὸν] αὐτὸν 806, 27 ταλάντων] (σταλέντων) [ταλάντων Stephanus in annotatione, collata p. 30, 12.] 28 Κιττιεύς] κητιεύς (κιτιεύς

Steph.) 307, 11 ἢ τρεῖς] εἰ τρεῖς 23 συνεραvίσαιτο] συνερανίσατο 24 συγκολλᾶν] συγκολᾶν 308, 6 φορτικῶς] φορτικός ἐκαλλωπίζετο] ἐκαλωπίζετο 20 ἐκπαταγεῖ] ἐκπεπταγεῖ 309, 10 ὑμᾶς] ἡμᾶς 13 ἡμεῖς] (ἡμᾶς) 310, 14 ἢ] ἤ 18 ἀκρωτηρίων] ἀκροθηρίων, quod prope accedit ad veram scripturam ἀκροθινίων ex A restitutam. ἀκρωτηρίων Stephani interpolatio est. 28 Λυκείου] λυκίου 29 Ἀριστοτέλους] ἀριστοτέλου 311, 13 συμβάλλεσθαι] συμβάλεσθαι 19 αὐτοῦ] (αὐτῷ) 312, 3 διολλύειν] διολύειν 12 καὶ σὲ] καὶ πρὸς σὲ 28 ἐτάχθησαν] ἄχθησαν [similiter A ἤχθησαν] 313, 23 φασὶν] (φασὶ) 314, 15 ὀμνύοι] ὀμνύει 19 ὅσοις] ὅσοι 29 δέῃ] (δέῃ) 315, 4 εἰσορώων] ἰσορώων 6 ἐπὶ] ἐν 19 μὲν] (περὶ) 316, 3 τι] (τε) 7 ἀλλ'] ἀλλ' 317, 15 ἀνάκτορα] (ἀνδράκτορα) 18 διατριβάς] διαβάς 22 τά γ'] τά τε 318, 21 προσπατταλεύων] (προσπαταλεύων) 319, 9 δυσμεvαίνῃ] δυσμεναίνει 25 αὐτῶν] αὐτῶν 320, 6 ἐπὶ] ἐπεὶ 7 διαβάλλῃ] διαβάλλει 11 πολλὴ] πολὺ 19 ἐπιλάβῃ] ἐπιλάβηαι 321, 19 συνεστιάθῃ] (συνεχθίσθῃ) 23 ἐπαριστεροῦ] ἐπαριστέρου 24 ἐπὶ δεξιὰ] ἐπιδέξια 323, 21 Πολυπαίδῃ] (παῖ δὴ) 325, 9 μὴ] καὶ 17 πέρι] περὶ 30 θαμὰ] τὰ μὰ 326, 3 σημεῖα] (*τὰ σημεῖα) 21 δεώμεθα] δεόμεθα 327, 14 εὐχαριστίας] εὐχαριστείας 29 πολλοὺς καὶ εἰ μὴ — αἱρεῖσθαι πόνους] om. 32 γνώριμος] γνωρισμὸς 328, 4 κρείσσων] κρείττων προσδοκᾷς τινα] πρός τινα 7 ἀπέχεσθαι] ἀπέχθεσθαι 8 παραλείψεις] παραλείψει 13 συμπεριπατοῦσι] περιπατοῦσι 29 τούτῳ δὲ] τούτων δὴ 329, 30 εὔμικτος] εὔμικτον 32 Χαβρίου] χαυρίου Ἰφικράτους] ἐφικράτους 330, 1 Χαβρίας] χαυρίας 9 τοξεῖαν] τοξίαν 17 κυνηγέται] (*οἱ κυνηγέται) 23 ἰχθῦς] ἰχθὺς 24 αἱροῦσιν] αἵρουσιν 30 γαννύμενος] γανύμενος

331, 18 ἀσπάζωνται] ἀσπάζονται 19 ἀπλήστου] ἀπλάστου [Sic apud Euripidem Med. v. 150. multi codices ἀπλάστου pro ἀπλήστου.] 24 μὴν] οὐ 332, 11 γὰρ] (*γὰρ δὴ) 15 ζώων] ζῶον 333, 1 γίνεται] *γίγνεται 8 αὐτὴν] αὐτῆς 13 ἐπιβρίσαντος] ἐπιβρήσαντος 19 ἐργάσοιτο] (*ἐργάσαιτο) 23 δὲ] δὴ 25 ὄκνον] ὄγκον 334, 1 αὖ] ἦν 8 καὶ om. 16 ἐπιπλέκειν] ἐπιβλέπειν 21 ἐκποδὼν] ἐκποδῶν 27 ἅμιλλαν] ἄμιλαν 335, 6 ὁμοιότης] ὁμοιότητος 20 εἰ om. 26 μέλει — μέλει] μέλλει — μέλλει 336, 3 οἱ] οἱ 12 ἀηδίαν] ἀδίαν 21 ἥ ὅποι] ἥ ποι 337, 10 θυρίον] θηρίον 18 κατακτανοῖεν] (κατακανοῖεν) 20 τοῦ om. 31 ὁμολογοῦσι] ὁμολογούσῃ 338, 1 ἐξέμηνε] ἐξέμεινε 17 ἔχον] ἔχων 339, 13 αὐτῆς] αὐτῆς 340, 3 ἐπήρετο] ἐπορεύετο 343, 4 ἀγεῖραι] ἐγεῖραι 12 νὴ διδάξαιμι] καὶ διδάξαιμι 344, 9 περικέχυταί] περικέχυτέ 30 ἐξαριθμήσωμαι] ἐξαριθμήσομαι 346, 1 Μετάποντον] μεγάποντον 21 μεταποιούμην] μεταποιούμην 347, 21 ἰόντες] ὄντες 27 τὰ om. 28 Κιττιεὺς] σκιτιεὺς (recte κιτιεὺς Steph.) 348, 9 ξυνήκετε] ξυνέστηκεν 20 ἐχομένους] ἐχομένοις 350, 6 τὸ μὲν] καὶ τὸ 18 Ἀβδηρίτης] αὐδηρίτης 351, 9 ἐπιβουλεύοι] ἐπιβουλεύει 25 ὅντινα] *ὅντινα ἴστε 28 τοὺς] om. 352, 4 ἅλις] ὅλις 12 ἀλτῆρας] ἀλκτῆρας (ἀλτῆρας Steph.) 16 πείθεσθε] πείθεσθαι 23 πραεῖναι] πρᾳεῖναι 30 ἐκ καὶ] (καὶ ἐκ) 31 ἂν om. 353, 9 primum οὔτε om. 14 ὀρθῶς] (ὀρθοῖς) 22 ταμίαις] ταμίοις 31 διάγειν] διάσειν 354, 13 χρυσῇ] χρυσῷ 14 ἀθριπηδέστου] ἀθριπαιδέστου 19 Διονυσίου] διονύσου 355, 5 οὐδέν τι μεῖον] οὐδὲν τιμεῖον 10 μὲν] (om.) 15 ἀποκωλύει] ἀποκωλύοι 24 ὑμῖν] ἡμῖν 27 κατεθέμην] ἐκατεθέμην 356, 2 ξυντεθέντα] ξυνετεθέντα 10 11 Σικυ-] συκι- 16 Δυκίου] λυκίου 19 αἴσθοι-

το] αἴσθητο 23 ξυγγραμμάτων] συγγραμμάτων 357, 9. συμπλάσας] συμπλάσσας 358, 23 αὐτῆς] αὐτῆς 25 ἡ] οἱ 30 ἐν βραχεῖ] ἔμβραχυ [Hoc si verum est, ἐμβραχύ scribi praestat.] 359, 2 μετάγων] μετάγον 4 οὐδέν τι μεῖον] οὐδὲν τιμεῖον 8 Θεαρίωνος] (Θερίωνος) 16 ὑπὲρ ὑμῶν] (ὑπὲρ ἡμῶν) 17 δὴ καὶ] δὴ 19 προσοικήσαντες] προσοικίσαντες 360, 2 τοὺς] τὰ τοὺς 3 νεὼς] νέως 31 δέ] (δή) 361, 1 ὅδωδε] (ἔδωδε) 3 4 (lacunae signa om.) 21 τοῖς om. 30 εἰ] ἡ 32 ξυγχωρήσει] συγχωρήσει 362, 17 ἡμῖν] (ὑμῖν) 21 τοιόνδε] τοιόντε 363, 14 ἐὰν] ἐᾶν (ἐᾷν Steph.) 364, 1 οὐχ] οὐκ 366, 31 οὐκ οἴονται] οὐχ οἷόν τε 367, 2 λέξω] λέγω 7 τῇ] (καὶ τῇ) 18 ἀλλά σοι] ἀλλὰ σοὶ 368, 8 συμπαρέσεσθαι] συμπαρέπεσθαι 30 οἰκείου τοῦ] οἰκίου καὶ (οἰκείου καὶ Steph.) 369, 1 ἀμφιέννοιτο] ἀμφιέννυτο 5 ἔχοι] ἔχει 370, 16 δ'] (δὲ) 18 Φωκυλίδης] φωκυλλίδης 25 ἐννεοττεύουσι] ἐννεττεύουσι 371, 2 οὔτ'] (οὔτε) 11 στέγειν] (στέργειν) 17 ἐπυργάσαντο] (ἐπυργώσαντο) 372, 8 βίαν] βιαίαν 27 κατεπτηκότος] (*κατεπτηχότος) 29 ἀλκί] ἀλκῇ 373, 1 ἦν] ἦν 374, 7 κρηπῖδα] κρηπίδα 8 αὐθήμερον] (*αὐθημερὸν) 9 πῶς ἂν] (πῶς) 10 ἐπιτάγματι] (ἐπιτάγματι ἂν) 14 (τέως om.) Ὀλυμπιάσι] ὀλυμπιᾶσι 15 τὸ] τὸν 17 Κἀγώ σε] κἄγωγε (κᾀγώγε Steph.) μακάριε] (μακάριοι) 19 προσιδεῖν τι τῶν ἤδη εἰργασμένων] (προϊδεῖν τι τῶν εἰργασμένων) 21 (χωρίον om.) 375, 1 ἕνα] ἕννα 3 εἰμί] εἱμή 5 δαιμόνιοι] λακεδαιμόνιοι 10 οὐ δίχα γράφειν] (ὃν διαγράφειν) 13 εὐποροῦντι] ἐγχωροῦντι 15 στήσω μὲν] (στήσωμεν) 16 (τε om.) 17 ἤ σε] ἦσε 18 ἀπολείψειε] (ἀπολείψοι) 20 μοι μή] (μή) καίρια] (κηρία) 24 τεχθῶσι] (τεθῶσι)

Orationes octo ab Aldo editas Henricus Stephanus

Parisiis recudit anno 1562. additis sex aliis (7. 10. 9. 5. 4. 2.), quarum haec est ab Harduini editione lectionis discrepantia:

P. 28, 4—16 om. 29, 21 ῥᾳδίως] ῥᾴδιος 33, 14 χαριστήριον ἐν δυνάμει, τοῦτο] χαριστήριον, δυνάμει τοῦτο 34, 3 ἀπολείπεσθαι] ἀπολείψεσθαι. 6 ἀλουργίδι] ἀλουργῖδι (sic pene constanter) 16 ὁρῶ] ἐρῶ 37, 20 ἐνεργεστέραν] ἐναργεστέραν 27 βασιλέα] βασιλέας 40, 8 φυλάττετε] φυλάττετε praefixo asterisco 13 καὶ om. 44, 22 σφενδονῖται] σφενδονῆται 46, 29 οὕτω] οὕτως 60, 14 μέχρι] μέχρις 15 εἰσορόωντα] εἰσορῶντα 27 ἱερῶν] ἰατρῶν (in annotatione coniicit καρπῶν) 64, 4 αὐτοῦ] αὐτοῦ 65, 13 πέμπειν] πέμπει 66, 10 ὑμῶν] ὑμῖν 69, 2 Ἴσσῳ] * ἰσσῷ 16 ἐξέτρεψε] * ἐξέθρεψε 74, 6 οὐδὲν] οὐδὲ 75, 7 κενῆς] καινῆς 77, 9 ἀποφῆναι] ἀποφήναι 10 ἣ] ἡ ἐπέγραψε] ἐπιγράψαι 12 δεῖξαι] δείξαι 78, 19 τῷ] τὸ 79, 7 κυνῇ] κυνὶ 80, 21 μορμολυκεῖα] μορμολύκια 81, 7 τοῦτον] τούτων 24 ἵενται] ἴενται 82, 15—17 οὐ φαυλότερον — τὸν νόμον omittit posito lacunae signo. 20 αὐτοκράτωρ] * αὐτοκράτορ 84, 19 ὑποφαίνει πρὸ ὥρας. στέλλε] ὑποφαίνει. πρὸ ὥρας στέλλει 103, 4 σφενδονίτης] σφενδονήτης 104, 22 πλὴν] πλεῖν 105, 17 νεύματος] πνεύματος 106, 24 τι] τε 109, 3 ἐκ om. 5 ὑμετέραν] ἡμετέραν 8 τοὺς — κατασκόπους] τοῖς — κατασκόποις 110, 20 ἔτι] ὅτι 27 28 ψψcos om. 28 ἀποστρέψασθαι] ἀποτρέψασθαι 111, 6 δυστυχέστατον] δυσχερέστατον 16 ἔδοξας] ἔδειξας 113, 3 ὑγιέστερον] ὑγιαίστερον 114, 20 ἑαυτοῖς] ἑαυτοὺς 115, 19 μὲν] τὴν 116, 25 ἔξεσται] ἔξεστί 117, 23 παραῤῥήτους] παραῤῥητοὺς 118, 26 τοῖς] οἱ τοῖς 119, 12 τιμῇ] τιμὴ 26 ὑμῶν] ἐμῶν 147, 17 ὁμοτίμους] ὁμότιμος: sed illud in annotatione. 153, 11 τῷ] * τὸ 14 ὀλυμ-

σιάσιν] ὀλυμπίασιν 155, 10 ἀνάγκῃ] ἀνάγκης μετὰ om. 158, 4 φιλομακέδονα] *φιλομακεδόνα 30 ἡμετέραν] ὑμετέραν 163, 10 οὐκ ἄνθρωπον] οὐκ om. 164, 31 habet μάλιστά εἰσι, quae apud Harduinum typotheta omisit. 165, 33 ἄνευ παρατάξεως] ἄνευ τοῦ παρατάξαντος 166, 10 πολεμούμενοι] πολεμούμενον.

Orationes sex ab Henrico Stephano primum editas Georgius Remus repetiit Ambergae a. 1605. loquacibus oneratas annotationibus. Nova una accessit oratio duodecima, ex interpretatione Latina Andreae Dudithii. Brevi interiecto tempore sex aliae (*Δημηγορία Κωνσταντίου*, 8. 26. 6. 14. 27.) cum interpretatione Latina Petri Pantini et *notis viri eruditi*, quem Fabricius Danielem Heinsium esse suspicatur, prodierunt Lugduni Batavorum a. 1614. Orationem sextam Synesii nomine inscriptam Federicus Morel ediderat Parisiis a. 1604.

Dionysii Petavii duplex editio est: prima Flexiae emissa a. 1613. in qua quattuordecim Stephanianis accesserunt orationes tres, 26. 6. 12.: altera Parisiis a. 1618. rursus tribus aliis aucta, 8. 14. 27. Quibus mox tredecim novae (1. 3. 11. 13. 15. 16. 17. 28. 29. 30. 31. 32. 33.) accesserunt, quas post mortem Petavii suae editioni (H) inseruit Ioannes Harduinus, quae Parisiis prodiit a. 1684. ipsius Harduini Petaviique amplioribus instructa annotationibus, quas meae editioni integras adieci. Nam neque Harduini inutilis opera fuit et Petavii commentaria, ut omnia viri eximii scripta, etiamnum lectu sunt dignissima.

Post Harduinum non inventus est qui studium in hoc scriptore collocaret praeter G. Roulezium, Belgam, qui *observationes criticas in Themistii orationes*, accuratae doctrinae specimen, Lovanii edidit a. 1828. Iacobsii autem emendationes alias ex eius scriptis alias ex schedis amice mecum communicatis deprompsi. Emendationes orationis XXXIV. ex censura editionis A. Maii

sunt petitae, quae diariis Ienensibus a. 1816. est inserta.

De vita studiorumque Themistii ratione alienum ab consilio meo est quae Fabricius aliique collegerunt repetere et amplificare. Quamobrem hoc unum addo, quod non illepidum cognitu est, ipsa Themistii ossa vel superesse adhuc vel credi superesse, Riminis, quae pontificiae ditioni subdita urbs est, asservata: de quo Keysslerus in Itinerario haec narravit p. 924. „Siegismund Pandulphus diente den Venetianern zwei Jahre lang als General wider die Türken in Morea, und als er die Stadt Sparta eroberte, nahm er die Gebeine des Themistius, eines berühmten Constantinopolitanischen Philosophen, der unter die deutlichsten Ausleger Aristotelis gezählt werden kann, mit sich zurück, und liess sie in einen marmornen Sarg legen, welcher auswendig an der Kirche [zu Rimini] mit folgender Aufschrift zu sehen ist:

Themistii Byzantini
Philosophorum sua tempestate principis reliquum
Sigismundus Pandulphus Malatesta Pond. F.
Belli Peloponnesiaci adversus Turcarum Regem Imperator
ob ingentem eruditorum, quo flagrat, amorem,
huc adferendum introque mittendum
curat M. CCCC. LXIV."

Quod aliquanto honorificentius est quam Reiskii fuit de Themistio iudicium, his verbis perscriptum „*Fuit aulicus adulator et versipellis, vanus iactator philosophiae suae, specie magis quam re cultae, ineptus et ridiculus vexator et applicator Homeri et veteris historiae, tautologus et sophista: in omnibus orationibus paene eadem, et ubique argutiae longe petitae.*"

Reliquum est ut addenda quaedam ad annotationes meas exponam.

P. 4, 19 *τέλειον τῆς τοῦ πράγματος ἀρετῆς*] Similis genitivi usus p. 12, 26. 103, 30. Quod fuerunt qui non intelligerent.

14, 16 *Annotationi adde*, Sic apud Liban. vol. I. p. 633, 13. quod codex Monacensis *αἴτιοι* pro *ἀπηνεῖς* praebet, ex *ἄγριοι* corruptum esse suspicabatur Reiskius.

19, 22 — 28 Haec iisdem fere verbis repetit p. 325, 26.

19, 25 *φίλους πλουτοίη*] Quod in margine A scriptum est *φιλίας*, prope accedit ad *φιλίαν*, quod in altero loco legitur. Recte habet accusativus, de quo dixi ad p. 25, 22. Alia quaedam exempla attulit H. Stephanus in Thesauro. Sed apud Procopium vol. I. p. 518 b. ed. Maltret. *κτῆμά τι, ὡς τὸ εἰκὸς, τῶν πάντων κάλλιστον πλουτήσεις*, vera scriptura est *κτήματι — καλλίστῳ*.

20, 10 *ἀλλ' οἷον γὰρ*] Dele uncos, quibus *γὰρ* particula inclusa est. Similiter infra p. 252, 29. *ἀλλὰ δεῖν γὰρ* —. et Eupolis in Bekkeri Anecd. p. 377, 8.

21 Ad hanc *δημηγορίαν* respicit p. 360, 9. 471, 3.

27, 6 Excidit subscriptio „*Allata est epistola pro Themistio, clarissimo philosopho, lectaque in Senatu Kalend. Septembribus, Coss. Arbetione et Lolliano. Legit autem Iustinus clariss. Proconsul.*“

28, 5 — 16 Hoc argumentum in Pantini editione p. 11. praemissum est orationi octavae.

34, 12 *Annotationi adde*, *ἄθικτος καὶ ἀνέπαφος* p. 169, 11.

52, 3 *εὐνοίας.*] *εὐνοίας*,

59, 13 Non commemoranda erat coniectura *ἢ ὅτι καὶ* —.

64, 28 *Εἰ δὲ* —] Orationem inchoatam resumit p. 65, 19 *εἰ οὖν* —.

66, 26 *συναιρόμεθα*] Legebatur *συναιρούμεθα*.

78, 26 *Ἐπαμινώνδαν*] Recte codex Monacensis

ἐπαμεινώνδαν, quae scriptura ubique est restituenda in scriptoribus quidem non Boeoticis.

109, 9 στρατιώταις.] στρατιώταις,

128, 22 βασιλεῖ, οὐχ] βασιλεῖ οὐχ

131, 22 κωμῳδοδιδασκάλῳ] Legebatur κωμῳδιδασκάλῳ.

154, 9 οὐδὲ γὰρ] Legebatur οὔτε γάρ.

158, 5 φιλορώμαιον] Vulgo φιλορωμαῖον.

159, 21 ἠόνας] Vulgo ἠϊόνας.

160, 12 βάθος] Legebatur βάθους.

166, 20 ἐξαιρῶν] Legebatur ἐξαίρων. Conf. 30.

179, 3 Vide Harduini annotationem.

180, 5 ὁδηγετεῖν nondum relatum in lexica. Sic ποδηγετεῖν pro usitato ποδηγεῖν Lycophro et alii quidam dixerunt.

212, 18 ἀσμενίσεις] Probabile est ἀσμενιεῖς scripsisse Themistium, qui γεμπεῖν dixerit p. 353, 33. κουφιεῖται 405, 18. νομιεῖν 220, 1. 351, 4. 388, 31. ἀγωνιούμενος 292, 19. 344, 2. ὀργιεῖσθε 300, 31. Εὐτρεπίσοι autem, quod p. 375, 7. legitur, in εὐτρεπίσῃ mutandum.

239, 19 παραμυθία] Praestat παραμύθια.

249, 26 θρέμμια typothetae error. Scr. θρέμμα.

267, 2 χρυσὸς] Immo χρυσοῦς.

270, 14 ποταμὸς ἀλαζὼν] Sic Aeschylus in Prometh. v. 717. Araxem dixit ποταμὸν ὑβριστήν.

275, 3 Ἐρρήθη] Adde omissam ab typotheta δέ.

277, 33 καί μοι συλλάβεσθε ex Harduini editione me invito remansit. Restitue quod in libris est σύν μοι λάβεσθε, sumptum ex Platonis Phaedro p. 237 a.

305, 33 Recte Stephanus et Petavius προστετηκότα δὲ — καὶ προσεδρεύοντα —.

337, 18 κατακτάνοιεν] Aldina et Stephaniana κα-

ταχανοῖεν. Vera igitur scriptura κατακάνοιεν est. Quem aoristum librarii vix usquam intactum reliquisse reperiuntur.

340, 21 ἀμφίεστο] Immo ἠμφίεστο.

371, 2 πράξιας] πρήξιας cum A.

393, 17 εὐαλώτατος sine ulla dubitatione in εὐαλωτότατος mutandum. Vana enim videtur Wyttenbachii opinio de syncope comparativorum et superlativorum apud prosae orationis scriptores, in annotatione ad Plutarchum exposita vol. VI. p. 434. Nam quae in locis quibusdam Xenophontis, Plutarchi, Diodori, aliorum, quos sciens omitto, leguntur εὐχειρότατος, εὐφωρότατος et similia, quo tandem argumento cognoscitur scriptorum esse, non librariorum peccata, quorum frequens hic est in adiectivis polysyllabis error? Ita apud Aristophanem Nub. v. 462. codex Ravennas ζηλότατον pro ζηλωτότατον. apud Isocratem p. 209 d. liber Urbinas errore etiam manifestiore ζηλώτερον pro ζηλωτότερον. in trimetro Euripidis apud Strabonem VIII. p. 366. καὶ βουσὶ καὶ ποίμναισιν εὐβοτωτάτην, libri quidam εὐβοτάτην praebent. apud Xenophontem Hieron. I, 11. libri alii ἀξιοθεώτατα, alii ἀξιοθεάτατα, pro ἀξιοθεατότατα, quod emendate scriptum legitur apud Herodotum II, 176. ἀξιοθεητότατον. Ἀλλοκώτερον et ἀλλοκώτατον, quae ex Platone comico affert Wyttenbachius, ipsa quoque vitiosae scripturae deberi videntur, a Bekkero emendatae in Anecdotis p. 378, 32. 379, 1. et emendandae apud Galenum vol. X. p. 497. ed. Charter. Idoneam vero rationem habent χαλικροτέρη pro χαλικρατοτέρη ex Nicandro iam ab Henrico Stephano memoratum in Thesauro et ἀκηροτάτου in epigrammate Stratonis, ambiguitatem inter ἄκηρος et ἀκήρατος dedita opera quaerentis. Quibus fortasse addendum εὐηρότατον pro εὐηροτώτατον apud Hesychium et Suidam, quamvis graviter reprehensum a Bentleio in epistola ad Millium p. 93.

440, 15 δὲ] Vulgo καί.

448, 25 ὥσθ'] ὡς?

452, 17 13 *Βα-*] Delendum.

454, 14 *πλουτοδοῦντα* typothetae error. Scr. *πλουτοδοτοῦντα.*

491, 3 Auguralium] Corr. Augustalium.

I.

ΠΕΡΙ ΦΙΛΑΝΘΡΩΠΙΑΣ Η ΚΩΝΣΤΑΝΤΙΟΣ.

(Οὗτος εἴρηται ἐν Ἀγκύρᾳ τῆς Γαλατίας, ὅτε πρῶτον συνέτυχε τῷ βασιλεῖ, νέος ὢν ἔτι· διόπερ οὐδὲ πάνυ κρατεῖ τῆς ἰδέας.)

Νῦν σοι πρῶτον εἰσέρχεται λόγος, ὦ βασιλεῦ, ἐλεύθε- 1 a
ρός τε καὶ ἀψευδὴς ἐπαινέτης, καὶ ῥῆμα οὐδὲ σμικρὸν ἑκὼν εἶναι προοῖτ' ἂν οὗ τὰς εὐθύνας οὐχ ἕξει δοῦναι φιλοσοφίᾳ. διόπερ ἀναγκαῖόν αὐτῷ μόνα ἃ τεθαύμακεν ἐπαινέσαι. τεθαύμακε δὲ σοῦ μᾶλλόν ἓν ἀγαθὸν τῆς ψυχῆς ἢ σύμπαντα ἅμα τὰ κτήματα· οἱ δὲ πολλοὶ ἐπαινέται ἐκεῖνα μᾶλλον ὁρῶσί τε καὶ ᾄδουσιν ἐν τοῖς λόγοις, 2 a
τῆς τε ἀρχῆς τὸ πλῆθος καὶ τῶν ὑπηκόων τὸν ἀριθμὸν καὶ φάλαγγας ὁπλιτῶν ἀμάχους καὶ ἱππικὰς ἴλας καὶ παρασκευῆς πολύν τινα πλοῦτον καὶ ὅπλων ἀμήχανα φράγματα καὶ δράκοντας λεπτῶν ὑφασμάτων, μετεώρους ἐκ περιχρύσων καμάκων, ὑπὸ τοῦ πνεύματος μεστουμένους τε καὶ δονουμένους. ὅσοι δὲ αὐτῶν κομψότεροι, μᾶλλόν σοι προσίασιν ἐγγυτέρω, στεφάνου τε ἁπτόμενοι καὶ χλαμύδος καὶ ζώνης ἀκηράτου καὶ χιτῶνος μαρμαρυγῶν. οἱ δὲ ἔτι καὶ μᾶλλον οἷον ἤδη σοῦ θιγγάνειν δοκοῦσιν, οἱ τὴν ἐνόπλιον χορείαν διεξιόντες καὶ τὰ κοῦφα ἐν πολλῷ σιδήρῳ σκιρτήματα καὶ τοὺς ἐπὶ τῶν ἵππων b

1, φιλοσοφίᾳ Harduinus. Vulgo φιλοσοφία.

ἐξελιγμούς; καὶ ἐξυμνοῦσιν εἰκότως σῶμα οὕτως διακείμενον πρὸς τοὺς πόνους ἐκ τριγονίας βασιλικῆς.

Ἀλλ' οὗτοι μὲν ἴσως ἀγνοοῦσιν ὡς βασιλεὺς ἅπας χερσί τε καὶ ξύμπαντι τῷ σώματι σμικρὰ ἄττα δύναται εἰς τὸ κατέχειν τὴν ἀρχὴν πρὸς τὴν ῥώμην τῆς διανοίας, ὅστις δὲ ἐκείνην οἷός τέ ἐστιν ἰδεῖν, οὗτός ἐστιν ὁ δυνάμενος δεῖξαι τὸν ἀληθινὸν βασιλέα καὶ σέ, οὐ τὰ σὰ
c θαυμάσαι. πάσχουσι δὲ δὴ κἀκεῖνοι ἐοικότα. ἔστι μὲν γὰρ καὶ ἁπλῶς σώματος ψυχὴ δυσθεατότερόν τι χρῆμα. τὰ γὰρ τῶν πλειόνων ὄμματα ἐκεῖνο μὲν εὐθέως ὁρᾷ, τῆς δὲ οὐκ ἔχει λαβέσθαι. τῷ δὲ βασιλεῖ τὰ ἔξωθεν περικείμενα, ποικίλα τε ὄντα καὶ ἀγαπητὰ τοῖς ὀφθαλμοῖς, μᾶλλον ἀποκρύπτει τῶν ἐνδοτέρω τὴν θέαν, ὥσπερ, οἶμαι, νεώ τινος ἁγίου προπύλαια τετιμημένα ἐκ πολυτελοῦς λίθου τε καὶ γραφῆς πρὸς ἑαυτὰ ἐπιστρέφοντα καὶ ἀσχολοῦντα τοὺς θεατὰς πολλάκις ἀφαιρεῖται τῶν ἀνακτόρων
d τὴν ἐποψίαν. ἀλλὰ κἀκεῖσε ὁ μὲν ἔμφρων, οἶμαι, καὶ εὐσεβὴς ἄχρι τῶν ἀδύτων ἵεται, οἱ δὲ πολλοὶ ἔξω μένουσιν ὑπὸ τοῦ κόσμου τοῦ περὶ τὸν νεὼν βουκολούμενοι. εἰ δὲ οὔπω δῆλον ὃ λέγω, πλέον φῶς ἅψομεν τῷ λόγῳ ἔκ ποθεν, οἶμαι, λαμπροτέρου παραδείγματος. τὸν θεόν, οὗ τάδε πάντα ἔργα τε καὶ γεννήματα, ἆρα ὁμοίως εὐπετὲς καταμαθεῖν αὐτόν τε καὶ τὰ ποιήματα; ἢ πρὸς ταῦτα μὲν ἡ φύσις ὄμματα ἐξ ἀρχῆς ἐτεκτήνατο,
3 a καὶ πάρεστιν ἀνεῳγμένοις ὁρᾶν ἥλιόν τε καὶ σελήνην καὶ τὰ λοιπὰ ἄστρα καὶ τὸν ξύμπαντα οὐρανόν, ἐκεῖνον δὲ κατιδεῖν ἀγαπητὸν ὅτῳ καὶ εἰς χρόνον ἐξ αὐτῶν ἐκείνου ἀφίκοιτο;

Ἀλλ' ἐπειδὴ εὖ ποιῶν ὁ λόγος εἰκόνι προσωρμίσατο

2, 1 ἐξυμνοῦσιν] ἐφυμνοῦσιν A. Sed ἐξυμνεῖν est p. 30 a. et, quo lexica carent, συνεξυμνεῖν p. 102 b. οὕτως A. οὔπω H. 14 τετιμημένα] τετρημένα Iacobsius. 15 λίθου A, τινὸς λίθου H. ἐπιστρέφοντά τε H. τε om. A. 17 κἀκεῖσε] Sic ἐκεῖσε p. 239 c. ex A restitutum. 19 βουκολούμενοι] ἤγουν θελγόμενοι gl. A. 25 ἀνεῳγμένοις Iacobsius. Vulgo εὖ γενομένοις. 27 ὅτῳ] ὅστις Harduinus. 29 προσωρμίσατο] προσωρμήσατο A. Hoc vitiose legebatur p. 133 b.

μόνῳ οἰκείᾳ τε καὶ παγκάλῃ, φέρε ἐπὶ ταύτης ὀχούμενοι καὶ τὸ λοιπὸν συμπεράνωμεν. ὥσπερ οὖν, οἶμαι, τὴν θεοῦ φύσιν τὰ ποιήματα ἐπιδείκνυσιν, οὕτως φαίνουσιν αἱ πράξεις βασιλικὴν ἀρετὴν τοῖς δυναμένοις ἐκ τῶν ἔργων πρὸς τὸν ἐργαζόμενον ποδηγεῖσθαι. ποῖ δῆτα οὖν ἡμᾶς b ἐκφέρει τὰ ἔργα καὶ ποίαν ἐπιδείκνυσιν ἀτραπόν; οὔ τί που δύσβατόν γέ τινα καὶ ἐπίσκιον, εἰς οἵας οἱ πολλοὶ τῶν τυράννων ὥσπερ φωλεοὺς καταδύονται, ἀλλ' εὐρεῖάν τε καὶ τὰ ἴχνη τηλαυγῆ διατηροῦσαν, οὐδὲ ἐπ' ἄγριόν τι καὶ χαλεπὸν ζῶον ἐξάγουσαν, ἄρκτον ἢ κάπρον ἢ λέοντα, βασιλέως ὄνομα ἠμφιεσμένον, ἀλλ' ἐπὶ τὸ πάντων εὐκολώτατόν τε καὶ ἡμερώτατον θείας τε ὄντως δή τινος καὶ ἀτύφου μοίρας φύσει μετέχον ζῶον οὐράνιον, ἐκεῖθεν δοθὲν τοῖς τῇδε εἰς ἐπιμέλειαν. πρὶν δὲ ἄρξασθαι ἰχνηλατεῖν, συγχωρήσωμεν ὑπὲρ αὐτοῦ κήρυγμά τι κη- c ρῦξαι τῷ λόγῳ, Ἄνδρες ὁπόσοι τοῖς αὐτοῖς οἴαξι κυβερνᾶσθε, εἰ μέν τι καὶ σμικρὸν φενακίζοντα ἐξεύροιτε, λοιδορεῖν τε καὶ ἀπωθεῖσθαι καὶ ἐκβάλλειν φιλοσοφίας, ὡς οὔτε ὅσια δρῶντα οὔτε ξύμφωνα τοῖς ἐκείνης νόμοις· εἰ δὲ ὅσα ἐπαινέσεται, τοσάδε καὶ ἀληθεύσεται, μή τοι πρὸς αὐτὸν δυσκολαίνειν μηδὲ οἴεσθαι κόλακα ἀντ' ἐπαινέτου· ὡς κολακείας μὲν οὐκ ἔσθ' ὅ τι δυσμενέστερον ἀληθείᾳ, ὁ δὲ ἔπαινος μαρτύριόν ἐστιν ἀρετῆς· μαρτυρεῖ δὲ ἕκαστος καλῶς ἃ γινώσκει. ὥσπερ d οὖν τῶν ἄλλων ἑκάστου μάρτυς ἀγαθὸς ὁ ἐπιστάμενος, οὕτω καὶ ἀρετῆς οἱ ταύτην εἰδότες.

Ξυνήκατε οὖν ὃ ξυντέθεικεν ὁ λόγος, μόνους εἶναι τοὺς φιλοσόφους μάρτυρας ἀρετῆς. ἀλλ' οὖν ἡμῖν τῷ κηρύγματι καὶ τάδε προσκείσθω, Ὦ ἄνθρωποι, κἀκεῖνο ἔτι γινώσκειν, ὅτι τὰς ὑμετέρας φωνάς, ὅσας ποιεῖσθε περὶ βασιλέως ἑκάστοτε ἐν ἀγοραῖς, ἐν θεάτροις, ἐν

3, 2 συμπεράνωμεν Iacobsius. Vulgo συμπεράνοιμεν. οὖν] Vulgo ἄν. 7 δύσβατον — καὶ ἐπίσκιον] P. 254 d, comparat Iacobsius. 9 τὰ ἴχνη A. τὰ om. H. 11 βασιλέως ὄνομα ἠμφιεσμένον addidi ex A. 28 ἡμῖν A. ἡμῶν H.

4a οἰκίαις, ἐν βαλανείοις, πλέοντες, ἀδημονοῦντες, σχολὴν
ἄγοντες, ἐργαζόμενοι, ταύτας ἁπάσας συλλέξας ὁ λόγος
ἡμέτερον ξυντέθεικεν ἔρανον, καὶ ταῦτα ξὺν νῷ ἀκού-
σεσθε παρ' ἡμῶν, ὅσα λέγετε εἰκῇ πρὸς ἀλλήλους. εἰ
μὲν οὖν ψευδῆ λέγετε, ψευδῆ καὶ ἀκούσεσθε· εἰ δὲ
ἀληθῆ, τά γε ὑμέτερα ὑμῖν ἀποδώσομεν. λέγετε δὲ
ἀληθῆ· οὐ γὰρ ἂν ταὐτὰ ἐλέγετε ψευδόμενοι. ἀθρεῖτε
δὴ ταύτην τὴν φωνὴν εἰ γνωρίζετε ὡς ἡμετέραν.

Ὑμνεῖτέ που καὶ ᾄδετε πρὸς ἀλλήλους ἀρετήν τινα
b ἐξαίρετον βασιλέως. εἴπω τοὔνομα τῆς ἀρετῆς; ἀλλ'
εὖ οἶδα ὅτι βοήσεσθε οἱ παρόντες καὶ τοὔνομα ἔτι
κολοβὸν ἀφαρπάσετέ μοι τῶν χειλῶν. καίτοι προεῖπον
ὑμῖν ὅτι παρ' ὑμῶν αὐτὸ ξυνελεξάμην καὶ οὐκ ἐμαυτοῦ
ποιοῦμαι εὕρεμα εἶναι. τὸ μὲν οὖν ῥῆμα ὑμέτερον
πάνυ δή τι σμικρὸν οὐδὲ ἐν πολλαῖς ταῖς συλλαβαῖς,
ἐγὼ δὲ ὥσπερ νόμισμα ἀποδώσω, προσθεὶς τὴν δύναμιν
τοῦ ὀνόματος ὥσπερ τόκον.

Ἐγὼ νομίζω τὸν φιλάνθρωπον βασιλέα τέλειον
c εἶναι τῆς τοῦ πράγματος ἀρετῆς καὶ οὐκ ἔσθ' ὅ τι
προσδεῖν αὐτῷ εἰς ὁλόκληρον εὐφημίαν. ἕπεσθε γὰρ
ὧδε τῷ λόγῳ. φαίνεται ὑμῖν φιλανθρώπου ἀνδρὸς εἶναι
ἀδικεῖν τε καὶ βλάπτειν ἀνθρώπους καὶ ἐπιβουλεύειν
καὶ ταὐτόν τι ἐργάζεσθαι καθάπερ μισοῦντα; ἢ τοῦτο
καὶ γελοῖον ὑπολαμβάνειν; οὐκοῦν ἐν τῷ τοιῷδε αὐτὸν
ἀνάγκη καὶ δίκαιον εἶναι. τί δαί; ἀκολασταίνειν εἰς
ἀνθρώπους ἢ ἐξυβρίζειν μῶν ἐθελήσειεν ἂν ὁ φιλάν-
θρωπος; ἢ πάντων ἥκιστα; πῶς γὰρ ἂν τοὔνομα ἀλη-
θεύοι; οὐκοῦν τόδε γε αὖ πάλιν σωφροσύνην αὐτῷ
d μαρτυρεῖ. ἀλλ' ἆρα ὁ φιλῶν τι καὶ περὶ πλείστου
ποιούμενος προοῖτο ἂν αὐτὸ πολεμίῳ διαφθεῖραι ἐπι-
χειροῦντι, ἢ διαμάχοιτο ἂν παντὶ σθένει καὶ εἴργοι
τὴν λώβην; τῷ οὖν ἀνδρείῳ μᾶλλον καλεῖσθαι προσήκει;
πότερον δ' ὁ τὰς τῶν ἄλλων ὀργὰς ἀπερύκων αὐτὸς ἂν

4, 7 ταὐτὰ Harduinus. Vulgo ταῦτα. 15 οὐδὲ] καὶ
οὐδὲ A. καὶ οὐκ H. ταῖς om. A. 23 ταὐτόν] τοιοῦτον
Iacobsius. 30 πολεμίῳ] πολέμῳ A.

ὑπ' ὀργῆς ἀπολλύοι τὰ παιδικά; ἢ μάλιστα φιλανθρωπίας θυμοῦ μὴ ἡττᾶσθαι; τὸ δὲ δὴ πρᾶον καὶ τὸ ἐπιεικὲς καὶ τὸ ἥμερον τί ἂν ἄλλο ἐν δίκῃ καλοῖτο; ὁρᾶτε οὖν ὅτι τὸ σμικρὸν ἐκεῖνο ῥῆμα διακρούοντί μοι 5a
ἅπας ὁ τῶν ἀρετῶν ἑσμὸς ὑποφθέγγεται, μᾶλλον δὲ καθ' αὑτὸν ὁ λόγος βαδίζει καὶ οὐκ ἐπερείδεται βασιλεῖ τοῦ προελθεῖν ἀσφαλέστερον. ὅταν γὰρ ἔχῃ τὴν βασιλέως ψυχὴν καὶ ἅπαντα ὁμοῦ τὰ ἀγαθὰ συνειληφυῖα δείκνυται, τότε ἐπιδείκνυσι φιλανθρωπίαν τοιαύτην. ἢ γὰρ οὐ τοσοῦτον μὲν πλεονεξίας ἀφέστηκεν ὁπόσον καὶ χαλεπότητος, τοσοῦτον δὲ ὕβρεως ὁπόσον καὶ ἀγριότητος; ἀκολασίαν δὲ μὴ καὶ τοὔνομα αὐτὸ λυπῶμεν λέγοντες· οὐ γὰρ ἐν τῷ τρυφᾶν ἡγεῖται τὸ μακάριον, b
ἀλλ' ἐν τῷ τὰ κάλλιστα πράττειν, καὶ δορυφορεῖται τὴν ψυχὴν μᾶλλον τῷ λογισμῷ ἢ τὸ σῶμα τοῖς ὑπασπισταῖς, ὡς ὑπὸ μηδενὸς ἐπιβουλεύεσθαι πάθους. ἐπίσταται γάρ, οἶμαι, καλῶς ὅτι πρῶτον ἀρκτέον αὐτοῦ τῷ βουλομένῳ τῶν ἄλλων ἄρχειν. καὶ γὰρ αἰσχρὸν ὑπολαμβάνειν τοὺς μὲν Ὀλυμπίασιν ἀθλητὰς εὖ μάλα φυλάττειν αὐτοὺς καὶ διαίτῃ καὶ γυμνασίοις, τὸν δὲ τῆς οἰκουμένης ἀγωνιστὴν ἀφύλακτον ἐκκεῖσθαι ταῖς ἡδοναῖς. ἀλλ' ὅμως τούτων ἁπάντων αὐτῷ χορηγὸν c
εὑρίσκω τὴν ξυμφῦσαν φιλανθρωπίαν. τὸ δὲ αἴτιον μανθάνοιτε ἄν μοι.

Ἔστι δέ, οἶμαι, καθάπερ ἀνθρώπου φαμὲν ἑτέραν ἀρετήν, ἑτέραν δὲ κυνῶν, ἑτέραν δὲ καὶ ἵππων, οὕτω καὶ βασιλέως ἴδιος καὶ βασιλικὴ παρὰ τὰς ἄλλας, εἰς ἣν ξυνδοῦνται καὶ αἱ λοιπαί, ὥσπερ εἰς μίαν κορυφὴν ἀνημμέναι. ἐπεὶ εἴ γε ἐπισκοποῖμεν ἑκάστην καθ' ἑαυτὴν ἀκριβῶς οἷον νόμισμα μεταστρέφοντες, οὐχ οὕτως

5, 5 ἑσμὸς] Vulgo ἐσμὸς hic et alibi. σμῆνος ἀρετῶν dixit Plato in Menone p. 72 a. 9 δείκνυται] Pro δεικνύηται. „Sensus constaret, si legeretur, ὅταν γὰρ τέκῃ ἡ φύσις βασιλέως ψυχήν, ἵνα πάντα — δεικνύῃ." Iacobsius. 12 λυπῶμεν A. λυποῦμεν H. 19 Ὀλυμπίασιν] Vulgo Ὀλυμπιάσιν hic et alibi. 29 ἑκάστην addidi ex p. 146 d. De coniectura addebat Harduinus. 30 οὐχ] οὐδεμίαν Iacobsius.

ἐμφαίνουσαν εὑρήσομεν τὸν βασιλικὸν χαρακτῆρα οἷον
d τὴν καλουμένην ἀνδρείαν. δεῖ μὲν γὰρ ὑπάρχειν βασιλεῖ· καὶ γὰρ καὶ τὰ ἀγαθὰ πάντα· ἀλλ' ὅμως εἰ μόνης θιγγάνοις, οὐκ ἔχει τύπον βασιλικόν, ἀλλὰ στρατιωτικὸν ἢ στρατηγικὸν αὐτῇ μᾶλλον ἐνσεσημασμένον θεάσῃ· καὶ ταξιάρχου καὶ λοχαγοῦ ἔπαινος μέγας ὑπὲρ τοὺς πολλοὺς ἀνδρεῖον εἶναι. τί δὲ καρτερία;
6 a τί δὲ ἐγκράτεια; οὐκ ἰδιωτικαί τινες εὐεξίαι ψυχῆς; φημὶ δὲ ἔγωγε καὶ τὴν πολυύμνητον δικαιοσύνην κτῆμα μὲν εἶναι κάλλιστον βασιλεῖ· τί γὰρ θειότερον δικαίου πολλὰ ἀδικεῖν δυναμένου; καὶ σωφροσύνην γε αὖ παραπλησίως· τί γὰρ ὄφελος ἄρχοντος μὴ ἐλευθέρου; τοῦτο δέ ἐστιν ὁ τύραννος, ὃς ἅμα τε τῶν ἄλλων κρατεῖ καὶ δοῦλον ἑαυτὸν τοῖς πάθεσι παραδίδωσιν. ἀλλ' ὅμως ταύταις ἁπάσαις τοιόνδε εἶναί μοι δοκεῖ· ἑκάστη μὲν γὰρ αὐτῶν ἰδίᾳ σκοποῦντι κοινός τις ἀνθρωπικὸς εἶναι
b κόσμος, βασιλικὸς δὲ γίνεσθαι τηνικαῦτα, ἡνίκα ἂν αὐτὴν ἐπισφραγίζηται φιλανθρωπία, καθάπερ, οἶμαι, χρυσὸν ψιλὸν τέως τὸ χρυσοῦ κάλλος ἐνδεικνύντα θεοῦ τύπος ἐγγινόμενος ἐμόρφωσεν εἰς θείαν εἰκόνα.

Ἡκέτω δ' ἡμῖν Ὅμηρος εἰς τὸν λόγον καὶ λεγέτω περὶ φιλανθρωπίας ὅτι καλὸν χρῆμα·

Καλὸν δ' οὕτω ἐγὼ οὔπω ἴδον ὀφθαλμοῖσιν,
οὐδ' οὕτω γεραρόν· βασιλῆι γὰρ ἀνδρὶ ἔοικεν.

c ἑκάστου γάρ, οἶμαι, κατὰ φύσιν ἴδιος ἀρετῆς τύπος οὕτως ἐνούσης ὠφέλιμος καὶ παρὰ τοῦτο μέγα βλάβος, εἰ μὴ ταύτην ἔχοι. ἐπεὶ τί σεμνὸν γεωργὸν εἶναι πρᾶον ἢ σκυτοτόμον; τί γὰρ ἡ πραότης αὐτοῦ τοὺς πολλοὺς ὀνήσει, ὃν οἱ γείτονες δυσκόλως ἐπιγινώσκουσι; πῶς δὲ οὐ γελοῖον μαρτυρεῖν ὑφάντῃ φιλανθρωπίαν ἢ τέκτονι φαῦλον δωμάτιον κεκτημένῳ σμικρὰ προϊόντι

6, 2 γὰρ om. A. 15 τοιόνδε εἶναι] τοιόνδε τι ἐνεῖναι Iacobsius. δοκεῖ· ἑκάστη μὲν γὰρ — εἶναι] Isocrates p. 165 a. HSt. δοκοῦσι ταῖς δόξαις διαφέρειν ἀλλήλων· οἱ μὲν γὰρ ἔχειν —. Ita enim codex Urbinas: vulgo ἔχουσιν. — 23 Καλὸν] Iliad. γ, 169.

τῆς οἰκίας ὑπὸ καμάτου καὶ ἀσχολίας; οἰμώξεται μὲν οὖν ὁ τοιοῦτος, εἰ μὴ σφόδρα εὐλαβὴς εἴη καὶ ἥμερος· d ἀλλ' ὅταν ἐκείνῳ τὸ ὄμμα γαλήνην ἔχῃ,

Ὧι λαοί τ' ἐπιτετράφαται καὶ τόσσα μέμηλεν,

αὕτη ἐστὶν ἡ πολύκοινος εὐτυχία. οὐκ εὔχεται ναύκληρος οὐδὲ ἔμπορος τὸν Χαλκιδικὸν πορθμὸν εὔδιον εἶναι — πόσοι γὰρ αὐτὸν ἢ πλέουσιν ἢ θεῶνται; — ἀλλὰ τὸν Ἑλλήσποντον καὶ τὸν Αἰγαῖον καὶ τὸν Ἰόνιον, οὓς πᾶσαι τέμνουσιν αἱ φορτίδες. καὶ τοίνυν εἰ βασιλέως 7 a ψυχὴ μὴ κυμαίνει μηδὲ θυμοῦ καὶ ὀργῆς πνεύματα ἄγρια κυκᾷ τε αὐτὴν καὶ ταράττει ῥᾳδίως ἐξ ὀλίγης ἀρχῆς ῥιπιζόμενα, τότε ἔξεστιν οὐ μόνον ἐμπόροις καὶ ναύταις, ἀλλὰ καὶ πᾶσιν ἀνθρώποις τὸν βίον διαπλεῖν ἀσφαλῶς, ὁμοίως ὅστις τε μεγάλης νεὼς ἐπιβέβηκεν ὅστις τε ὀλίγης ἀκάτου, ὅ τε πηδάλιόν τι κατέχων ὅ τε ὑπηρέσιον εἰληχώς. ἀλλὰ καὶ εἴ τις ἀξύμβολος ἐπιβατεύειν ἐθέλει, καὶ τούτῳ δίδωσιν ὅμως ὁ πλοῦς, ἄπνοός τε ὢν καὶ λεῖος καὶ σταθηρός. b

Σφαλερὸν μὲν γάρ που καὶ ἰδιώτῃ ῥᾳδίως ὀργῆς ἁλίσκεσθαι, σφαλερώτερον δὲ ὅτῳ ἔξεστιν ἅπαντα ποιεῖν ὀργισθέντι. ἐγὼ μὲν γὰρ οἶμαι τὴν ὀργὴν μανίαν ὀλιγοχρόνιον εἶναι, ἀλλὰ ἀβλαβέστερος ὅμως τοῖς πέλας ὁ ξὺν ἀσθενείᾳ μεμηνὼς τοῦ μετὰ ῥώμης τε καὶ ἰσχύος. ὁ μὲν γὰρ ἑαυτῷ πράγματα ἂν μόνῳ παράσχοι, τοῦ δὲ τῆς νόσου καὶ ἄλλοι ξυναπολαύουσι. καίτοι πόσους ἂν πατάξειεν ἢ ἀποκτείνειε Πολυδάμας ἢ Γλαῦκος μελαγχολῶν; τῆς δὲ Καμβύσου μανίας φῦλα ὁμοῦ καὶ c ἔθνη ξυνῄσθετο.

Πολλὰ οὖν ἔγωγε ἀγάμενος βασιλέως, μάλιστα ἄγαμαι τῶν λοιπῶν, ὅτι πᾶν τὸ θυμοειδὲς τῆς ψυχῆς ὥσπερ σίδηρον ἐμάλαξε καὶ χρήσιμον ἀντὶ ἀχρήστου ἐποίησε, μᾶλλον δ' ὠφέλιμον ἀντὶ βλαβεροῦ. οὐ γὰρ

7, 3 ἐκείνῳ] ἐκεῖνο A. 4 Ὧι] Iliad. β, 25, 62. 9 καὶ τοίνυν εἰ A. ὅτι τοίνυν ἡ H. 16 ἀξύμβολος] ἀξύμβουλος A. 17 τούτῳ A. τοῦτο H. 20 ἅπαντα] ἂν ἅπαντα A. 30 ὅτι πᾶν τὸ θυμοειδὲς —] Platonem de Rep. III. p. 411 a. comparat Heusdius Spec. p. 71.

ἐνδίδωσιν αὐτῷ προορούειν τοῦ λογισμοῦ οὐδὲ ἐπιτρέπει καθάπερ ἵππῳ ἐνδακόντι τὸν χαλινὸν ἀμελεῖν τοῦ ἡνιόχου, ὃς μόνος γιγνόμενος ἐν ψυχῇ σωτὴρ ἀρετῆς διὰ βίου ἐνοικεῖ τῷ ἔχοντι. θυμὸν δὲ ἔγωγε πάθος ἡγοῦμαι χαλεπώτερον ἡδονῆς. τὴν μὲν γὰρ διὰ τὸ λίαν αἰσχρὸν
d καὶ ἐκφανῶς ἀνδραποδῶδες ἅπας τις προθύμως ἀποφεύγει ὁ μὴ τέλεον διεφθαρμένος, καὶ διὰ τοῦτο ἴσως καὶ φαῦλοί τινες ἀνθρωπίσκοι φαίνονται πολλάκις τοῦ πάθους τοῦδ᾽ ἀμείνους, θυμοῦ δὲ ὑπεράνω πάμπαν ὀλίγιστοι. ἐπαινούμενον γὰρ τόδε τὸ κίνημα τῆς ψυχῆς ὡς ἀνδρῶδές τι καὶ γεννικὸν εἰς πλείους εὐκολώτερον παραδύεται τῷ προσωπείῳ τῆς ἀρετῆς.

8a Ἔτι τοίνυν ὅτι μᾶλλον βασιλικωτέρα φιλανθρωπία τοῦ λοιποῦ χοροῦ τῶν ἀρετῶν καὶ τῇδε ἂν μάθοις. ὁ τοῦ ξύμπαντος οὐρανοῦ βασιλεὺς σώφρων μὲν ἢ καρτερικὸς ἢ ἀνδρεῖος ὑπὸ τῶν ἀνθρώπων οὐκ ὀνομάζεται· τί γὰρ ἢ φοβερὸν αὐτῷ πρὸς ὃ δεήσεται τῆς ἀνδρείας, ἢ ἐπίπονον οὗ κρατήσει τῇ καρτερίᾳ; ποῖαι δὲ σωμάτων ἡδοναὶ ὧν οὐχὶ ἁλίσκεται σωφροσύνῃ; εἰ δὲ καὶ τὸ δίκαιον ἐν ξυμβολαίοις καὶ κοινωνήμασι πρὸς τοὺς ξυν-
b θεμένους, τὸν βίον καὶ τοῦτό πως ἂν ἴσως ῥυπαίνοι τὸν ὑπεράνω ξυνθήκης πάσης. ἀλλ᾽ ὅπερ ἔφην, ταῦτα μὲν ἀπαξιοῦμεν τοῦ θεοῦ τὰ ὀνόματα ὡς φαυλότερα καὶ ἐλάττω, φιλάνθρωπον δὲ αὐτὸν καλοῦντες οὐκ αἰσχυνόμεθα. αἴτιον δέ· πέφυκεν ἀνθρώπου διάνοια πᾶν ἔλαττον ἐκείνου νομίζειν, ὃ καὶ ἔν τινι τῶν ἀπ᾽ ἐκείνου δυνατὸν ἐξευρεῖν. οὕτως οὖν οὐσίαν τε ὑπερούσιον καὶ ὑπερδύναμον δύναμιν καὶ ὑπεράγαθον ἀγαθότητα προστίθησιν ἡ διάνοια τῇ πάντων πηγῇ, ὀκνοῦσα ὅμως

8, 1 προορούειν] ἤγουν προεξορμᾶν τοῦ λογισμοῦ gl. A. 6 ἀνδραποδῶδες] ἤγουν δουλικὸν καὶ δουλοπρεπές gl. A. 7 διὰ τοῦτο A. δι᾽ αὐτὸ τοῦτο H. 11 εἰς πλείους Roulezius p. 78. Vulgo καὶ εἰς πλείους. 20 Legebatur ξυνθεμένους [κατὰ] τὸν βίον· καὶ τοῦτο πως ἂν ἴσως ῥυπαίνοι — πάσης; Additum ab Harduino κατὰ omittit A. ξυνθεμένους per συγκοινωνούς interpretatur gl. A. 22 ὅπερ A. ὥσπερ H. 26 ἐκείνου] ἤγουν τοῦ θεοῦ gl. A.

καὶ ταῦτα καὶ εὐλαβουμένη τὴν κοινωνίαν τῶν ὀνομάτων. ἀλλ' ὅμως οὕτως ἔχουσα τὴν φιλανθρωπίαν οὐχ ὑφορᾶται, ἀλλὰ καὶ σεμνύνεται τῷ ὀνόματι ὡς οἰκεῖόν τι ἐξευροῦσα. πῶς οὖν οὐ μακάριος ἄνθρωπος ὄντως ἐκεῖνος, ὃς μόνος δύναται τῷ θεῷ κοινωνεῖν ἀρετῆς; πῶς δὲ οὐ μάλιστα βασιλεῖ πρέπων καὶ ὑπὲρ τοὺς ἄλλους ὁ κόσμος, ὃν οὐδὲ ὁ πάντων πατὴρ ἀτιμάσει; πῶς δὲ οὐκ ἄξιον μισεῖν τε καὶ δυσχεραίνειν τοὺς καλουμένους τυράννους, ὅτι δυνάμενοι ζηλοῦν θεὸν οὐκ ἐθέλουσι; c

Γελῶ δὲ ἔγωγε ἐννοῶν τινα τῶν παλαιῶν βασιλέων, d ὅτι πάνυ περὶ πολλοῦ ποιησάμενος θείας τινὸς δυνάμεως καὶ φύσεως ὑπερτέρας δόξαι μετέχειν, νεὼς μὲν αὐτῷ ὥσπερ θεῷ καὶ ἀγάλματα τοὺς ἀνθρώπους εἴσασθαι ξυνηνάγκασε, φιλεῖν δὲ ὥσπερ ὁ θεὸς τοὺς ἀνθρώπους οὐ πάνυ δή τι προείλετο. καίτοι ἐκεῖνα μὲν ἄνθρωποι θεῷ ἀπονέμουσι, τοῦτο δὲ ἀνθρώποις θεός. μιμεῖται δὲ ἐκεῖνον οὐχ ὁ τὰς τιμὰς αὐτοῦ διώκων, 9a ἀλλ' ὁ τὴν ἀρετήν, οὐδὲ ὅστις ἀξιοῦται ζηλωτής, ἀλλ' ὅστις ὢν μεταδίδωσι. τοιγαροῦν ὁ μὲν οὐδὲ ἄξιος ὢν βιάζεται τὴν τοιαύτην τιμήν, ὁ δὲ καὶ ἄξιος ὢν οὐκ ἐθέλει· ὁ μὲν ὅτι καὶ ἐν τούτῳ δυσσεβής, ὁ δ' ὅτι καὶ ἐν τούτῳ γινώσκει τοὺς ἀμείνονας. ὥστ' εἰκότως θεοφιλὴς βασιλεὺς ὁ φιλάνθρωπος. φίλοι γὰρ ἀλλήλων οἱ τὰ αὐτὰ ἀγαπῶντες. μόνος γὰρ οἶδεν ἀκριβῶς ὅτι χρὴ τὸν θεὸν θεραπεύειν ἐκ τοῦ κατὰ δύναμιν ὁμοιοῦν ἐκείνῳ τὴν γνώμην. τοῦτο γάρ ἐστι τὸ θαυμάζειν αὐτόν, οὗτος ὁ μέγας ὕμνος, τοῦτο γέρας ἀληθινόν, τοῦτο πρέπον βασιλέως ἀνάθημα, οὐ χαλκῆν ἢ ἀργυρᾶν ἢ χρυσῆν, ἀλλὰ τὴν αὑτοῦ ψυχὴν εἰκόνα θεοῦ b κατεσκευάσθαι. ἐθέλει μὲν οὖν τοῦτο καὶ ὁ φιλόσοφος, ἀλλὰ τῆς δυνάμεως ἀπολειπόμενος πάμπολυ χωλεύων

9, 25 γὰρ οἶδεν ἀκριβῶς — γνώμην τοῦτο addidi ex A. 31 τοῦτο καὶ ὁ φιλόσοφος] ἤγουν τὸ τὴν ἰδίαν ψυχὴν εἰκόνα κατασκευάσαι θεοῦ, ἀλλὰ μὴ ἔχων καὶ τὸ δύνασθαι, ὡς ὁ βασιλεύς, κάτω κυλίειν ἔοικε τὴν μορφήν gl. A.

ἔοικε τὴν μορφήν. ὅστις δὲ ὑπὲρ τοὺς ἄλλους ἀνθρώπους καὶ δύναται τὰ ἀγαθὰ καὶ προαιρεῖται, οὗτος ἄγαλμα τοῦ θεοῦ ἀκέραιον καὶ ὁλόκληρον καὶ ταὐτὸν ἐπὶ γῆς ὅπερ ἐκεῖνος ἐν οὐρανῷ, οἷον κλῆρόν τινα τῆς ὅλης ἀρχῆς ἐπιτροπεύων καὶ ζηλοῦν ἐν τῷ μέρει πει-
c ρώμενος τὸν τοῦ ξύμπαντος ἡγεμόνα. ὁ δὲ ἀγαθὸς δεσπότης ἀγάμενος τῆς ὑπουργίας πρόσω τε ἄγει τῆς ἀρχῆς καὶ μείζονα ἐπιτρέπει μοῖραν τῶν κακιόνων ἀφελόμενος.

Ἀλλ' ὁ μὲν λόγος εἰκόνα παγκάλην παραδείγματος ὑπερφυοῦς ἐξευρὼν ἐνδιατρίβειν σπουδάζει τῇ θέᾳ. κατάγωμεν δὲ αὐτὸν ἄκοντα ὅμως ἀπὸ τῶν θείων ἐπὶ τὰ ἀνθρώπινα, πάλιν ἠρέμα παραμυθούμενοι καὶ δεικνύντες ὅτι οὐδὲν ἔσται ἀτοπώτερος ἑαυτοῦ, ἀλλ' ἕξει φαυλοτέραν μὲν, γνωριμωτέραν δὲ χορηγίαν. καθόλου
d τοίνυν ἐπισκεπτέον ὡς οὐδεὶς οὔτε ἄρχων οὔτε δημιουργὸς ἐξεργάσαιτο ἂν καλῶς τὸ οἰκεῖον ἔργον πράττων, ἂν μισῶν πράττῃ καὶ δυσχεραίνων, οὐδὲ ἵππους ἂν θεραπεύσειεν ὁ μὴ φίλιππος ἱπποκόμος, οὐδὲ βουφορβὸς τὴν ἀγέλην ὁ μὴ πρὸς τὰς βοῦς ᾠκειωμένος· καὶ ποίμνιον ἐκεῖνο εὔκολον τοῖς λύκοις ὅτῳ ὁ ποιμὴν ἀπε-
10a χθάνοιτο, καὶ αἰγῶν ἀτύχημα νέμεσθαι ὑπὸ μισοῦντος. καὶ ὅστις οὖν ἀνθρώπων ἀγέλας νομεύει, ἐρᾶν αὐτῷ ἀναγκαῖον τοῦδε τοῦ ζώου. οὗτος γὰρ ἂν αὐτοῦ μεθ' ἡδονῆς ἐπιμέλοιτο, ὥσπερ τινὰ παῖδα ἀγαπῶν, οὐχ ὡσπερεὶ πολέμιον ὑφορώμενος, καθάπερ, οἶμαι, κακὸς βουκόλος πολὺ βδάλλειν μόνον εἰδὼς καὶ τοὺς γαυλοὺς ἐμπιπλάναι τοῦ γάλακτος καὶ τῆς μελούσης ἀγέλης τὴν τροφὴν ὑποτέμνεσθαι, νομῆς δὲ ἀγαθῆς οὐ φροντίζων, καί, εἰ ξυντύχοιεν, ὑφαιρούμενος, αὐτὸν μὲν πίονα κατασκευαζόμενος καὶ παχύν, τὰς βόας δὲ ἐκτήκων τε
b καὶ ἐξισχναίνων. ἀλλὰ σμικρὸν ὁ τοιοῦτος χρόνον ἀπολαύσεται τῆς τρυφῆς, ταχὺ διολλυμένης αὐτῷ τῆς ἀγέλης,

10, 19 ἱπποκόμος] Vulgo ἱππονόμος. Vide Pierson. ad Moer. p. 440. 24 ἂν addidi ex A. 28 μελούσης] μελλούσης A. 30 ὑφαιρούμενος Reiskius. Vulgo ἀφαιρούμενος.

αὐτὸς δὲ ἔσται μισθωτὸς ἀντὶ βουκόλου, ἀχθοφόρος τις ἴσως ἢ ἀνθρακεύς, ὀδυνηρῶς καὶ μόγις παρατρεφόμενος. ὁ δὲ ἀγαθὸς νομεὺς πολλὰ μὲν ὀνίναται ἐκ τοῦ ἔργου, πλείω δὲ ἔχει ἀντωφελεῖν, θηρία τε ἀπερύκων καὶ πόας ὑγιεινῆς προορώμενος. καὶ μὲν δὴ ἀντιφιλοῦσι μάλιστα βόες μὲν ἀγαπῶντα βουκόλον, κύνες δὲ θηρευτήν, ἵπποι δὲ τὸν φίλιππον ἐπιστάτην, αἱ δὲ c ἀνθρώπιναι ποῖμναι τὸν φιλάνθρωπον βασιλέα. οὐδὲν γὰρ οὕτω ζῷον αἰσθάνεται καὶ δάκνεται ὑπὸ φιλίας, οὐδὲ ὑπ' ἄλλου τοιούτου ὡς ἀντερᾶσθαι δύναται ἐραστής, ἀλλ' ὥσπερ μάλιστα ἐχθαίρει τὸν ἀδικοῦντα, οὕτω μάλιστα ἀσπάζεται τὸν εὖ ποιοῦντα. εἰ δ' εὐτυχὲς καὶ μακάριον τοὺς ὑπάρχοντας φίλους ὁρᾶν, πόσῳ δή ποτε ὀλβιώτερον τοὺς ὁρωμένους φίλους ὑπάρχειν; ὅστις τοίνυν ἑαυτῷ τῆς βασιλείας τοὔνομα ἐμφαίνει σαφῶς, τοσούτους ὁρᾷ φίλους ὁπόσους ἀνθρώπους, οὓς οὐ δεδίασιν, ἀλλ' ὑπὲρ οὗ δεδίασιν οἱ ἀρχόμενοι, καὶ μόνος τὸ d χρῆμα οὐ ψεύδεται τῆς βασιλείας· βουλομένων γάρ, οὐ φοβουμένων ἡγεῖται, βασιλεία δὲ ἑκούσιόν τι καὶ οὐ βίαιον. σημεῖον δέ· ζητοῦσιν αὐτὴν κατὰ φύσιν οἱ ἄνθρωποι, ὡς οὐ δυνάμενοι χωρὶς ἐκείνης τὸν βίον διάγειν. ζητεῖ δὲ οὐδεὶς ὃ φοβήσεται, ἀλλ' ὃ φιλήσει. ὁ μὲν δὴ τῷ φόβῳ μέγας κυφάντων ὑπερέχει καὶ οὐκ ἔστι μέγας, ὁ δὲ φιλανθρωπίᾳ κρατῶν ὀρθῶν ἁπάντων 11 a καὶ ηὐξημένων. καὶ ὁ μὲν οὐχ ἑαυτῷ τι προστίθησιν εἰς τὸ μέγεθος, ἀλλ' ἀποκόπτει τῶν ἀρχομένων, ὁ δὲ μεγάλους πάντας ποιῶν μείζων ἁπάντων ὅμως ἐστίν. οὔτε οὖν ὑψηλὸς ἐκεῖνος ὅς, ἂν μὴ καταβάλῃ τοὺς πλησίον, οὐχ ὑπερφαίνεται, οὔτε βασιλεὺς ἀληθῶς ᾧ μηδεὶς ἐλεύθερος ὑπακούει. τί γὰρ ἂν ὁ τοιοῦτος διενέγκαι πλουσίου φαύλου πολλὰ ἀνδράποδα κεκτημένου, σεμνυνομένου τε καὶ αὐχοῦντος ὅτι πάντων ἄμεινον

11, 10 τοιούτου ὡς] του οὕτως ὡς Iacobsius in appendice ad Personi Advers. p. 316. δύναται] δάμναται Reiskius. 23 οὐκ] οὕτως Iacobsius. 28 καταβάλῃ] καταβάλοι A. 30 ὑπακούει] Vulgo ὑπακούσει. Correxit Iacobsius.

b κρατεῖ τῶν οἰκετῶν; βασιλέως δέ, οἶμαι, ἔργον ἀληθινοῦ οὐ τό γε τοὺς ὀρθοὺς ταπεινοῦν, ἀλλὰ καὶ τοὺς πεπτωκότας ἐγείρειν, ἵνα, καθ' ὅσον αὐτῷ δύναμις, εὐδαιμόνων εὐδαιμονέστερος ᾖ. ὁ δὲ γενναῖος τύραννος οὐ μακαρίων εἶναι ἐθέλει μακαριώτερος, ἀλλ' ἀθλίων μακαριώτερος, καθάπερ, οἶμαι, δεσμωτηρίου τις φύλαξ πολλοὺς ἔχων δεσμώτας ὑφ' ἑαυτὸν ἀγαπᾷ τε καὶ γέγηθεν ὅτι εὐτυχέστερός ἐστι τῶν ἐν τοῖς ξύλοις. καὶ διὰ τοῦτο ὁ Περσικός, οἶμαι, δυνάστης πόρρω τοῦ βασιλείας ὀνόματος. οὐδὲ γὰρ τοὺς ἀρχομένους ἅπαντας μόνον
c δούλους ὑπολαμβάνει τε καὶ ποιεῖ, ἀλλ' ἤδη καὶ τοὺς ἑαυτοῦ συγγενεῖς καὶ τὸν ἀδελφὸν καὶ τὸν παῖδα, καὶ ᾧ μέλλει τὴν βασιλείαν παραδιδόναι. καίτοι γελοῖός γε ἀτεχνῶς ὃς τὸν ἀδελφὸν δοῦλον οἰόμενος αὐτὸς οἴεται ἐλεύθερος εἶναι.

Οὐδὲν οὖν ὄφελος ὀρθὴν μὲν ἔχειν τιάραν, διεστραμμένον δὲ ἦθος, καὶ χρυσοῦν μὲν τὸ σκῆπτρον, μολύβδου δὲ ἀτιμοτέραν τὴν ψυχήν, καὶ τὸ μὲν σῶμα ἠμφιέσθαι λεπτοῖς τε καὶ ποικίλοις ὑφάσμασι, γυμνὴν
d δὲ ἀρετῆς ἐπιδείκνυσθαι τὴν διάνοιαν, καὶ τοξεύοντα μὲν ὀρνίθων ἐπιτυγχάνειν, βουλευόμενον δὲ ἀποτυγχάνειν φρονήσεως, εὐκόλως μὲν ἐφ' ἵππων ὀχεῖσθαι συνειθισμένον, εὐκολώτερον δὲ ἀποπίπτειν δικαιοσύνης· ὃς γὰρ ἐρᾷ μὲν τῶν οὐδ' ὁτιοῦν προσηκόντων, πλείω δὲ ἀπόλλυσιν ἢ λήψεται, ἀπατᾶται οὗτος, ἄδικος μὲν τῆς σπουδῆς, ἠλίθιος δὲ τῆς γνώμης, ἀνόητος δὲ τῆς ἐλπίδος. τοῦ τοιούτου γάρ τοι καὶ τὴν εὐδαιμονίαν ἀκούομεν ἐναγεστέραν τῆς Οἰδίποδος συμφορᾶς, ᾧ τίκτειν φασὶ τὴν μητέρα παῖδάς τε ἅμα καὶ ἀδελφούς. τί οὖν θαυμαστὸν ἐξεστηκέναι τῶν λογισμῶν τὸν τῆς φύσεως

12, 9 βασιλείας A. βασιλέως H. 11 ἤδη A. ἔτι H. 12 καὶ ᾧ] Aut delendum καὶ, aut ᾧ καὶ scribendum monuit Roulezius p. 78. 20 τοξεύοντα μὲν A. τοξευόμενον H. 21 ὀρνίθων ἐπιτυγχάνειν, βουλόμενον add. A. βουλευόμενον Iacobsius. βουλόμενον A. 22 εὐκόλως μὲν — συνειθισμένον add. A. 25 λήψεται] Vulgo λήψεσθαι. ἀπόλλυσιν ὧν λήψεται Iacobsius.

αὐτῆς ἐξεστηκότα; πῶς δὲ οὐκ ἀκόλουθον τοῖς ὅπλοις 12 a
ἀντιβλέπειν τοῦ βασιλέως τὸν ἀντιβλέποντα αὐτοῦ παντὶ τῷ βίῳ; οὐ γὰρ ἐνῆν ἴσως θαυμάσαι σώφρονα τῷ ἀκολάστῳ καὶ τὸν δίκαιον τῷ πλέον ἔχειν ἐρῶντι καὶ τὸν πρᾷον τῷ χαλεπῷ καὶ τὸν ἥμερον τῷ ζῶντι πλησιέστερον τῶν θηρίων. οὐδὲν γὰρ ὅλως κακίας πολεμιώτερον ἀρετῇ οὐδ' ἔσθ' ὅ τι μᾶλλον αὐτῆς ἐχθαίρει καὶ ὑφορᾶται. πᾶς γάρ, οἶμαι, ὁ χείρων ἔλεγχον ἡγεῖται τὸν ἀμείνω, φανερώτερόν που τὸ αἶσχος ἐγγὺς τοῦ κάλλους ὁρώμενον.

Τοῦτ' οὖν ἐστιν ὃ διάλλυσιν ἐκεῖνον, οὐχ ἡ μέση τῶν ποταμῶν, ἀλλ' ἡ βασιλέως ἀρετὴ πλησίον λάμπου- b
σα· καὶ οὐκ ἐπίσταται, ὃ μόνον κέρδος γειτονήσεως, ἐπιτρέψαι τὰ πηδάλια τῆς διανοίας ἐγγὺς ὄντι τῷ κυβερνᾶν ἐπισταμένῳ καὶ ἐξαρτῆσαι τὸ σκάφος τῆς μεγάλης νεώς. τοῦτο γὰρ ἄμεινον, οἶμαι, ἢ λέμβῳ μικρῷ ἐπιπλέοντα, δίχα οἰάκων τε καὶ τῆς ἄλλης παρασκευῆς διαναυμαχεῖν πρὸς τριήρη μεγάλην τε καὶ ἰσχυράν, πολλοὺς μὲν ὁπλίτας ἔχουσαν, πολλοὺς δὲ ἐρέτας τε καὶ ἐπιβάτας, κυβερνήτην τε ἐκ σπαργάνων τοῖς πηδαλίοις ἐντεθραμμένον. πονηρὰν γὰρ τὴν ναυμαχίαν ὁ τοιοῦτος ναυτίλλεται, εἰ καὶ βραχύν τινα χρόνον ὑπὸ κουφότητος c
διαφύγοι τὰς ἐμβολάς.

Ἀλλ' ἐπανακτέον τὸν λόγον ἐκτρεπόμενον τοῦ ἴχνους ἐφ' ὅπερ ὥρμησεν ἐξ ἀρχῆς. ὁ τοίνυν φιλάνθρωπος βασιλεὺς καὶ αἰσχύνεται ἄγαν ἀνθρώπους· αἰδεῖται γὰρ μάλιστα καὶ ὅσους μάλιστα ἀγαπᾷ. τοῦτο δ' ἐστὶν αἴτιον αὐτῷ τοῦ μὴ ῥᾳδίως εἰς ἄνθρωπον ἐξαμαρτάνειν. καὶ τοίνυν τὸν ἔπαινον ὁ τοιοῦτος περὶ πλείστου ποιεῖται τὸν παρὰ τῶν ἀνθρώπων. παντὶ γὰρ ἐραστῇ

13, 3 *θαυμάσαι*] *ἤγουν ἐπαινέσαι* gl. A. 6 *τῶν θηρίων — πολεμιώτερον* addidi ex A. 7 *αὐτῆς* Iacobsius. Vulgo *αὐτήν*. 8 *πᾶς γάρ, ὃ μαιότερόν* (sic) *που τὸ αἶσχος* H. Supplevi ex A. 13 *γειτονήσεως* addidi ex A. *τονήσεως* codex Harduini. 21 *ναυμαχίαν — ναυτίλλεται*] „Qualis dictio!“ Reiskius. 26 *αἰδεῖται — ἀγαπᾷ* addidi ex A. 28 *αὐτῷ*] *αὐτοῦ* A.

ὑπὸ παιδικῶν ἐπαινεῖσθαι ὑπὲρ τὰ ἄλλα ἐστὶν ἀγαθόν. ὅστις δὲ ἐπαινεῖσθαι ἐπιθυμεῖ, ἀγαθὸς εἶναι βούλεται· d οὕτως γὰρ ἂν τοῦ ἔρωτος ἐπιτυγχάνοι. πόσῳ δὲ οἰκειότερον, πρὸς Χαρίτων, φιλάνθρωπον ὀνομάζεσθαι τὸν βασιλέα ἢ φίλοινον ἢ φιλήδονον ἢ φιλόχρυσον ἢ φιλάργυρον. οἱ δὲ πολλοὶ ἀνθρώπων μὲν ἄρχουσι, χρυσίου δὲ ἐπιμελοῦνται, καὶ πλουτεῖν μὲν ἐπιθυμοῦσι καὶ οἴονται, πένονται δὲ χαλεπώτερον τῶν οὐδὲ σμικρὸν εὐπορούντων. οἱ μὲν γὰρ θαιμάτια πολλάκις δι' ἔνδειαν ἀποδίδονται, οἱ δὲ τὴν ἀγαθὴν εὔκλειαν ἀνταλ-
13 a λάττονται ἀργυρίου. εἰ δὲ ἐπονείδιστον ἀθλητῇ μισθοῦ ξυγχωρῆσαι τὸν Ὀλυμπίασι κότινον, ἐπονειδιστότερον βασιλεῖ χρημάτων προέσθαι τὸν στέφανον τῆς ἀρετῆς. καὶ μὲν δὴ τιμῆς τε καὶ τιμωρίας ἀμφοῖν μὲν ἅπασα ἀρχὴ καθάπερ ὀργάνων προσδεῖται, τοῦ μὲν αὔξοντος ἀρετήν, τοῦ δὲ κολούοντος μοχθηρίαν· ἀλλ' ὁ μὲν αἴτιος καὶ ἀπάνθρωπος τύραννος ὑπερβάλλει μὲν τῶν πταισμάτων ταῖς κολάσεσιν, ὑστερεῖ δὲ τῶν κατορθωμάτων ταῖς τιμαῖς· ποῖον γὰρ ἐκείνου τηλικοῦτον γέρας ἀκούομεν, ὁποίαν τιμωρίαν τὸ τοῦ δέρματος ἀφαιρεῖσθαι; τοῦ δὲ
b ἡμέρου τε καὶ ἡμετέρου τῶν μὲν ἀγαθῶν ἔργων ὑψηλότερα τὰ γέρα, τῶν φαύλων δὲ αἱ κολάσεις ἐπιεικέστεραι. φιλανθρωπίας γὰρ ἴδιον εὖ ποιεῖν ἢ κακῶς. τὴν δὲ αἰτίαν [ξυνὴ] τούτου ἄμεινον ἐπίσταται φιλοσοφία. καὶ βασιλεὺς ἔοικεν εἶναι τιμῆς, οὐ τιμωρίας. καὶ διὰ τοῦτο ἐξ ἀρχῆς ὁ νόμος τὰς μὲν τιμὰς ταῖς τῶν βασιλέων χερσί, τὰς τιμωρίας δὲ ἐπέτρεψε ταῖς τῶν δημίων, τῷ μὲν ὁλόκληρον τὸ ἔργον προσνείμας, τῷ δὲ τὸ ἐπίταγμα μόνον, ἅτε τὸ μὲν οἰκεῖον, τὸ δὲ ἀναγκαῖον.

14, 3 οὕτως A. οὗτος M. 9 θαιμάτια] Vulgo θοιμάτια. 10 ἀνταλλάττονται] ἀντὶ ἀποδιδόασι gl. A. 14 τιμῆς — ἀρχὴ addidi ex A. 16 αἴτιος] ἄγριος Iacobsius. 19 γέρας — δέρματος addidi ex A. 22 ἴδιον] ἥδιον Reiskius. 24 ξυνὴ] ἀντὶ τοῦ κοινῶς gl. A. Quod qui scripsit, ξυνῇ legit. „Ex ξυνῆκε videtur ortum, quae gloss. voc. ἐπίσταται." Iacobsius. 25 εἶναι addidi ex A.

Οὐ γὰρ ὁμοίως εὐτυχοῦς στρατηγοῦ ἀριστέα τιμᾶν c
καὶ λειποτάκτην κολάζειν, οὐδὲ ἡνιόχου κεντεῖν τὸν ἀτάσθαλον ἵππον ὡς κυδαίνειν τε καὶ ἐπαίρειν τὸν εὐήνιον. καὶ τὸ σχῆμα δήπου τῷ βασιλεῖ ἐκ τιμῆς τὸ πλέον, οὐκ ἐκ τιμωρίας· τοιοῦτον γὰρ ἡ πορφύρα τε καὶ ὁ στέφανος, ὥστε τιμῶν μὲν ὧν ἂν αὐτὸς κέκτηται μεταδίδωσι, τιμωρούμενος δὲ ὧν αὐτὸς οὐδαμῶς ἔχει. ἀλλ' ὥσπερ προτρέπει μὲν ἐπὶ τὰ ἀγαθὰ ἡ τιμή, ἀποτρέπει δὲ τῶν φαύλων ἡ τιμωρία, οἰκειότερον δὲ βασιλεῖ τὸ ἀγαθὸν ἐργάζεσθαι ἢ τὸ φαῦλον· τὸ μὲν γὰρ τοῦ χείρονος ἀφίστησι d
μόνον, τὸ δὲ καὶ μεταδίδωσι τοῦ ἀμείνονος. οὐδὲν γὰρ οὕτω παροξύνει καὶ συναύξει τὴν ἀρετὴν ὡς βεβαία τῶν ἄθλων ἐλπίς. ἔστι γάρ τις ἐν ἡμῖν οὐ παῖς, ὥς φησιν ὁ Πλάτων, ἀλλ' οἷόν τις εὐγενὴς νεανίας, φιλόνικός γε ὑπεροχῆς ἐραστής, ὃν ἐν πολλοῖς πολλάκις ἀποκαθεύδοντα ἐξεγείρει τε καὶ ἀνίστησι τιμῆς προσδοκία καὶ ἐντίθησι κέντρον πρὸς ἀρετὴν παντὸς ὀξύτερον μύωπος. 14 a
ἔτι δὲ ὠφελιμώτερον ἴσως πρὸς ἕκαστον ἔργον τῶν χρησίμων ἢ τῶν ἀχρήστων πεφροντικέναι. οὐδὲ γὰρ ἐν νηὶ κυβερνήτης τὴν ἴσην ἔχει πρόνοιαν ναύτου τε καὶ ἐπιβάτου οὐδ' ἰατρὸς ἐν σώματι κόμης τε ὁμοίαν καὶ ὀφθαλμοῦ. τῶν μὲν γὰρ αἱ φαυλότητες οὐ ποιοῦσιν ἐπίδηλον τῷ παντὶ βλάβην, τῶν δὲ ἀνάγκη συναπολαύειν τὸ ὅλον εὖ τε ἐχόντων καὶ ὡς ἑτέρως.

Εἰ οὖν βελτίων μὲν ἡ τῶν ἀγαθῶν ἐπιμέλεια τῆς
τῶν φαύλων, δέονται δὲ οἱ μὲν ἀγαθοὶ τιμῆς, οἱ δὲ b
φαῦλοι κολάσεως, βέλτιον ῥέπειν τῷ βασιλεῖ πρὸς τιμὴν μᾶλλον ἢ τιμωρίαν· ἐπεὶ καὶ τῶν κολάσεων αἱ πλεῖσται τῆς μὲν τῶν ἀδικούντων ὠφελείας οὐ γίνονται χάριν — ἀφαιροῦνται γὰρ τὴν ψυχήν, οὐκ ὠφελοῦσιν — ὄνησις δὲ τοῖς λοιποῖς εἶναι δοκοῦσι. καὶ τοῦτο ἄρα, ὦ σοφώτατε βασιλεῦ, ἐξεῖλες τῶν κολαστηρίων τὸν θάνατον, γελοῖον εἶναι φάρμακον νομίσας, ὃ τὸν μὲν νο-

---

15, 4 δήπου Iacobsius. Vulgo δέ που. 6 κέκτηται] Subiunctivus. 20 τὴν ἴσην A. ἴσην H. 21 οὐδ' ἰατρὸς] Vulgo οὔτ' ἰατρός. 32 ἐξεῖλες A. ἐξεῖδες H.

σφήλαντα οὐκ ὀνήσειν, τοὺς δὲ ὑγιαίνοντας ὠφελήσειν c ἐπαγγέλλεται. ἢ τοῦτό ἐστι τὸ σοφὸν τοῦ κομψοῦ τοῦδε φαρμάκου, οἷς μὲν προσάγεται οὐκ ἰᾶσθαι, οἷς δὲ οὐ προσάγεται, τούτοις δὴ ξυμφέρειν; ἀλλά μοι πᾶσα θεραπεία τὸν τυγχάνοντα αὐτῆς πρὸ τῶν λοιπῶν ὠφελείτω, ὠφελήσαι δὲ οὐκ ἀπολλύουσα, ἀλλ' ἀμείνω ποιοῦσα. καὶ ἰατρὸς ἐμπειρότερος οὐχ ὁ ἀποκόπτειν ποιήσας τὸ σκέλος, ἀλλ' ὁ πειρώμενος ὀρθοῦν τε καὶ ἀνιστάναι.

d Εἴπω οὖν ὑμῖν τὸ αἴτιον καὶ τῆσδε τῆς γνώμης; ὁ μὲν παλαιός, οἶμαι, νόμος φοβερὸς εἶναι ἂν ἐπιχειρῶν τὸ ξίφος ὡς τὰ πολλὰ ἀνατείνεται καὶ βοᾷ, τὸν ἴσον θάνατον ἀπειλῶν ἐπ' ἀνίσοις ἔστιν ὅτε τοῖς ἀδικήμασιν. αἴτιον δὲ ὅτι νόμος οὐκ ἄν ποτε δύναιτο συστῆναι λεπτουργεῖν πρὸς τὰ ἀδικήματα ἐγχειρῶν. αἱ γὰρ ἀνομοιότητες τῶν ἀνθρωπίνων πραγμάτων οὐδεμίαν ἐκφυγγάνουσαι διαφορὰν εἰς ἀπέραντον ἐξάγουσι τὸν 15a σφίσιν ἀκολουθεῖν ἐπιχειροῦντα. καὶ ἐντεῦθεν, οἶμαι, κράτιστον ἐφάνη τραχύ τε καὶ ἓν ἀποφαίνεσθαι περὶ ἁπάντων τε καὶ ἐφ' ἅπαντα τὸν χρόνον, ὅπως ᾖ δυνατὸν εὖ ἔχειν πρὸς τὰ μηδέποτε γενόμενα. μόνον δ' οὖν ἐν δυνάμει λείπεται τῷ νομοθέτῃ. καὶ διὰ τοῦτο ὁ νόμος ὥσπερ τις ἄνθρωπος δύσκολος καὶ αὐθάδης τὰ αὐτὰ πολλάκις ἀποκρίνεται τοῖς οὐ τὰ αὐτὰ πυνθανομένοις. τούτου δ' οὕτως ἔχοντος καὶ τοῦ νόμου διὰ τὴν τοιαύτην ἀνάγκην περὶ τῶν ἀνομοίων τὰ ὅμοια φθεγγομένου, ὁ μὲν χαλεπὸς κολαστὴς τῶν ῥημάτων b οἷός τέ ἐστι δράττεσθαι καὶ λαμβάνεσθαι τῆς φωνῆς ἀπρίξ· καὶ διὰ τοῦτο ἀποκτιννύει πολλάκις ὃν ἀπέλυσεν ἂν καὶ ὁ νόμος, εἰ προέσθαι φωνὴν καὶ ἑτέραν ἐδύνατο, ἔννομόν τινα οὐκ οἶδ' ὅπως παρανομίαν παρανομῶν. ὁ δὲ φιλάνθρωπος βασιλεὺς τῷ μὲν γράμματι συγγι-

---

16, 5 αὐτῆς A. ταύτης H. 10 εἶναι ἂν] ἂν delendum videtur. In ἄγαν mutabat Iacobsius Lect. Stob. p. 32. 18 τραχύ A. βραχύ H. τε] τι Iacobsius. 20 γενόμενα] γένους A. μόνον δ' οὖν] ὃ μόνον δοῦναι Iacobsius. 29 καὶ ἑτέραν] οἰκειοτέραν Iacobsius.

νύσκει τῆς πρὸς τὸ ἀκριβὲς ἀσθενείας, προστίθησι δὲ καὶ αὐτὸς ὁπόσον ἐκείνῳ ἀδυνατεῖ, ἅτε, οἶμαι, καὶ αὐτὸς νόμος ὢν καὶ ὑπεράνω τῶν νόμων· τὸ προσθεῖναι δὲ αὐτῷ ἀφελεῖν ἐστι τῆς χαλεπότητος τοῦ νόμου. καθάπερ οὖν γενναίου κυνὸς παροξυνομένου τε καὶ ὑλακτοῦντος πραΰνει καὶ χαλᾷ τὴν ὀργὴν ἐφαπτόμενος c ὁ δεσπότης, οὕτω καὶ τοῦ νόμου πολλάκις μαλθάσσει τὸν θυμὸν ὁ φιλάνθρωπος βασιλεύς, καὶ προστάττοντος ἀποσφάττειν, εἰ τύχοι, συνήρεσε φυγῇ ζημιῶσαι· ἄλλον τε ἐκείνου φυγαδεύοντος, οὗτος ἠρκέσθη τῶν χρημάτων τι ἀφελεῖν. ἡμέρου γὰρ ἴσως δίκης καὶ πρὸς τὸ ὁμόφυλον συμπαθοῦς κατόπιν ἵστασθαι τῶν ἀδικημάτων ὡς τὰ πολλὰ καὶ διακρίνειν ἁμάρτημα καὶ ἀδίκημα καὶ ἀτύχημα. ἔστι δὲ ἀδίκημα μὲν παρανομία βουλευσαμένου καὶ προελομένου τῷ λογισμῷ, ἁμάρτημα δὲ πά- d θους, οἶμαι, κίνησις σφοδροτέρα ἐπιθυμίας τινὸς ἢ ὀργῆς ἄφνω προεξαλλομένης, οὐ συνενδούσης ὁλοκλήρου τῆς ψυχῆς τῷ κινήματι· τὸ δὲ ἀτύχημα παντελὴς αὐτή τις ξυμφορὰ καὶ πταῖσμα ἀλλαχόθεν ἄλλῳ προσαρτώμενον. οἷον, ὑποθώμεθα γὰρ ἐκ τῶν πραγμάτων τὴν σαφήνειαν τῷ λόγῳ, ἀνδροφονῆσαι ἔστι μὲν βουλευσάμενον, ἔστι δὲ καὶ ἐκ θυμοῦ ἁρπαγέντα, ἔστι δὲ καὶ ἀπὸ τύχης, οἷον γυμναζόμενον ἢ θηρεύοντα, κα- 16a θάπερ τις ἔχει καὶ Ἄδραστον λόγος Φρύγα τινὰ καὶ φυγάδα, φυγόντα παρὰ βασιλέα Λυδῶν καὶ θηρεύοντα, ἀφέντα ἐπὶ τὸ θηρίον, τούτου μὲν ἁμαρτεῖν, ἀκοντίσαι δὲ τὸν παῖδα τοῦ δεξαμένου.

Φιλανθρωπίας οὖν καὶ ταῦτα ἐπισκοπεῖν ἀκριβῶς καὶ μὴ τὸ συμβὰν εἰκῇ τιμωρεῖσθαι, ἀλλ' ἐπιζητεῖν πρόφασιν ἐπιεικείας. εἰ δέ τις οἴεται πρᾳότητα χρῆμά τι εἶναι δεξιόν, αὔξεσθαι δὲ ὑπ' αὐτῆς πονηρίαν, ἐπιδεικνύτω νῦν τὴν κακίαν οὗτος, ὁπόσον ἐτράφη τε καὶ ἐβλάστησε, τί δὲ ἀπειργάσατο δρᾶμα τοσοῦτον, b

---

17, 2 ἐκείνῳ] ἐκεῖνος Harduinus. 10 τῶν add. A.
13 Malim ἀδίκημα καὶ ἁμάρτημα. Conf. p. 93 b. 123 d.
19 αὐτή τις] ἀβούλητος Reiskius. 20 πραγμάτων] παραδειγμάτων Harduinus.

ἢ ποτέρας τυγχάνουσα θεραπείας, ἡνίκα ἐτραγῳδεῖτο πρότερον, ὅτε αὐτὴν πῦρ τε καὶ σίδηρος ἐξεφόβει.

Εὖ τοι ἀπέδειξε βασιλεὺς ὅτι οὐκ ἄρδεται ὑπὸ φιλανθρωπίας, ἀλλὰ μαραίνεται, καὶ μᾶλλον ὑπείκει τε καὶ ἐνδίδωσι μαλθακώτερον ἐπιψηλαφώσῃ τῇ δίκῃ. τάδε μὲν οὖν οὐκ ἀκούειν πάρεστιν, ἀλλὰ θεᾶσθαι. ὁ δέ μοι λόγος ἄτοπόν τι καὶ ὑπερφυὲς ἐπαγγέλλεται. c τὸν γάρ τοι πολὺν ἔπαινον τοῦτον, ὃν ἄχρι νῦν διελήλυθεν, ὑπισχνεῖται διπλασιάσειν, οὐ τοσοῦτον ἕτερον προσυφάνας, καθάπερ εἰκός. ἀλλ' ὁρᾶτε ὁπόση ἡ προσθήκη. τὸ γὰρ ἐν τῷδε τῆς ἡλικίας ταῦτα διαπράττεσθαι οὐ μόνον διπλοῦ θαύματος ἄξιον, μᾶλλον δὲ πολλαπλοῦ. ἔχοι τις ἂν εἰπεῖν ὡς ἐξ ἴσου θαυμαστέον ἐστὶ πρεσβύτην σωφρονοῦντα καὶ νέον; ἢ τὸν ἐν πολλῷ γήρᾳ πρᾶον καὶ ἥμερον καὶ τὸν ἐπὶ τῆς ἀκμῆς ἐνδοτέρω; ταῦτα οὐδεμιᾶς σοφίας διαγινώσκειν. d ἀλλὰ καὶ ἐν τοῖς ἰδιώταις τοὺς χρηστοὺς καὶ ἀγαθοὺς ὁ μὲν πλείων χρόνος ἐλάττονος ἀξίους τιμῆς, ὁ δὲ ἐλάττων πλείονος δείκνυσιν. οὐ γὰρ ὁμοίως ἀγαστὸν ἕπεσθαι τῇ ἡλικίᾳ τὴν ἀρετὴν ἢ παραλλάσσειν ἢ παρατρέχειν τὸν χρόνον, καὶ μάλιστα αὐτῆς ἐκεῖνο τὸ μόριον, ὃ παλαιότητι μὲν ξυγγενές, νεότητι δὲ διαφέρεται. τὸ γὰρ στάσιμον καὶ γαληνὸν καὶ ἠρεμαῖον ἐν τῷ μάλιστα κινοῦντι χρόνῳ καὶ διαταράττοντι τὴν 17 a ψυχὴν ἐγὼ μὲν οὔτε φῆμιν ξυμβῆναι οὔτε ῥᾳδίως εὑρίσκω ξυμβαῖνον. ἀλλ' οἱ τηλικοίδε ὡς τὰ πολλὰ καὶ πρὸς ὀργὰς ὀξύρροποί εἰσι καὶ ᾄττοντες φέρονται ὑπὸ

18, 1 ἢ ποτέρας] ἠπιωτέρας Iacobsius ad Achillem Tat. p. 969. et Lect. Stob. p. 32. ἡνίκα ἐτραγῳδεῖτο] οἷα ἐτραγῳδεῖτο Iacobsius ad A. T. οἷα κατετραγῳδεῖτο idem in L. S. 5 ἐπιψηλαφώσῃ] ἐπὶ ψηλαφώσῃ Iacobsius. 9 οὐ] δὶς Iacobsius Lect. Stob. p. 147. οὐ delebat Harduinus.
11 Vulgo ἡλικίας χρήσιμον. χρήσιμον delet Harduinus.
16 ἐνδοτέρω delet Harduinus: in σεμνότερον mutat Iacobsius.
20 ἕπεσθαι τῇ ἡλικίᾳ] ἤγουν τῷ γήρᾳ τὴν πρᾳότητα gl. A.
26 ἀλλ' οἱ — ἀνερμάτιστα πλοῖα] Ex Platonis Theaeteto p. 144a. de quo dixit Ruhnkenius ad Longinum p. 229.

τῶν παθῶν ὥσπερ τὰ ἀνερμάτιστα πλοῖα· βασιλεὺς δὲ ἅτε νῷ κυβερνώμενος γαληνιάζειν ἀναγκάζει τὸν κλύδωνα τῆς ἡλικίας, καὶ ἐπ' αὐτοῦ μόνου τὸ „πατὴρ δ' ὣς ἤπιος ἦεν" ἁρμόττει μὲν διὰ τὴν ἀρετήν, οὐχ ἁρμόττει δὲ διὰ τὸν χρόνον.

Συλλογίσασθε πρὸς φιλίου ὡς χαλεπὸν μὲν ἐν τύχῃ τοσῇδε ἐπιείκειαν διασώσασθαι· οἱ γάρ τοι πολ- b
λοὶ τὴν εὐτυχίαν οὐ δύνανται φέρειν δι' ἀσθένειαν, ὥσπερ φορτίον, χαλεπώτερον δὲ ἐν ἡλικίᾳ τοιαύτῃ καὶ καθ' ἣν ἥκιστα ἀνέχονται ἄνθρωποι καὶ ξὺν ἀνάγκῃ τὸ κόσμιον.

Ἀλλὰ δὴ πρέπουσαν κεφαλὴν ἐπιτιθέντες τῷ λόγῳ τέλειον αὐτὸ βασιλεῖ δῶρον προσάγωμεν· ἆρα ὁ φιλάνθρωπος βασιλεὺς οὐ καὶ φίλων ἐστὶ μάλιστα ἐραστής; καίτοι εἰ ἀνθρώπους περὶ πολλοῦ νενόμικε, περὶ πλείστου νομίζει τοὺς φίλους, καὶ εἰ τοὺς ζῶντας ὑπ' αὐτὸν ἀγαπᾷ, μάλιστα ἀγαπήσει τοὺς καὶ συζῶντας, c
καὶ εἰ λυπεῖν ἥκιστα ἀνέχεται τοὺς ἀρχομένους, οὐδαμῶς ἂν ἀλγύνειε τοὺς κοινωνοῦντας. ἐπίσταται γὰρ ὡς οὔτε χρυσίου πλοῦτος οὔτε ἀργύρου οὔτε τῶν ἀγαπητῶν λιθιδίων τοσάδε ὀνίνησι βασιλέα ὅσα φιλίας πλοῦτος ἀληθινῆς. ὃν γὰρ πολλὰ μὲν ἀκούειν δεῖ, πολλὰ δὲ ὁρᾶν, πολλῶν δὲ ἅμα ἐπιμέλεσθαι, τούτῳ σφόδρα ὀλίγα τὰ δύο ὦτα καὶ τὼ δύο ὀφθαλμὼ καὶ τὸ σῶμα ἓν ὂν καὶ μία ἐνοῦσα ψυχή. εἰ δὲ φίλους πλουτοίη, καὶ ὄψεται μακρὰν καὶ ἀκούσεται τῶν οὐ πλησίον καὶ εἴσεται τὰ πόρρω, καθάπερ οἱ μάντεις, καὶ πλείοσιν ἅμα παρέσται, καθάπερ ὁ θεός. ταῦτα οὖν εἰδὼς πρὸς d
ἕκαστον ἔχειν τῶν φίλων ὡς πρὸς τὸ οἰκεῖον σῶμα, ὡς πρὸς τὴν οἰκείαν ψυχήν, καὶ μόνη παρὰ τῷδε φιλία ὑψηλή τέ ἐστιν ἅμα καὶ λίαν ἀσφαλής. τῶν δὲ τυραννικῶν τὸ ὕψος ἐπικίνδυνον. ὅτε γὰρ μάλιστα αὐτοῖς ξυμβαδίζειν τις ὑπολάβοι, τότε ἀπωσάμενοι κατέβαλον

19, 3 πατὴρ] Odyss. β, 47. 9 καὶ καθ' A. καθ' H. ἐν ἡλικίᾳ νεαζούσῃ gl. A. 13 αὐτὸ A. αὐτῷ H. 16 νομίζει A. νομίσει H. 21 τοσάδε A. τοσόνδε H. 25 φίλους] καὶ φιλίας gl. A. 32 ὅτε] Vulgo ὅταν.

εἰς κρημνὸν βαθὺν ἢ φάραγγα κοίλην. ἀνάγουσι γὰρ
18a οὐχ ὅπως ἔχωσιν ἄνω, ἀλλ' ὅπως ἄνωθεν καταρρίψωσι.
τῷ τοι καὶ πολλοὶ τῶν πιπτόντων ἐπελάβοντό τε ὠθούντων καὶ συγκατήνεγκαν ἑαυτοῖς. οἱ δὲ τῆς βασιλέως δεξιᾶς θιγόντες ἴσασιν ἀσφαλεῖ πείσματι προσειχόμενοι καὶ προσεξόμενοί γε εἰς τέλος.

Τοῦτο δή σοι παρὰ φιλοσοφίας ἡλικιώτιδος τὸ ἀνάθημα ἀληθινὸν καὶ ἄδολον καὶ ἀκήρατον, οὐκ ἀπ' ἄκρας τῆς γλώττης ῥυὲν, ἀντιφθεγγομένης ἔνδοθεν τῆς ψυχῆς, ἀλλ' οἷον [γὰρ] ἔνδον ἐνδιαιτᾶται, τοιοῦτον καὶ
b τῶν χειλῶν προελήλυθεν. ὧν γὰρ ἕνεκεν ἄνθρωπος ὑποκρίνεται τοὺς ἐπαίνους, τούτων ἐλευθέρα ἐστὶ φιλοσοφία. χρημάτων τε γὰρ αὐτῇ οὐδὲ εἷς λόγος τιμῆς τε οὐκ ἐνδεὴς, οἴκοι τὸ τίμιον ἔχουσα."

20, 5 προσειχόμενοι Iacobsius ad Achillem Tat. p. 913. Vulgo προσερχόμενοι. 7 φιλοσοφίας A. τῆς φιλοσοφίας H.

ΔΗΜΗΓΟΡΙΑ ΚΩΝΣΤΑΝΤΙΟΥ ΑΥΤΟΚΡΑΤΟΡΟΣ ΠΡΟΣ ΤΗΝ ΣΥΓΚΛΗΤΟΝ ΥΠΕΡ ΘΕΜΙΣΤΙΟΥ.

[Εἰ ὑμεῖς μετὰ τῶν ὑμετέρων ὑγιαίνετε, καλῶς ἂν ἔχοι· c ἐγὼ καὶ τὸ στρατόπεδον ὑγιαίνομεν.]

Χαίρειν ὑμᾶς εἰκός, ὦ πατέρες συγγεγραμμένοι, καὶ τῷ πλήθει τῶν τροπαίων εὐφραινομένους καὶ τῆς παρούσης εἰρήνης ἀσφαλῶς ἀπολαύοντας. ὧν ἀεὶ πειρῶμαι πεφροντικὼς νῦν μέν τινα ἀρχὴν προστιθέναι διὰ τῶν ὅπλων τῇ Ῥωμαίων ἡγεμονίᾳ, νῦν δέ τινα ὠφέλειαν ἐξευρίσκειν διὰ τῶν νόμων τοῖς ἔθνεσι τοῖς ὑπηκόοις. καὶ νῦν δὴ πάντως συνεληλύθατε, θάτερον τούτων προσδοκῶντες διὰ τὴν συνήθειαν, ἢ πολεμικῶν d ἀγγελίαν κατορθωμάτων, ἢ χάριτος εἰρηνικῆς μεγαλοδωρίαν. ἐγὼ δὲ ἐμαυτῷ προσήκειν ὑπολαμβάνω μὴ μόνον διὰ τῶν κοινῶν ἀγαθῶν τὴν εὐφροσύνην ὑμῖν παρασκευάζειν, ἀλλὰ καὶ τῶν καθ' ἕκαστον ἄνδρα καθ' ὅσον οἷόν τε πρόνοιαν καὶ φροντίδα τὴν προσήκουσαν ποιεῖσθαι. ἐπεὶ καὶ τῆς κοινῆς ὠφελείας τηνικαῦτα μάλιστα γίνεται αἴσθησις, ὅταν εἰς ἕκαστον ἡ ἀπόλαυσις ἀναπέμπηται. ὥστε εἴπερ καὶ τῶν δημοσίων φροντίδων 19a τὸ καθ' ἕκαστόν ἐστι τέλος, τούτου μάλιστα φροντιστέον προηγουμένως, μᾶλλον δέ, εἰ χρὴ τἀληθὲς εἰπεῖν, καὶ ὁπηνίκα ἕνα ἄνδρα τῆς προσηκούσης τιμῆς ἀξιῶ, κοινὴν δίδωμι δωρεάν. οὐδεμία γὰρ χάρις μετὰ

21, 1 Κωνσταντίου αὐτοκράτορος περὶ Θεμιστίου φιλοσόφου δημηγορία παρὰ τὴν σύγκλητον ῥηθεῖσα H. Mutatum ex A.
4 Εἰ ὑμεῖς — ὑγιαίνομεν om. A. 7 καὶ τῷ πλήθει A. καὶ om. H. 13 τὴν om. A. 24 προσηκούσης addit A.

λόγου καὶ κρίσεως διδομένη μόνον τοῦ λαμβάνοντος γίνεται, ἀλλὰ προτίθεται κοινὸν ἆθλον ἅπαντι τῶν ὁμοίων πόνων.

Ἤγαγε τοίνυν Θεμίστιον τὸν φιλόσοφον εἰς τὰς ἡμετέρας ἀκοὰς ἡ πολυθρύλητος δόξα, καὶ βασιλικῆς b ὑπέλαβον καὶ τῆς ὑμετέρας διανοίας ἀμείψασθαι τιμῇ τῇ προσηκούσῃ τὴν ἀρετήν, τῇ συνόδῳ τῶν λαμπροτάτων πατέρων τὸν ἄνδρα ἐγκαταλέξας τὰ εἰκότα σεμνυνόμενον δι' ἀλλήλων· οὐ γὰρ μόνον Θεμίστιον τιμᾶν οἴομαι διὰ τῆς χάριτος, ἀλλ' οὐδὲν ἧττον καὶ τὴν γερουσίαν, ἣν τὸ μετασχεῖν δωρεᾶς ἄξιον νενόμικα φιλοσοφίᾳ πρεπούσης. διδόντες οὖν ἀντιλήψεσθε τὸν κόσμον καὶ λαμβάνοντες ἀντιδώσετε. ἄλλα μὲν γὰρ c ἄλλους κοσμεῖ καὶ περιφανεῖς καθίστησι· τοὺς μὲν χρημάτων εὔκλεια, τοὺς δὲ κτημάτων περιουσία, ἐνίους δὲ πόνοι δημόσιοι, ἑτέρους δὲ λόγων δεινότης· διαφόροις γὰρ ὁδοῖς καὶ ποικίλαις πρὸς ἓν καὶ ταυτὸν ἄκρον τῆς εὐδοξίας ἅπαντες οἱ νοῦν ἔχοντες ἐξαμιλλῶνται. ἀλλ' ὅμως τῶν πολλῶν ἀτραπῶν αἱ μὲν ἄλλαι σκολιαὶ καὶ ἀκροσφαλεῖς, μόνη δὲ ἀσφαλὴς καὶ βέβαιος ἡ δι' ἀρετῆς. καὶ ὅταν τις ὑμῖν ἐγκαταλέγεσθαι μέλλῃ, τοῦτο πρὸ ἁπάντων ζητεῖτε, εἰ ταύτην πορεύεται τὴν πορείαν, d καὶ μηδὲν ἄλλο τοιοῦτον γνώρισμα ἡγεῖσθε τῶν λαμπροτάτων ὡς γνώμην ὀρθὴν καὶ διάνοιαν ἀγαθήν, ἃ μάλιστα μεταδιώκει φιλοσοφία.

Θεμιστίῳ δὲ ἤρκει μὲν ἡ παίδευσις πρὸς τὸ μεγίστης τιμῆς ἀξιοῦσθαι καὶ καθ' ἑαυτὸν φιλοσοφοῦντι, μᾶλλον δέ, εἰ τύχοι, καὶ σιωπῶντι. οὐ γὰρ ὁ δεικνὺς μόνον τὴν ἀρετὴν ἄξιος τιμῆς, ἀλλὰ καὶ ὁ κεκτημένος. 20 a καὶ προσήκει γὰρ ἀμοιβὰς ἕπεσθαι τοῖς ἀξίοις, κἂν αὐτοὶ φαίνεσθαι μὴ σπουδάζωσιν. οὗτοσὶ δὲ ὁ ἀνήρ, ὃν ὁ παρὼν λόγος κηρύττει, οὐ μέτεισι φιλοσοφίαν ἀκοινώνητον, ἀλλ' ὃ μετὰ πόνου συνήγαγεν ἀγαθόν,

22, 2 προτίθεται A. προστίθεται H. 5 πολυθρύλητος] Vulgo πολυθρύλλητος. 6 ὑμετέρας] ἡμετέρας A. 8 τὰ εἰκότα σεμνυνόμενον A. καὶ τὰ εἰκότα σεμνυνόμενα H. 16 ἑτέρους] ἐνίους A. 25 φιλοσοφία A. φιλοσοφίαν H.

τούτου σὺν πλείονι πόνῳ τοῖς βουλομένοις μεταδίδωσι, προφήτης μὲν τῶν παλαιῶν καὶ σοφῶν ἀνδρῶν καθεστηκώς, ἱεροφάντης δὲ τῶν ἀδύτων τε καὶ ἀνακτόρων φιλοσοφίας· μαραίνεσθαι δὲ οὐκ ἐᾷ τὰς ἀρχαίας δόξας, ἀλλὰ καὶ ἀκμάζειν ἀεὶ καὶ γίνεσθαι νέας. αἴτιος δὲ τὸ καθ' ἑαυτὸν γίνεται πᾶσιν ἀνθρώποις τοῦ κατὰ [b] λόγον ζῆν καὶ παιδείας ἐπιμελεῖσθαι.

Συνορᾶτε δὲ καὶ ὑμεῖς, ὦ πατέρες συγγεγραμμένοι, ὅτι μηδὲν ἔργον ἐν τῷ βίῳ τῷ ἀνθρωπείῳ κάλλιστα ἂν καὶ ἄριστα ἐπιτελεσθείη χωρὶς ἀρετῆς οὔτε κατ' οἶκον οὔτε κατὰ πόλιν· πρὸς ἣν ἐξασκοῦντες καὶ ἐκπαιδεύοντες τοὺς νέους οἱ καλῶς προϊστάμενοι φιλοσοφίας κοινοὶ πατέρες ἂν ἁπάντων νομίζοιντο. οὗτοι καὶ τοὺς ἰδίους πατέρας ὅπως χρὴ θεραπεύεσθαι παρὰ τῶν υἱέων διδάσκουσι καὶ τοὺς παῖδας ὁποίας χρὴ παρὰ τῶν πατέρων ἐπιμελείας τυγχάνειν. καὶ ὡς μικρὰ ταῦτα λέγω, [c] τὸ δὲ ἀληθὲς κριτὴς ἁπάντων ἐστὶ καὶ ἐπιστάτης ὁ φιλόσοφος. καὶ γὰρ ὅπως δήμῳ προσενεκτέον καὶ ὅπως τὴν γερουσίαν θεραπευτέον καὶ ἁπλῶς ἁπάσης πολιτείας κανών ἐστιν ἐξητασμένος καὶ ἀκριβής. ὡς εἰ δυνατὸν ἦν πᾶσιν ἀνθρώποις φιλοσοφεῖν, ἐξήρπαστο μὲν ἂν ἐκ τοῦ τῶν ἀνθρώπων βίου ἡ φαυλότης, ἐξώριστο δὲ ἅπασα πρόφασις ἀδικίας, τῆς δὲ ἐκ τῶν νόμων ἀνάγκης οὐκ ἂν ἦν χρεία. ὧν γὰρ νῦν διὰ τὸ δέος ἀπέχονται, ταῦτα ἂν ἐμίσουν ἐκ προαιρέσεως.

Πρὸς δὲ τὴν παροῦσαν ὑπόθεσιν καὶ ἄλλως ἄγο- [d] μαι σὺν προθυμίᾳ· ἁπανταχοῦ γὰρ τῆς οἰκουμένης φιλοσοφίαν ἐκλάμπειν ἐσπουδακὼς μάλιστα αὐτὴν εὐθηνεῖν βούλομαι κατὰ τὴν πόλιν τὴν ἡμετέραν. ὅπερ δὴ καὶ πυνθάνομαι ὑπάρχειν αὐτῇ διὰ Θεμίστιον, συνόδοις μὲν νέων φιλοσοφούντων ἀβρυνομένῃ, γενομένῃ δὲ κοινὸν παιδεύσεως καταγώγιον, ὥστε ἅπαντας [21 a]

23, 9 ἐν τῷ A. ἐν om. H. 10 οὔτε — οὔτε] Vulgo οὐδὲ — οὐδὲ. 11 ἐξασκοῦντες A. ἀσκοῦντες H. Verbo ἐξασκεῖν utitur p. 217 c. 231 a. 235 a. 341 a. 20 καὶ ἀκριβής A. ἀκριβῶς H. 30 Θεμίστιον A. Θεμιστίου H. 31 ἀβρυνομένην, γινομένην A.

ἁπανταχόθεν ὁμολογουμένως παρακεχωρηκέναι τῇ πόλει κρατεῖν φιλοσοφίᾳ, καὶ ὥσπερ ἔκ τινος ἀκηράτου πηγῆς ἐκ τῆς πόλεως τῆς ἡμετέρας φοιτᾶν ἁπανταχοῦ τὰ διδάγματα τῆς ἀρετῆς. ὥσθ' ὅπερ ἀρχόμενος εἶπον, κοινὴν ὑμῖν καὶ Θεμιστίῳ δίδωμι τὴν τιμήν. μεταλαβὼν γὰρ παρ' ἡμῶν ἀξιώματος Ῥωμαϊκοῦ ἀντεισφέρει σοφίαν Ἑλληνικὴν, ὥστε τὴν πόλιν διὰ τοῦτο δείκνυσθαι τὴν ἡμετέραν κορυφὴν ὁμοῦ τύχης καὶ ἀρετῆς. b νικῶσα γὰρ τοῖς ἄλλοις ἀγαθοῖς νῦν προσλαμβάνει τὸ τιμιώτατον. εἰ γὰρ τείχεσι μὲν αὐτὴν περιφραγνύναι, κοσμεῖν δὲ τοῖς ἔνδον οἰκοδομήμασι, δήμου δὲ πλήθει στενοχωρεῖν, σημεῖον ἀγαπῶντός ἐστι βασιλέως, πόσῳ μᾶλλον αὔξειν τὴν γερουσίαν τοιαύτῃ προσθήκῃ, ἣ τὰς ψυχὰς βελτίους ποιήσει τῶν ἐνοικούντων καὶ μετὰ τῶν ἄλλων οἰκοδομημάτων καὶ τὸ τῆς ἀρετῆς ἀναστήσει γυμνάσιον; ὡς ὁ μὲν τῇ πόλει τὰ ἄλλα παρασκευαζόμενος τὰ πρῶτα δίδωσι τῶν ἀγαθῶν, φρονήσεως δὲ c καὶ παιδείας ἐπιμελούμενος τὸ κυριώτατον ἐκπορίζει, οὗ πολλοὶ μὲν ἐπιθυμοῦσιν, ὀλίγιστοι δὲ ἐφικνοῦνται.

Οἶδα μὲν οὖν ὅτι τὸ προσεπιλέγειν καὶ ἄλλας αἰτίας, δι' ἃς ἄξιος ἂν εἴη Θεμίστιος τῆς μεγίστης τιμῆς, οὐκ ἔστιν αἰσθανομένων τοῦ μεγέθους τῆς φιλοσοφίας. ὃ γὰρ καθ' ἑαυτὸ πάντων αὐταρκέστατον τῶν ἀγαθῶν, εἰ μὴ μόνον τις προΐσχοιτο, ἀλλὰ καὶ ἕτερα συναριθμοίη, οὐ συναύξει μᾶλλον οἷς προστίθησιν, ἀλλὰ ἐλλιπέστερον ποιεῖ τῷ προσθήκης δεῖσθαι νομίζειν. ὅμως δὲ ἀνασχώμεθα τοῦ λόγου καὶ φιλοσοd φίας χωρὶς ἀποφαίνοντος ἄξιον εἶναι τὸν ἄνδρα τῆς ὑμετέρας συνόδου. εἰ γὰρ τοὺς μάλιστα ἀγαπῶντας δίκαιον προσάγεσθαι καὶ ἀνταγαπᾶν, αὐθαίρετος ἡμῶν γεγονὼς Θεμίστιος ἐραστὴς καὶ τὴν πόλιν τὴν ἡμετέραν οἰκείᾳ κρίσει προὐτίμησε τῆς ἐνεγκούσης καὶ πρότερον

24, 11 τοῖς — οἰκοδομήμασιν A. τὰ — οἰκοδομήματα H. 17 τὰ πρῶτα] ἤγουν ἀρχὰς gl. A. 18 τὸ κυριώτατον A. καὶ κυριώτατον H. 19 ὀλίγιστοι A. ὀλίγοι H. 22 τῆς φιλοσοφίας] τῆς om. A. 25 συναριθμοίη] συναριθμῇ A. 31 γεγονὼς A. γέγονε H.

γνώμῃ πολίτης ἢ προσηγορίᾳ γέγονε. τοῦτο δὲ ὁπόσον θεάσασθε, τὸ δεῖξαι τὴν οἴκησιν τὴν ἡμετέραν καὶ τοῖς ἄλλως ἀλλαχόθεν εὐδαίμοσιν ἀξιέραστον. οὐ γὰρ ἐνδεῶς οἴκοι πράττων εἰς τὴν εὐδαιμονίαν τῆς πόλεως 22 a καταπέφευγεν, ἀλλὰ καὶ ἀμελῶν τοῦ πλουτεῖν ὅμως ὑπὸ πενίας οὐ θλίβεται. ἐφρόντισε δὲ παρ' ἡμῖν καὶ γάμου καὶ παιδοποιίας τὴν διαδοχὴν σωζούσης τοῦ γένους. ταῦτα δ' ἐπαινεῖται μὲν καὶ ἄλλῳ προσόντα, φιλοσόφῳ δὲ ὑπάρχοντα πολυωφελέστατα γίνεται. οὐ γὰρ τὸν βίον ὥσπερ κανόνα δεῖ καὶ σκοπὸν ἅπασι προκεῖσθαι τοῖς ἄλλοις, οὗτος εἰ τιμῴη μὲν τὴν πόλιν τὴν ἡμετέραν, ἐπιμελοῖτο δὲ τῆς τοῦ γένους διαδοχῆς, τὴν δὲ περὶ τὰ χρήματα σπουδὴν μετροίη τῇ χρείᾳ, πολλοὺς εἰς τὸν αὐτὸν ζῆλον ἐπάξεται. μὴ γὰρ δὴ νομίζετε b τὴν ἀληθινὴν φιλοσοφίαν παντάπασιν ἐξορίζειν ἑαυτὴν τοῦ κοινοῦ βίου μηδὲ ἀποστρέφεσθαι παντελῶς τὴν τῶν κοινῶν ἐπιμέλειαν, ἀλλ' ἴστε ὡς ὃς μάλιστα ἐπιμελεῖται πόλεως καὶ ὁ κατασκευάζων ἀρίστους ἀνθρώπους ἀρίστους ἀεὶ ποιεῖ καὶ πολίτας. ὁρᾶτε οὖν τῶν ἀγαθῶν τὴν περιουσίαν, ἃ τὸν λαμπρότατον ὑμῖν κατακεκόσμηκε. πλούσιός ἐστιν ἐν λόγοις, οὐ πένεται χρήματα, ἑκὼν εἵλετο τὴν πόλιν, οὐ πρὸς ἀνάγκην ἐπιδημεῖ, ἀλλ' ὑπ' ἀνάγκης ἂν χωρισθείη μόνης. τί τὰ ἄλλα λέγω; λαμπρότατον ὑμῖν δέδωκα τὸν μονογενῆ c φιλόσοφον, πολίτην ἐξαίρετον τῆς πόλεως τῆς ἡμετέρας, ὃν τοῦ κόσμου πολίτην εὐλόγως ἂν τις προσείποι.

Ἀλλ' εὖ οἶδα ὅτι τῶν κατειλεγμένων ἐπαίνων οὐ μετὰ τῆς ἴσης ἡδονῆς ἁπάντων ἀκούει Θεμίστιος, ἀλλὰ μόνους τοὺς ὑπὲρ φιλοσοφίας οἰκείους ἡγεῖται, τοὺς λοιποὺς δὲ ἢ λέγεσθαι μετρίως ἢ καὶ σιωπᾶσθαι βούλεται. ἐγὼ δὲ οὐχ ὡς τἀνδρὶ χαριούμενος, εἰ πάντα ἐπεξέλθοιμι ἴσως, ἐμήκυνα τὸν λόγον, ἀλλ' ὅπως ὑμῖν

25, 3 ἄλλως A. ἄλλοις H. 21 πλούσιός ἐστιν A. ἐστιν om. H. 22 χρήματα A. χρήμασιν H. Sic πλουτεῖν φίλους dixit p. 17 c. 27 κατειλεγμένων A. κατειλημμένων H. 31 τἀνδρὶ A. ἀνδρὶ H. εἰ πάντα A. εἶπον * τὰ H.

ἐνδείξαιμι ὅτι μηδὲν ἀνεξέταστον μηδὲ ἀβασάνιστον
d *παραλιμπάνω περὶ τῶν ὑπ' ἐμῆς κρίσεως ἀγομένων.*
Θεμίστιος δέ, εἰ χρὴ τἀληθὲς εἰπεῖν, οὐδὲ νῦν ἐμοὶ
γέγονε γνώριμος, ἀλλὰ καὶ πάλαι καὶ ἐκ πατέρων. καὶ
τοσοῦτόν μοι γινώσκειν τὸν ἄνδρα περίεστιν, ὥστε ἔχων
καὶ παλαιοτέρους προγόνους αὐτοῦ καταλέγειν, ὧν οἱ
παλαιοὶ μέμνηνται λόγιοι, ἑκὼν παρίημι· ἐγγύθεν γὰρ
ὁ πατὴρ αὐτῷ, δι' ὃν τῶν ἄλλων περίεργον μεμνῆσθαι.
23a *τίς δὲ οὗτός ἐστιν οὐδὲ ὑμεῖς ἀγνοεῖτε, οὗ τὸ ὄνομα*
εἰπόντι ἀπόχρη δεῖξαι τὴν ἀκροτάτην φιλοσοφίαν, καὶ
οὔτε χῶρος οὔτε ἔθνος οὔτε πόλις οὐδεμία τῆς Εὐγε-
νίου δόξης ἀνήκοος. οὗτος, ὃν καὶ ὑμεῖς ἂν μαρτυ-
ρήσαιτε διὰ βίου κάτοχον γεγενῆσθαι φιλοσοφίας, οὗτος,
ὃν οὐδὲν ἐξέφυγε τῶν ἀρχαίων διδαγμάτων καὶ παιδευ-
μάτων, οὗτος, ὁ πρὸς ἑαυτὸν τῷ λόγῳ καὶ τῷ βίῳ
φιλονεικήσας καὶ καθ' ἕτερον ὑφ' ἑαυτοῦ, καίτοι κρα-
τῶν, ἡττώμενος, οὗτος οὖν ὁ πάντων ἄριστος γεγονώς,
b *ὁ πάντων κορυφαιότατος, ἴσος τῷ παιδὶ μόνῳ νομίζε-*
ται, καὶ μόνῳ Θεμιστίῳ, ὃς καὶ ὁ τοῦ γένους διάδο-
χός ἐστι καὶ φιλοσοφίας.

Πάντων οὖν ἕνεκεν τῶν εἰρημένων τῇ συνόδῳ
συναπτέον καὶ κοινωνητέον τὸν ἄριστον. οὕτως γὰρ
ἂν καὶ τῷ θειοτάτῳ πατρὶ πράττοιμεν κεχαρισμένα,
τὴν ἐπώνυμον αὐτοῦ βουλὴν ἀνθεῖν τε καὶ θάλλειν
τοῖς μεγίστοις τῶν ἀγαθῶν παρασκευάζοντες. δεῖ δὲ
c *καὶ τοῖς λόγοις ὑπὲρ ἅπαντα δίδοσθαι τὴν ἁρμόζουσαν*
σεμνότητα καὶ τῇ σοφίᾳ τὸν οἰκεῖον κόσμον ἀποδιδόναι
καὶ τῇ παιδεύσει τὸ πρέπον γέρας καὶ τὸ ὀφειλόμενον
ἆθλον τῇ ἀρετῇ καὶ τὴν ἀρίστην τῶν ἐπιστημῶν, λέγω
δὲ φιλοσοφίαν, πανταχόθεν καὶ ἐν πᾶσιν ἐκλάμπειν.
συμβήσεται γὰρ οὕτως καὶ τὰς ἄλλας τέχνας πλείονος

26, 1 *μηδὲ ἀβασάνιστον* A. *ἢ ἀβασάνιστον* H. 2 *ὑπ' ἐμῆς κρίσεως* A. *ἐπ' ἐμὲ κριτὴν* H. 5 *γινώσκειν*] *τοῦ γινώσκειν* Wyttenbachius. *ἔχων* A. *ἔχειν* H. 10 *εἰπόντι* A. *εἰπόντα* H. 17 *οὖν* add. A. 19 *καὶ ὁ τοῦ* A. *ὁ* om. H. 22 *κοινωνητέον τὸν* A. *κοινωτέον τὸ* H. 23 *κεχαρισμένα* A. *κεχαρισμένως* H. 28 *τὸν ὀφειλόμενον* A.

ἐπιμελείας τυγχάνειν, ὅταν ἡ πρώτη τε καὶ ἀρίστη τὴν d
οἰκείαν τιμὴν ἀπολαμβάνῃ. τοσούτων οὖν καὶ τοιούτων εἰρημένων δῆλον ὡς ἃ παρέσχημαι Θεμιστίῳ ὑμῖν παρέσχημαι. χαρίζομαι δέ, εὖ οἶδα, μεγάλως καὶ τὠμῷ πατρί, οὐ νεὼν οὐδὲ γυμνάσιον ἐπὶ τῷ ὀνόματι τοῦ θειοτάτου, ἀλλὰ ἄνδρα ἀγαθὸν ἀφιερώσας.

27, 5 τὠμῷ A. τῷ ἐμῷ H. 6 τοῦ θειοτάτου] ἤγουν τοῦ αὐτοῦ πατρὸς gl. A.

II.

24a ΕΙΣ ΚΩΝΣΤΑΝΤΙΟΝ ΤΟΝ ΑΥΤΟΚΡΑΤΟΡΑ, ΟΤΙ ΜΑΛΙΣΤΑ ΦΙΛΟΣΟΦΟΣ Ο ΒΑΣΙΛΕΥΣ, Η ΧΑΡΙΣΤΗΡΙΟΣ.

Θεωρία.

Ἐπὶ τῷ κομισθέντι παρὰ τοῦ αὐτοκράτορος λόγῳ, ὃν ἔγραψε περὶ αὐτοῦ πρὸς τὴν γερουσίαν, τὸ χαριστήριον
b ἀποδίδωσι. σκοπὸν δὲ προΐσταται τῶν ἐγκωμίων φιλοσοφώτατον, αὐτὸν ἀποδεικνὺς μᾶλλον τὸν βασιλέα φιλοσοφίας μετέχοντα, ἣν ἐπήνεσε. καὶ παρίησι μὲν οὐδὲν τῶν εἰς ἔπαινον συντελούντων, ἅπαντα δὲ ἀνάγει πρὸς τὸ κεφάλαιον ὃ προεστήσατο, ἔστι μὲν οὖν ὅπου καὶ τὸ καθόλου κατασκευάζων, τὰ πλεῖστα δὲ τῶν ἐπιχειρη-
c μάτων μετιὼν ἐκ τῆς ὑποθέσεως τῆς παρούσης, ἁπανταχοῦ δὲ διατηρεῖν τὸ πρέπον ἀξίωμα φιλοσοφίᾳ πειρώμενος. σχεδὸν γὰρ ὁ σκοπὸς τοῦ βιβλίου πρὸς τοῦτο ἀφεώρακεν.

Ἆρ' ἂν ὑμῖν, ὦ ἄνδρες, δοκοίην χρέους ἀποστε-
25a ρῶν φιλοσοφίας ἐνδίκως μεταποιεῖσθαι; καίτοι Ἀθήνησι τοὺς ὀφείλοντας τῷ δημοσίῳ εἴργει ὁ νόμος μὴ κοινωνεῖν τῆς πολιτείας, ἕως ἂν τὸ ὀφείλημα ἀπολύσωνται.

28, 1 Θεμιστίου περὶ τοῦ αὐτοκράτορος ἐγκωμιάσαντος αὐτὸν πρὸς τὴν γερουσίαν εὐχαριστήριος, αὐτὸν ἀποδεικνὺς τὸν βασιλέα μάλιστα φιλοσοφίας μετέχοντα H. Mutatum ex A. Argumentum om. A. 19 εἴργει ὁ νόμος A κατείργει νόμος H. 20 ὀφείλημα A. ὀφειλόμενον H.

ἐγὼ δὲ καὶ αὐτὸς ὀφλισκάνω τε καὶ ἐγγέγραμμαι οὐ μὰ Δία τῷ δημοσίῳ τῷ ὑμετέρῳ, ἀλλὰ δι' ὃν ὁ ὑμέτερος δῆμος γέγηθέ τε καὶ εὐθηνεῖται. εἰ δὲ οὔπω δῆλον ὑμῖν ὃ λέγω, φαῦλοι ἄρα ἐστὲ μάρτυρες τῶν χρεῶν καὶ οὐ μέμνησθε ὅτι πάλαι ἐπ' αὐτῷ τούτῳ τῷ ξυμβολαίῳ συνελέγητε εἰς τὸ βουλευτήριον μαρτυρήσοντες. ἐπιτρόπευε δὲ τῷ δανείσματι ἀνὴρ γεννάδας καὶ ἔμπλεως παρρησίας, ὃς οὐκ ἐπιτρέψει οὐδὲ καταχαριεῖται ἐξαρνουμένῳ· b οὕτω μοι τὸ χρέος περιβόητόν τέ ἐστι, καὶ οὐδεμία μοι μηχανὴ ἀποστερεῖν ἐπιχειροῦντι καὶ καταπροΐξεσθαι. ἀλλὰ καὶ ὑμεῖς οἱ μάρτυρες εὖ οἶδ' ὅτι τέως μὲν ἡσυχάζετε, ἀναμένοντες ὡς οὔπω ὄντα παντάπασιν ὑπερήμερον, εἰ δὲ αἴσθοισθε παντελῶς ἀπορραθυμοῦντα, εὐθὺς ἐπικείσεσθε καὶ ἐξελέγξατε καὶ παρέσεσθε εἰς τὸ δικαστήριον, καταβοησόμενοι ὅπῃ ἄν τίς με προκαλῆται. καὶ εἰ μὲν ἐπὶ χρυσίῳ ἢ ἐπ' ἀργυρίῳ τὸ ξυμβόλαιον ἦν, τάχα ἂν οὐ πάνυ τι ἐνεμέσᾶτε πρὸς τὴν ἔκτισιν ἀπορουμένῳ. ἐπίστασθε γάρ, c οἶμαι, εἰ μὴ ἀδικεῖτε, ὅτι χρήματα ἐγὼ οὔτε φυλάττειν πάνυ ἔμπειρος καὶ δαήμων οὔτε αὖ προϊέμενος ξυναγείρειν τε καὶ ἀνακτᾶσθαι ῥαδίως, ἡ γὰρ τέχνη περὶ ἣν λιπαρῶς ἔχω οὐκ ἐᾷ με ταύτην εἶναι σοφὸν τὴν σοφίαν. ἀλλ' οὐδὲν θαυμαστὸν οὐδὲ ἐμῆς μοχθηρίας σημεῖον, εἰ καὶ ὀφλήσας ποτὲ ἀνδρὶ πλουσίῳ ἀργύριον χαλεπῶς τὰ δίκαια ποιήσαιμι καὶ ὑπὲρ τὸν συγκείμενον χρόνον. ὅπερ οὖν εἶπον, εἰ μὲν τοιόνδε τι τὸ δάνεισμα, d οὐ σφόδρα ἂν ὑμῶν ὑπώπτευον τὴν μαρτυρίαν, νῦν δὲ χρυσίον μέν, εἴπερ τι ἐγὼ ἐδεόμην, εὖ οἶδα ὅτι μᾶλλον ἄν με κατεφόρτισε βασιλεὺς ἢ πάλαι Κροῖσος Ἀλκμαίωνα

29, 1 ἐγὼ δὲ καὶ αὐτὸς A. ἐγώ τε αὐτὸς H. 9 περιβόητόν τε A. τε om. H. 10 καταπροΐξεσθαι A. καταπροΐξασθαι H. 12 ἔστε add. A. 14 εὐθὺς add. A. 16 με προκαλῆται A. μετακαλῆται H. ἢ ἐπ' A. ἐπ' om. H. 17 πάνυ τι A. τι om. H. 20 προϊέμενος A. προέμενος H. 24 ἀργύριον add. A. 25 ποιήσαιμι] ἀποτίσαιμι Heusdius Spec. in Plat. p. 18. 26 εἰ μὲν A. εἰ ἦν H. 28 εἴπερ τι A. ὅ τι H.

τὸν Ἀθηναῖον, ἐκ τοῦ ψηφίσματος ἐπιτρέψας ὁπόσον ἠδύνατο τῷ σώματι ἀποφέρεσθαι. ἐπεὶ καὶ νῦν τό γε ἐπ' αὐτῷ μέρος τρυφῆς τινας ὀχετοὺς καὶ εὐπαθείας λαθών με ἐπαφῆκεν εἰς τὸ δωμάτιον, οὓς ἐγὼ μόλις
26 a ἀπῳκοδόμησα καὶ ἀπέφραξα καὶ οὐκ εἴασα ἐπικλυσθῆναι τὴν οἰκίαν ὄλβῳ μείζονι τοῦ φιλοσοφίᾳ προσήκοντος, εἰδὼς ὅτι ὅπου ἂν λάθῃ τὸ ῥεῦμα τοῦτο αὐτομάτως τε καὶ ἄνευ πόνου ὑπορρυέν, ἐντεῦθεν ἀναγκαῖον ἐξοικίζεσθαι τὴν ἀρετήν.

Ἀλλὰ σοφώτερος ἄρα, ὡς ἔοικεν, ὁ Κωνστάντιος ξυμβαλεῖν ἀνδρὶ φιλοσόφῳ ἢ Ἀλέξανδρος ὁ Φιλίππου. ὁ μὲν γὰρ ἐπειδὴ τοῖς πεντήκοντα ἅμα ταλάντοις οὐκ ἔτρωσεν οὐδὲ ἔκαμψε τὸν Καλχηδόνιον Ξενοκράτην, ἀλλ' ἀπεκρούσατο γεννικῶς τὴν προσβολὴν τοῦ χρυσίου,
b ἀπείπατο αὐτίκα καὶ ἦρε τὼ χεῖρε καὶ οὐ προσήνεγκεν ἑτέραν πεῖραν ἰσχυροτέραν. βασιλεὺς δὲ ὁ μέγας ἐμηχανήσατο καὶ ἐξεῦρεν ὅτῳ ἂν μόνῳ ἐγὼ ὑπεικάθοιμι καὶ ὑπόσχοιμι οὐχὶ τὰς χεῖρας, ἀλλὰ τὴν ἀκοήν. ὁ γὰρ ἔπαινος ἡδὺ μέν που ἄλλως καὶ δύσμαχον δῶρον καὶ παρ' ὁτουοῦν γιγνόμενος· καὶ αἵ γε Σειρῆνες ἐπὶ σκοπέλου ἐπαινοῦσαι καὶ ἐπ' ὀλέθρῳ μικροῦ προσηγάγοντο καὶ ἐχειρώσαντο τὸν πολύμητιν Ὀδυσσέα· οὗ δὲ δὴ καὶ μόνον τὸ νεῦμα φερέγγυον πρὸς σωτηρίαν, μᾶλλον δὲ πρὸς ξύμπασαν εὐδαιμονίαν, οὗτος μακρὸν βι-
c βλίον συγγράφων μεστὸν εὐφημίας τίνα οὐκ ἂν σιδηροῦν καὶ ἀδάμαντος στερεώτερον μαλάξειέ τε καὶ ὑποχείριον λάβοι;

30, 3 τινας A. τινος H. 6 τοῦ φιλοσοφίᾳ προσήκοντος A. οὗ φιλοσοφία προσίεται H. 8 ὑπορρυὲν A. ὑπὸ ** H. 9 τὴν add. A. 10 σοφώτερος] φιλοσοφώτερος A. ὡς ἔοικεν ὁ κωνστάντιος A. ὁ Κωνσταντῖνος, ὡς ἔοικεν H. 11 ξυμβαλεῖν ἀνδρὶ A. ἀνδρὶ ξυμβαλεῖν H. 12 μὲν γὰρ A. μέν γε H. 13 Καλχηδόνιον] Vulgo Καρχηδόνιον. Χαλκηδόνιον Harduinus. 15 ἀπείπατο αὐτίκα καὶ ἦρε τὼ A. ἀπεῖπέ τε αὐτὸς καὶ ἦρέ τε τὼ H. 17 καὶ ἐξεῦρεν add. A. 19 που ἄλλως A. που καὶ ἄλλως H. 20 γιγνόμενος A. γινόμενον H. αἵ γε A. γὰρ αἱ H. 21 σκοπέλου A. σκοπέλων H. 23 μᾶλλον δὲ — εὐδαιμονίαν add. A. 24 μακρὸν A. μικρὸν H.

Ὅταν δὲ δὴ καὶ τὸ ἀκουστήριον ἐννοήσω, καὶ ὑμᾶς οἷς τὸν ἔπαινον ἐκοινοῦτο, καὶ τὸν προφήτην καὶ ἐξηγητὴν τοῦ ξυγγράμματος, ὅπως ὁ μὲν ἐν κόσμῳ εἱστήκει τρανότερον καὶ ἀριδηλότερον τὰ γράμματα ἐξηγούμενος Βάκιδός τε καὶ Ἀμφιλύτου, ὑμεῖς δὲ ὥσπερ ἐν ταῖς πανηγύρεσι μεταμφιεσάμενοι τὰς τηβέννους καὶ τὰ ὑποδήματα ἀλλαξάμενοι, συγκαθεζόμενοι ἐπὶ τῶν δίφρων, ἐξεβοᾶτε ἐπὶ τοῖς ῥήμασι θαμινά, ἐξαλλόμενοι καὶ μυρίας ἱέντες φωνάς, ζηλοῦντές με τοῦ ἐπαίνου, d ταῦτα δὴ ἅπαντα ξυνιόντα ἆρα ἂν καρτερεῖν ἀνασχοίμην;

Ἀλλὰ Ζήνων μὲν ὁ τῆς στοᾶς ἀρχηγέτης, καίπερ τὰ ἄλλα σεμνὸς ὢν καὶ ὑψηλολόγος, ὅμως ἐγανύσκετο καὶ ἐλαμπρύνετο, ἐπειδὴ αὐτὸν Ἀθηναῖοι ξένον τε ὄντα καὶ Φοίνικα ἐπὶ τοῖς λόγοις δημοποίητον ἐποιήσαντο, ἐγὼ δὲ οὕτως ἀγεννὴς καὶ ἀνήκοος Ἀριστοτέλους, ὃν προὐταξάμην τοῦ βίου τε καὶ τῆς σοφίας, ὥστε πᾶσαν οἴεσθαι τιμὴν καὶ παρ' ὁτουοῦν καὶ ἐφ' ὁτῳοῦν ἀχά- 27 a ριστον εἶναι ἀνδρὶ σπουδαίῳ καὶ ἐν Καρὸς μοίρᾳ; καὶ οὐ μέμνημαι ἄρα τῶν λόγων οἷς διορίζει χαυνότητα μεγαλοψυχίας; διορίζει δὲ ὧδε· φησί που καὶ περὶ τιμὰς τὰς μεγάλας, ὥσπερ καὶ περὶ τὰ ἄλλα τὰ λεγόμενα ἀγαθά, εἶναι μὲν ἄμετρον σπουδὴν τοῖς ἀνθρώποις, εἶναι δὲ ἔμμετρον καὶ ξὺν λόγῳ. τὸν μὲν δὴ ἐπὶ δήμου θορύβοις καὶ κρότοις ἐξογκούμενόν τε καὶ ἐγείροντα τὴν ὀφρῦν, ὅτι σφίσιν εἰς θέατρα ἢ ἱπποδρόμους πολλὰ χρήματα ἐξέχεε, χαῦνόν τε εἶναι καὶ ξυνέχεσθαι

31, 3 ξυγγράμματος A. γράμματος H. ὁ μὲν A. ὁ om. H. 4 τρανότερον] Vulgo τρανώτερον. 5 ἀμφιλύτου A. Ἀμφιλύκου H. 6 μεταμφιεσάμενοι] μεταμφιεσμένοι codex Vales. apud Boisson. ad Eunapium p. 348. τὰς τηβέννους codex Vales. τὰς τηβέννας H. 12 ὑψηλολόγος] ὑψηλόνους Roulezius p. 6. ἐγανύσκετο] Vulgo ἐγαννύσκετο. 13 τε add. A. 15 ἀγεννὴς A. ἀτεχνὴς H. ἀτελὴς codex Monac. 113. apud Iacobsium ad Antholog. Palat. vol. III. p. 492. 16 τοῦ βίου A. τοῦ om. H. 20 διορίζει δὲ] διορίζων δὲ A. 24 ἐγείροντα A et codex Monacensis 113. ἀγείροντα H. 25 ἢ A. τε καὶ H.

b τῇ κακίᾳ, ἢ τοὔνομα τοῦτο τὴν χαυνότητα ἐπιτίθησι· τὸν δὲ τούτων μὲν τῶν θορύβων καταφρονοῦντα καὶ σμικρὸν οἰόμενον διαφέρειν ῥοθίου κυμάτων αἰγιαλοῖς προσηχούντων, ψῆφον δὲ ἀνδρῶν ἀγαθῶν ἀκολάκευτον ἐπ᾽ ἀρετῇ περὶ πλείστου πάντων ποιούμενον, τοῦτον εἶναι τῷ ὄντι μεγαλόψυχόν τε καὶ μεγαλογνώμονα. ἐπεὶ καὶ Σωκράτης ὁ Σωφρονίσκου τοῦ μὲν δήμου τὰς ὀργὰς καὶ τοὺς ἐπαίνους ἐν λόγῳ οὐδέποτε ἐποιήσατο, ἐκυδροῦτο δὲ καὶ ἐπεποίθει τῇ τοῦ θεοῦ μαρτυρίᾳ, δι᾽
c ἧς ἀνεῖπεν αὐτὸν σοφίᾳ νικᾶν τοὺς τότε ἀνθρώπους, καὶ ᾤετο δεῖν ἐκτιννύναι τὰ χαριστήρια τῷ τε Ἀπόλλωνι τῆς μαντείας καὶ Χαιρεφῶντι τῆς ἐρωτήσεως· καὶ ἔστι Σωκράτει προοίμιον πεποιημένον ἐν τόνῳ ἑξαμέτρῳ πρὸς τὸν θεόν.

Εἰ δ᾽ αὖ φήσειέ τις κολακείαν εἶναι τῷ Πυθίῳ παραβάλλειν τὸν βασιλέα, Χρύσιππος μὲν ὑμῖν καὶ Κλεάνθης οὐ συγχωρήσει καὶ ὅλον ἔθνος φιλοσοφίας ἢ ὁ ἐκ τῆς ποικίλης χορός, οἱ φάσκοντες εἶναι τὴν αὐτὴν ἀρετὴν καὶ ἀλήθειαν ἀνδρὸς καὶ θεοῦ. ἐμοὶ δὲ
d περὶ μὲν θεῶν εὔστομα κείσθω, κατὰ τὸν Λύξου. Ἀγησίλαον δὲ οἶδα τὸν βασιλέα τῆς Σπάρτης ὅτι Ξενοφῶν ὁ Σωκράτους ὁμιλητὴς οὐκ ὤκνει ἐπαινεῖν καὶ ἀμείβεσθαι μακρῷ βιβλίῳ, ἐπειδὴ αὐτῷ νέμεσθαι διεπράξατο χωρίον τι μεταξὺ Ἤλιδος καὶ Ἀρκαδίας, οὐ πόρρω Σκιλλοῦντος, ἐν τῇ φυγῇ. καὶ πρὸς ἐκείνῳ τόδε εὖ οἶδα, ὅτι οὗτος ὁ Σπαρτιάτης τὰ μὲν ἄλλα φιλότιμός τε ἦν καὶ ὑψηλόφρων, φιλανθρωπίᾳ δὲ καὶ πρᾳό-
28a τητι τοσόνδε ἐλείπετο τοῦ ἀληθινοῦ βασιλέως ὁπόσον καὶ τῇ βασιλείᾳ, εἴπερ τι μέμνησθε τῆς Λυσάνδρου

32, 1 τοὔνομα] τὸ ὄνομα A. τοῦτο] τούτῳ A. τὴν χαυνότητα add. A. 2 καταφρονοῦντα A. περιφρονοῦντα H. 11 ἐκτινύναι τὰ χαριστήρια A. ἐκτιννύναι τὸ χαριστήριον H. 14 πρὸς τὸν θεόν] πρὸς τὰ νοεῖν A. 15 φήσειέ τις A. φήσετε H. 18 ἢ ὁ A. ἢ om. H. 20 τὸν Λύξου] τὸν λύξου A. τὸν Ἡρόδοτον λέγων, ξύλον γὰρ ἦν H, illato in textum scholio, quod emendatius legitur in margine A „τὸν ἡρόδοτον· λύξου γὰρ ἦν πατὴρ (immo πατρός).“ Herodoti locus est II, 171.

κρεοδαισίας. οὐ μὴν οὐδὲ ἡ χάρις ὁμοία ἀγρὸν ἐργάζεσθαι προῖκα Ἀρκαδικὸν ἢ ἐπαίνου τυχεῖν ἀγήρω τε καὶ ἀθανάτου. τάχα δ' ἂν καὶ αὐτὸς ὁ Ἀρχιδάμου τιμιώτερον ξυνέφη εἶναι τῆς αὐτοῦ δωρεᾶς τὸ χαριστήριον τοῦ Ξενοφῶντος. τὸ μὲν γὰρ λόγος ἦν ὑπὸ φιλοσόφου γεγραμμένος, ἡ δέ, εἴ τι δεῖ προσέχειν τῷ εἰληφότι, πυροὶ καὶ κριθαὶ καὶ τρωκτὰ ὡραῖα καὶ δορκάδας καὶ σῦς διώκειν τε καὶ ἀκοντίζειν. b

Ὅθεν μοι καὶ ἄπορος καὶ ἀμήχανος ἡ ἔκτισις γίνεται μᾶλλον ἢ Ξενοφῶντι. πρὶν μὲν γὰρ ἐνομίζετο ἐν ἀνθρώποις πλοῦτοι μὲν καὶ ἀρχαὶ καὶ σατραπεῖαι δῶρα ἀγαθῶν βασιλέων, βιβλία δὲ καὶ γράμματά καὶ συγγράμματα φιλοσοφίας ἔργα καὶ ἀναθήματα· νῦν δὲ ὃ μόνον εἶχον οἱ λόγοι χαριστήριον ἐν δυνάμει, τοῦτο αὐτὸς παραλαβὼν ἐδωρήσατο βασιλεύς. οὔκουν ἔστι μοι θρύπτεσθαι καὶ ἀκκίζεσθαι, καθάπερ Ἰσοκράτης ὁ Θεοδώρου, ὅτι σεμνότερα καὶ ἰσχυρότερα τὰ ἐμὰ c δωρήματα καὶ οὔτε ἐν χρόνῳ γηράσκει οὔτε ἐν τόπῳ καθείργεται. ὃ γὰρ μέγα καὶ πάμμεγα εἴπω ὑπὲρ τῶν λόγων, μετὰ τῆς βασιλέως γίνεται δωρεᾶς.

Λείπεται οὖν μοι, ὡς ἔοικε, συμπορίσασθαι ἵππους καὶ ἱμάτια καὶ οἰνοχόους καὶ πλέθρα γῆς ψιλῆς καὶ πεφυτευμένης καὶ ταῦτα ἀντεισφέρειν τῷ βασιλεῖ ἐπὶ τῷ λόγῳ, εἴπερ γε δεῖ ἀμφοτέρους τὰ ἔργα ἀνταλλάξασθαι. ἀλλ' οὐ γὰρ ἀλλὰ τολμητέον δὴ κατὰ δύναμιν· ὡς τὰ μὲν χρήματα τὰ ἐμὰ καταγέλαστα καὶ πενία d πολλὴ καὶ ἐλάττω ἢ ψεκὰς πρὸς τὸν ὠκεανόν, οὐ μόνον ὅσα ἐγὼ κέκτημαι νῦν, ἀλλὰ καὶ ὅσα ὁ πατήρ ποτε

33, 1 κρεοδαισίας] Vulgo κρεωδαισίας. 3 ἀρχιδάμου A. Ἀρχίδαμος H. 4 αὐτοῦ A. αὐτῆς H. 5 τοῦ add. A. 6 γεγραμμένος A. ξυγγεγραμμένος H. 7 δορκάδας καὶ σῦς A. δορκάδες, σῦς H. 11 μὲν om. A. 12 γράμματα καὶ συγγράμματα A. συγγράμματα καὶ γράμματα H. 16 Ἰσοκράτης] σωκράτης A. 19 ὃ γὰρ] Adde ἄν. 21 συμπορίσασθαι] συμπορίσεσθαι A. Fortasse συμπορίζεσθαι voluit. 24 τῷ λόγῳ A. τῷ om. H. 27 τὸν ὠκεανὸν A. τὸν om. H. 28 νῦν add. A. ποτε καὶ ὅσα ἡ μήτηρ om. A.

καὶ ὅσα ἡ μήτηρ καὶ ὅσα ξύμπαντες Παφλαγόνες.
λόγῳ δὲ παραβαλλόμενος πρὸς τὸν λόγον, ἔχω τινά,
εἰ μὴ μέγα εἰπεῖν, ἐλπίδα οὐ πολλῷ ὀπίσω ἀπολείψε-
σθαι, οὔτι λέγω τῷ κάλλει τῶν ἐνθυμημάτων καὶ ὀνο-
29a μάτων· μᾶλλον γὰρ τούτοις ἀστράπτει βασιλεὺς ἢ τῷ
στεφάνῳ καὶ τῇ ἁλουργίδι· ἀλλ' εἴπω ὑμῖν ᾧ δοκῶ
περιέσεσθαι ἐκ τῆς ἁμίλλης; οἶμαι ἀληθινώτερον φα-
νεῖσθαι τὸν ἐμὸν λόγον ἢ τὸν βασιλέως. τῷ μὲν γὰρ
ἀνάγκη ἐστὶ τὸν ἐπαινούμενον παραδραμεῖν καὶ ὑπερ-
βῆναι διὰ τὴν φαυλότητα καὶ οὐδένειαν, ἐμοὶ δὲ ἀπο-
χρῶν ἀγώνισμα ἡ ἀλήθεια.

Καίτοι μέλλων γε ἅπτεσθαι καὶ θιγγάνειν τῶν
ἀνακτόρων ξένον τι ἀτεχνῶς ὑπομένω καὶ ἄπιστον πάθος.
διανοίγεται γάρ μου τὸ στῆθος καὶ ἡ καρδία καὶ διαυ-
b γεστέρα γίνεται ἡ ψυχὴ καὶ τὰ ὄμματα ὀξύτερα τῆς
διανοίας. ὁρῶ γοῦν, ὦ μακάριοι, ἃ πρότερον οὐχ οἷός
τε ἦν· ἃ δὲ ὁρῶ, δέος ἔχει με ἐξειπεῖν καὶ ἐκλαλῆσαι
μὴ ὥσπερ οἱ νυμφόληπτοι ἐξαπατῶμαι. ὅμως δέ, οὐδὲ
γὰρ ἀΐστοῦται τὸ φάντασμα, ἀλλ' ἐπιμένει, καὶ ὅσῳ ἂν
μᾶλλον ἐγκύπτων ἀτενίζω τοῖν ὀφθαλμοῖν, τοσῷδε ἐναρ-
γέστερον ἀναφαίνεται καὶ ἐκλάμπει. ἐθέλω οὖν καὶ
πρὸς ὑμᾶς τὸ πάθος ἀνακοινώσασθαι καὶ ἐνδείξασθαι,
ἣν δύνωμαι· ἀλλ' ἕπεσθε. φαίνεταί μοι τῷ λόγῳ τῷ
c βασιλέως, ὃν ἐπὶ τὠμῷ ὀνόματι πρώην ἔπεμψεν εἰς τὴν
βασιλίδα βουλήν, τοὔνομα μὲν τοὐμὸν ἄλλως ἐπικεῖσθαι,
τῷ ὕμνῳ δὲ αὐτὸς ὑποδεδυκέναι ὁ ξυγγραφεύς, ὥσπερ,
οἶμαι, φασὶ τὸν Παρράσιον, ὅτι γράφειν τὸν Ἑρμῆν
ἐγχειρήσας τὴν ἑαυτοῦ μορφὴν τῷ πίνακι ἐγκατέθετο

34, 3 ἀπολείψεσθαι A. ὑπολείπεσθαι H. 5 τῷ στεφάνῳ A. τῷ om. H. 12 ἅπτεσθαι καὶ θιγγάνειν] P. 147 b. ἅψασθαι καὶ θιγεῖν. p. 152 a. ὧν ἅπτῃ καὶ ὧν θιγγάνεις. p. 177 d. ἅπτεσθαι αὐτοῦ καὶ θιγγάνειν. Euripides Bacchar. v. 617. οὔτ' ἔθιγεν οὔθ' ἥψαθ' ἡμῶν. 13 ἀνακτόρων A. ** ἀνάκτη H. 14 μού A. μοι H. 21 ἐκλάμπει A. ἐκκαλύπτεται H. 23 ἕπεσθε A. ἕπεσθαι * H. 24 τὠμῷ ὀνόματι] ἤγουν ὡς ἐπαινῶν ἐμέ, τοὔνομα μὲν ἄλλως τὸ ἐμὸν ὑποφέρεσθαι, ὡς δοκεῖν ἐμὲ ἐπαινεῖσθαι, τοῖς δὲ ἐπαίνοις αὐτὸς ὁ βασιλεὺς καὶ τὰ βασιλέως ἴδια ὑποβάλλεσθαι. schol. A.

καὶ ἐξαπατᾷ τοὺς ἀνθρώπους τὸ ἐπίγραμμα τῆς εἰκόνος. οἴονται γὰρ ὅτι Παρράσιος ἑαυτὸν ἐτίμησε καὶ ἐκύδηνε τῷ ἀναθήματι, πόρρω ὄντες τῆς τοῦ ζωγράφου σοφίας, ὃς ἵνα φύγῃ ἀπειροκαλίαν τε καὶ φιλαυτίαν, ἀλλοτρίῳ d ὀνόματι εἰς τὴν γραφὴν κατεχρήσατο.

Μὴ οὖν ὑμεῖς ἐξαπατᾶσθε μηδὲ ὁρῶντες πόρρωθεν καὶ ἀκούοντες ἔπαινον φιλοσόφου καὶ βασιλέως, ἄλλον τινὰ οἴεσθε τὸν φιλόσοφον ἢ τὸν βασιλέα. ἀλλ᾽ ὥσπερ εἴ τις ὀξύτατα αὐτὸς θέων καὶ ὑπὲρ τοὺς ἄλλους ἀνθρώπους μακρὸν ἐποιεῖτο τάχους ἐγκώμιον, ἐπιδεικνύς τε καὶ ἐξηγούμενος ὁπόσα παρέχεται ὠκύτης ποδῶν ἀγαθὰ τῷ βίῳ τῷ ἀνθρωπίνῳ, φυγεῖν τε ὃ ἄν τις 30 a ἐκκλίνῃ, ἑλεῖν τε οὗ ἄν τις ἐφίηται, καὶ ὁδὸν ὡς ῥᾷστα ἀνύειν, καὶ θηρεύειν ἵππων οὐ προσδεόμενον· καὶ ταῦτα ἔλεγεν ἀποβλέπων εἴς τινα ἄλλον ἄνθρωπον δῆθεν μόλις βαδίζοντα σὺν βακτηρίᾳ, δῆλος, οἶμαι, οὗτος ἦν ὁ ἀνὴρ τὴν ἑαυτοῦ ἐξυμνῶν ποδώκειαν δι᾽ ἀλλοτρίου παραπετάσματος. οὕτω δὴ βασιλεὺς ὁ τῷ ὄντι καὶ οὐ ψευδωνύμως αὐτὸς τὴν ἑαυτοῦ ψυχὴν ἐνδείκνυσθαι ἐπιθυμήσας φιλοσοφίαν τῷ λόγῳ ὑπετυπώσατο.

Ὑμεῖς δὲ ἴσως ὑπολαμβάνετε, ἐὰν μέν τις ἄνω b καὶ κάτω περὶ συλλογισμῶν διαλέγηται, καὶ οὔτιδας λόγους ἐξετάζειν οἷός τε ᾖ, καὶ τοὺς ἐγκεκαλυμμένους ἀποκαλύπτειν καί τινάς τε αὖ καταφάσκοντας καὶ ἀποφάσκοντας, ὥσπερ Φίλων ἢ Διόδωρος, ὧν τὰ λαμπρὰ ἀναθήματα, ὁ κυριεύων καὶ ὁ κερατίνης, σοφίσματα δυσμήχανα καὶ κακοῦργα καὶ ὧν χαλεπὴ μὲν ἡ ξύνεσις, ἀχρεῖος δὲ ἡ ἐπιστήμη, ὥσπερ ὁ ζυγόδεσμος τῆς Μίδου ἁμάξης, τοῦτον μὲν καὶ τὸν τοιοῦτον φιλοσοφεῖν, ἢ μᾶλλόν γε ὅστις ὑπὲρ ἀρετῆς θαμὰ διεξίοι καὶ θαρσα-

---

35, 2 ἐτίμησε A. ἐτίμησέ τε H. 3 τῆς τοῦ ζωγράφου σοφίας A. τῆς ζωγραφίας H. 6 ὑμεῖς A. καὶ ὑμεῖς H. 7 βασιλέως A. φιλοσοφίας H. 13 ἐφίηται] ἐφίοιτο A. 15 ἄλλον ἄνθρωπον A. ἀνθρώπων ἄλλον H. 16 σὺν βακτηρίᾳ om. A. 19 ἐνδείκνυσθαι A. ἐνδείξασθαι H. 21 ἐὰν A. ἂν H. 22 καὶ οὔτιδας] καινούς τινας A. 25 διόδωρος A. Ἡλιόδωρος H.

c λεότητος καὶ ἀνδρείας ἐπὶ σκιμποδίου καθήμενος καὶ
πρὸς μειράκια τρία ἢ τέτταρα, οὐχ οἷός τε ὢν τοῦ
δωματίου παρακῦψαι ὑπ᾽ ἀσθενείας; ἢ αὖ περὶ πολι-
τείας τε καὶ νόμων, οὗ μηδὲ ὁ ἀγρὸς εὖ οἰκεῖται; καὶ
περὶ μεγαλοπρεπείας καὶ τῶν μεγάλων δαπανημάτων ὁ
μηδὲ ἀψάμενός ποτε χρυσοῦ καὶ στατῆρος; καὶ ὅπως
δεῖ κατέχειν τὴν ὀργὴν, ὃν καὶ ἀγανακτοῦντα οὐδεὶς
εὐλαβεῖται; καὶ ὅπως κρείττων εἶναι ἐπιθυμίας, ᾧ μηδὲν
πλέον καὶ ἡττημένῳ; ὅστις δὲ ἐν ἐξουσίᾳ μὲν ἀδικίας
δικαιότερος Ἀναξαγόρου, ἐν ἀδείᾳ δὲ ἀκολασίας σω-
d φρονέστερος Ξενοκράτους, τρυφᾶν δὲ ὑπὲρ ἐκεῖνον τὸν
Σαρδανάπαλλον ἔχων ῥᾷον ἀνέχεται λιμοῦ καὶ δίψης
ἢ Διογένης ὁ Σινωπεὺς, ἐξὸν δὲ αὐτῷ ἅπαντα ποιεῖν
ὀργισθέντι πρᾳότητι νικᾷ τὸν Ἀρίστωνος, ἀνδρείαν δὲ
οὐκ ἐπιτάττει, ἀλλὰ καὶ ἐργάζεται, καρτερίαν δὲ οὐ
διδάσκει, ἀλλὰ καὶ ἐκπονεῖ, φιλανθρωπίαν δὲ οὐχ ὅ τι
ποτέ ἐστι λέγει, ἀλλὰ καὶ ἀπολαύειν παρέχεται, τοῦτον
εἰ φαίημεν εἶναι τὸν ἀληθινὸν φιλόσοφον, ψευδεῖ
31 a ἄρα καὶ οὐ προσήκοντι ὀνόματι τὸν ἄνδρα θεραπεύ-
σομεν; καίτοι οὐχ οὕτως ἔχομεν ὑπὲρ τῶν ἄλλων, ἀλλὰ
καὶ τέκτονα ὀνομάζομεν ἐκ τοῦ ἔργου καὶ σκυτοτόμον
ἐπὶ τοῖς ὑποδήμασι καὶ ἰατρὸν, εἰ ἀκοῖτο τὰ νοσήματα.

Καὶ τί ἐγὼ παραδείγματα ἀπομηκύνω καὶ οὐκ
αἴρω τὴν μηχανὴν, μᾶλλον δὲ οὐ ζηλῶ τοὺς ἐπὶ τοῦ
βήματος ῥήτορας; ἴστε γάρ που ὅτι οἱ ῥήτορες, ἕως
μὲν ἂν σημεῖά τε καὶ εἰκότα παρέχωνται καὶ ἐγχειρῶσι,
πολλάκις ἀπιστοῦνται ὑπὸ τῶν δικαστῶν καὶ δοκοῦσι

36, 1 καὶ πρὸς A. καὶ om. H. 2 τέσσαρα A. καὶ τέτταρα H. Conf. Platonis Gorgiam p. 485 d. et infra p. 265 b. 341 d. Indicavit Heusdius p. 94. 3 πολιτείας τε A. πολιτείας μὲν H. 6 καὶ στατῆρος] καὶ delet Petavius. καὶ ἀργυροῦ στατῆρος Roulezius p. 79. 7 δεῖ] δὴ A. κατέχειν A. κατέχεσθαι H. 8 ἐπιθυμίας, ᾧ A. ἐπιθυ ** H. 9 ἡττημένῳ] ἡττομένῳ A. 10 Ἀναξαγόρου] Ἀριστείδου Roulezius p. 11. ἐν ἀδείᾳ A. ἐν om. H. 12 Σαρδανάπαλλον] Vulgo Σαρδανάπαλον. ἔχων A. ᾗ H. 24 αἴρω Iacobsius apud Goellerum ad Dionys. de C. V. p. 287. ἐρῶ A. ἐρωτῶ H. 26 ἂν om. A. ἐγχειρῶσι] ἐγχειροῦσι A.

τὴν τέχνην μὲν ἐπιδείκνυσθαι, τὸ δὲ ἀληθὲς μήπω ἐλέγχειν, ὁπόταν δὲ νόμον ὑπαναγνῶσι Δράκοντος ἢ b Σόλωνος ἢ Κλεισθένους, τὴν ψῆφον ἤδη ὁ καθήμενος εὐτρεπίζεται. ἔχω οὖν καὶ ἐγὼ ἐφ' οἷς λέγω πάνυ πολλοὺς νόμους, οὓς συνεγράψαντο οἱ σεμνοὶ νομοθέται φιλοσοφίας καὶ ἀμείνους πολλῷ Ζαλεύκου τοῦ Λοκροῦ καὶ τοῦ Θουρίου Χαρώνδα, ὁ μέγας Πλάτων καὶ Ἀριστοτέλης ὁ Νικομάχου. καὶ αὐτὰ ὑμῖν τῶν ἀνδρῶν τὰ γράμματα ἀναγνώσομαι, λαβὼν ἀπὸ τῶν κύρβεων καὶ ἀπολέξας.

Λέγει τοίνυν ὁ μὲν ἕτερος νομοθέτης, ἐν οἷς λέγει ὑπὲρ τῆς ἠθικῆς ἀρετῆς, αὐτοῖς τουτοισὶ τοῖς ῥήμασιν, c ὅτι τέλος αὐτῆς οὐ γνῶσις, ἀλλὰ πρᾶξίς ἐστι. καὶ αὖθις· οὐ γὰρ ἵνα εἰδῶμεν τί ἐστιν ἀρετή, σκοπούμεθα, ἀλλ' ἵνα ἀγαθοὶ γενώμεθα διὰ τῶν ἔργων. καὶ ἑτέρωθι· πρὸς μὲν γὰρ τὰς ἄλλας τέχνας τὸ εἰδέναι πάμμεγα δύναται, πρὸς δὲ τὰς ἀρετὰς τὸ μὲν εἰδέναι ἢ οὐδὲν ἢ μικρὸν ἰσχύει, τὰ δὲ ἔργα οὐ μικρόν, ἀλλὰ τὸ πᾶν. εἰ μὲν οὖν ἤδη τις ἐπιδεῖξαι δυνήσεται τῆς βασιλέως ἀρετῆς ἐνεργεστέραν τὴν Χρυσίππου ἢ τὴν Ἀντιπάτρου, οἳ δὴ ἐν καλάμῳ καὶ μέλανι τὸν ἅπαντα χρόνον τὴν ἀνδρείαν ἐπεδείξαντο καὶ τὴν δικαιοσύνην καὶ τὴν καρτερίαν, τάχα ἂν ἐγὼ θωπεύοιμι καὶ ὑπερχοίμην· d εἰ δὲ τῶν μὲν ἄχρι τοῦ διδασκαλείου ἡ γενναιότης, βασιλέως δὲ ὕπαιθρα τὰ ἀγωνίσματα, τοῦ δὴ χάριν πρὸς τοῦ Διὸς τοὺς μὲν φιλοσόφους καλεῖν οὐκ ὀκνοῦμεν, βασιλέα δὲ αἰσχυνόμεθα;

Ὅτι γὰρ μὴ ἄλλο τι τὸ φιλοσοφεῖν ἐστιν ἢ τὸ ἐργάζεσθαι ἀρετήν, ἀκούετε αὖ πάλιν ῥῆσιν ἑτέραν, οὐ τοῦ ἀπὸ Σκυθῶν, ἀλλὰ τοῦ ἀπὸ Σταγείρων, καὶ εἰ

37, 2 ὁπόταν A. ὅταν H. 3 κλεισθένους A. καὶ Κλεισθένους H. 5 σεμνοὶ A. σεμνότατοι H. 7 ὁ μέγας A. ὁ πάμμεγας H. 11 λέγει ὑπὲρ A. φησιν ὑπὲρ H. 17 ἢ οὐδὲν A. ἢ om. H. 21 ἐν καλάμῳ A. ἐν om. H. 23 θωπεύοιμι A. θεραπεύοιμι H. ὑπερχοίμην Petavius. Vulgo ὑπερσχοίμην. 29 οὐ τοῦ — ἀλλὰ τοῦ A. οὐ τὴν — ἀλλὰ τὴν H. De proverbio dixit Boisson. ad Aristaen. p. 723.

32 a μακροτέρα ἐστὶν, ἀλλὰ ἀκούετε. εἰ οὖν λέγεται ὅτι ἐκ τοῦ τὰ δίκαια πράττειν ὁ δίκαιος γίνεται καὶ ἐκ τοῦ τὰ σώφρονα ὁ σώφρων, ἐκ δὲ τοῦ μὴ ταῦτα πράττειν οὐδεὶς ἂν οὐδὲ μελλήσειεν ἀγαθὸς γενέσθαι, ἀλλ' οἱ πολλοὶ ταῦτα μὲν οὐ πράττουσιν, ἐπὶ δὲ τὸν λόγον καταφεύγοντες οἴονται φιλοσοφεῖν, ὅμοιόν τι ποιοῦντες τοῖς κάμνουσιν, οἳ τῶν ἰατρῶν ἀκούουσι μὲν ἐπιμελῶς, ποιοῦσι δὲ οὐδὲν τῶν προσταττομένων, ὥσπερ οὖν οὐδὲ ἐκεῖνοι εὖ ἕξουσι τὸ σῶμα οὕτω θεραπευόμενοι οὐδὲ οὗ-
b τοι τὴν ψυχὴν οὕτω φιλοσοφοῦντες, εἰ οὖν οὐ φιλόσοφοι, ἀλλὰ ψευδώνυμοι οἱ καταφεύγοντες ἐπὶ τὸν λόγον, δῆλόν που ὡς οἱ τὰ ἔργα ἐπιδεικνύμενοι ἀντὶ τῶν λόγων ἀληθινῶς ἂν καὶ ἐνδίκως ἀξιοῖντο τοῦ προσρήματος.

Ἀλλὰ δὴ καὶ τῶν Ἀττικῶν ἀκούσατε νόμων, οὐ τοῦ Σόλωνος, ἀλλὰ τῶν τοῦ Σόλωνος ἀπογόνων. καίτοι σχεδόν τι ἅπασα καταπέπλησται ἡ τοῦ θείου Πλάτωνος συγγραφὴ καὶ οὐκ ἔστιν ὀλίγα ῥήματα ἐξελόμενον ἐπιλέγεσθαι ὑμῖν ὥσπερ γραμματεία, ἀλλὰ βιβλίων ὅμαδος ὅλος ἐπ' ἀλλήλοις συντεταγμένων ἐπισχυρίζεται μάλιστα
c εἶναι φιλόσοφον τὸν βασιλέα, Πολιτεῖαί τε αἱ κλειναὶ καὶ οἱ θεσπέσιοι Νόμοι καὶ πᾶσα ἡ περὶ τὴν πλάτανον διατριβὴ τὴν ἀμφιλαφῆ τε καὶ ὑψηλήν. ἡ γὰρ εὐδαίμων ἐκείνη καὶ μακαρία χορεία, ἣν αὐτὸς μέν φησι μετὰ τοῦ Διὸς χορεύειν, ἄλλους δὲ μετ' ἄλλων θεῶν, καὶ οἱ τὸν ὁρώμενον γνωματεύοντες εἰ φιλόσοφός τε καὶ ἡγεμονικὸς τὴν φύσιν ἐστὶ, καὶ ἄλλα δὴ ὅσα μυρία οὐκ ἀμυδρῶς ἐστι λέγοντος ὃ λέγω, οὐδὲ πρὸς μόνους τοὺς ὀξύτερον ἀκούοντας.

38, 1 μακροτέρα A. σμικροτέρα H. εἰ (εὖ Iacobsius) οὖν λέγεται A. ἢ οὖ λέγετε H. 8 προσταττομένων A. προστασσομένων H. 11 οἱ et ἐπὶ add. A. 12 λόγον, δῆλόν που ὡς οἱ τὰ ἔργα ἐπιδεικνύμενοι A. λόγον ** δεικνύμενοι H. 13 ἂν om. A. 20 συντεταγμένων A. συντεταγμένος H. ἐπισχυρίζεται A. ἀπισχυρίζεται H. 22 τὴν πλάτανον] γρ. τὸν πλάτανον margo A. 25 Post ἄλλων θεῶν aliqua excidisse videntur. 26 γνωματεύοντες] ἤγουν δοκιμάζοντες gl. A. εἰ add. A.

Ἀλλ᾽ ἐμοὶ ἀπόχρη τὸν κολοφῶνα ἐπιμαρτύρασθαι d εἰς ὃν ξυνδεῖ καὶ ἀνάπτει πάντα τὰ ἅμματα τῆς χρυσῆς καὶ ἀρρήκτου σειρᾶς, διατείνων καὶ ἕλκων ἐκ γῆς εἰς τὰ ἄκρον τοῦ οὐρανοῦ. τὸ γὰρ δὴ κεφάλαιον αὐτῷ καὶ τὸ πέρας καὶ ἡ κορυφὴ ξυμπάντων τῶν λόγων τοῦτό ἐστιν, ὅτι μηδὲν ἄλλο ἐστὶ φιλοσοφία ἢ ὁμοίωσις θεοῦ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ.

Τοὐντεῦθεν ἕποιτ᾽ ἂν ὑμῖν ἐπισκοπεῖσθαι καὶ ἐξετάζειν τί πράττων ὁ θεὸς θεός ἐστι· πότερον ὑπὲρ προτάσεων ἐξηκριβωμένας καὶ τρόπων περαντικῶν τε καὶ ἀπε- 33 a ράντων, ἢ ἄλλου του χρὴ ἐπορίγνᾶσθαι τὸν μέλλοντα αὐτῷ κατὰ σμικρόν τι ἀπεικασθήσεσθαι. οὐδὲν δὲ ἴσως ἡμᾶς ἂν δέοι πράγματα ἔχειν ζητοῦντας καὶ ἐρευνῶντας, ἀλλ᾽ αὐτὸς ὁ Πλάτων ἐρεῖ τὸ ἔργον τοῦ θεοῦ τῇ λαμπρᾷ καὶ μεγάλῃ φωνῇ. βουληθεὶς γάρ, φησίν, ὁ θεὸς ἀγαθὰ μὲν πάντα, φλαῦρον δὲ μηδὲν εἶναι κατὰ δύναμιν, οὕτω δὴ καὶ πᾶν ὅσον ἡμῖν ὁρατὸν παραλαβών, οὐχ ἡσυχίαν ἄγον, ἀλλὰ κινούμενον πλημμελῶς καὶ ἀτάκτως, εἰς τάξιν αὐτὸ ἤγαγεν ἐκ τῆς ἀταξίας, ἡγησάμενος ἐκεῖνο τοῦτο πάντως ἄμεινον εἶναι. b

Πρὸς Διός, οὐ γάρ οἷός τέ εἰμι καρτερεῖν καὶ τοῦ λόγου τὸ ἐφεξῆς ἀναμένειν, ἀλλά με ἀποστοματίζοντα τὴν Πλάτωνος ῥῆσιν ἔθραξέ τι καὶ ἔνυξε τὴν διάνοιαν, καὶ οὐκ ἀνέχεται ἠρεμεῖν, ἀλλὰ οἷόν τέ ἐστι προπηδᾶν τε καὶ προεξάλλεσθαι τοῦ ἐν τάξει ἀκολουθοῦντος. ἐάσατε οὖν με καὶ ἐπιτρέψατε ἐξενεγκεῖν αὐτὸ εἰς φῶς παρὰ τὸν καιρὸν μᾶλλον ἢ ἐξαμβλῶναι, καὶ ὑμῖν οὐκ εἰς μακρὰν ἐπανήξω εἰς τὸ συνεχὲς καὶ ἑπόμενον τοῦ

39, 2 εἰς] καὶ εἰς A. 3 ἕλκων A. συνέλκων H. 5 ἡ add. A. 7 θεοῦ add. A. ἀνθρώπῳ A. θεῷ H. 9 προτάσεων A. τῶν προτάσεων H. 10 τρόπων A. τρόπον H. 12 σμικρόν τι A. μικρόν γέ τι H. 13 καὶ ἐρευνῶντας add. A. 14 τῇ add. A. 17 καὶ πᾶν A. καὶ om. H. ἡμῖν A. ἦν H. 24 προπηδᾶν τε A. τε om. H. 26 με add. A. αὐτὸ add. A. 27 ἐξαμβλῶναι A. ἐξαμβλῶσαι H. Adde hoc exemplis a Buttmanno memoratis Gramm. Gr. vol. II. p. 75. ὑμῖν add. A.

λόγου. εἰ γὰρ ἐγὼ μόνα δύο ὀνόματα τῶν ὑπὸ Πλά-
c τωνος γεγραμμένων μεταβαλὼν τε καὶ μεθαρμόσας ἐρεσχελοίην πρὸς ὑμᾶς καὶ ἀγροικιζοίμην, οἷα πολλὰ εἰώθασιν οἱ νέοι Πλάτωνος θιασῶται, ὅτι ταῦτα πάντα συγγέγραπται τῷ φιλοσόφῳ οὐδέν τι μεῖον προμαντευομένῳ καὶ προφητεύοντι περὶ τοῦδε τοῦ βασιλέως, εὖ οἶδα ὅτι χαλεπῶς ἄν με ἐξεύροιτε, εἰ τεχνάζω καὶ σκευωροῦμαι περὶ τὴν λέξιν. ἀθρεῖτε οὖν καὶ ἐπιφυλάττετε. ἰδοὺ γὰρ λέγω ὅτι βουληθεὶς ὁ τῆς γῆς βασιλεὺς ἀγαθὰ μὲν πάντα, φλαῦρον δὲ μηδὲν εἶναι κατὰ δύναμιν, οὕτω δὴ παραλαβὼν τὴν βασιλείαν οὐχ ἡσυ-
d χίαν ἄγουσαν, ἀλλὰ κινουμένην πλημμελῶς καὶ ἀτάκτως εἰς τάξιν ἤγαγεν ἐκ τῆς ἀταξίας, μῶν καὶ ἔχοιτε ἂν εἰπεῖν οὕτω ῥᾳδίως ἢ παραλλάττει τὰ ῥήματα;

Οὐκοῦν καὶ τόδε ἔτι προσθῶμεν, οὐδὲν γὰρ ἧττόν ἐστι προσφυές, ὅτι ψυχὴ κακεργάτις καὶ ἔμπληκτος ταύτης ἦν αἰτία τῆς ἀταξίας, ἐπιθεμένη ἄρχειν ὧν οὐ προσῆκεν αὐτῇ γένει, καὶ παρωσαμένη τὴν ἔμφρονα
34 a μοῖραν καὶ τοῦ σπέρματος τοῦ ἀρχικοῦ πάντα χρήματα ἐτάραξε Τυφῶνος δίκην, ὃν οἱ λόγοι φασὶν Αἰγυπτίων ὅτι τὸν Ὄσιριν κατακόψας μετεποιεῖτο ἀρχῆς οὐδὲν προσηκούσης, καὶ αὐτὸν διὰ τοῦτο ὁ Ζεὺς κεραυνῷ ἐξαναλίσκει καὶ πυρὶ καὶ ῥύεται τοὺς Αἰγυπτίους τῆς ἀλλοκότου καὶ βαρβαρικῆς βασιλείας. ταῦτα γὰρ ἄντικρυς, οἶμαι, καὶ ἄνευ τῆς ἀγροίκου σοφίας μεταφέρων τις καὶ ἐφαρμόττων τῷ βασιλεῖ οὐκ ἂν ἁμαρτάνοι εἰκόνος ἀληθινῆς τε καὶ ἐναργοῦς, πλὴν ὅσον γε οὐ πρὸς

40, 5 οὐδέν τι μεῖον A. οὐδὲν τίμιον H. Eadem varietas p. 176 a. Conf. p. 53 c. 145 d. 148 b. 246 a. 294 a. 297 d. 366 a. 7 ἐξεύροιτε] ἐξερεῖτε A. τεχνάζω] τευτάζω Ruhnkenius ad Timaeum p. 255. Fallitur: vide p. 315 a. 8 ἐπιφυλάττετε A. φυλάττετε H. 11 τὴν βασιλείαν A. τὴν om. H. 18 προσῆκον (προσῆκεν ex Ambros. affert Wyttenbachius ad Iulian. II. p. 45.) αὐτῇ γένει A. προσῆκον ἦν. αὐτή γε μὴν (γέμοι Monac. 113.) H. 21 οὐδὲν A. μηδὲν H. 23 ἐξαναλίσκει καὶ πυρὶ A. καὶ πυρὶ καταναλίσκει H. 26 ἐφαρμόττων A. ἐφαρμόζων H. ἁμαρτάνοι A. ἁμάρτῃ H.

ἕνα μόνον Τυφῶνα, ἀλλὰ πολλοὺς καὶ πανταχόθεν ἀναφυέντας, τοὺς μὲν μείζους, τοὺς δὲ ἐλάττους, καὶ b τοὺς μὲν πρεσβυτέρους, τοὺς δὲ ἀκμάζοντας, τοὺς δὲ νέους, τὸν μὲν λόγῳ, τὸν δὲ σιδήρῳ, τὸν δὲ μηδ' αἰσθανόμενον ἐχειρώσατο.

Ἀλλ' ὁπόθεν δεῦρο ἐξετραπόμεθα, δεῖ γάρ, ὡς ἔοικε, τὴν αὐτὴν ἐπανιέναι, ἐδείκνυμέν που, εἴ τι μεμνήμεθα, ὡς σχεδόν τι ἁπανταχοῦ ὁ πάνσοφος Πλάτων ξύνδρομα πορεύεσθαι ὑπολαμβάνει τὸν ἀληθινὸν βασιλέα καὶ τὸν φιλόσοφον. πρὸς γὰρ τὸ αὐτὸ παράδειγμα ἀμφοτέροις ἥ τε ἅμιλλα καὶ ἡ σπουδή, ἀλλὰ τῷ μὲν ἄχρι λόγου καὶ ἐπιστήμης, τῷ δὲ ἄχρι τοῦ πράγματος καὶ τοῦ ἔργου. τὸν μὲν γὰρ τοῦδε τοῦ c ξύμπαντος βασιλέα ὁ μὲν ἐπίσταται μόνον, ὁ δὲ καὶ μιμεῖται· ὁμοιότερον δὲ ἀεὶ τοῦ γινώσκοντος τὸ ἐργαζόμενον· καὶ τὸν μέγαν ἡγεμόνα ἐκεῖνον τὸν ἐν οὐρανῷ τὸ πτηνὸν ἅρμα ἐλαύνοντα καὶ πάντων ἐπιμελούμενον καὶ διακοσμοῦντα, ᾧ ἕπεται πρώτῳ πορευομένῳ στρατιὰ θεῶν καὶ δαιμόνων, ὁ μὲν ὑμνεῖ παρὰ τὸν Ἰλισσὸν κατακεκλιμένος, μειρακίου Ἀττικοῦ ἀκροώμενος, ὁ δὲ καὶ ἔργῳ ζηλοῦν οἷός τέ ἐστιν,

Ὧι λαοί τ' ἐπιτετράφαται καὶ τόσσα μέμηλεν·

ᾧ ἀντὶ τῆς θείας ἡ ἀνθρωπίνη ἕπεται στρατιὰ κατὰ d μοῖραν κεκοσμημένη, οὗ τῷ νεύματι ἔνεστιν ὥσπερ τοῦ Διὸς κυβερνᾶσθαι καὶ ἄγεσθαι τὰ ἀνθρώπινα. οὐκ ἐτὸς ἄρα καὶ ὁ τῆς Καλλιόπης χορὸς οὐ παύεται ἀνακαλῶν τοὺς βασιλέας διοτρεφεῖς τε καὶ διογενεῖς καὶ Διὶ μῆτιν ἀταλάντους.

41, 1 πανταχόθεν A. πολλαχοῦ H. 4 δὲ μηδ'] δὲ om. A. 5 αἰσθανόμενον] αἰσθανόμενος Wyttenbachius. 6 ἀλλ' ὁπόθεν A. ἀλλὰ πόθεν H. ἐξετραπόμεθα A. ἐξετραπόμην H. Conf. p. 57.c. 7 εἴ τι A. εἴγε H. 9 ξύνδρομα] ξὺν δρομὰ A. ξὺν ἅρμασι H. Conf. p. 40 a. 12 ἀλλὰ τῷ A. ἀλλὰ τοῦ H. 19 ὁ μὲν ὑμνεῖ add. A. 20 ἀκροώμενος] ἀκροωμένου Petavius. 22 Ὧι] Iliad. β, 25. 62. 25 οὐκ ἐτὸς] ἀντὶ τοῦ ἀληθὲς gl. A. 26 οὐ] ὃς οὐ A.

Καὶ οὖν ἐπειδὴ τοὺς νόμους παρέσχημαι τῷ δι-
καστηρίῳ, καὶ τὰ ἐφεξῆς μιμητέον μοι τοὺς ῥήτορας,
35 a καὶ δεικτέον ὡς καλοὶ οἱ νόμοι καὶ ἀληθινοὶ καὶ ξυμ-
φέροντες. τῷ γὰρ ὄντι κινδυνεύει τοσαῦτα εἶναι εἴδη
πολιτειῶν ὅσαπερ καὶ ἀνθρώπου ψυχῆς. οὐ γάρ που
ἐκ δρυὸς οὐδ' ἐκ πέτρης συνίστανται αἱ πολιτεῖαι, ἀλλ'
ὅτι ἁπασῶν ἴχνη καὶ σπέρματα τῇ ψυχῇ ἐμπέφυκε τῇ
ἀνθρωπίνῃ. ποικίλον γάρ που καὶ πολύχουν χρῆμα ἡ
ψυχή, ὥσπερ ἡ πόλις, καὶ ἔνι μέν τι βασιλικὸν ἐν αὐτῇ,
ἔνι δ' αὖ θυμοειδὲς καὶ μαχητικόν, ἔνι δὲ καὶ δῆμος
b πολύς, ὁ μὲν χρηματιστής, ὁ δ' ἀργὸς καὶ φιλήδονος.
τῶν μὲν δὴ ἄλλων ἀνθρώπων ἢ δημοκρατεῖται ἡ ψυχὴ
ἢ ὀλιγαρχεῖται ἢ τυραννεύεται. ἢ γὰρ ἡδονὴ παραλα-
βοῦσα τὰ σκῆπτρα ἀφαιρεῖται τὰ ἄλλα γένη τῆς ἐλευ-
θερίας, ἢ τὸ φιλοκερδές τε καὶ φιλοχρημάτιστον, ὥσπερ
ἐν ταῖς ἀπὸ τῶν τιμημάτων ὀλιγαρχίαις, ἢ τὸ μαχητι-
κόν τε καὶ θυμοειδές, ὥσπερ ἐν Κρήτῃ ποτὲ καὶ Λα-
κεδαίμονι; ἢ ἀναμὶξ τὰ φῦλα πάντα σὺν πολλῷ θορύβῳ
c διακληροῦται καὶ διαλαγχάνει τὴν ἀρχήν, μόνου δὲ τοῦ
φιλοσόφου βασιλεύεται ἡ ψυχή, καὶ ἄρχει μὲν ὁ νοῦς
τὸν ἅπαντα χρόνον, τὰ δὲ ὅπλα φέρει ὁ θυμὸς ᾗ ἂν
ἐκεῖνος ἡγῆται, ὁ δὲ ἄλλος ὄχλος κάθηται ἐπὶ τοῖς
ἔργοις τοῖς ἑαυτοῦ καὶ οὐκ ἀμφισβητεῖ τῆς ἀρχῆς.

Καὶ ἐντεῦθεν μάλιστα, ὦ μακάριοι, τὰ δύο ταῦτα
ὀνόματα ὁ βασιλεὺς καὶ ὁ τύραννος πάνυ ἀλλήλοιν
πολεμεῖ καὶ ἀνθέστηκε, καὶ δὴ οὐκ ἀνέχεται συμβῆναί
ποτε οὐδὲ ξυνδραμεῖν, ὥσπερ οὐδ' ἂν νοῦς οὐδὲ ἡδονὴ
d συνέλθοι τὰ ἀλλοδαπά· ἂν γὰρ τὸ ἕτερον εὐθαλῇ, κα-
ταφθίνει τὸ ἕτερον καὶ μαραίνεται. πῇ οὖν ἐναντιοῦ-
σθον καὶ διαφέρεσθον; ἀρχαὶ μὲν γὰρ ἄμφω ἀνθρώπων
καὶ οὐχὶ τὸ μὲν ἵππων, τὸ δὲ ἀνθρώπων, ἀλλὰ τὸ μὲν

42, 6 δρυὸς — πέτρης] Iliad. χ, 126. Plato de Rep. VIII. p. 544 d. 8 πολύχουν A. πολύχρουν H. 9 μέν τι A. μὲν H. 10 δ' αὖ] δὲ καὶ A. 13 ὀλιγαρχεῖται A. ὀλιγοκρατεῖται H. 15 φιλοχρημάτιστον A. φιλοχρήματον H. 21 φέρει A. φορεῖ H. 25 ἀλλήλοιν A. ἀλλήλοις H. 28 συνέλθοι τὰ ἀλλοδαπά· ἂν γὰρ τὸ A. συνελθοίτην ἀλλ' ὅπως ἂν τὸ H.

ξὺν ἀρετῇ καὶ ἐπ' ἀγαθῷ τῶν ἀρχομένων, τὸ δὲ ξὺν
κακίᾳ καὶ ἐπὶ μόνῃ τῇ ἑαυτοῦ ἀπολαύσει, καὶ διὰ
τοῦτο οἱ ἄνθρωποι τὸ μὲν θεοειδὲς νομίζουσι καὶ μα-
κάριον, τὸ δὲ πεφρίκασι καὶ ἐπαρῶνται.

Πάλιν τοίνυν ὥσπερ παλαιστὴς ὁ λόγος πολλὰ 36 a
ἐξελιχθεὶς τὴν αὐτὴν παρέχει λαβὴν καὶ δείκνυσι μά-
λιστα φιλόσοφον τὸν βασιλέα, ὅτι μάλιστα ἐπιτρέπει
τὰ αὑτοῦ πράγματα τῇ τοῦ λόγου ἡγεμονίᾳ, ὃν οὐ
δεδίασιν, ἀλλ' ὑπὲρ οὗ δεδοίκασιν οἱ ἀρχόμενοι. τοῦτον
οὐχ αἱροῦνταί ἐν συμποσίῳ ἄνθρωποι ἐκ μέθης καὶ
πλησμονῆς, ἀτεχνῶς ἐπιδειπνόν τινα βασιλέα, οὐκ εἰς
μακρὰν οἰμωξόμενον μετὰ τὴν κραιπάλην, ὥσπερ ἐν
Κρονίοις. φύεται δὲ αὐτόματος καὶ ἐκτρέφεται ὥσπερ
ἐν σμήνει αὐτοφυὴς ἐκ γενετῆς καὶ αὐτοδίδακτος βασι-
λεύς, ᾧ συμπεριβομβεῖ καὶ συμπέτεται ἑκούσιον τὸ b
σμῆνος καὶ ξὺν χαρμονῇ, οὐκ ἐπειδὴ τῷ σώματι ὑπερ-
φέρει καὶ μείζων ἐστὶ τῆς φύσεως, ἐννεόργυιός τις καὶ
ἐννεάπηχυς, οἵους ᾄδουσι τοὺς Ἀλωάδας οἱ ποιηταί,
οὓς ἡ τερατεία τοῦ σώματος εἰς ἄτοπα ἐξήνεγκε φαν-
τάσματα καὶ ἀλλόκοτα, ὁρῶν τινας ἐποικοδομήσεις καὶ
ἀναβαθμοὺς εἰς τὸν οὐρανόν. οὕτω δὴ καὶ Αἰθίοπες
ἐχειροτόνουν τὸν βασιλέα, πήχει καὶ μέτρῳ γνωματεύον-
τες τὴν ἀρετήν. ὁ δὲ τῇ φύσει βασιλεύς, ὃν οὐχ ἵππος
ἐποίησε χρεμετίσας, οὐδὲ κράνος χαλκοῦν ἀντὶ φιάλης,
οὐδὲ Λυδὴ γυνὴ ὀργισθεῖσα ὅτι γυμνὴ ἄκουσα ἐφω- c
ράθη, φιλοσοφία δὲ μάλιστα δείξασα ὅτι κρείττων ἐστὶ
τῶν ὑπηκόων. αὕτη γάρ ἐστι δι' ἧς μόνης κρείττων
γίνεται ἄνθρωπος ἀνθρώπου. τιάρα δὲ οὐ ποιεῖ βελτίω

43, 1 ἀγαθῷ A. ἀγαθῷ τῶν ἀνθρώπων H. 6 ἐξελιχθεὶς A. ἐξελεγχθεὶς H. 8 ἡγεμονίᾳ A. κηδεμονίᾳ H. 11 ἐπίδειπνον A. ἐπιδείπνιον H. 13 φύεται δὲ] οὐδὲ φύεται A. 15 συμπεριβομβεῖ] περιβομβεῖ A, male: vide p. 233 a. 21 εἰς τὸν οὐρανόν A. εἰς οὐρανούς H. δὴ] δὲ A. τὸ δέ ἀντὶ τοῦ γάρ gl. A. 23 ἵππος ἐποίησε] ὥσπερ φησὶ τὸν ὑστάσπου δαρεῖον schol. A. Conf. p. 66 b. 27 αὕτη γάρ — ἀνθρώπου add. A. 28 τιάρα] Plato de Rep. VIII. p. 553 c. τιάρα δὲ οὐ ποιεῖ βελτίω A. τιάρα οὐ ποιεῖ βασιλέα H.

οὐδὲ κάνδυς οὐδὲ μανδύας οὐδὲ ἀκινάκης χρυσοῦς οὐδὲ στρεπτοί τε καὶ ψέλια οὐδὲ ῥαβδοφόροι καὶ δορυφόροι καὶ μηλοφόροι καί τις ἀθάνατος ἀριθμὸς ἀποθνησκόντων στρατιωτῶν. ταῦτα γὰρ ἅπαντα οἶμαι Καμβύσῃ ὑπῆρχε τῷ μαινομένῳ καὶ Ξέρξῃ τῷ ἀλαζόνι, ὃς οὐδὲ πλεῖν οὐδὲ βαδίζειν ἠνείχετο κατὰ ταὐτὰ τοῖς ἄλλοις ἀνθρώποις, ἀλλὰ μετεποίει καὶ ἐνήλλαττε τὴν d πορείαν. τοιγαροῦν ἐδίωκον αὐτὸν φυγάδα ἐκ τῆς Ἑλλάδος ἄνδρες πένητες καὶ αὐτουργοὶ μετὰ φρονήσεως μόνης καὶ δικαιοσύνης, Θεμιστοκλῆς ὁ Νεοκλέους καὶ Ἀριστείδης ὁ Λυσιμάχου. ὃν δὲ φιλοσοφία δορυφορεῖ καὶ τιθηνεῖται, τούτου κρατοῦσιν ἐν μὲν θαλάσσῃ πλέουσαι νῆες, ἐν δὲ γῇ πεζεύοντες οἱ στρατιῶται· εἴκει δὲ αὐτῷ καὶ δύσβατα ὄρη ἄνευ διωρυχῆς καὶ λειότερα 37 a γίνεται ὑπερβαίνοντι τῶν πεδινῶν τε καὶ χθαμαλῶν. ποταμὸς δὲ οὐκ ἐπιλείπει, ἀλλὰ καὶ πλημμυρῶν ὑπεραγωνίζεται καὶ διαμάχεται ὑπὲρ βασιλέως τῷ Ξέρξου ἐκγόνῳ. ἐξαρκεῖ δὲ αὐτῷ πολλάκις ὁ λόγος ἀντὶ τῶν ὅπλων καὶ τῶν στρατιωτῶν, καὶ οἱ μὲν ὁπλῖται ἑστήκασι κεκλιμένοι ἐπὶ τῶν ἀσπίδων, οἱ δὲ ἱππεῖς ἐγκεχαλινωμένοι τοὺς ἵππους, οἱ δὲ τοξόται τὰ τόξα ἀνέντες, οἱ δὲ σφενδονῆται χαλάσαντες τὰς σφενδόνας, βασιλεὺς δὲ μόνος καὶ ἄοπλος, ἄτερ αἰχμῆς, ἄτερ μαχαίρας, b μονομαχεῖ ἐπὶ τοῦ βήματος, καὶ οὐδὲ τὼ χεῖρε προσενεγκὼν ἀφαιρεῖται τὴν ἀλουργίδα καὶ ἰδιώτην ἀποφαίνει τὸν λῃρήσαντα τὴν βασιλείαν. ὡς δέ τοι σοφόν τι ἡ τραγῳδία καὶ φθέγγεται ἐπάξια τῆς Μελπομένης·

πολλὰ ἐξαιρεῖ λόγος,
ἃ καὶ σίδηρος πολεμίων δράσειεν ἄν.

44, 1 μανδύας A. μανδύῃ H. 2 ψέλια] Vulgo ψέλλια. 4 οἶμαι A. καὶ H. οἶμαι καὶ Roulezius p. 18. collata p. 219 a. 14 διωρυχῆς Monac. 113. Vulgo διορυχῆς. 16 πλημμυρῶν] πλημυρῶν Monac. 113. 20 ἐγκεχαλινωμένοι] ἐκκεχαλινωμένοι Roulezius p. 26. Fortasse ἐκκεχαλινωμένοις τοῖς ἵπποις. 22 σφενδονῆται Monac. 113. Vulgo σφενδονῖται. Conf. p. 86 a. 26 λῃρήσαντα τὴν βασιλείαν A. συλήσαντα τὸν βασιλέα H. Conf. p. 45 c. 27 μελπομένης A. φθεγγομένης H. 28 ἐξαιρεῖ λόγος] Euripides Phoeniss. v. 526. ed. Pors. 29 πολεμίων A. πολέμιος H.

καίτοι Περικλῆς ὁ Ξανθίππου, οὗ τοῖς χείλεσιν ἐπεκάθιζεν ἡ Πειθώ, πολλάκις ἀπὸ τοῦ βήματος τῶν Ἀθηναίων κατέβη ἀπαλλάξας ὡς οὐκ ἐβούλετο. ὅστις δὲ ἐν τοσαύταις μυριάσιν ἀνδρῶν προαδικησάντων καὶ ὅπλα σχόντων, ὧν οὔτε ἡ φύσις ἦν μία οὔτε ἡ γνώμη c
οὔτε ἡ γλῶττα, ἵσταται ὑψοῦ ἄτρεπτος καὶ ἀνέκπληκτος καὶ μόνῳ πέποιθε τῷ λόγῳ πρὸς τὸν ἀγῶνα, τοῦτον εὐλαβησόμεθα εἰπεῖν πρὸς φιλίου τὸν κορυφαῖον φιλόσοφον; ἀλλ' Ὀρφέα μὲν συναριθμοῦμεν τοῖς σοφοῖς τε καὶ θεσπεσίοις ἀνδράσιν, εἴ τῳ πιθανὸς ὁ Ὀρφεύς, ὅτι ὄρνιθας καὶ βοτὰ ἐκήλει τῇ δυνάμει τῆς μουσικῆς, τὸν δὲ πραΰναντα καὶ διδάξαντα καὶ μαλάξαντα ἄνδρας λεόντων αὐθαδεστέρους ὀρρωδήσομεν οὕτω καλεῖν, ὡς σεμνοτέρῳ ὀνόματι καλλωπίζοντες;

Ὑμνοῦσι μὲν οὖν καὶ Σπαρτιᾶται ἀναίμακτόν τινα καὶ ἄδακρυν νίκην, δι' ἧς Ἀρκάδων ἐκράτησαν μετὰ τὴν d
ἐν Λεύκτροις συμφοράν. ταύτης δὲ οὐκ οἶδα ἥν ἄν τις νίκην φαίη ἱεροπρεπεστέραν τε καὶ εὐαγεστέραν οὐδὲ φιλοσόφῳ μᾶλλον προσήκουσαν, ὁποίαν Πλάτων οὐκ ἐνίκησε Διονύσιον οὐδὲ Δίων ὁ Ἱππαρίνου, ἑταῖρος ὢν Πλάτωνος καὶ ἀκουστής, ἀλλὰ καὶ τριήρεις καὶ στρατιώτας συλλεξάμενος ἐξ Ἀκαδημίας, μόλις ἐξέωσε τὸν τύραννον τῆς πατρίδος, καὶ ἦν θέαμα ἄπιστον τοῖς τότε Ἕλλησι, Διονύσιος μετὰ τὴν τυραννίδα Συρακοσίων 38 a
περιπατῶν ἐν τῷ Κρανείῳ. ὁπόσον δέ ἐστιν ὑπ' ἀληθινοῦ φιλοσόφου [λόγῳ] ἁλῶναι ᾔσθετο ἀκριβῶς ὁ καὶ τοὔνομα καὶ τὴν ψυχὴν πάλαι στρατιώτης· μόνοι γὰρ

45, 1 ἐπεκάθιζεν ἡ A. ἐπεκάθιζε H. Spectant haec ad Eupolidis versus de quibus dixit Wyttenbachius ad Plutarchum de S. N. V. p. 7. 10 θεσπεσίοις A. θαυμασίοις H. 12 καὶ διδάξαντα add. A. 13 ὡς σεμνοτέρῳ] ᾧ σεμνότεροι A. 14 καλλωπίζοντες] καλλωπίζονται codex Ambros. apud Wyttenbachium ad Iulian. II. p. 42. 18 εὐαγεστέραν A. εὐγενεστέραν H. 21 καὶ τριήρεις add. A. 24 Συρακοσίων] Vulgo Συρακουσίων. 25 Κρανείῳ] τόπος ἐν κορίνθῳ ἐν ᾧ ὁ διονύσιος μετὰ τὴν ἔκπτωσιν ἐγραμμάτευε schol. A. 26 λόγῳ A ab rec. m. habet. 27 ψυχὴν A. τύχην H.

οὗτοι νικῶσιν ἐπ' ὠφελείᾳ τῶν ἡττωμένων. ποιεῖ οὖν αὐτὸν μετὰ τὴν νίκην ὁ βασιλεὺς μακροβιώτερον Ἀργανθωνίου, χορηγὸν ἀπράγμονος καὶ ῥᾳθύμου τρυφῆς, πάλαι ἂν ἴσως καὶ πρόπαλαι διελόμενον ὑπὸ τῶν παρ' ἡλικίαν φροντίδων.

Οὕτω δὲ ἄρα βασιλέως προμηθεῖται τὸ δαιμόνιον
b καθαρὰς φυλάξαι καὶ δικαίου φόνου τὰς χεῖρας μᾶλλον ἢ Φερεκύδου καὶ Πυθαγόρου, ὥστε καὶ τὸν ἕτερον τῶν τυράννων, ᾧ θάνατος ἐφ' οἷς ἐπαρῴνησεν ἦν ἀναγκαῖος, συνήλασέ τε καὶ συνηνάγκασεν ἑαυτοῦ γενέσθαι τυραννοκτόνον.

Ἀλλ' ἵνα μὴ θέοντες, τὸ τοῦ λόγου, τυφλὰ τίκτωμεν καὶ ἀτελῆ, μικρὸν ἐπιστήσαντες, εἰ δοκεῖ, καὶ διαναπαυσάμενοι ἐκ τοῦ δρόμου σκοπῶμεν καὶ ἐξετάζωμεν, εἰ ἄρα ἕτερον ποιητέον αὐτῷ ἐστι φιλοσόφου ἀνδρὸς σημεῖον, εἰ θεοφιλής τε εἴη καὶ τὰ πράγματα ἄνωθεν
c αὐτῷ κυβερνῷτο. καὶ ὅταν φαίνηται ἀληθὲς τοῦτο καὶ ξυνδοκῇ, αὖθις αὖ πάλιν ἐπιβλεπτέον, εἰ πανταχοῦ τοῖς ἔργοις τοῦ βασιλέως τὰ σύμβολα ἐπίκειται ἐμφανῆ τῆς ἐκ τοῦ οὐρανοῦ προμηθείας. ἀθρεῖτε οὖν ὧδε.

Ἦν που καὶ ἐφαίνετο ἀναγκαῖον ἢ τὰ ὑπάρχοντα ἀγαπῶντα τὸν βασιλέα μοῖραν ὀλίγην κεκτῆσθαι τῆς πατρῴας ἀρχῆς, ἢ τοῦ σύμπαντος ὀριγνώμενον πρὸς τοὺς συναίμους τὰ ὅπλα κινεῖν καὶ στασιάζειν. ὁρᾶτε οὖν τὴν τοῦ δαιμονίου σοφίαν. σχεδὸν γὰρ ὥσπερ ἐπὶ
d σκηνῆς ὁ τοῦ δράματος ποιητὴς δεινόν τι καὶ φοβερὸν πάθημα πολλάκις ἐπικρεμάσας τοῖς θεωμένοις κᾆτα παραλόγως ἐκ μηχανῆς λύσιν εὕρετο τῷ δράματι τῆς δυσχερείας, οὕτω καὶ ὁ τῶν ἀληθινῶν παθημάτων μυθοποιὸς περιστήσας ἔνθεν καὶ ἔνθεν τῷ βασιλεῖ ἢ

46, 1 ποιεῖ A. ποιεῖται H. 3 χορηγὸν] χορηγὸς Roulezius p. 19. 4 διελόμενον] διολόμενον Stephanus. 7 μᾶλλον ἢ A. ἢ om. H. 14 σκοπῶμεν A. σκοπῶμέν τοι H. 16 σημεῖον, εἰ A. σημεῖον, ὡς εἰ H. εἴη add. A. 18 εἰ πανταχοῦ A. εἰ μὴ πανταχοῦ H. 25 τοῦ δαιμονίου A. τοῦ om. H. ὥσπερ] καὶ ὥσπερ A. 28 εὕρετο] εὕρατο codex Vales. apud Boisson. ad Eunap. p. 462.

ἀδείας ἀνάγκην ἢ ἀνανδρίας, ὅμως ἐπήγαγε μηχανὰς ὥστε ἄμφω διαφυγεῖν, μᾶλλον δὲ ὥστε ἄμφω ἔμπαλιν ξυμβῆναι. οὐ γὰρ ἀδικήσας τοὺς ἀδελφούς, ἀλλὰ τοὐναντίον τῷ μὲν συναλγήσας, τοῦ δὲ καὶ πάνυ ὑπεραλγήσας ὑπὸ τῆς ἄγαν φιλαδελφίας μόνος ἐγκρατὴς 39 a
ἐστι τῶν πατρῴων. εἶεν.

Τὸ δὲ δὴ Πέρσας τοὺς δυσωνύμους σχολὴν μὲν ἄγοντι μὴ παύεσθαι ἐνοχλοῦντας, ἀσχολουμένου δὲ σχεδόν τι ἀπολωλέναι, ἆρα οὐκ ἐναργὲς ἐκείνης τῆς συμμαχίας σημεῖον; φαίνεται γὰρ ὁ θεός, καθάπερ ἐν μακρᾷ παρατάξει, πολλῶν πολεμίων ἀντιμεθιστάμενος πρὸς τὸ πονούμενον κέρας τῷ βασιλεῖ.

Ἀφήσετε οὖν με λοιπὸν τοῦ συμβολαίου, ἢ οὔπω δοκῶ ἱκανῶς ὑμῖν διαλελύσθαι; καὶ μὴν ἔοικα μετὰ b
σπουδῆς καὶ προθυμίας οὐκ ἀνασχομένοις ὑμῖν οὐ κατὰ σμικρὸν διαριθμῆσαι τοὺς λόγους ὥσπερ νόμισμα ἐπὶ τραπέζης, ἀλλ' εἰκῇ καὶ ἀθρόως ἐπιδραττομένοις, εἰκότως ἄρα καὶ ἀπιστεῖσθαι ὡς οὐ πᾶν τὸ ὄφλημα ἀποτίσας. αὐτίκα τὴν περὶ τὸ σῶμα φιλοσοφίαν καὶ καρτερίαν εἶπον μέν, εἶπον δ' ἐν βραχεῖ συλλαβών. εἰ δὲ ἐθελήσαιμι ἐνδιατρίβειν καὶ ἐνσχολάζειν, φανείη ἂν καὶ τὸ μικρὸν τοῦτο μέγα τε ὑμῖν καὶ πολλοῦ ἄξιον, ὅτι δὴ σῶμα βασιλικὸν στερεώτερόν ἐστιν ἀδάμαντος ὑπὸ c
τῶν πόνων· οὕτω ῥᾷστα αὐτὸ καὶ εὐκόλως πιέζει μὲν ἐνδείᾳ, δίψει δὲ ἀνιᾷ, θυραυλίᾳ δὲ ἐποτρύνει, προβάλλει δὲ χειμῶνι, καύματι δὲ ἐπιδίδωσιν. ὁ δὲ Ἀλέξανδρος ἐκεῖνος Δαρείου μὲν ἐκράτει, Κύδνου δὲ ἡττήθη

47, 1 μηχανὰς A. μηχανὴν H. 4 καὶ πάνυ add. A. 5 φιλαδελφίας A. φιλοσοφίας H. 8 ἀσχολουμένου] ἀσχολουμένῳ A. ἀσχολουμένων Monac. 113. 11 μακρᾷ A. μικρᾷ H. ἀντιμεθιστάμενος A. ἀντικαθιστάμενος H. 14 ἱκανῶς add. A. 15 ἀνασχομένοις A. ἀνασχόμενος H. οὐ add. A. 16 σμικρὸν A. μικρὸν H. 17 ἐπιδραττομένοις A. ἐπιδραττόμενος H. 18 ἀποτίσας add. A. 20 μὲν A. ἂν μὲν H. 24 ῥᾷστα A. ῥᾳδίως H. πιέζει A. ἐμπιέζει H. 25 δίψει codex Valesii apud Boissonadium ad Marinum p. 68. δίψῃ H. Conf. p. 119 d. 167 d. XXXIV. p. 58. ed. Mai. δίψος dixit p. 149 c. 191 b. δίψης p. 30 d.

τοῦ ποταμοῦ ψυχροῦ ῥέοντος καὶ διαυγοῦς, καὶ πολλὰ δεινὰ πολλάκις ἀνέτλη ὑπὸ ταύτης τῆς ἀκρασίας, ὥστε καὶ ἐν τῷ θέρει νιφετὸν περιεφέρετο, καὶ ἦν αὐτῷ μοῖρα
d τῆς ἐπ' Ἰνδοὺς παρασκευῆς, ὁ κρύσταλλος καὶ οἱ ψυκτῆρες. βασιλεὺς δὲ οὐ φιλονεικεῖ πρὸς τὰς ὥρας, ἀλλὰ καὶ ταύτῃ ἕπεται τῷ θεῷ. οὐδὲ γὰρ ὅσα αὐτὴ ἡ ὥρα φύει πρὸς ἑαυτὴν ἀτέχναστα καὶ ἕτοιμα παραμύθια, οὐδὲ τούτων ἁλίσκεται παρὰ τὸ ξυμφέρον.

Ἀλλ' ἐὰν ἅπαξ, ὦ μακάριοι, λεπτουργεῖν ἐπιτρέψωμεν καὶ ἀπομηκύνειν τὸν λόγον, πόρρω ἡμᾶς εὖ
40 a ἴστε ἐξοίσει. ἐπιθετέον οὖν σφραγῖδα τοῖς εἰρημένοις, ἣν αὐτὸς ἔναγχος ἐπέθηκε βασιλεὺς πάνυ λαμπράν τε καὶ νεουργόν. οὕτω γὰρ τῷ ὄντι φιλόσοφός ἐστιν ὁ γενναῖος ὥστε καὶ τὸν συνάρχοντα φιλόσοφον ἐποιήσατο, οὐχ ὅτι προσήκει αὐτῷ κατὰ γένος, ἀλλ' ὅτι αὐτῷ κατὰ τὴν ἀρετὴν ἀγχιστεύει. οὔκουν δεοίμην ἂν εὔχεσθαι ἔτι, καθάπερ ὁ πάνσοφος Πλάτων, ὑπὲρ τοῦ κοινοῦ γένους τοῦ ἀνθρωπίνου, ξυνδραμεῖν ποτε βασιλείᾳ φιλοσοφίαν καὶ ξυμπορευθῆναι, μηδὲ διεσπάσθαι
b ἀεὶ καὶ ἀπερρωγέναι· ἀλλ' ἔνεστι καὶ ἀπολαύειν καὶ ἐμφορεῖσθαι τοῦ ἀνελπίστου θεάματος.

48, 2 ὥστε A. ὅς γε H. 8 παρὰ A. κατὰ H. 10 τὸν λόγον A. τῷ λόγῳ H. 13 ἐστιν ὁ A. ἐστι H. 15 αὐτῷ κατὰ τὴν ἀρετὴν A. κατ' ἀρετὴν αὐτῷ H. 16 ἂν add. A. 18 ποτε A. τε H. 20 ἔνεστι καὶ A. ἔνεστιν H. 21 ἀνελπίστου codex Vales. apud Boisson. ad Eunap. p. 431. ἀνεμπλήστου H.

III.

ΠΡΕΣΒΕΥΤΙΚΟΣ ΥΠΕΡ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΡΗΘΕΙΣ ΕΝ ΡΩΜΗΙ. c

Ἔστι μὲν οὐδ' ἄλλῃ πόλει δυνατόν, ὦ θειότατε αὐτοκράτορ, πρέποντά σοι στέφανον ἐξευρεῖν ἢ χαριστήριον ἄλλο τῆς ἀρετῆς, ἀλλ' ἀνάγκη λείπεσθαι πολὺ τῆς ἀξίας τοὺς πειρωμένους ἀντεισφέρειν τιμὴν ἐφάμιλλον ὧν εὖ πάσχουσι· τῇ δὲ ἐπωνύμῳ μὲν τοῦ σοῦ πατρὸς, ἔργῳ δὲ σῇ μᾶλλον ἢ τοῦ πατρὸς, καὶ πάνυ δὴ τὸ ἐγχείρημα ἀπορώτατον. καὶ γὰρ εἰ πάντα ὃν κέκτηται πλοῦτον προσάγομεν εἰς στεφάνους μετασκευάσαντες, d οὐκ οἴκοθεν ποριζόμεθα τὴν ἀρετὴν, ἀλλὰ μέρος πολλοστὸν ὧν εἰλήφαμεν ἀποφέρομεν τῷ δεδωκότι. καθάπερ οὖν οἱ πολλὰ καὶ μεγάλα δεδανεισμένοι, βραχέα δὲ ἀποτιννύντες, οὐχ ὧν διαλύουσιν ἐπαινοῦνται, ἀλλ' εὐθύνονται ὧν ἐλλείπουσιν, οὕτω καὶ ἡμῖν ἀναγκαῖον πᾶσαν ἣν ἀνοισόμεθα χάριν, ταύτην ἐλέγχεσθαι μοῖραν ὀλίγην ὧν ὀφλισκάνομεν. καὶ οὐκ ἀπεικότως ἄρα συμβαίνει μόνῃ τῇ πόλει τῇ ἡμετέρᾳ μηδὲ ἀναθήματος 41 a εὐπορεῖν τῆς ἀξίας ἐφικνουμένου· αὐτὴ γάρ ἐστιν ὅλη σὸς στέφανος καὶ ἀνάθημα. ὥστε τί ἂν δέοιτο τῆς ἔξωθεν προμηθείας πρὸς τὸ χάριν τινὰ ἐκτῖσαί σοι τοῦ κάλλους τε καὶ τοῦ μεγέθους; τῷ γὰρ εἶναι τοιαύτην σεμνύνει τὸν ἐργασάμενον. ὅμως δὲ καίπερ οὕτως ἀπόρου τοῦ πράγματος ὄντος ἄξιον ἄγασθαι τὴν καλλίπολιν, ὅτι τὸν ἐνόντα τρόπον ἐξεῦρεν, ὡς μὴ παντά-

49, 11 τὴν ἀρετὴν] ἀρετὴν τὴν εὐγνωμοσύνην λέγει schol. A. 16 ἀνοισόμεθα] Vulgo ἂν οἰσόμεθα. 25 τρόπον] ὃν ἐφεξῆς ἐρεῖ schol. A.

πασι δοκεῖν ὀπίσω τοῦ μέτρου γίνεσθαι τοῦ προσήκοντος.

b Δυοῖν γὰρ ὄντοιν, δι' ὧν ἄνθρωποι τὰ χαριστήρια σεμνότερα καὶ μείζω ποιοῦσιν, ἑνὸς μέν, εἰ πολλοὺς ὡς ἔνι ποιοῦνται μάρτυρας τῆς τιμῆς, ἑτέρου δέ, εἰ μὴ κολακεύειν δοκοῦντες, ἀλλ' ἑκόντες καὶ προαιρούμενοι — ὧν τὸ μὲν περιφανεστέραν τὴν εὐποιίαν, τὸ δὲ ἀνύποπτον κατασκευάζει τὴν ἀμοιβὴν — ἀμφότερα ἡ πόλις τοῖς νῦν ὑφ' ἑαυτῆς πραττομένοις ὅπως ὑπάρξει προείδετο, προσάγουσα μὲν τὴν τιμὴν ἐν τῇ σκοπιᾷ τῆς οἰκουμένης, ἀνδρὶ δὲ χρωμένη διακόνῳ, ὃν ἀληθεύειν ἀνάγκη, καὶ τούτων ἑκάτερον οὐ παρέργως,
c ἀλλ' ὡς ἔνι μᾶλλον πρὸς ὑπερβολήν.

Σκέψαι δὲ πρῶτον, ὦ θειότατε αὐτοκράτορ, τὴν πόλιν, ἣ τὸν καιρὸν ἐξεῦρε τοῦ ἀναθήματος. οὐ γὰρ Ὀλυμπίασιν ἢ Δελφοῖς ἀνακηρύττει τὸν στέφανον, οὐδὲ εἰς Παναθήναια συναγαγοῦσα τοὺς Ἕλληνας ἢ Διονύσια, καθάπερ οἱ πάλαι ποτὲ Ἀθηναῖοι, κολακεύοντες τοὺς Μακεδόνων δυνάστας, ἀλλ' ἐν τῇ βασιλευούσῃ τῶν πόλεων ἀναδεῖ τὸν βασιλεύοντα τῶν ἀνθρώπων ἡ τὰ δεύτερα δι' ὑμᾶς βασιλεύουσα, καὶ ταύτην ἄρα τὴν
d πόλιν ποιεῖται μάρτυρα τῆς τιμῆς, ἣ μόνη σεμνοτέρα τῆς τιμώσης ἐστίν. οὕτω καὶ τὸ θέατρον ἡμῖν λαμπρότερον, ἐπ' ἴσης τῷ στεφάνῳ καὶ τῷ κηρύγματι. ὥσπερ οὖν ἡ Θέτις ἡ παρ' Ὁμήρῳ ἀποδημοῦντος μὲν εἰς Ὠκεανὸν τοῦ Διὸς πρεσβεύειν περὶ τοῦ παιδὸς οὐκ οἴεται δεῖν, ἐπανήκοντος δὲ εἰς τὸν οὐρανόν, μᾶλλον δὲ εἰς τὸ ἄκρον τοῦ οὐρανοῦ, δεῖται καὶ ἱκετεύουσα συγχά-
42 a νει, οὕτω καὶ τὸν Δία ἑαυτῆς ἡ καλλίπολις τὰ μὲν πρὸς Ὠκεανὸν φραγνύμενον καὶ προσορῶντα διοχλεῖν οὐ προαιρεῖται, ἡνίκα δὲ εἰς τὸν Ὄλυμπον ἐπανήκει καὶ κάθηται ἐπ' ἄκρας τῆς κορυφῆς, λιπαρεῖ καὶ θεραπεύει

[illegible]

50, 5 ποιοῦνται] Vulgo ποιοῦντο. 7 εὐποιίαν] οἶμαι δὲ κρεῖττον εἶναι περιφανεστέραν τὴν εὐφημίαν εἰπεῖν schol. A: 9 ὑπάρξει] ὑπάρξῃ A. 10 σκοπιᾷ] σκοπιὰν οἰκουμένης τὴν Ῥώμην λέγει schol. A.

καὶ πειρᾶται συμμετέχειν τῆς ἑορτῆς, ἣν ἑορτάζουσι δι' ἀλλήλων ὅ τε οὐρανὸς καὶ ὁ θεός, ὁ μὲν ἐλλαμπόμενος, ὁ δὲ ἐναυγάζων. καὶ γίνεται ἡμῖν διὰ τὴν πόλιν ὁλόκληρος ἡ πανήγυρις· κοινωνεῖ γὰρ καὶ συμπάρεστιν εὐθυμουμένοις ἡ κοινωνοῦσα καὶ τῆς τύχης καὶ τοῦ b ὀνόματος, καὶ χορὸς ἵσταται τοῦ διὰ τριῶν τελείων ὁ τελειότατος. συνᾴδουσι μὲν αἱ βασιλίδες, ἐξάρχει δὲ ὁ κορυφαῖος, ἐπευφημεῖ δὲ ἅπασα γῆ τε καὶ θάλασσα. ὁ δὲ ὕμνος ἐμπίπλησιν ἁρμονίας ἅπαντα μὲν φῦλα ἑῷα, ἅπαντα δὲ ἑσπέρια γένη, αἱ νῖκαι δὲ ἡλίῳ συνανασχοῦσαι καὶ συνδραμοῦσαι λαμπρῶς ἄχρι τῆς ἑσπέρας συγκαταίρουσι τῷ βασιλεῖ εἰς τὴν μητρόπολιν τῶν τροπαίων. ἆρα ὑμῖν ὁ χορὸς οὗτος τῶν Δαιδάλου δοκεῖ παραπλήσιος, ὃν ἐκεῖνος, ὥς φησιν Ὅμηρος, ἤσκησεν c ἐν Κνωσσῷ τῇ Ἀριάδνῃ; ἢ βελτίων μὲν ὁ δημιουργὸς τοῦ χοροῦ, βελτίω δὲ καὶ τὰ ἐφεξῆς;

Ὑπάρχει δὲ ὑμῖν ἐκ τῶν παρόντων ἐγκαλλωπίζεσθαι καί σοι πρὸς τὴν ἑστίαν τῆς βασιλείας καὶ τῇ νέᾳ Ῥώμῃ πρὸς τὴν ἀρχαίαν, σοὶ μὲν ὑφ' ὁποίας ἑάλωκας, τῇ δὲ ὑφ' ὁποίου σπουδάζεται· μᾶλλον δὲ ἀμφοτέροις γινώσκειν ὑπάρχει τεθεαμένοις, σοὶ μὲν ἡλίκης μείζονα κέκτησαι, τῇ πόλει δὲ ἡλίκης ἡττᾶται, καὶ οὐκ αἰσχύνεται τὸ λοιπὸν τοῖς δευτερείοις ἀντὶ πρωτείων κεχρῆσθαι, οὐδὲ δυσχεραίνει καὶ ἀνιᾶται, ὅτι d τῶν ἀριστείων καὶ τῶν τροπαίων, ἐφ' ἃ παρέπεμψεν αὐτὴ καὶ ἐξώρμησε, τῇδε προεορτάζεις τὰ νικητήρια.

Ἔστι δὲ καὶ ἕτερα πλείω κοινὰ ταῖς πόλεσιν ἀμφοτέραις. καὶ οὐ λέγω τὰς παλαιὰς συμμαχίας, οὐδ' ὅσα ἄρτι καθισταμένῃ τὴν ἀρχὴν τῇδε τῇ πόλει συνεπόρισέ τε καὶ συνεξέκαμε, συμπλέκουσα μὲν τῷ Πομπηίῳ, συγκαθαιροῦσα δὲ Μιθριδάτην, συνεισφέρουσα δὲ ἀεὶ τὴν 43 a ἐμπειροτάτην μοῖραν τοῦ ναυτικοῦ, ὧν ἄχρι καὶ τήμε-

---

51, 6 ὀνόματος] ὡς νέα Ῥώμη schol. A. 7 μὲν αἱ A. μὲν γὰρ αἱ H. 10 ἡλίῳ A. ἡδίω H. 12 μητρόπολιν] τὴν νέαν Ῥώμην schol. A. 13 ὑμῖν add. A. 18 τῆς add. A. 25 ἃ παρέπεμψεν A. ἅπερ ἔπεμψεν H.

ρον διασώζει κοινὰ πρὸς Ῥωμαίους τρόπαια καὶ ἐπιγράμματα, ἀλλ' ὅσα διὰ σὲ καὶ τὸν σὸν πατέρα αὐτῇ πρόσφατα καὶ νεαρὰ σύμβολά ἐστι τῆς εὐνοίας. ταῦτα μόνα ἄμεινον ὑπομνῆσαι.

Γενομένης γὰρ τῆς βαρβαρικῆς ἐκείνης ἐπαναστάσεως καὶ τῆς Ῥωμαίων ἀρχῆς αἰωρουμένης ὥσπερ ἐν κλύδωνι χαλεπῷ καὶ τρικυμίᾳ καὶ κινδυνευούσης ἐκπεσεῖν τῆς Κωνσταντίνου διαδοχῆς εἰς ἀλάστορα βάρβαρον καὶ παλαμναῖον, ἡ τῆς πόλεως ἐκείνης ἀγαθὴ μοῖρα b μόνη τοῦ γένους τὸν ζώπυρον διεσώσατο καὶ παρέπεμψεν ἐπὶ τὴν ἀρχαίαν ἑστίαν τῶν Αἰνεαδῶν, καὶ διὰ τὸν ἡμέτερον οἰκιστὴν οὐ Γερμανοὶ καὶ Ἰάζυγες τοῖς πόνοις ἐντρυφῶσι τῶν πάλαι Ῥωμαίων, οὐδὲ τὸ σεμνὸν καὶ μέγα τῆς Ῥώμης ὄνομα περιύβρισται παντάπασι καὶ ἐξαλήλιπται, οὐδ' ἐς νόθους μετέστη διαδόχους καὶ παρασήμους, ἀλλ' εἰς τὸ γνήσιον αἷμα καὶ ἀκήρατον c ἐπανήκει τῶν βασιλέων καὶ φυλάττεται ἡμῖν ἀλώβητος καὶ ἀκέραιος. ἐξ ἐκείνης τῆς πόλεως ὁρμηθεὶς ὁ γενναῖος οὗτος καὶ τοῦ παρ' ἡμῖν μνήματος καὶ πατρῴου δίκην ἐπράξατο τὴν προσήκουσαν τὸν παροινήσαντα μὲν ἐς τόνδε τὸν δῆμον, περικόψαντα δὲ τὴν γερουσίαν, σφαγῶν δὲ ἐμπλήσαντα καὶ μιασμάτων ῥεῖθρα ἀκήρατα Θύβριδος.

Εἶτα Κάμιλλον μὲν οἱ τότε δεύτερον ἐνόμισαν οἰκιστήν, ὅτι τὰ λείψανα τῆς Κελτῶν ἐπιδρομῆς ἀνεσώσατο, σὲ δὲ οἱ νῦν οὐ ποιήσονται καὶ Ῥωμύλου πρότερον ἀρχηγέτην; ᾧ ἐξὸν εἰρήνην ἄγειν ῥᾳθύμως διπλασιάσαντι τὴν μοῖραν τῆς βασιλείας, οὐ παρεῖδες d οὐδὲ προήκω τὴν τῆς πόλεως ἐλευθερίαν, ἀλλὰ τὴν χεῖρα τὴν ἀήττητον ὑπερέσχες, δι' ἣν ἔξεστι προσαγορεύειν Ῥωμαίων τὸν βασιλέα, καὶ μὴ ψεύδεσθαι γρά-

52, 2 ἀλλ' ὅσα — νεαρὰ add. A. 3 ἐστι A. ἔτι H. 10 τὸν ζώπυρον A. τὰ ζώπυρα H. Ductum ex Platone de Leg. III. p. 677 b. ubi τὰ ζώπυρα. 19 καὶ πατρῴου] καὶ delet Roulezius p. 20. 26 σὲ δὲ οἱ νῦν οὐ A. σὲ δὲ οὐ νῦν H.

φοντας καὶ ὀνομάζοντας τὰ σεμνὰ ἐκεῖνα ὀνόματα καὶ ἀρχαῖα, τὸν καίσαρα, τὸν αὐτοκράτορα, τὸν ὕπατον πολλάκις, τὸν πατέρα τῆς γερουσίας· ταῦτα γὰρ πάντα κενὰ καὶ φροῦδα ἂν ἦν παντελῶς καὶ δακρύων αἴτια τοῖς μεμνημένοις.

Εἰ τοίνυν ταῖς ἰδίαις φιλίαις τοῦτο πλείονος σημεῖον εὐνοίας ἐστὶν, ὅταν φαίνωνται καὶ φίλοις κεχρημένοι τοῖς αὐτοῖς καὶ ἐχθροῖς, πόσῳ δὴ μᾶλλον τὰς 44a *πόλεις ἐκείνας συνηρμόσθαι πρὸς ἀλλήλας ἐστὶν ἀναγκαῖον, αἷς ὁ μὲν τύραννος πρὸ τῶν ἄλλων ἐπιβουλεύει, ὁ δὲ βασιλεὺς πρὸ τῶν ἄλλων συναγωνίζεται; ἀλλὰ παρὰ μὲν τοῦ παιδὸς ὑπάρχει τοσούτοις κεχρῆσθαι τῆς πρὸς ἀλλήλας εὐνοίας συμβόλοις τε καὶ γνωρίσμασι, παρὰ τοῦ πατρὸς δὲ ἄρα φαυλοτέροις τε καὶ ἐλάττοσιν, ᾗ μόνη τῶν ἔργων ἡ τάξις ἔμπαλιν ἔχει, τὰ πράγματα δὲ οὐδ' ὁτιοῦν διενήνοχεν; ἀλλ' ὁ μὲν ταύτην πρότερον ἐλευθερώσας τὴν πόλιν ἐκ τυραννίδος ὁμοίας καὶ παρὰ μικρὸν ὁμωνύμου οὕτως ἐπὶ τὸν* b *συνοικισμὸν τῆς καλλιπόλεως ὥρμησεν, ὁ δὲ πρότερον ἐκείνῃ προσθεὶς ὁπόσον ἔδει, μᾶλλον δὲ ὁπόσον ὁ πατὴρ ἐβεβούλευτο, οὕτως τῇδε ἀποδέδωκε τὴν ἐλευθερίαν, καὶ κύκλον ἕνα τῶν εἰς τὰς πόλεις εὐεργετημάτων ἀμφότεροι συνεπλήρωσαν, μᾶλλον δὲ αἱ πόλεις ἀλλήλαις ἀντιδεδώκασιν, ἡ μὲν ἐλευθερωθεῖσα τὸν οἰκιστὴν, ἡ δὲ οἰκισθεῖσα τὸν σώσαντα.*

Τὸ μὲν δὴ θέατρον τοῦ στεφάνου οὕτω λαμπρόν τε καὶ εὔνουν καὶ ἐπιτήδειον αὐτῆς προὐσκέψατο ἡ καλλίπολις. θέα δὲ, ὦ βασιλεῦ, καὶ τὸν κήρυκα ἐφ' ᾧ πεποίηται τὴν ἀνάρρησιν, εἴ τί σοι καὶ κατὰ τοῦτο c *φανήσεται σεμνότερον ἀποφαίνειν τὸ χαριστήριον. ζητοῦσα γὰρ ὅτῳ μάλιστα ἂν ἡσθείης, οὐ τὸν εἰπεῖν δει-*

53, 3 *τῆς γερουσίας* A. *τῆς* om. H. 6 *ταῖς ἰδίαις*] *ἐν ταῖς ἰδίαις* Roulezius p. 58. 13 *τῆς πρὸς* A. *τοῖς πρὸς* H. 13 *εὐνοίας — πατρὸς* add. A. 20 *μᾶλλον δὲ ὁπόσον — συνεπλήρωσαν* add. A. 28 *θέα* hic et p. 146 d. fortasse in *θέασαι* mutandum.

νὸν ἐξεῦρεν οὐδὲ τὸν μέγαν καὶ μεγαλόφωνον καὶ ῥᾳδίως καὶ ἀπνευστὶ κεκραγότα, ἀλλ' οἷον μὲν ἐξεῦρεν ὃν προείλετο οὐκ ἐμὸν λέγειν, προείλετο δ' οὖν φιλόσοφον καὶ ἐζήτησε, καὶ τοῦτον ὑπέλαβεν οἰκειότατον εἶναι διάκονον καὶ τιμῇ βασιλέως προσήκοντα ἀγαθοῦ καὶ φιλο-
d *σόφου. καὶ δὸς εἰπεῖν, ὦ θειότατε αὐτοκράτορ, ὅτι νῦν πρῶτον εἰσέρχεται μάρτυς τῆς ἀρετῆς ἐλεύθερος καὶ ἀνύποπτος, ὃν οὐκ ἔστι ψευδομαρτυρίας ἑλεῖν, ἀλλ' οὐδὲ γράψασθαι ὡς χρημάτων ἑαλωκὼς ἢ δυνάμεως ἐφιέμενος ἐδωρήσατο ἐπαίνους οὐδὲν προσήκοντας, ἀλλ' ὃν κατέχει τοὔνομα ὃ ἐπιγέγραπται μηδὲ μικρὸν ῥῆμα προέσθαι οὗ τὰς εὐθύνας οὐχ ἕξει δοῦναι παντὶ τῷ*
45a *ἔπειτα χρόνῳ. διόπερ ἀναγκαῖον αὐτῷ μόνα ἐκεῖνα μαρτυρεῖν ἃ θαυμάζει καὶ συνεπίσταται. οἱ πολλοὶ δὲ ἵνα τι πλέον χαρίσωνται, ἄπιστον καὶ τὸ ὑπάρχον ποιοῦσι. τί οὖν συνεπίσταται καὶ θαυμάζει; οὐ τὸ μέγεθος τῆς ἀρχῆς· καὶ γὰρ Νέρων ἦρχεν οὐκ ἐλαττόνων· οὐδ' ὅτι σοι χρυσοῦς ὁ θρόνος καὶ στρατιῶται· Μίδαν γὰρ ἂν οὕτως ἐθαύμαζεν ἢ Καμβύσην· ἀλλ' οὐδ' ὅτι βάλλεις καίρια καὶ ἐπίσκοπα, οὐδ' ὅτι σοι λεόντων φόνοι καὶ παρδάλεων τὰ ἀθύρματα. ἀλλὰ τί θαυμασόμενος*
b *ἥκει; τί παρὰ φιλοσοφίας ψήφισμα ἐπικομίζεται; ὅτι πρᾳότητι νικᾷς, ὅτι σωφρονέστερον διάγεις τῶν πάνυ μετρίων ἰδιωτῶν, ὅτι παιδείαν περὶ πλείστου ποιῇ, ὅτι φιλοσοφίαν μεταδιώκεις. αὕτη ἡ δύναμις καὶ ἡ σὴ στρατιὰ καὶ οἱ φύλακες οἱ σοὶ καὶ οἱ δορυφόροι, ὑφ' ὧν ἐφυλάχθης ἀκέραιος μόνος τῶν ἀδελφῶν, μεθ' ὧν δίκην ἐπράξω τοὺς παροινήσαντας. ταύτῃ χρώμενος τῇ παρασκευῇ παρετάξω πρὸς τὸν πρεσβύτην, ταύτῃ τὴν νίκην ἐνίκησας τὴν ἀναίμακτον.*

c *Εἶδον, βασιλεῦ, καὶ τὸ βῆμα ἐφ' οὗ δημηγορῶν αἰχμάλωτον εἷλες τὸν παραληρήσαντα εἰς τὴν ἁλουργίδα. εἶδον τὸ σὸν τρόπαιον ἀτεχνῶς, ὃ μήτε ὁπλίτης συνανέστησε μήτε ἱππεὺς μήτε τοξότης, ᾧ μάρτυρες ἦσαν*

54, 10 καμβύσην A. Καμβύζην H. 22 ψήφισμα add. A. 23 πάνυ μετρίων] ταπεινῶν gl. A.

σοὶ συναγωνισταὶ οἱ στρατιῶται. οἱ δὲ τὰ ἄλλα ἐπαινοῦντες οὐ σέ, ἀλλὰ τὰ σὰ τεθαυμάκασι, καὶ βουκολοῦνται περὶ τὰ πρόθυρα τοῦ νεώ, τὰ δὲ ἔνδον ὁρᾶν ἀγάλματα οὐκ ἐθέλουσιν. ὃν δὲ οὐδὲν ἐκπλήττει καὶ ἐπιστρέφει τῶν ἔξωθεν, οὗτός ἐστιν ὁ δυνάμενος δεῖξαι τὸν ἀληθινὸν βασιλέα. διὰ ταῦτα οὐ κρύβδην φέρει τὴν d
ψῆφον οὐδὲ προστησάμενος ἕτερον σχῆμα τῷ λόγῳ, οὐδὲ βασιλείαν μὲν ἐπαινῶν, τὸν βασιλεύοντα δὲ οὐ θαρσῶν, ἀλλ' ἀναβὰς ἐπὶ τὸ ὑψηλὸν τοῦτο βῆμα καὶ στὰς ἐν μέσῳ τῶν ἀνθρώπων ἀνακηρύττειν σε οὐκ ἀναίνεται μετὰ πλείονος τῆς παρρησίας ἢ Ξενοφῶν Ἀγησίλαον καὶ Ἀλέξανδρον Ἀριστοτέλης καὶ τὰ τελευταῖα δὴ ταῦτα, ὁ Ζήνωνος ἐραστὴς τὸν καθ' ἑαυτὸν 46 a
βασιλέα. οὐ γὰρ ἔπαινον αἰσχύνεται φιλόσοφος, ἀλλὰ κολακείαν, οὐδὲ φεύγει μαρτυρίαν ἀληθοῦς ἀρετῆς, ἀλλὰ θωπείαν κακίας. σὲ δέ, ὦ βασιλεῦ, καὶ Πλάτων ὁ σοφὸς ἐμοῦ πρότερον ἀνεκήρυττε, καὶ ἵνα μὴ ἄλλως με κομψεύεσθαι ὑπολάβῃς, ἰδού σοι λέγω τὰ ῥήματα οὔτε μέγα οὔτε μικρὸν μετακινήσας. τότε γάρ φησιν ἄριστα τὸν βίον καὶ εὐδαιμονέστατα ἕξειν, ὅταν γένηται βασιλεὺς νέος, σώφρων, μνήμων, ἀνδρεῖος, μεγαλοπρεπής, εὐμαθής.

Ἆρά σοι δοκεῖ φαυλότερος εἶναι προφήτης Σιβύλλης τῆς Ἐρυθραίας, ἢ Βάκιδος ἡ μαντεία δεῖσθαι καὶ b
Ἀμφιλύτου, ὃς τὸν κατάλογον ἡμῖν ἐπιδείξει τῶν καλῶν τούτων καὶ θαυμασίων ὀνομάτων, παρ' ᾧτινι τῶν πώποτε βασιλέων ἀθρόως ἐξέλαμψεν ἢ ἐξεφάνη; εὑρήσομεν γὰρ τῶν μὲν ἄλλων ἕκαστον αὐτοκρατόρων ἑνὸς μὲν ἴσως προσρήματος ἀμφισβητοῦντα, τῷ δὲ τὰ λοιπὰ μὴ προσίεσθαι καὶ τοῦ δοκοῦντος προσήκειν ἀποστερούμενον. σὲ δέ, ὦ θεία κεφαλή, ὥσπερ τύπον ἀκριβῆ

55, 8 οὐδὲ βασιλείαν] Vulgo οὔτε βασιλείαν. 16 καὶ Πλάτων — ἀνεκήρυττε add. A. 21 μεγαλοπρεπής add. A. Conf. p. 62 a. 103 c. 119 d. 215 b. orat. XXXIV, p. 50. ed. Mai. 30 ἀποστερούμενον] ἤγουν ἀντεχόμενον ἀμφιβόλως schol. A.

τῆς μορφῆς ἐν τῷ λόγῳ Πλάτων ὑπογραψάμενος ὁλο-
c κλήρου παραδείγματος μόγις τετύχηκε. καίτοι καὶ εἰ μηδὲν ἄλλο ὑπῆρχε τῶν εἰρημένων, μόνη δὲ ἡ περὶ φιλοσοφίαν σπουδή, ἣν ἀπολιμπάνουσαν ἤδη ἀνθρώπους, καθάπερ τὴν δίκην φασὶν οἱ ποιηταί, ἐπανήγαγες καὶ ἐπέστρεψας καὶ ζηλωτὴν ἐποίησας καὶ περίβλεπτον, οὐκ ἂν ὤκνησα ταύτην ἐγὼ τὴν μαρτυρίαν. νῦν δὲ σὺ μὲν παρὰ φιλοσόφου κομίζῃ τοὺς λόγους, ἐκείνη δὲ παρὰ σοῦ τὴν ἀλήθειαν, καὶ χάριν ἀποδίδως αὐτῇ τῶν ἐπαίνων, ὅτι μὴ ψεύδεται.

d Πρὸς οἵαν μέν σοι πόλιν, ὦ βασιλεῦ, ὁ τῆς εὐνοίας ἀγὼν γίνεται καὶ ὡς ἱκανὴν ἐξευρεῖν ἐφάμιλλα χαριστήρια πλείω μὲν ὑπῆρχεν εἰπεῖν, ὁ καιρὸς δὲ οὐκ ἐφίησιν. ὧν δὲ ἕνεκα νῦν τὴν πρόοδον πεποιήμεθα, δύο ταῦτά ἐστιν· ἓν μέν, ὑπομνῆσαι πρῶτον ὧν παρὰ σοῦ τετυχήκαμεν, ἕτερον δέ, οὐ προσθήκην αἰτῆσαι τοῖς δεδομένοις· οὐδὲ γὰρ ἕπεται· ἀλλ' ὧν δέδωκας
47a τὴν ἀσφάλειαν. τὸ μὲν οὖν κεφάλαιον τῶν προϋπηργμένων ἐστίν, ὅτι σχεδὸν ἁπάντων ἀνθρώπων οἰομένων τῷ σῷ πατρὶ συναπολήξειν τὴν τῆς πόλεως εὐδαιμονίαν οὐκ εἴασας οὐδὲ ἐπέτρεψας, οὐδὲ αἴσθησιν αὐτῇ πεποίηκας τῆς μεταβολῆς, μᾶλλον δέ, εἰ χρὴ τἀληθὲς εἰπεῖν, πολλὴν πεποίηκας αἴσθησιν τῆς ἀμείνονος. οὐ γὰρ ἐφύλαξας μόνον τὴν παρακαταθήκην ἀκέραιον τὴν πατρῴαν, ἀλλ' ἐπολυπλασίασας καὶ ἐπηύξησας, οὐδὲ συνεχώρησας μόνον τὰ παρ' ἐκείνου κεκτῆσθαι, ἀλλὰ τὰ
b παρὰ σαυτοῦ πλείω προστέθεικας, καὶ τὴν καλὴν ἔριν ἐφιλονείκησας πρὸς τὸν ἀρχηγέτην, ὁπότερος ὑμῶν ταῖς εὐποιίαις παραδραμεῖται. οὕτω γὰρ βασιλεὺς πρὸς βασιλέα καὶ πρὸς πατέρα παῖς ἀγωνίζεται. τοιαύτην ἤρισαν ἔριν καὶ θεοί ποτε πρὸς ἀλλήλους ἀμφισβητοῦντες τῆς Ἀττικῆς, Ἀθηνᾶ τε καὶ Ποσειδῶν, ὁ μὲν προσάγων τὴν θάλατταν, ἡ δὲ ἀναδείξασα τὸν θαλλόν. τῇ δὲ

56, 13 οὐκ ἐφίησιν A. οὐχ ὑφίησιν H. 23 αἴσθησιν] αὔξησιν aut πρόσθεσιν Iacobsius. 27 καλὴν A. καινὴν H.

ὑμετέρᾳ ἁμίλλῃ καὶ φιλοτιμίᾳ ἡ πόλις σύμπασα ἦν τὸ
ἀγώνισμα, καὶ νῦν χαλεπὸν ἐξευρεῖν ὅτῳ μᾶλλον δικαίως
προσήκει, πότερον τῷ καταβαλόντι τὰ σπέρματα, ἢ τῷ c
θεραπεύσαντι καὶ τελειώσαντι. ὁπότερος δ' ἂν νικῴη,
γέγηθεν ὁ ἡττημένος, μᾶλλον δὲ ὁ πατὴρ γέγηθεν·
αὕτη γάρ ἐστιν ἀμείνων ἡ νίκη τῇ πόλει.

Καὶ γὰρ οὕτως ἔχει· πλέον ἡ σὴ πόλις τῆς πα-
τρῴας διενήνοχεν ἢ τῆς ἀρχαίας ἐκείνη, καὶ μεταβέβη-
κεν εἰς ἀληθινὸν καὶ βέβαιον κάλλος ἀντὶ ψευδοῦς καὶ
ἐξιτήλου. τὸ πρότερον δ', ὡς ἔοικε, σπεύδοντες ἦν
ἀπόλαυσις ἐραστοῦ καὶ ἀναθαλῆσαι τὴν ὄψιν ἐπτοημέ-
νου, ὥστε ἅμα τε ἀνέλαμπε καὶ ἐγήρασκεν· ὃν δὲ σὺ
κόσμον αὐτῇ περιτίθῃς, ἅμα τῷ κάλλει καὶ πρὸς τὸν d
χρόνον παρασκευάζεται, καὶ τῇ ὥρᾳ νικῶν τὰ ἐφήμερα
πλέον διαφέρει τῶν παλαιοτάτων τῇ βεβαιότητι. ἄρτι
γὰρ αὐτὴν ἐκ τῶν ὠδίνων ἐς φῶς προελθοῦσαν καὶ
καταλειφθεῖσαν ἔρημον τοῦ γεννήτορος καὶ δεομένην
σπαργάνων, οἷον ἀδελφὴν ἁπαλὴν καὶ νεαράν, χρηστὸς
ἀδελφὸς καὶ πρεσβύτερος καταλαβών, εὐθὺς μὲν θερα-
πείας ἠξίωσας τῆς προσηκούσης, εὐθὺς δὲ προὐνοήσω 48a
γάλακτος καὶ τροφῆς, διόλου δὲ ἐπέδειξας καλὴν καὶ
μεγάλην, οἵας ἂν καὶ θεὸς καὶ βασιλεὺς ἐρασθείη.
ὥστε πρότου μὲν ὑπ' ἀνάγκης ἐτιμᾶτο ἡ γερουσία καὶ
ἡ τιμὴ τιμωρίας ἐδόκει μηδ' ὁτιοῦν διαφέρειν, νῦν δὲ
ἐθελονταὶ καὶ αὐτοκέλευστοι συνθέουσιν ἁπανταχόθεν.
καὶ τότε μὲν καὶ χώρᾳ πολλῇ καὶ χρήμασιν ἐξωνούμε-
νοι δέλεαρ ἡγοῦντο τὰς δωρεὰς τῆς οἰκήσεως, νῦν δὲ καὶ
προσεισφέροντες οἴκοθεν ἥδονται τοῖς δαπανήμασιν.

Αἴτιον δὲ ὅτι καλῶς ἤκουσας Πλάτωνος τοῦ σο- b
φοῦ καὶ δεσμὸν ὑπέλαβες ἰσχυρότερον ἀνάγκης ἐπιθυ-
μίαν. καὶ διὰ τοῦτο ἐάσας τὸν φόβον ἔρωτι καὶ
πόθῳ καταδεῖς τοὺς οἰκήτορας. ἐξ οὗ γὰρ ὑπὸ σοῦ
πλαττομένη καὶ τρεφομένη εἰς τὴν οἰκείαν ἀκμήν τε
καὶ ὥραν ἐβλάστησε καὶ ἀνέδραμε, τοσοῦτος ἵμερος αὐ-
τὴν περικέχυται καὶ τοιοῦτος ἐπανθεῖ κεστὸς Ἀφροδί-

57, 24 τιμωρίας] Vulgo μωρίας. γρ. τιμωρίας margo A.

της καὶ τοσοῦτοι περιχορεύουσιν Ἔρωτες, καθάπερ εἰς κοινὸν ἑορτῆς καταγώγιον. συρρεόντων γὰρ εἰς ἕνα c χῶρον τῶν ἀγαθῶν ἁπάντων καὶ τῶν δοκούντων ὑπὸ τοῦ χορηγοῦ τῆς ἀνθρωπίνης εὐδαιμονίας ἕτοιμον ἔχει τὴν ἀπόλαυσιν ἕκαστος οὗ πρὸ τῶν ἄλλων ἑάλωκε. καὶ ἀξία γε τυγχάνειν ἡ πόλις καὶ ταύτης παρὰ σοῦ τῆς φιλοτιμίας καὶ ἔτι μείζονος. ἔοικε γὰρ αὐτῆς ἐμφανῶς ὁ θεὸς ἐπισκοπεῖν καὶ μισθὸν δίκαιον ἀποδιδόναι τοῖς συνειδέσιν αὐτοῦ τῆς διανοίας. τί τούτου ποιοῦμαι τεκμήριον; μόνος σπουδάσας περὶ αὐτὴν ἐξ ἁπάντων d τῶν ἀδελφῶν μόνος ἐκληρονόμησας ἐξ ἁπάντων τὴν βασιλείαν.

58, 3 ἁπάντων] καὶ τῶν ὄντων addit Iacobsius Lect. Stob. p. 83. 6 τυγχάνειν A. τυγχάνει H. 11 τῶν ἀδελφῶν] τῶν om. A. τὴν βασιλείαν A. τῆς βασιλείας H.

IV.

ΕΙΣ ΤΟΝ ΑΥΤΟΚΡΑΤΟΡΑ ΚΩΝΣΤΑΝΤΙΟΝ. 49 a

Αἰγύπτιοι τὴν Ἀθηνᾶν τὴν ἐν Σάϊ τά τε ἄλλα σέβονται καὶ τεθήπασιν αὐτὴν ἐπαύσιον ἑορτὴν ἄγοντες, ἣν καλοῦσι λυχνοκαΐαν. ἐπειδὰν οὖν τοῖς Αἰγυπτίοις b ὁ χρόνος ἐπανίῃ τῆς πανηγύρεως, οἱ μὲν πολλοὶ τὰ λύχνα ἐνθέμενοι ἐν ταῖς βάρεσι πλέουσι διὰ τοῦ Νείλου ἐπὶ τὴν Σάϊν, καὶ ἀφικόμενοι εἰς τὸν νεών, ἵνα τὸ ἄγαλμα ἵδρυται τῆς θεοῦ, τά τε ἄλλα θρησκεύουσιν ᾗ τάττει ὁ νόμος καὶ τὰ λύχνα ἀνακαίουσιν ὕπαιθροι παρὰ τὰς σκηνὰς καὶ τὰ κράσπεδα τοῦ περιβόλου, καὶ ἡ Σάϊς καταλάμπεται ἱερῷ πυρὶ τὴν νύκτα ὅλην ἐκείνην. ὅσοι δὲ ὑπ' ἀσθενείας ἢ τῆς πρὸς τὸ πλεῖον εὐλαβείας ἢ καὶ βέλτιον αὐτοῖς ἐνομίσθη μένειν, οὗτοι ἐς μὲν τὴν Σάϊν οὐκ ἀφικνοῦνται, τιμῶσι δὲ οἴκοι τὴν c Ἀθηνᾶν, καὶ τὸν καιρὸν λογισάμενοι τῆς ἑορτῆς ἐν ταῖς ἑαυτῶν πόλεσιν ἕκαστος καὶ τὰ λύχνα ἀνάπτουσι καὶ ὑμνοῦσι καὶ εὐφημοῦσι. καὶ διὰ τούτους λέγει Ἡρόδοτος οὐκ ἐν Σάϊ μόνον γίνεσθαι τὴν πανήγυριν, ἀλλὰ καὶ ἀνὰ πᾶσαν τὴν Αἴγυπτον.

Ἐγὼ δὲ ἐπαινῶ μὲν καὶ τοὺς πόρρω ἐπ' εὐλαβείᾳ πορευομένους, ἐπαινῶ δὲ οὐδὲν μεῖον καὶ τοὺς ἀφ'

59, 1 *ΚΩΝΣΤΑΝΤΙΟΝ*] κωνσταντῖνον A. 4 λυχνοκαΐαν Hemsterhusius ad Pollucem X, 115. Vulgo λυχνοποιΐαν. Conf. p. 50 c. 10 παρὰ τὰς A. περὶ τὰς H. 12 ὅσοι] „Rectius legeretur ὅσοις. et εὐλαβείας pro εὐσεβείας. item οἴκοι pro ἢ καί. Sed αὐτοῖς videtur παρέλκειν." Stephanus. 13 εὐλαβείας A. εὐσεβείας H. ἢ καὶ] ἢ ὅτι καὶ Iacobsius ad Ach. Tat. p. 759. 20 ἐπ' εὐλαβείᾳ A. ἐπ' εὐσέβειαν H.

ἑστίας τὸ θεῖον τιμῶντας, οὐ ταύτῃ μόνον ὅτι πολλα-
πλασιάζουσι τὴν ἑορτὴν καὶ ἐξάγουσι τό γε ἐφ' ἑαυτοῖς
d εἰς πλείονας πόλεις τε καὶ ἀνθρώπους, ἀλλὰ καὶ ἐκείνῃ
πλέον, ὅτι οὐκ ἐν τῷ ἀγάλματι μόνῳ ἐστὶν οὐδὲ τῷ
ναῷ μόνῳ ἐνδιαιτᾶται, ἀλλὰ πανταχοῦ γῆς καὶ θαλάσ-
σης, ὅπου ἂν αὐτῆς ἡ δύναμις ἐπιχωρῇ καὶ ἐξικνῆται.
εἰ οὖν καὶ ὑμεῖς ἀποδέχεσθε τῆς γνώμης — ἀποδέχε-
σθε δέ· οὐ γὰρ ἂν ἐπῃνεῖτε ὡς καλῶς λέγοιτο —
ἀποδέχοισθε ἂν ἄνθρωπον, ὃς τῇ γνώμῃ ταύτῃ ἐπηκο-
λούθησε, καὶ ἐξὸν αὐτῷ ἀναβάντι ἐπ' ἀπήνην τετρά-
50 a κυκλόν τε καὶ ὑψηλὴν καὶ ζευγνυμένῳ ἡμιόνους ἄλλοτε
ἄλλας, μᾶλλον δὲ ὁρμαθοὺς ἡμιόνων ζυγίων τε καὶ
παρασείρων, διὰ Θρᾳκῶν τε καὶ Παιόνων καὶ Ἰλλυ-
ριῶν καὶ ὁπόσα ἔθνη μέχρι Ἰταλίας φέρεσθαι μετεώρῳ
νύκτας ἐφεξῆς καὶ ἡμέρας, οὐ Πληιάδας ἰστοροῦντι
καὶ ὀψὲ δύοντα Βοώτην, ὥσπερ ὁ Ὀδυσσεὺς ἐπὶ τῆς
σχεδίας — οὐ γὰρ ἐνδιδόασιν αἱ νεφέλαι τηνικάδε τὰ
ἄστρα ὁρᾶν τοῖς ἀνθρώποις ἐκεῖ — ἀλλὰ κρυστάλλοις
b προταρασσόμενον καὶ πνεύμασι καὶ νιφετοῖς καὶ ἐνειλη-
μένον χεῖράς τε καὶ πόδας πίλοις τε καὶ ἀρνακίσιν,
οὐδ' ὑφ' ἑνὸς κυβερνήτου διευθύναντος τὸν πλοῦν καὶ
τὸ σκάφος, ἀλλὰ μυρίων μὲν ἡνιόχων φωνάς τε ἀλλο-
κότους ἱέντων, δι' ὧν τὰ ζεύγη ἐποτρύνουσι, καὶ ταῖς
μάστιξιν ἐμπαταγούντων καὶ ἐπισοβούντων, ὡς ἂν μὴ
ἐνίσχοιτο ἐν τοῖς τέλμασιν, ἐλθόντα δὲ ἐκεῖσε μόλις
ποτὲ τοῦ ἀνακτόρου, οὗ ἔδει εὐθὺς ἀφικόμενον ὕμνους
τε ᾄδειν τῷ θεῷ καὶ ἀπάρχεσθαι τῶν ἱερῶν, τούτων
c μὲν οὐδὲν ποιεῖν οἷόν τε εἶναι, κεῖσθαι δέ που ἐν κλι-
νιδίῳ τρέμοντα καὶ μαλακιῶντα καὶ δεόμενον τῶν ἰα-
τρῶν φάρμακα εὔπορα ἐξευρίσκειν, οἷς ἂν τὸν χειμῶνα
ἐξελάσειαν τῶν μελῶν. ᾧ οὖν ταῦτα ἐξὸν ὑπομένειν, ὁ

60, 5 ναῷ A. νεῷ H. 6 αὐτῆς A. αὐτοῦ H. ἡ om. A. 14 μέχρι] μέχρις Monac. 113. 15 Πληιάδας] Odyss. ε, 272. 15 ἰστοροῦντι A. εἰσορόωντα H. 16 ὥσπερ ὁ A. καθάπερ H. 26 οὗ om. A. 30 εὔπορα A. ἔμπορα H. ἔμπορα Monac. 113. 31 ἐξελάσειαν A. ἐξελάσειε H.

δὲ εἵλετο οἴκοι μένων καὶ ἐπὶ χώρας δι' ὧν ἔχει θυμάτων ἀρέσκεσθαι καὶ ἱλάσκεσθαι τὸν θεόν, οὔτε ἀναπήρῳ τῷ σώματι ὑπὸ κρύους οὔτε ἀμαθαινούσῃ τῇ ψυχῇ ὑπὸ ἀμουσίας, ἀλλὰ τῷ μὲν ὑγιεῖ καὶ ἀρτίῳ, τῇ δὲ ἀκραιφνεῖ καὶ παρωξυσμένῃ ὑπὸ τῶν μαθημάτων, πῶν οὗτος ὁ ἀνὴρ ὑμῖν δοκεῖ εἶναί τι ἧττον εὐσεβὴς καὶ θεόσοφος ἢ οἱ τὰ λύχνα καίοντες τῶν Αἰγυπτίων, d ἧττον δὲ αἰσθάνεσθαι τῆς δυνάμεως τοῦ θεοῦ, ὅτι οὐκ ἐν μόνῃ ἐκείνῃ τῇ πόλει ἐστὶν οὐδὲ ἐν μόνῳ ἐκείνῳ τῷ χωρίῳ, ἐν ᾧ θίγοιτο ἄν τις αὐτοῦ καὶ ἀντιλάβοιτο καὶ φθεγγομένου ἀκοῦσαι; τοῦτο μὲν γάρ ἐστι τὸ πάθος ἀνθρώπων τοῖς ὄμμασι μόνοις πεπιστευκότων, κἀκεῖνο μόνον νομιζόντων τὸ ἀληθές, οὗ ἐστιν ἐπιδράξασθαι ταῖν χεροῖν, τὸ δὲ ἀκριβὲς ἐκεῖ ἄρα ἐστὶν ἕκαστος οὐ μόνον ὁ θεός, ἀλλὰ καὶ ἄνθρωπος ἤδη, ὅπου ἂν δύνηται ὠφελεῖν καὶ ἔργον ἀγαθὸν ἐπιδείκνυσθαι. 51 a ἐπεὶ καὶ τὸν ἥλιον τοῦτον οὐκ ἐννοεῖτε ὡς ἐν ὁπόσῳ ἄρα μέρει φαινόμενος τοῦ οὐρανοῦ πάντα αὐτὸς ἐπιτροπεύει; καὶ τὸ μὲν σῶμα αὐτοῦ εἰ καὶ πάμμεγα, ἀλλ' οὐ πανταχοῦ, ἡ δύναμις δὲ ἁπανταχοῦ καὶ αἱ ἀκτῖνες, καὶ ἐν γῇ καὶ ἐν θαλάττῃ καὶ ἐν νήσοις καὶ ἐν ἠπείροις καὶ ἐν ὄρεσι καὶ ἐν λειμῶσι καὶ ἐν ποταμοῖς καὶ κρήναις καὶ ἐγγὺς τῶν ζῴων ἁπάντων καὶ ἐγγὺς τῶν φυτῶν· πᾶσι γὰρ τοῖσδε ἐκεῖθεν ἐποχετεύεται ἡ σωτηρία.

Ὅστις οὖν οἴεται τῆς μὲν ὠφελείας ἁπανταχοῦ b ἀπολαύειν, τὰ χαριστήρια δὲ μὴ πανταχοῦ ἐκτιννύναι, γέλως ἂν εἴη καὶ δυσσεβείας οὐ πόρρω, καὶ οὐκ ἂν λογίζοιτο ὅτι καὶ οἱ σφόδρα ἐπιθυμοῦντες τοῖς ὄμμασιν ἀτενίσαι πρὸς τὸν θεὸν πρῶτον μὲν ἐν τοῖς ὕδασι μελετῶσι καὶ διαλαμπρῶνται τῶν ὀφθαλμῶν πρὸς τὸ φάσμα αὐτοῦ καρτερεῖν τε καὶ ἀπερείδεσθαι, ὡς ἂν μὴ ἀθρόας τῆς ἀληθινῆς μαρμαρυγῆς ἐμπλησθέντες

61, 5 παρωξυσμένῃ A. παρωξυμμένῃ H. 8 ὅτι A. ὅστις H. 10 θίγοιτο A. αἴσθοιτο H. 17 ἐννοεῖτε ὡς] ἐννοεῖτέ πως Iacobsius. 18 ἐπιτροπεύει A. ἐποπτεύει H. 20 ἡ om. A. 29 πρὸς τὸν A. εἰς τὸν H.

σκότου μᾶλλον ἢ αὐγῆς ἀπολαύσειαν. καὶ ἐμοὶ μὲν ἴσως, ὦ ἄνδρες, καὶ μὴ δυσχεραίνητε ἐπὶ τῷ λόγῳ, ἐγγυμναστέον ἔτι καὶ ἐμμελετητέον ἐστὶ πρὸ τῆς ἀλη-
c θινῆς θέας ταῖς εἰκόσι καὶ τοῖς κατόπτροις· διότι δέ, ἐρῶ πρὸς ὑμᾶς. ἄπληστα ἔστι μοι τὰ ὄμματα καὶ οὐκ ἀνέχεται οὐδὲ ἀγαπᾷ ἐπιπολῆς μόνον ἰδεῖν, ἀλλὰ πειρῶνται ὅτι μάλιστα ἐνδύεσθαι εἰς τὸ βάθος τοῦ ὁρωμένου. ὅταν οὖν ἀγύμναστα καὶ ἀνάσκητα ἐγχειρῇ, μένει ἔξω περὶ τὰ σχήματα καὶ τὰ χρώματα καὶ οὐχ οἷά τέ ἐστι τῶν ἐνδοτέρω θιγεῖν τε καὶ ἐπορέξασθαι.

Τοῦ δὲ βασιλικοῦ κάλλους, οὗ ἐγὼ ὁρᾶν ὥρμημαι καὶ ᾧ παρεσκεύασα ἐμαυτὸν πρέποντα θεατήν, καλὴ μέν που καὶ ἡ ἔξωθεν ἀγλαΐα, πολὺ δὲ ἀμηχανωτέρα
d καὶ ἀφραστοτέρα, ἣν ἐγκύψαντας χρὴ ἰδεῖν ὁπόσης γέμει ὥρας τε καὶ εὐμενείας. ἔνθ᾽ ἔνι μέν, καθ᾽ Ὅμηρον, φιλότης ἀνθρώπων, ἀλλ᾽ οὐ δολερὰ οὐδ᾽ ἐπίβουλος, ἀλλὰ θεοειδὴς καὶ ἀκήρατος, ἧς συντεθὲν τὸ ὄνομά ἐστι φιλανθρωπία· ἔνι δ᾽ ἵμερος σωφροσύνης, ἐνατρεμεῖ δὲ ἀλήθεια, ἐγκατοικεῖ δὲ πρᾳότης, ἐναστράπτει δικαιοσύνη, πολλά τε ἄλλα ἐνδάλλεται κάλλη σεμνά τε
52a καὶ ἅγια καὶ θεσπέσια· οἷς μὴ προαγωνίσαντα ἱκανῶς μηδὲ τὴν ὄψιν προκαθηράμενον ἐκ τῶν φιλοσοφίας φαρμάκων εἰκῇ οὔτοι τὰ ὄμματα ἐξ ἐπιδρομῆς ἐπιβάλλειν οὔτε ὅσιον οὔτε συμφέρον.

Ἐάσατε οὖν με τῷ κατόπτρῳ ἐνδιαιτᾶσθαι μικρόν τινα χρόνον. κάτοπτρον δὲ ἐκείνου τοῦ κάλλους λαμπρόν τε καὶ λίαν ἐναργὲς ὑμεῖς καὶ ἡ ξύμπασα ἤδη πόλις· καὶ ὅστις ἱκανῶς τεθέαται τὸ κάτοπτρον τοῦτο, πολὺ ἂν πρὸ ἔργου εἴη πρὸς τὴν θέαν τῆς ἀληθινῆς
b εὐμορφίας· οὕτω πανταχοῦ ἐπιπρέπει τε καὶ ἐπαυγάζει τὰ σύμβολα αὐτοῦ τοῦ ἐλλάμψαντος τὴν καλλονὴν ἀν-

62, 1 μὲν ἴσως om. A. 5 ἔστι μοι A. ἔτι μοι H. 10 ἐπορέξασθαι] ἐπιδράξασθαι Iacobsius. Conf. p. 50 d. 12 καὶ ᾧ] κἀγὼ A. παρεσκεύασα. A. παρασκευάζω H. 15 ἔνθ᾽ ἔνι A. ἔνθεν H. Ὅμηρον] Iliad. ξ, 216. 25 οὖν A. νῦν H. 31 αὐτοῦ Petavius ex codice suo. Vulgo αὐτῷ.

δρί τε ἑκάστῳ καὶ ὅλῃ τῇ πόλει, σεμνὸν καὶ βασιλικὸν καὶ γεραρὸν καὶ αἰδοῖον. καὶ οὖν ἐπειδή κατ' Αἰσχύλον νῦν ἦλθεν ἐπὶ στόμα ὃ πάλαι ἐχρῆν καὶ ἐξ ἀρχῆς ὑμῖν ἐγὼ συνεορτάζω, οὔ μοι δοκῶ ἔτι ἀπολιμπάνεσθαι τῆς βασιλικῆς πανηγύρεως. καὶ γελαῖος γὰρ ἦν ἐν τοῖς ἔμπροσθεν ὁ λόγος τῆς οἴκοι μονῆς προβαλλόμενος Σάϊν τε καὶ Αἰγυπτίους, ἐξὸν αὐτῷ ἀναμνησθῆναι ὅτι τὰ οἴκοι ταῦτα ὁ νεὼς ἦν τοῦ βασιλέως, c
ἐν ᾧ θύων τε καὶ καλλιερούμενος μᾶλλον ἂν αὐτῷ πράττοι κεχαρισμένα ἢ εἰ τῆς χλαμύδος αὐτοῦ, καὶ τῶν ποδῶν προυκαλινδεῖτο.

Ἢ γὰρ οὐ τοῦτον ἄνδρες τὸν νεὼν πρόκριτόν τε ἐξ ἁπάντων ἐποιήσατε καὶ διατελῆ ἐπιμελούμενοι ὥσπερ ἑστίας; καὶ ἔρχεται αὐτῷ εἰς τὸ ἀνάκτορον τοῦτο πάντα ὅσα ἐκ πάσης γῆς ἀναθήματα· καὶ ἀπάρχονται μὲν τῇδε Αἰγύπτιοι τῷ βασιλεῖ ὁπόσα ἔτη, ἀπάρχονται δὲ Σύροι τε καὶ Ἀσσύριοι καὶ Ἴωνες δὲ καὶ Αἰολεῖς καὶ σχεδόν τι ἅπαντες ἄνθρωποι. αἱ δὲ ἀπαρχαί εἰσι τῆς d
γέμουσαι εὐδαιμονίας, καὶ ὅ τι ἂν ἡ φύσις ἄριστον τέκῃ καὶ ὅ τι ἂν ἡ τέχνη ἐντεχνότατον δημιουργήσῃ, συμφοιτᾷ ἄλλοθεν ἄλλο εἰς τὸ ἱερὸν τοῦτο καὶ συναγείρεται. εἴδη τε ἐν αὐτῷ τέλεια ἵδρυται αὐτοῦ βασιλέως, καθάπερ, οἶμαι, ἐν Δελφοῖς οὐ τοῦ Ἀπόλλωνος μόνου, ἀλλὰ καὶ τοῦ Διός. καὶ Δελφῶν μὲν ἐξ ἀρχῆς 53 a
Ἀμφικτύονες οἰκισταὶ καὶ εὑρεταὶ ἐγένοντο, ποιμένος τινὸς ἐν τῷ Παρνασσῷ ἐκ Κασταλίας τῷ μαντικῷ πνεύματι κατασχομένου, καὶ χρόνῳ ὕστερον ἐξεμισθώσαντο Ἀλκμαιωνίδαι τὸ ἔργον φυγόντες Ἀθήνηθεν Πεισιστρατίδας· τούτου δὲ τοῦ νεὼ πατήρ τε καὶ δημιουργὸς ὁ αὐτός ἐστιν ὅσπερ καὶ τοῦ βασιλέως. ὃς γὰρ ἐκεῖνον ἐφύτευσε, τόνδε ἐποίησεν.

63, 3 *Αἰσχύλον*] Fragm. 326. ed. meae. ἐπὶ στόμα A. ἐπὶ τὸ στόμα H. 7 ἀναμνησθῆναι A. ἀναμνήσασθαι H. 10 πράττοι] πράττῃ A. χλαμίδος A. χλανίδος H. 13 διατελῆ] διατελεῖτε Stephanus. 20 τέχνη Petavius. Vulgo φύσις. 28 φυγόντες] Vulgo φοιτῶντες. φανέντες A. φεύγοντες Petavius.

Ἅτε οὖν ἄγαν φιλάδελφος ὢν ἔρωτι καὶ τοῦδε ἔχεται, ὥσπερ ὁμογενοῦς, καὶ ἀεί τι προσμηχανᾶται, b ὅπως ἂν ὀλβιώτερος καὶ πολυτελέστερος εἴη. καὶ πάντα μὲν δὴ τὸν ἐγκατοικοῦντα λεὼν ἱερὸν αὑτοῦ νομίζει καὶ ποιεῖται, οὓς δὲ ἐξείλετο ζακόρους τε καὶ ἱερέας, τούτους ἤδη ἐπὶ μέγα κυδαίνει καὶ ὁμοψήφους εἶναι ἑαυτῷ ἀξιοῖ, καὶ μόνου ἄρα τοῦ χοροῦ τοῦ ὑμετέρου αὐτὸς ὁ χορηγὸς πρωτοστάτης ἐστὶ καὶ κορυφαῖος, καὶ ἵδρυται θρόνος ἱερὸς ἐν τῷ πατρῴῳ βουλευτηρίῳ, ἐν ᾧ συγκαθίζειν τε οὐκ ἀναίνεται καὶ προηγορεῖν τοῦ συλλόγου. τῷ τοι καὶ τὰ παρόντα μυστήρια οἱ μὲν ἄλλοι ἄνθρωποι ὡς βασιλεῖ μόνον τελοῦσιν, ὑμᾶς δὲ ἐκεῖνος ἐθέλει καὶ ὡς ὁμοτίμῳ. καὶ ὅταν ἔξω τοῦ c ἱεροῦ μυεῖν αὐτῷ δέῃ τὴν τελετήν, ὥσπερ Ἀθηναῖοι στρατευόμενοι πρὸς τὸν Μῆδον πόρρω Ἐλευσῖνος ἐν ταῖς τριήρεσι, κλητούς τινας ἐκ τοῦ καταλόγου προαιρεῖται ἐπὶ τὰ δρώμενα καὶ πειρᾶται ἅπαντας δι' ὀλίγου κοινωνοὺς ποιεῖσθαι τῆς πανηγύρεως.

Ὅπερ οὖν λέγω, οὐδέν τι μεῖον ἵλεω τυγχάνοιμεν ἂν οἱ ἐνθάδε τὴν πομπὴν διακοσμοῦντες τῶν ἐπὶ τὴν ἁλουργίδα αὐτοῦ πετομένων. καὶ γὰρ δὴ ἵνα μὲν αὐτὸς ἐπιστατῇ καὶ ἐξηγῆται, οὐδεμιᾶς ἂν δέοιτο ἔξω- d θεν περιάπτου λαμπρότητος ὁ χορός, ἀλλ' ἐξαρκοῖ αὐτῷ μόνῃ ἀγάλλεσθαι τῇ ξυνουσίᾳ· ἵνα δὲ ὥσπερ σμῆνος μελισσῶν κινῆται ἄνευ τοῦ ἀληθινοῦ ἡγεμόνος, πολλῶν ἂν δέοιτο τῶν ἀρηξόντων, εἰ μὴ μέλλοι βομβήσειν τε εἰκῇ καὶ πλανήσεσθαι ὅπῃ ἔτυχεν. εἶεν.

Εἰ δὲ ἐγὼ ταῦτα μὲν ἐξ ἀρχῆς ὑμῖν προὔτεινάμην, ἡνίκα ἧκον οἱ ἄγγελοι περιαγγέλλοντες τὴν πανήγυριν, ἅτε ἐγὼ ᾧ συγχορευταὶ καὶ ᾧ συνθιασῶται, νῦν μὲν ἔξω προκύψας τοῦ ἄστεος ἀφωνίᾳ τε ξυνεσοίμην καὶ 54a οὐχ ἕξω ὅ τι χρήσομαι ἐμαυτῷ. οὐ γὰρ ἐάσει φθέγ-

64, 14 δέῃ] Vulgo δέοι. 15 Μῆδον] δῆμον A et Monac. 113. 19 ἵλεω Stephanus. Vulgo λεῷ. 25 κινῆται] κινεῖται Monac. 113. 26 δέοιτο τῶν A. δέον τῶν H. 28 μὲν add. A.

γεσθαι ὁ χειμὼν καθάπερ τὰς ἀηδόνας, ἀλλὰ λωβήσεται τὸν Ἑρμῆν τὸν λόγιον ὁ ἐρωδιός. μένειν δὲ ἐνθάδε ἑώμενος διδάσκαλος ἂν γενοίμην τοῦ χοροῦ, καὶ ἀντᾳσόμεθα ἅμα τοῖς Ἰταλιώταις ὑμνοποιοῖς, καὶ εἴπερ ἀρεστὸς ὑμῖν ὁ ὕμνος φανείη, δῶρον αὐτὸν ποιησόμεθα τῷ βασιλεῖ. ὁ δὲ προσήσεται, εὖ οἶδα, εὐμενέστερόν τε καὶ ἥδιον ἢ παρὰ Κινύρου τὸν θώρακα ὁ Ἀγαμέμνων· φιλόλογος γὰρ οὐχ ἧττόν ἐστιν ἢ φιλοπόλεμος καὶ τὰ ξένια τῶν Μουσῶν οὐκ ἀτιμότερα τῶν τοῦ Ἡφαίστου b ποιεῖται. καὶ ταῦτα ἐγὼ οὐ μαντευόμενος λέγω, γιγνώσκων δὲ ὅτι καὶ πρώην οὐ χρυσοῦν δή τινα στέφανον χρυσοῦ ἀπέφθου πολλῶν ταλάντων, οἷοι πολλοὶ αὐτῷ ἀφικνοῦνται καὶ πολλαχόθεν, πέμπει ὑμῶν ψηφισαμένων, ἀλλ' ὃν ἐγὼ ἐπλεξάμην, ἄνθη ἀκήρατα συλλεξάμενος ἐκ τῶν Πλάτωνος καὶ Ἀριστοτέλους λειμώνων, καὶ ἔδειξα τῇ βουλῇ καὶ τῷ δήμῳ ἐν τῷ αὐτῷ τούτῳ θεάτρῳ, εὐφράνθη τε ὡς οὐκ ἄλλῳ δώρῳ καὶ περὶ πολλοῦ ἐποιήσατο· καὶ ἡ χαλκῆ εἰκὼν ἐξ ἐκείνου τοῦ ᾄσματος. εἰ οὖν ταῦτα ὑμῖν προὐτεινάμην, εὖ c οἶδ' ὅτι ἀπρὶξ ἄν μου ἐλάβεσθε καὶ περιείχεσθε μᾶλλον ἢ τοῦ ἀγάλματος τῆς Αὐξησίας οἱ Αἰγινῆται.

Καὶ νῦν δὴ οὕτω ξυμβαίνει διὰ τὴν ἐμὴν βραδυτῆτα καὶ τὸν ὄκνον, πλέον τι εἰσηνέγκατε τῇ πανηγύρει. οὐ γὰρ μόνον θεωροὺς ἐπέμψατε ὥσπερ εἰς Δῆλον, ἀλλὰ καὶ οἴκοι στεφανηφορεῖτε καὶ εὐθυμεῖσθε καὶ ἑστιᾶσθε, οὐκ εἰς τραπέζας ἐπικύψαντες βασιλικάς, οὐδὲ οἰνοχόων ὑμᾶς ξενιζόντων καὶ τραπεζοποιῶν καὶ μαγείρων, ἀλλὰ τῆς φίλης βασιλεῖ φιλοσοφίας. φίλην γὰρ d αὐτὴν βασιλεῖ ὀνομάζειν οὐ δυσωποῦμαι, ἣν ἀπολιμπάνουσαν ἤδη ἀνθρώπους ἔσχε τε καὶ εἵσατο παρ' ὑμῖν, καὶ ἐς τοσόνδε ἐποίησεν ἐρίτιμόν τε καὶ εὐκλεᾶ ὥστε πολλοὺς εἶναι τοὺς περιβλέποντας καὶ ζητοῦντας καὶ ἑτοίμους ἀντιλαμβάνεσθαι καὶ θεραπεύειν. τῷ γὰρ

65, 2 ἐρωδιός] ἐνόδιος Petavius. 13 πέμπει A. πέμπειν H. 23 πλέον] ὅτι πλέον Roulezius p. 23. 32 ζητοῦντας] ζηλοῦντας Petavius.

ὄντι φύσις αὕτη, ὡς ἔοικεν, ἀσκεῖσθαι μὲν τὸ τιμώμενον, ἀμελεῖσθαι δὲ τὸ ἀτιμαζόμενον.

55 a Ἴσως μὲν οὐ δεῖται ὁ χορὸς ὁ ὑμέτερος διδασκάλου πρὸς τὸν ὕμνον τοῦ βασιλέως· ἀεὶ γὰρ ὑμῶν ἐν μελέτῃ ἐστίν, οἷς γε καὶ ἡμέραι εἰσὶν ἱεραὶ ἐπὶ τῇ μελέτῃ ἐξῃρημέναι καὶ αὗται οὐκ ὀλίγαι τοῦ ἔτους, αἷς ξυνιόντες καὶ ξυλλεγόμενοι εἰς τὸ ἄδυτον ἐν ἐσθῆτι ἱερᾷ συγγυμνάζεσθε ἐν ἀπορρήτῳ τὰς εὐφημίας. ἀλλ' οὕτως ἄρα ἐγὼ κομψός τέ εἰμι καὶ ἀλαζών, ὥστε καὶ νῦν οὐδὲν ἄλλο εἰπὼν δεξιῶς ἢ ἃ παρ' ὑμῶν ἔμαθον ῥήματα ἀντὶ μαθητοῦ ἀμφισβητῶ διδάσκαλος εἶναι. καὶ γὰρ ὅτι
b Κωνσταντίνου ἐστὶ γέννημα καὶ θρέμμα ἡ γερουσία καὶ ὅτι προσήκει αὐτῆς τῷ ἐκείνου υἱεῖ κήδεσθαι, καὶ προορᾶν ὡς ὁμοπάτορος, καὶ τἆλλα ἐφ' οἷς πάνυ ἐξεβοήσατε, ἔλαθον ἄρα ἐκεῖθεν ἐσκευωρημένος.

Καὶ ἴσως ἄν με καὶ γραφήν τις γράψαιτο ἀσεβείας, ὅτι ἐξήνεγκα ὑμῶν τὰ μυστήρια. τὰ δὲ οὐκ ἔστι μυστήρια, εἰ μὴ ἄρα οὐχ ὑμῶν μόνων, ἀλλὰ καὶ πάσης γῆς καὶ θαλάσσης ὅσα ξυνεβάλετο καὶ ξυνέπραξεν εἰς τὴν γένναν ὑμῶν τῷ γεννήτορι. οὕτω δὲ καὶ Αἰθίοπες καὶ Ἰνδοὶ καὶ οὓς λέγει Ὅμηρος Κιμμερίους
c ἔξω τοῦ ἡλίου τῷ ὠκεανῷ προσοικοῦντας εἶεν ἂν τὰ μυστήρια τετελεσμένοι. πάντες γὰρ δὴ οὗτοι συνήνεγκάν τε καὶ συνετέλεσαν εἰς τὰς ὠδῖνας τῷ βασιλεῖ, καὶ οὗτοι πάντες συγχωροῦσιν ὅτι ἡμεῖς μάλιστα ὑπὲρ τοὺς ἄλλους ἀνθρώπους τῷ Κωνσταντίνου γόνῳ συναιρόμεθα, καὶ τὴν εὐδαιμονίαν καὶ τὴν εὐπραγίαν οὐκ ἄλλοθεν ἔχομεν ἐξημμένην ἢ ἐκ τῶν ἀπ' ἐκείνου ἀμμάτων, ὥσπερ, οἶμαι, καὶ τοῦ ἡλίου οἱ μὲν ἄλλοι ἀστέρες κατ' ἄλλο τι ἀπολαύουσι, τῇ σελήνῃ δὲ ἄρα ἐκεῖθεν
d ἐξήρτηται καὶ αὐτὸ τὸ φῶς καὶ αὐτὸ τὸ λάμπειν. ἅτε

66, 1 ἀσκεῖσθαι — ἀμελεῖσθαι] „Ex Platone de Rep. VIII. p. 551 a." Iacobsius. 7 ἱερᾷ A. τῇ ἱερᾷ H.
9 κομψός τέ εἰμι καὶ A. κομψότατος καὶ H. 10 ἀντὶ] αὐτὸ A. 15 ἄρα A. λάθρα H. 17 ὑμῶν add. A. οὐκ ἔστι A. οὐκ ἔτι H. 18 μόνων A. μόνον H.
31 καὶ αὐτὸ τὸ φῶς add. A.

οὖν οὐκ ἐπίθετον κεκτημένοι τὴν πρὸς αὐτὸν εὔνοιαν, ἀλλ' ἀναγκαίαν, εἰκότως, οἶμαι, καὶ ἐξ ἴσης ἀνταγαπώμεθα.

Διὸ λέγει που ἡ τραγῳδία ὅτι φέρει πολλὴν ἡδονὴν καὶ τῷ σωθέντι μεμνῆσθαι πόνων παροιχομένων. ἀναμνήσθητε οὖν πρὸς φιλίου ἡνίκα ἐξεῤῥάγη μὲν ἡ τυραννὶς περὶ τὴν ἑσπέραν, συμπαρέφυ δὲ καὶ ἑτέρα ἐν 56 a Ἰλλυριοῖς, ὡς ἅπασα οὖν ἡ ἀρχὴ ὀρθὴ ἦν καὶ μετέωρος πρὸς τὸ μέλλον, ἡ πόλις δὲ ἐνδεινότερον ἐξεπέπληκτο ὑπὸ δείματος, καὶ ἔπαλλε μὲν αὐτῆς ἡ καρδία, ἐβάμβαινε δὲ ἡ φωνή, κρύπτειν δὲ ἐπιχειροῦσα τὸ δέος ἐξηλέγχετο ὅμως ὑπὸ τοῦ πάθους ἀλλοχροοῦσά τε καὶ ἀδημονοῦσα καὶ ἀπορίᾳ ξυνεχομένη, ἕως ὁ βασιλεὺς ὁ μέγας ἀνακαθηράμενος καὶ φραξάμενος τὰ πρὸς ἕω ἧκε τε εὐμενὴς παρ' αὐτῇ καὶ χεῖρα ὤρεξε κραδαινομένῃ καὶ b προὐτρέψατο εὔψυχον εἶναι· καὶ ὀλίγῳ ὕστερον πέμπει αἰχμάλωτον αὐτῇ τὸν ἕτερον τῶν τυράννων, ὃν πῶς ἄν τις λέγοι αἰχμάλωτον; οὐ γὰρ αἰχμῇ ἑάλω, ἀλλ' ὑπὸ λόγου ἠνδραποδίσθη, καὶ ἀπεδύσατο οὐ τὸ γῆρας καθάπερ οἱ ὄφεις, ἀλλὰ τὴν ἔξωρον ἁλουργίδα, τὸ γῆρας δὲ αὐτῷ διετήρησεν ὁ βασιλεὺς ὁ καλλίτεχνος ἀτεχνῶς, μάλιστα δὲ ἐπὶ ταύτῃ τῇ νίκῃ, ὅτι τῷ καλλίστῳ ὅπλῳ ἐκτήσατο.

Δεξαμένη δὲ ἡ πόλις προοίμιον τῆς διὰ τῶν c ὅπλων νίκης τὴν διὰ τοῦ λόγου, μικρὸν μέν τι ἀνεθάῤῥησε καὶ ἀνέπνευσε, πυνθανομένη δὲ τὸν αὐθέντην καὶ παλαμναῖον χεῖρά τε ἀνταίρειν ἡγηλατοῦντι τῷ βασιλεῖ καὶ διακριβοῦσθαι αὐτῇ καὶ ἀπειλεῖν θεοβλαβοῦντα λάφυρά τε καὶ ἀνδραποδισμὸν καὶ ἀνάστασιν,

---

67, 4 ἡ τραγῳδία] Euripides in Andromeda pag. 52. ed. Matthiae. 7 συμπαρέφυ A. συμπαρέδυ H. 9 ἐνδεινότερον A et Monac. 113. καὶ δεινότεροι H. Adiectivum ἔνδεινος memorat H. Stephanus pag. 3168. ed. Lond. nescio unde sumptum. 20 τὸ γῆρας δὲ] „Fort. γέρας, *dignitatem*.“ Iacobsius. 23 ὅπλῳ A. δόλῳ ταύτην H. 25 ὅπλων A. δόλων H. 28 διακριβοῦσθαι A. διακριβοῦσα H.

οἰκειοτάτῃ καὶ ξυγγενεστάτῃ τῶν δεσποτῶν εἰς οὓς ἐξε-
μάνη καὶ ἐπαρῴνησεν, οὐ πρόσθεν ἄρα τοῦ κλόνου
ἐπαύσατο καὶ τῆς ὑποψίας ἕως ἐπεῖδε τοῖς ὀφθαλμοῖς
d πάντα αὐτῷ ἐκεῖνα τετραμμένα εἰς τὴν κεφαλήν. ἣ
οὖν ὑπάρχει μάλιστα πόλεων τῆς βασιλέως τύχης συνα-
πολαύειν ᾗ ἂν ὁρμήσῃ, τί ἂν ἄλλο ἐκφέροι ἐναργέστε-
ρον σημεῖον ἀληθινῆς καὶ ἀπλάστου εὐνοίας;

Ταῦτά τοι ἀκριβῶς πεπεισμένος καὶ τὰς ἄλλας
νίκας ὑμῖν σὺν ἡδονῇ ἀνακοινοῦται καὶ ἐν γράμμασι
57a διαλέγεσθαι ἀξιοῖ, μικροῦ ὥσπερ Τιμόθεος Ἀθηναίοις
καὶ Χαβρίας καὶ Ἰφικράτης οἱ τῷ δήμῳ ὑπεύθυνοι
στρατηγοί, χωρία τε πολέμια ἐξηγούμενος καὶ ποταμοὺς
καὶ τενάγη καὶ νάπας καὶ τάφρους καὶ χαρακώματα
καὶ ὁπλιτῶν ἐπιθέσεις καὶ ἱπποκρατίας, καὶ ἐπὶ μά-
λιστα ὑμᾶς προσαναγκάζων τῷ λόγῳ Ῥῆνόν τε ὁρᾶν
γεφυρούμενον καὶ Χάονάς τε καὶ Ἰάζυγας κεραϊζομέ-
νους, Γερμανῶν τε φῦλα ἀτάσθαλα δίκην τίνοντα ὧν
ἐξύβρισε.

Καὶ οὕτως ἐγὼ ἀληθεύω, καὶ οὐ μόνον κεῖθί ἐστι
βασιλεὺς ὅπῃ ὁρᾶται, ἀλλά γε ἐν Κελτοῖς στρατοπε-
b δεύων Πέρσας εἰρήνης ἐπιθυμεῖν ἀναγκάζει. καὶ εἶδον
ἐγὼ ἔναγχος ἐν τῷ ἄστει τοῦ Ἀντιόχου ἄνδρας ἐκ Σού-
σων καὶ Ἐκβατάνων ἀφιγμένους σὺν κηρυκείοις καὶ
γράμματα ἀρχαῖα βύσσῳ λευκῇ ἐνειλιγμένα· τὰ δὲ
γράμματα ἐξελιπάρει τὸν ὕπαρχον σπονδὰς πράττειν
Ἀχαιμενίδαις καὶ δεξιὰν ἐκ βασιλέως. ἐγὼ οὖν ταύτην
τὴν νίκην ἰσχυροτέραν ὑπολαμβάνω ἢ εἰ μάχῃ τε
ἔναγχος ἐκρατήθησαν καὶ ἐτέμητο αὐτῶν ἡ γῆ καὶ
φρούρια εἵλομεν καὶ αἰχμαλώτους. τότε μὲν γὰρ καὶ
c τύχην ἐπῃτιῶντο καὶ ἀναμαχεῖσθαι ἠπείλουν, νῦν δὲ
ἑκόντες ὑποπτήξαντες δηλοῦσι τῇ γνώμῃ αὐτῇ ἡττημένοι.
καὶ Ἀλεξάνδρου μὲν Δαρεῖος μόλις ποτὲ ὕστερον ἐδεή-

68, 1 ὡς οἰκειοτάτῃ H. ὡς om. A. 6 ἐκφέροι] Vulgo ἐκφέρῃ. 8 τοι Petavius. Vulgo σοι. 14 ἐπὶ μάλιστα codex Valesii apud Boissonad. ad Marin. pag. 95. Vulgo ἔτι μάλιστα. 20 ἀλλά γε] ἀλλὰ καί?

θη, πρότερον μὲν ἐπὶ Γρανίκῳ πληγεὶς, μετὰ ταῦτα δὲ ἐν Ἰσσῷ τῆς Κιλικίας, βασιλέως δὲ ἀπὸ τῶν Τίγριδος ῥεέθρων τὰ ὅπλα τρέψαντος ἐπὶ τὸν ἑσπέριον ὠκεανὸν οὐκ ἤνεγκαν οἱ ἐν Βαβυλῶνι οὕτω πόῤῥω οὖσαν τὴν ἀπειλήν.

Ἀλλ' ὅθεν δεῦρο ἐξετραπόμεθα, ὡς ἄρα ὑμῖν εἰκότως ἐγκαλλωπίζεται καὶ ἐναβρύνεται ὁ βασιλεὺς, τρό- d
παια συχνὰ ἐπιδεικνύμενος καὶ τὰς ἀριστείας, ἅτε ἀληθινῶς καὶ ἐκ τοῦ βάθους συνηδομένοις. τοὺς γὰρ μάλιστα αὐτῷ συναπολαύοντας τῆς εὐπραγίας μάλιστα ἀναγκαῖον εὖ πράττονει συγγανύσκεσθαι. τιμῶντα δὲ αὐτὸν καὶ ἡ πόλις ἀντιτιμᾶν πειρᾶται καὶ ἀντικυδαίνειν οἷς παρ' ἐκείνου κέκτηται ἀγαθοῖς, ὥσπερ, οἶμαι, καὶ τὸν θεὸν οἱ ἄνθρωποι ἀντιτιμῶσιν οἷς παρ' ἐκεῖνον ἔχουσι θύμασί τε καὶ ἀναθήμασι. καὶ μεστὸς μὲν 58a
ἱπποδρόμος τῶν ἁρμάτων ἐφ' ἑκάστῃ νίκῃ καὶ ἐφ' ἑκάστῳ τροπαίῳ, διὰ δὲ τὸ πλῆθος τῶν εὐαγγελίων διατελοῦμεν πανηγυρίζοντες, καὶ μόνοις ἄρα συμβέβηκεν οὐκ ἀναπαύσεις εἶναι τὰς ἑορτὰς, ἀλλ' ἀναπαύσεως δεῖσθαι.

Καὶ ἐπειδὴ Ἀλεξάνδρου ἐμνήσθη μικρῷ πρόσθεν ὁ λόγος, τῆς μὲν Ἀλεξάνδρου εὐτυχίας Πέλλα οὐδὲν συναπώνατο ἢ συναπέλαυσεν, ἀλλὰ τοσαύτην γῆν κτη- b
σάμενος ἐν ἑαυτῷ πλέθρῳ ἑνὶ μείζω οὐκ ἐποίησε τὴν πατρίδα, βασιλεῖ δὲ εἰκότως συναυξάνεται πόλις ἡ τῆς βασιλείας ἡλικιῶτις. πυνθάνομαι γὰρ ὡς καὶ ἠμφίασεν ὁμοῦ ὁ γεννήτωρ τό τε ἄστυ τῷ κύκλῳ καὶ τὸν υἱέα τῇ ἁλουργίδι. ὥστε ἐν δίκῃ τριπλασιάσας τὴν ἀρχὴν πολλαπλασιάζει αὐτῆς τὴν ὁμήλικα, οὐ τὸν περίβολον ἐξάγων, ἀλλὰ τῷ κάλλει προσμηχανώμενος, πηγάς τε μαστεύων ἀφθονωτέρων ναμάτων, λουτρά τε ἐπώνυμα οἰκοδομούμενος, ὧν τὸ μέγεθος μὲν ἤδη ὁρᾶτε, τὸ κάλ- c
λος δὲ ἐλπίζεται πρέπον τῷ μεγέθει, δρόμῳ τε αὐτὴν ὑποστέγῳ οἷα πολυτελεῖ μίτρᾳ διαζωννὺς, καὶ τὴν βα-

---

69, 11 συγγανύσκεσθαι] Vulgo συγγαινύσκεσθαι. 12 ἡ πόλις A. ἡ om. H. 24 ἐν ἑαυτῷ] ἐνὶ ἀγῶνι Iacobsius.

σίλειον ἀγορὰν ὥσπερ καλύπτραν διαπλέκων χρυσῷ καὶ μορίοις. τὸ δὲ ἁπάντων ἐρωτικώτατόν τε καὶ ἐμπυρώτατον, ὅτι ἥκιστα αὐτὸς τρυφῶν χορηγεῖ τῇ πόλει τρυφῆς ἀφθονίαν, καὶ τὴν ἑαυτοῦ ψυχὴν ἀποκλείων ταῖς ἡδοναῖς συναλίζει ὑμῖν τὰς νομίμους ἁπανταχόθεν.
d ὥστε καὶ ὅσα παρ' ἑτέροις ἀγαπητὰ θεάματα καὶ ἀκούσματα κατακορῆ ἡμῖν καὶ πλήσμια ἤδη, καὶ ἐκ τούτου σωφρονεστέρα γίνεται ἡ πόλις· ὧν γὰρ οἱ ἄλλοι ἐκκρέμανται δι' ἔνδειαν καὶ ἀπορίαν, οὐδὲν ἡμῖν περισπούδαστον οὐδὲ τίμιον.

Ἐκεῖνο δὲ ἤδη πῶς οὐ μακρὰν καὶ πόρρω τῶν παιδικῶν προορῶντος, ὅτι καὶ συμβασιλεύειν αὐτῷ ἄνδρα ἐξείλετο, ὅντινα αὐτῷ καὶ συνερᾶν τῆς καλλιπό-
59 a λεως ἀναγκαῖον; οὗ τῇδε μὲν τὼ γεννήτορε συνηλθέτην, τῇδε δ' ἐσπάρη τε καὶ ἐφυτεύθη, πόλις δὲ αὐτὸν ἐμαιώσατο ἐκ τῶν ὠδίνων, πόλις δὲ αὐτὸν ἐξέθρεψε καὶ ἐξεπαίδευσε, καὶ ἀπέφηνεν ἄξιον αὐτὸν βασιλεῖ κοινωνὸν τῆς ἀρχῆς, ἴσα βαίνοντα, ἴσα φρονοῦντα, συνοπλοφοροῦντα, συνασπίζοντα, συνδρῶντα, οὐ φυλακῆς δεόμενον, ἀλλ' αὐτὸν φύλακα ὄντα καὶ ἔρυμα τοῦ ἑλομένου. διὰ ταῦτα γὰρ καὶ αἵματι πάνυ ἀγχοῦ προσχόμενον ἔτι προσηγάγετο ἐγγυτέρω τῇ ἐκ τοῦ γάμου κηδείᾳ καὶ συνεδήσατο πρὸς τὴν πόλιν δεσμῷ ἀναγκαίῳ,
b μείζω ποιήσας τὴν πρὸς τὸν οἰκιστὴν ἀγχιστείαν. καὶ ἐπειδὴ ὡρμήθη ὁ λόγος τὰ δείγματα ὑμῖν συλλέξασθαι τῆς βασιλέως εὐνοίας, ἀκούσατε αὐτοῦ πρὸς Χαρίτων εὖ μάλα ἐντεινάμενοι τὴν διάνοιαν, ἢ διαφεύξεται ὑμᾶς ὑπ' εὐλαβείας ζόφῳ καὶ ἀσαφείᾳ συγκαλύψας ὥσπερ ἀχλύϊ. οὕτω γὰρ δὴ ἡμῖν ὁ ἐραστὴς ἀμηχάνῳ φίλτρῳ ξυγκέχεται ὥστε οὐ μόνον παρὰ τῶν ζώντων ἁπάντων

70, 2 μορίοις] „Fort. λιθαρίοις." Iacobsius. ἐμπυρώτατον Petavius. Vulgo ἐμπορώτατον. 7 ἡμῖν — ὑμῖν A. ὑμῖν — ἡμῖν H. 13. καλλιπόλεως A et Monac. 113. Καλλιόπης H. 21 ταῦτα γὰρ A. ταῦτ' ἄρα H. 23 συνεδήσατο A. συνεστήσατο H. 24 καὶ ἐπειδὴ A. ὅθεν δὲ H. 27 ὑμᾶς] ὁμοναίας A. ἡμᾶς Monac. 113. 28 ἀσαφείᾳ] ἀσφαλείᾳ A.

ἀγείρει τῇ πόλει τὴν εὐπραγίαν, ἀλλὰ καὶ παρὰ τῶν πάλαι ἀποιχομένων ὅσαπερ οἴεται ἀγαθὰ ἐρανίζεται. c
καὶ οὐδὲ τοῦτο αὐτῷ ἀποχρῶν τε καὶ ἱκανόν, ἀλλ' ἐκεῖνο ἤδη ἰοὺ ἰοὺ ὡς ἄτοπον καὶ τεράστιον, ὅτι καὶ τὰς ψυχὰς αὐτάς, ὦ θαυμάσιοι, τῶν σοφῶν καὶ ἀοιδίμων ἡρώων ἐπ' ὠφελείᾳ τῆς πόλεως ἀνακαλεῖται καὶ ἀνίστησιν ἐκ τῶν τάφων. οὔ τί που οἴεσθε μαγγανείαν τὸ χρῆμα καὶ μανίαν; καὶ μὴν οὐκ ἄλλο ἔργον αἱρετώτερόν τε καὶ θεοφιλέστερον τοῦ ἐράστου. καὶ ἐρῶ ὑμῖν σαφέστερον, ἵνα μάθητε ὅ τι καὶ λέγω καὶ μὴ θορυβῆσθε.

Ψυχὴν τοίνυν ὑπολαμβάνω ἐγὼ ἀνδρὸς σοφοῦ d
εἶναι τὴν σοφίαν καὶ τὸν νοῦν καὶ τὸν λόγον, ἠρία δὲ τῶν ψυχῶν τούτων τὰς βίβλους τε καὶ τὰ γράμματα, ἐν οἷς ἀπόκειται αὐτῶν τὰ λείψανα ὥσπερ ἐν μνήμασι. ταῦτα οὖν τὰ μνήματα ὑπὸ μικρᾶς ἀθεραπευσίας διαρρυέντα ὥσπερ οἰκοδομήματα ἐν τῷ θησαυρῷ τῆς μνημοσύνης καὶ κινδυνεύοντα παντάπασιν αὐτά τε ἀϊστωθῆναι καὶ ἀποσβῆναι καὶ συναποσβέσαι τὰς ψυχὰς τὰς ἐγκειμένας, ἀναζωπυρεῖν παραγγέλλει, καὶ τάττει μὲν 60 a
ἄρχοντα ἐπὶ τῷ ἔργῳ, καὶ ἐπιδίδωσι τὴν χορηγίαν τῷ ἐπιτηδεύματι. καὶ ἐργάζονται ὑμῖν ταῦτα τὰ ἔργα οὐ χαλκεῖς καὶ τέκτονες καὶ λιθολόγοι, ἀλλ' οἱ τῆς Κάδμου καὶ Παλαμήδους τέχνης δημιουργοί, οἳ ἱκανοί εἰσι τὸν νοῦν μετοικίζειν ἐκ παλαιοῦ σκήνους ἐκτετηκότος εἰς ἀρτιπαγές τε καὶ νεουργόν. καὶ ὀλίγῳ ὕστερον ὑμῖν ἀναβιώσεται μὲν δημοσίᾳ ὁ πάνσοφος Πλάτων, ἀναβιώσεται δὲ ὁ Ἀριστοτέλης, καὶ ὁ ῥήτωρ ὁ Παιανιεύς, καὶ ὁ τοῦ Θεοδώρου καὶ ὁ τοῦ Ὀλόρου. καὶ τούτων b
μὲν δὴ τῶν ἀνδρῶν εἰ καὶ τὰ ἐν κοινῷ ἀγάλματα ἐκινδύνευεν, ἀλλὰ τά γε ἴδια παρ' ἑκάστῳ καὶ ἄνευ νόμου φυλακῆς τυγχάνει καὶ σωτηρίας, καὶ ἱκανὴ αὐτὴ διασώζειν ἡ περιουσία τῆς ἀρετῆς. ὅσοι δὲ ὀπαδοί τε ἐκεί-

---

71, 8 μανίαν] μαγείαν Iacobsius. 22 ἐπιτηδεύματι A. δαπανήματι H. 60a et c et 61 b (ubi ὑμῖν κατασκ.) ὑμῖν] nobis in versione Petavius. 29 Ὀλόρου] ὀλώρου A.

νων καὶ τὰ ἔργα αὐτῶν οὐκ ἐξαρκεῖ ἑαυτοῖς πρὸς διαμονήν, τούτους βιάζεται θνητοὺς ὄντας ἀθανάτους ποιεῖν ἡ βασιλέως προμήθεια, πολλοὺς μὲν Ὁμήρου ὑποφήτας καὶ νεωκόρους, πολλοὺς δὲ Ἡσιόδου θερα- **c** πευτάς, Χρύσιππόν τε αὐτὸν ἤδη καὶ Ζήνωνα καὶ Κλεάνθην, χορούς τε ὅλους ἐκ Λυκείου καὶ Ἀκαδημίας, ἐν βραχεῖ τε εἰπεῖν στῖφος ἀνάριθμον ἀρχαίας σοφίας, οὐ κοινῆς οὐδὲ ἐν μέσῳ κυλινδουμένης, ἀλλὰ σπανίου καὶ ἀποθέτου, ἀμένηνόν τε ἤδη καὶ ἐξίτηλον, ἐν τῷ χρόνῳ ἐν σκότῳ κατορωρυγμένον, κινεῖ καὶ ἐγείρει ὥσπερ ἐξ Ἅιδου, καὶ τοιαῦτα ἕτερα ὑμῖν καὶ ἀμείνω ἀγάλματα ἀνίστησι τῶν Μουσῶν.

Ἆρα ἀγνοεῖτε ὁπόσῳ ὑμῖν σεμνότερος καὶ βασιλι- **d** κώτερος ὅδε ὁ κόσμος τῶν περιστύλων τοῦ θεάτρου καὶ τοῦ διοφανοῦς ἱπποδρόμου, καὶ ὅτι φρονοίητε ἂν ἐπ' αὐτῷ μᾶλλον δικαίως ἢ ἐπὶ τοῖς λιμέσι τοῖς ἐντὸς πυλῶν, δι' ὧν εἰσρεῖ καὶ ἐμπλέκεται ἡ θάλασσα τοῖς ἐν μέσαις ταῖς ἀγοραῖς; ταῦτα γὰρ ἅπαντα, οἶμαι, τύρβη καὶ ὄχλος καὶ βαναυσία, καὶ ἀρχαῖα μὲν τὰ θεάματα, ἀχρεῖα δὲ τὰ ἀκούσματα. μόνος δὲ οὗτος ὁ κόσμος ἀμείνους ποιεῖ τοὺς θεωμένους, καὶ ὅσῳπερ **61 a** ἄν τις αὐτὸν ἀτενέστερον καθορῴη καὶ γίγνοιτο ἐνδοτέρω, τοσῷδε ἄπεισιν ὀλβιώτερος τοῦ θεάματος. καὶ τέως μὲν τῇ πόλει ὤναντο τοῦ εἴδους, ὅτι εἰσχεῖται μὲν εἰς αὐτὴν ἅπαντα ἁπανταχόθεν τὰ ἀγαθά, ἐξέρχεται δὲ οὐδέν, εἰ μὴ γῆ καὶ ψάμμος καὶ φορυτός, νῦν δὲ ὥρα ἐξάγειν καὶ ἐμπορεύεσθαι παρ' ὑμῶν οὐ μὰ Δί' οὐ χρυσὸν οὐδὲ ξύλα οὐδὲ πορφύραν, ὥσπερ ἐκ μετάλλου ἢ ὄρους ἢ βακτηρίας, ἀλλ' οὐδὲ οἴνου σταμνία οὐδὲ ὄσπρια οὐδὲ τραγήματα, ταῦτα μὲν ἐπιεικῶς

72, 10 χρόνῳ A. προτοῦ χρόνῳ H. 11 τοιαῦτα] ταῦτα A. 14 περιστύλων Petavius. Vulgo περιστόλων. 15 διοφανοῦς A. διαφανοῦς H. φρονοίητε A. ·φανείητε H. 16 μᾶλλον add. A. 17 τοῖς add. A. 19 βαναυσία H. βαναυ * * H. 24 ὤναντο τοῦ εἴδους] ἀνῆπτο τοὔνειδος Iacobsius in Appendice ad Porsoni Advers. p. 317. 29 βακτηρίας] „Num βαπτρίας?" Iacobsius.

οἶμαι ὑπάρχειν παρὰ τῶν φαυλοτέρων ἐκκαρποῦσθαι b τοῖς ἀμείνοσιν, ἃ δὲ ἄρτι ἐμπόριον ὑμῖν κατασκευάζεται βασιλεύς, ἀρετή ἐστιν ἐκ τοῦδε καὶ φρόνησις τὰ ἀγώγιμα. καὶ ἥξουσιν ὑμῖν ἐπὶ ταύτην τὴν ἐμπορίαν οὐ κάπηλοι καὶ ναῦται καὶ φορτικὸς ὄχλος, ἀλλ' οἱ ἔκκριτοι καὶ φιλομαθέστατοι καὶ ὅ τι ἄνθος Ἑλλήνων, λόγοι καὶ παιδεία τὰ ἀγοράσματα. μῶν οὖν ὑμῖν φαίνονται ἀπεικότως αἱ Μοῦσαι συστρατεύεσθαι τῷ βασιλεῖ καὶ διδόναι αὐτῷ νίκας ἐξαιρέτους, ὧν ὁ Ἄρης οὐκ ἐκοινώνησε;

Φέρε δὴ ὑμῖν καὶ τὸν σύμβουλον μηνύσω. δί- c καιος γὰρ μὴ σιωπᾶσθαι ὑπὸ τῶν λόγων, τοσοῖσδε λόγοις ἐπαρήξας διολλυμένοις, καὶ ἄξιος ἐπαινεῖσθαι τῆς καινουργίας, ὅτι οὐκ ἐνταῦθα ἔστη, ἵνα περ οἱ ἄλλοι καταρτιστῆρες, οὐδ' ἀποχρῆν ἐνόμισεν ἀγορᾶς τε εὐκολίαν παρέχεσθαι καὶ βαλανείων φλογώσεις, ἀλλ' εἰς τόσον ἄρα προὔβη ἡ γνώμη τῆς προμηθείας ὥστε καὶ σοφίας ὑμῖν δημόσιον πλοῦτον ἐμηχανήσατο. ἔτι οὖν ἀχθέσεται βασιλεύς, εἰ καὶ ἐγὼ τοὺς ἐμοὺς λόγους ὑμῖν πρὸ τῶν ἄλλων ἐπιδιδοίην καὶ οὐ πρόσθεν ἐξά- d γοιμι τείχους, εἰ μὴ ξυλλεγεῖσα ἡ ἐκκλησία δοκιμάσειέ τε ὥσπερ ἐφήβους καὶ ἐπίθοιτο τὴν δημοσίαν σφραγῖδα; τηνικαῦτα γάρ μοι ἀτεχνῶς πτεροφυοῦσι καὶ τελειοῦνται καὶ οἷοί τέ εἰσιν ἐκ τῆς νεοττιᾶς ἀνᾴσσειν μετέωροι καὶ ὑψηλοὶ καὶ ἀξιόχρεῳ πέτεσθαι πρός τε αὐτὸν βασιλέα καὶ παρ' ἐκείνου ἐφ' ἅπασαν γῆν τε καὶ θάλασσαν. καὶ εἴ πη ἂν αὐτοῖς κορώνη λακέρυζα ἐπικρώξειεν ὅτι φιλοσοφεῖν ποιούμενοι μεθαρμόζονται εἰς 62 a τοὺς ῥήτορας, ἱκανοὶ μεθ' ἡμῶν ἀμύνασθαι καὶ ἐλέγχειν ὅτι αἱ κορῶναι αὗται οὐκ ἐγεύσαντο τῆς Πλάτωνος μούσης· εἰ μὴ οἴονται καὶ Πλάτωνα ἐπαινέτην εἶναι

73, 4 ὑμῖν ἐπὶ] ἡμῖν ἐπὶ A. 18 ὑμῖν δημόσιον] ἡμῖν δημόσιον A. 19 ἀχθέσεται Pierson. ad Moer. p. 21. Vulgo ἀχθήσεται. 24 ἀνᾴσσειν] Vulgo ἀναΐσσειν. 27 εἴ πη] εἴποι A. ἂν delendum. ἐπικρώξειεν A. ἐπικράξειεν H. 28 ποιούμενοι] προσποιούμενοι Iacobsius in Goelleri appendice ad Dionys. de C. V. p. 264.

καὶ ὑμνοποιὸν τοῦ ἀληθινοῦ βασιλέως, ὁπόταν λέγῃ καὶ γράφῃ ἄντικρυς οὑτωσί, τότε ἄριστα τὸν βίον καὶ εὐδαιμονέστατα ἕξειν, ὅταν γένηται βασιλεὺς νέος, σώφρων, μνήμων, ἀνδρεῖος, μεγαλοπρεπής, εὐμαθής.

b Εἰ μὲν οὖν τι τούτων ἐνδεῖ ἡμῖν τῶν ῥημάτων, καὶ ἡ σωφροσύνη ἀμφισβητήσιμος, πρὸς ὃν οὐδὲν σεμνὸν ὁ Ἱππόλυτος, ἢ μνήμην ἄν τις ἐπαιτιάσαιτο, οὗ μᾶλλον κατέχει τοὺς τύπους ἡ φαντασία ἢ οἱ δακτύλιοι τὰ ἐγγλύμματα, ἢ τὴν ἀνδρείαν, ᾧ ἐξὸν εἰρήνην ἄγειν πρὸς τοὺς τυράννους, πολλῶν νουθετούντων, τῆς ἑαυτοῦ ῥᾳστώνης ἐπίπροσθεν ἐποιήσατο τὴν Ῥωμαίων ἐλευθερίαν. μεγαλοπρέπειαν δὲ τὴν μὲν ἐν δαπανήμασι τί ἄν τις λέγοι; τὴν δὲ ἐν τῷ ἄλλῳ μεγέθει τῆς ψυχῆς εἴ
c τις ἄρα ποθεῖ, ἐννοησάτω δυοῖν ἀνδρῶν, τοῦ μὲν σωτηρίαν, τοῦ δὲ τιμωρίαν, ὧν τὸν μὲν ἰδίᾳ λυπήσαντα διὰ τὴν ἐς τὰ κοινὰ ἀρετὴν διετήρησε καὶ ἐφύλαξε, τῷ δὲ ἔναγχος οὐκ ἤρκεσε λυγρὸν ὄλεθρον ἡ κολακεία καὶ ἡ θωπεία, ὅτι χρηματισμὸν ἐπεποίητο τὴν ὑπόκρισιν τῆς εὐνοίας.

Ὅπερ οὖν εἶπον, εἰ μέν τι τούτων ἐνδεῖ ἡμῖν τῶν ῥημάτων, ἄλλον ἄν τινα ἐπαινοίημεν ἡμεῖς καὶ οὐχ ὅνπερ οἴεται ὁ Ἀρίστωνος· εἰ δὲ ὁ μὲν τύπους βασιλικοὺς
d ἐν κοινῷ ὑπεγράψατο διὰ τῶν λόγων, χήτει παραδείγματος ἀληθινοῦ, ἡμῖν δὲ ἔδωκεν ὁ θεὸς ἐπιδεῖν τὴν μορφὴν ἐν ᾗ ἐξέλαμψαν οἱ τύποι καὶ ἐξεφάνησαν, εἴημεν, ὡς ἔοικε, τοῦ θείου Πλάτωνος οὐ κολακικώτεροι, ἀλλ' εὐποτμότεροι, ὅτι ὁπόσα ἐκεῖνος ὠνειροπόλησεν, ὕπαρ ἡμεῖς τεθεάμεθα.

74, 5 ἐνδεῖ ἡμῖν A. ἡμῶν om. H. 8 δακτύλιοι A. δάκτυλοι H. 9 ᾧ ἐξὸν A. ᾧ οὐκ ἐξὸν H. 10 τοὺς τυράννους A. τοὺς om. H. νουθετούντων A. ἀθετούντων H. 13 μεγέθει add. A. 15 τὸν μὲν ἰδίᾳ] τὸν ἰουλιανὸν schol. A. 16 τῷ δὲ] τῷ γάλῳ schol. A. 18 ὑπόκρισιν A. ἐπίκρισιν H. 21 ἄλλον Iacobsius in append. ad Porson. Advers. p. 317. Vulgo μᾶλλον. οὐχ ὅνπερ A. οὐχ ὅπερ H.

V.

ΥΠΑΤΙΚΟΣ ΕΙΣ ΤΟΝ ΑΥΤΟΚΡΑΤΟΡΑ ΙΟΒΙΑΝΟΝ. 63a

Βασιλεῦ, τὸ μὲν ἐπαινεῖν σε ἐφιέντα τῇ προθυμίᾳ καὶ τὴν παροῦσαν ἑορτὴν σχῆμα τοῦ λόγου προστήσασθαι ἄλλοις παρίημι, οἷς ἐν μελέτῃ τὸ θεραπεύειν ἀεὶ τοὺς b κρατοῦντάς ἐστιν ἀνεξετάστως· ἐγὼ δὲ παρελήλυθα σήμερον συντελέσων τῇ πανηγύρει, οὐκ ἄχρι κενῆς φιλοτιμίας, ἀλλ᾽ ὃ τῷ κόσμῳ καὶ χρείαν συνοίσεται. νόμος γὰρ οὗτος φιλοσοφίας μηδ᾽ ὁτιοῦν ἐργάζεσθαι πρὸς μόνην ψυχαγωγίαν, ἁπανταχοῦ δὲ τῷ κεχαρισμένῳ τὸ συμφέρον καταμιγνύναι, ὥσπερ οἱ τῶν ἰατρῶν ἠπιώτεροι τὰ φάρμακα πρὸς τὴν αἴσθησιν ἐπικρύπτονται τοῖς ἡδύσμασι. ἔστι δέ σοι καὶ τῆς ἐκ τοῦ πλούτου πομπείας ἡ μὲν πρὸς ἐπίδειξιν μόνον, ἡ δὲ ἅμα τε ἐκ- c πλήττει καὶ τὴν χρείαν οὐ παρεώρακεν.

Ἐμοὶ δέ, ὦ βασιλεῦ, καὶ μᾶλλον ἔτι φροντιστέον ἐστὶ καὶ μὴ λίαν ἐνδεὲς ἀντεισενεγκεῖν σοι τὰ χαριστήριον, ὅτι φιλοσοφίαν οὐ πάνυ παρὰ τοῖς πολλοῖς εὐπραγοῦσαν κατὰ τὸν παρόντα χρόνον ἐπανάγεις αὖθις εἰς τὰ βασίλεια, καὶ παρίστασαι σὺν εὐδοκιμωτέρῳ τῷ σχήματι, καὶ ποιεῖς οὐχ ἧττον ἔντιμον τὴν τῶν λόγων ἡγεμονίαν τῆς τῶν στρατοπέδων ἀρχῆς. οὕτω καὶ οἱ d πατέρες τῆς σῆς βασιλείας τοὺς προγόνους ταύτης τῆς τέχνης προῆγον, τὸν Ἄρειον ἐκεῖνον ὁ Σεβαστός, ὁ

75, 7 κενῆς] καινῆς A. 11 ἠπιώτεροι] γρ. ἐμπειρότεροι margo A. 13 πομπείας] ἐπιδείξεως gl. A. 16 παρεόρακεν] Vulgo παρεώρακεν. 24 τέχνης A. τύχης H.

*Τιβέριος τὸν Θρασύλον, Τραϊανὸς ὁ μέγας Δίωνα τὸν
χρυσοῦν τὴν γλῶτταν, τὸν Ἐπίκτητον τὼ δύο Ἀντω-
νίνω, ἐῶ τοὺς ἄλλους, ἀλλ' ὅ γε πάλαι τὴν ἐπωνυμίαν
λαβὼν ἐκ ταὐτοῦ σοι θεοῦ τὸν ἀρχηγέτην τῆς ἐμῆς
οἰκίας. τούτοις κατ' ἴχνος ἀκολουθεῖς, ἐν τοῖς ἁπάν-*
64 a *των ὀφθαλμοῖς συμπαραλαμβάνων φιλοσοφίαν. τιμω-
μένη δὲ φιλοσοφία εἰς τοὐμφανὲς ἀντιδίδωσιν εἰς τοὐμ-
φανὲς καὶ αὐτὴ τὰ χαριστήρια, λόγους ἱκανοὺς παρα-
πέμψαι τὰ ἔργα τῷ χρόνῳ καὶ προσθεῖναι μνήμην τοῖς
ἐφημέροις αἰώνιον καὶ συμβουλὴν ἐν καιρῷ καὶ παρρη-
σίαν. ταῦτα γὰρ ἴδια φιλοσοφίας καὶ ἔργα καὶ δῶρα,
καὶ ἐπὶ τούτοις ἐξ ἀρχῆς καὶ παρακέκληται ὑπὸ βασι-
λείας καὶ ἀχρεῖος οὐκ ἐνομίσθη, οὐχ ἵνα τὸ Σιλανίω-*
b *νος ἔργον μεταχειρίζηται, ἐφ' ᾧ πάλαι μισθοῦ τοῖς
Ἕλλησι διηκονοῦντο ἄνθρωποι βάναυσοι καὶ δημόσιοι.*

*Ἀλλὰ βούλει γνῶναι τὴν παρὰ φιλοσοφίας συντέ-
λειαν; νόμον ἔμψυχον εἶναί φησι τὸν βασιλέα, νόμον
θεῖον ἄνωθεν ἥκοντα ἐν χρόνῳ τοῦ δι' αἰῶνος χρηστοῦ,
ἀπορροὴν ἐκείνης τῆς φύσεως, πρόνοιαν ἐγγυτέρω τῆς
γῆς, ἁπανταχοῦ πρὸς ἐκεῖνον ὁρῶντα, πανταχοῦ πρὸς
τὴν μίμησιν τεταμένον, ἀτεχνῶς διογενῆ καὶ διοτρεφῆ,*
c *καθάπερ Ὅμηρος λέγει, κοινωνοῦντα τῷ θεῷ καὶ τῶν
λοιπῶν ἐπικλήσεων· ξένιον, ἱκέσιον, φίλιον, ἐπικάρπιον,
ἐάων δοτῆρα, δικαιοσύνης χορηγόν, ῥᾳστώνης ταμίαν,
πρύτανιν εὐδαιμονίας. ταύτας εἰσφέρουσι τὰς εἰσφορὰς
φιλόσοφοι βασιλεῦσιν οἱ μὴ ψευδώνυμοι. τοὺς φαλα-*

76, 1 Θρασύλον] Θρασύλλον A. 3 ὅ γε A. ὁ μὴ H. 4 ἀρχηγέτην] λείπει τὸ ἐδόξαζε gl. A. 7 ἀντιδίδωσιν A. ἀναδίδωσιν H. 9 προσθεῖναι] προσθῆναι A. 10 παρρησίαν] παρρησία A. 13 Σιλανίωνος] οὗτος ὁ σιλανίων πλαστὴς καὶ γραφεὺς εἰκόνων θησέως ἦν, ὥς φησι πλούταρχος ἐν θησεῖ schol. A. 14 ἐφ' A. ὑφ' H. 18 θεῖον A. οἷον H. τοῦ δι' αἰῶνος χρηστοῦ] τοῦ ἀϊδίου ἀγαθοῦ gl. A. 21 τεταμένον Roulezius p. 27. Vulgo τεταγμένον. 24 ῥᾳστώνης] ῥᾳστώνην οὐ τὴν ῥᾳθυμίαν ληπτέον, ἀλλὰ τὴν ἐν ἀφθονίᾳ καὶ δίχα κόπου καὶ πόνου ζωήν schol. A. 26 ψευδώνυμοι] ψευδόμενοι A. γρ. ψευδώνυμοι margo A.

πρὸς δὲ καὶ τοὺς χαλκέας τοὺς ἐπιθεμένους τῇ δεσποίνῃ ὀρφανευθείσῃ οὐκ ἐποίει Πλάτων δημιουργοὺς ἀνθρωπίνης μακαριότητος.

Ὅπερ οὖν λέγω, τὸ μὲν ἀντεισενεγκεῖν σοί, βασιλεῦ, d *τῆς εἰς φιλοσοφίαν εὐνοίας τὰ πρέποντα ἀναθήματα πλείονος καὶ φροντίδος καὶ χρόνου, τὰ νῦν δέ, ὁπόσα δυνατὸν καὶ σπουδάσαι πανηγυρίζοντας ἄμφω σοὶ συμπροθυμώμεθα. τὸ μὲν τοίνυν ἥδυσμα τοῦ λόγου καὶ ἡ πανήγυρις μακαρίαν ἀποφῆναι τὴν ἐπωνυμίαν τοῦ ἔτους, ἣ τὴν ξυνωρίδα ἐπέγραψε τὴν εὐδαίμονα πατρός τε ἅμα καὶ υἱέως τῆς πατρῴας ἁλουργίδος ἡλικιώτου, καὶ δεῖξαι τὴν παροῦσαν τιμὴν ταύτην σεμνοτέραν ὑφ'* 65a *ὑμῶν γενομένην ἢ συντελοῦσαν ὑμῖν εἰς σεμνότητα. ποιεῖται γὰρ αὐτὴν βασιλείας ὁ μὲν ἆθλον, ὁ δὲ προοίμιον, κοινὸν δὲ ὑμῖν καὶ τὸ ἄθρουν τῆς ἐπὶ τὰ ἀμείνω προόδου. ἄμφω γὰρ οὐδὲν προελπίσαντες, σὺ μὲν αὐτοκράτωρ ἐξ ἰδιώτου, ὁδὶ δὲ ὕπατος, ἐφ' ἑτέρου τῆς ὁρμῆς γεγενημένης. ὃ καὶ ἄν τις μάλιστα ἀγασθείη τῆς σῆς προμηθείας, ὅτι καὶ τῷ κατ' ἀνάγκην ἐκβάντι δυσκόλῳ πρὸς σεμνότητα ἀπεχρήσω.*

Μέχρι δὴ τούτου κοινῇ προσειπὼν ὑμᾶς ὁ λόγος τὸ ἐντεῦθεν ἤδη πρὸς σὲ βαδιεῖται· συγχωρήσει δέ σοι b *πλεονεκτεῖν ὁ νεανίας ὧν οὐχ ἧττον καὶ αὐτὸς μεταλήψεται. μικρὸν δὲ ἄνωθεν ἀναληπτέον, ὅτι σοι πατρῴας μὲν ἀρετῆς ἕνεκεν ὠφλισκάνετο καὶ πρὶν ἡ βασιλεία, τελευτήσαντος δὲ τοῦ πρεσβυτέρου τῶν προαρξάντων ἀπολαβεῖν μελλήσας τὸ χρέος, ἵνα μὴ δοκοίης ἐπιτίθεσθαι τῷ λειπομένῳ τῆς Κωνσταντίνου διαδοχῆς, εἰς τὸν παρόντα καιρὸν ἐφυλάχθης, ὥστε κομίσασθαι*

77, 1 *χαλκέας*] *χαλκέους* A. *τοὺς πρὸς ἡδονὴν καὶ χάριν λέγοντας φιλοσόφους. καὶ γὰρ καὶ ὁ χαλκὸς εὔφωνός ἐστιν, ἢ εὔηχος* schol. A. *καὶ τοὺς σμικροὺς χαλκέας* Roulezius pag. 79. collato Platone de Rep. VI. p. 495 e. et Themistio XXI. pag. 246 d.
6 *χρόνου* A. *λόγου* H. 8 *συμπροθυμώμεθα* Stephanus. Vulgo *συμπροθύμεθα.* 10 *ἐπέγραψε*] *ἐπεγράψατο* A. 11 *υἱέως*] *υἱέος* A. *ἡλικιώτου*] *ἡλικιώτας* A. 14 *ποιεῖται* A. *ποιεῖτε* H. 15 *ἄθρουν* A. *ἆθλον* H.

τὸ πατρῷον ὄφλημα, μηδενὸς ἀδικουμένου. Ἀλεξάνδρου
c μὲν γὰρ μεταλλάξαντος ἐν Βαβυλῶνι Μακεδόνες οὐχ εὗρον τὸν κληρονόμον, ἀλλὰ Πτολεμαίου τοῦ Λάγου προὐτίμησαν τὸν ἀνόητον Ἀριδαῖον, ὥσπερ χρήματα διαλύοντες ὑπὲρ ἀδελφοῦ τεθνηκότος τῷ περιόντι, ἀλλ' οὐ βασιλείαν διδόντες, ἧς μόνος διάδοχος ἐστιν ὁ σώζειν αὐτὴν ἐπιστάμενος. οἱ δὲ ἡμέτεροι ψηφηφόροι καὶ στρατιῶται τῆς τοῦ σώματος ἀγχιστείας τὴν τῆς ψυχῆς προεξήτασαν, καὶ ἀπέφηναν κληρονόμον τῆς ἁλουργίδος τὸν κληρονόμον τῆς ἀρετῆς, καὶ ταῦτα οὐκ ἐν σχολῇ, οὐκ ἐν εἰρήνῃ, οὐδὲ ἐνδιδόντος τοῦ καιροῦ θεραπείας
d καὶ προσαγγελίας καὶ δεκατισμοὺς, ἀλλ' ὡς ἐν ἀκμῇ τῆς Ἐννοῦς ἐν τοῖς ξίφεσιν, ἐν τοῖς δόρασι φέροντες τὰς ψήφους, ἀπαράκλητον γνώμην, ἀκατασκεύαστον χειροτονίαν, ἣν ὁ καιρὸς ἐψηφίζετο, πρὸς ἣν ἡ χρεία ἐχειραγώγει. καὶ τό γε ἔτι θαυμασιώτερον, ἐν ἐκκλησίᾳ ὑπερορίῳ, ἔξω τῆς Ῥωμαίων γῆς, ὑπὲρ τῆς Ῥωμαίων γῆς, ὑπὲρ τῆς Ῥωμαίων ἀρχῆς.

Καὶ σοὶ μόνῳ περίεστι τῷ κεκτῆσθαι τὴν βασι-
66 a λείαν ἢ κριτὰς ἢ μάρτυρας παραστήσασθαι πάντας ἀνθρώπους, κριτὰς μὲν τοὺς φίλους, μάρτυρας δὲ τοὺς πολεμίους. ὅτι γὰρ οὐχ ἧττόν σε Πέρσαι ἐχειροτόνουν Ῥωμαίων ἔδειξαν τὰ ὅπλα ῥίψαντες, ἐπειδὴ τῆς ἀναρρήσεως ᾔσθοντο, καὶ τοὺς αὐτοὺς πρὸ τοῦ μὲν θαρροῦντες, ὀλίγῳ δὲ ὕστερον εὐλαβούμενοι. οὕτω φασὶ καὶ τὸν Θηβαῖον Ἐπαμινώνδαν στρατεύεσθαι μὲν ἐν τοῖς ἄλλοις ὁπλίταις ἑτέρων βοιωταρχούντων, πιεζομένης δὲ τῆς φάλαγγος ὑπὸ Θετταλῶν ἐκ μέσης τῆς παρατάξεως βοιωτάρχην ἀναδειχθῆναι, καὶ οἴχεσθαι φυγῇ
b παραχρῆμα τοὺς πολεμίους, δείσαντας στρατηγὸν, ὃν στρατιώτην οὐκ ἐδεδοίκεσαν. σὲ δὲ οὐ Θηβαῖοι καὶ

78, 2 μὲν γὰρ] γὰρ om. A. 4 ἀνόητον codex Petavii et Monac. 113. et, ut suspicor, A. ἀνόνητον H. 5 διαλύοντες] καίπερ χρέος ἀποκληροῦντες schol. A. 11 οὐδὲ] Vulgo οὔτε. 12 προσαγγελίας A. παραγγελίας H. 15 ἡ χρεία A. ἡ om. H. 26 Ἐπαμινώνδαν] ἐπαμεινώνδαν Monac. 113.

Θετταλοὶ οἱ μὲν ἑκόντες ἐχειροτόνησαν, οἱ δὲ ἄκοντες ἐπεψήφισαν, ἀλλὰ συνελθοῦσα ἥ τε ἑσπέρα καὶ ἡ ἑῴα, ὥσπερ εἰκὸς ἦν τὸν μέλλοντα ἁπάσης ἄρξειν τῆς γῆς μηδ' ὁτιοῦν αὐτῆς μόριον σχεῖν ἄμοιρον τῆς ψήφου· καὶ ἐξεστράτευσας μὲν αἰχμοφόρος, ἐπανήκεις δὲ αὐτοκράτωρ, οὐχ ἵππου χρεμετίσαντος, ὥσπερ Δαρεῖος, οὐδὲ κυνὶ σπείσας, ὥσπερ Ψαμμήτιχος, οὐδὲ γυναικός σε δυσζήλου προβαλλομένης εἰς τὴν ἀρχὴν, ἀλλὰ τῶν c δυσμενεστάτων γενῶν τὰ αὐτὰ κρινόντων καὶ τὰ αὐτὰ γινωσκόντων,

Οἱ μὲν ἐμαρνάσθην ἔριδος περὶ θυμοβόροιο,
οἱ δ' αὖτ' ἐν φιλότητι διέτμαγεν ἀρθμηθέντες,

οὐ ζωστῆρα ξίφους ἀνταλλαξάμενοι, ἀλλὰ ταύτην τὴν γῆν ἀναμίξαντες, καὶ τὴν ὑπόθεσιν τοῦ πολέμου συμμαχίας ἀφορμὴν ποιησάμενοι.

Δεξάμενος δὲ ὑπὸ ἀνάγκης ὁλόκληρον εὐθὺς τὴν d ἀρχὴν ἀναίμακτον ἐτήρησας μᾶλλον τῶν ἐκ γένους παραλαβόντων. αἴτιον δὲ, ὅτι μήτε δύσνουν τινὰ ὑπειλήφεις μήτε ἐδεδίεις ὡς ἀξιώτερον, καὶ δυεῖν ἀποφάσεων Πλάτωνος σὺ τὴν ἑτέραν ἐβεβαιώσω, τότε ἀστασιάστους ἔσεσθαι τὰς ἀρχὰς, ὅταν ἄρχωσιν οἱ πρέποντες μὲν τῷ ἄρχειν, ἥκιστα δὲ προθυμούμενοι. μεταστὰς γὰρ ἐκ τάξεως οὐ λίαν πρώτης εἰς τὴν ἁπασῶν ὑψηλοτάτην οὔτε ἐξελάθου τῶν ὁμοτίμων οὔτε ἐβάσκηνας τοῖς 67 a τηνικαῦτα προτεταγμένοις οὔτε ὑπερεῖδες τῶν καὶ πρότερον ἀπολελειμμένων, ἀλλ' ὑπερβὰς τῇ τύχῃ τοσοῦτον ἅπαντας ἐμμεμένηκας τῇ πρὸς ἅπαντας προαιρέσει, ὥσπερ ἀκριβῶς ἐγνωκὼς ὅτι τὴν βασιλείαν ἀρετῆς ὑπεροχὴν νομιστέον, οὐκ εὐτυχίας, καὶ τὸν Ὑστάσπου Δαρεῖον μικρὸν ἀπέφηνας εἰς μεγαλοπρέπειαν ἀμοιβῆς.

76, 7 κυνὶ Monac. 113. Vulgo κυνῇ. Ψαμμήτιχος] Vulgo Ψαμμίτιχος (σ superscr.). 8 σε] γε Monac. 113. 11 Οἱ μὲν] Iliad. η, 301. 12 ἀρθμηθέντες] ὁρμηθέντες A. 15 ἀφορμὴν A. ἀρχὴν H. 17 ἐκ γένους] διαδοχῆς συγγενικῆς gl. A. 25 ὑπερεῖδες] τοὺς δὲ ἄλλως ἐν ἰδιώταις προέχουσι σοῦ schol. A.

Αἰσθόμενος δὲ ὅτι τῷ βασιλεῖ κρηπὶς ἀσφαλείας b ἡ τῶν συνόντων δικαιοσύνη, τοὺς ἁπανταχόθεν ἀρίστους τοὺς μὲν ἐπανήγαγες, τοὺς δὲ προσείλου, τοὺς δὲ ἀπήλλαξας. καὶ δορυφορεῖ σοι νῦν τὰ βασίλεια, Νέστορος μὲν εὐβουλία, Διομήδους δὲ ἐλευθερία, καὶ ὁ τοῦ Κύρου Χρυσάντας καὶ ὁ τοῦ Ξέρξου Ἀρτάβαζος.

Εἶτά σοι προοίμιον γέγονε τῆς τῶν ἀνθρώπων ἐπιμελείας ἡ περὶ τοῦ θείου νομοθεσία. καὶ δῆτα ἐμβέβηκεν ὁ λόγος εἰς ἣν πάλαι ὡρμήμην ἀρχήν. μόνος γάρ, ὡς ἔοικεν, οὐκ ἀγνοεῖς ὅτι μὴ πάντα ἔνεστι τῷ c βασιλεῖ βιάσασθαι τοὺς ὑπηκόους, ἀλλ' ἔστιν ἃ τὴν ἀνάγκην ἐκπέφευγε καὶ ἀπειλῆς ἐστι κρείττω καὶ ἐπιτάγματος, ὥσπερ ἥ τε ἄλλη ξύμπασα ἀρετὴ καὶ μάλιστα ἡ περὶ τὸ θεῖον εὐλάβεια, καὶ ὅτι χρὴ προηγεῖσθαι τῶν ἀγαθῶν τούτων ὅτῳ μέλλει μὴ πεπλασμένως ὑπάρξειν ἀβίαστον τὴν ὁρμὴν τῆς ψυχῆς καὶ αὐτοκρατῆ καὶ ἑκούσιον πάνυ σοφῶς κατανοήσας. εἰ γὰρ οὐδὲ σοί, βασιλεῦ, δυνατὸν κατὰ διάγραμμα εὔνουν εἶναι τὸν μὴ τοῦτο ἔνδοθεν προαιρούμενον, πόσῳ μᾶλλον εὐσεβῆ d εἶναι καὶ θεοφιλῆ, γράμματα ἀνθρώπινα δεδιότας καὶ ἐπικήρους ἀνάγκας καὶ ἀσθενῆ μορμολυκεῖα, ἃ πολλάκις μὲν ἤνεγκεν ὁ χρόνος, πολλάκις δὲ καὶ παρήνεγκεν; εἶτα ἐλεγχόμεθα πάνυ γελοίως, ἁλουργίδας, οὐ θεὸν θεραπεύοντες, καὶ ῥᾷον Εὐρίπου μεταβαλλόμενοι τὰς ἁγιστείας. καὶ πάλαι μὲν εἷς Θηραμένης, νῦν δὲ ἅπαντες κόθορνοι, μικροῦ δεῖν χθὲς ἐν τοῖς δέκα, σήμερον 68 a δὲ ἐν τοῖς τριάκοντα, οἱ αὐτοὶ πρὸς βωμοῖς, πρὸς ἱερείοις, πρὸς ἀγάλμασι, πρὸς τραπέζαις. ἀλλ' οὐ σύ γε, ὦ θεοειδέστατε βασιλεῦ, ἀλλὰ τά τε ἄλλα αὐτοκράτωρ ὢν τε καὶ εἰς τέλος ἐσόμενος τὸ τῆς ἁγιστείας μέρος εἰς ἅπαντας εἶναι νομοθετεῖς, καὶ ταύτῃ ζηλῶν τὸν θεόν, ὃς τὸ μὲν ἔχειν πρὸς εὐσέβειαν ἐπιτηδείως τῆς φύσεως κοινὸν ἐποίησε τῆς ἀνθρωπίνης, τὸν τρόπον δὲ

80, 16 αὐτοκρατῆ A αὐτοκράτορα H. 19 εὐσεβῆ εἶναι A. εἶναι om. H. 27 τριάκοντα A. πεντήκοντα H. 31 εἰς ἅπαντας A. ἅπαντος H. ταύτῃ A. τοῦτο H.

τῆς θεραπείας ἐξῆψε τῆς ἐν ἑκάστῳ βουλήσεως. ὁ δὲ προσάγων ἀνάγκην ἀφαιρεῖται τὴν ἐξουσίαν, ἣν ὁ θεὸς b συνεχώρησε. καὶ διὰ τοῦτο οἱ μὲν Χέοπος νόμοι καὶ οἱ Καμβύσου μόγις τοῖς θεμένοις αὐτοὺς συνδιήρκεσαν, ὁ δὲ τοῦ θεοῦ καὶ ὁ σὸς νόμος ἀκίνητος μένει τὸν πάντα αἰῶνα, ἀπολελύσθαι τὴν ἑκάστου ψυχὴν πρὸς ἣν οἴεται ὁδὸν εὐσεβείας. καὶ τοῦτον οὐ χρημάτων ἀφαίρεσις, οὐ σκόλοπες, οὐ πυρκαϊὰ τὸν νόμον πώποτε ἐβιάσατο, ἀλλὰ τὸ μὲν σῶμα ἄξεις καὶ ἀποκτενεῖς, ἂν οὕτω τύχῃ, ψυχὴ δὲ οἰχήσεται, ἐλευθέραν μετὰ τοῦ νόμου συμπεριφέρουσα τὴν γνώμην, εἰ καὶ τὴν γλῶτταν ἐκβιασθείη. c

Ἐγὼ δέ σε, ὦ βασιλεῦ, πέποιθα καὶ τὴν αἰτίαν καταμαθόντα τῆς θείας ταύτης νομοθεσίας οὕτως αὐτῇ κατ' ἴχνος ἀκολουθῆσαι, ὅτι πέφυκεν ἄνθρωπος, ὅσα μὲν πρὸς ἅμιλλαν διαπράξεται συντονώτερον ἀπεργάζεσθαι, ὅσα δὲ ἄνευ φιλονεικίας, ταῦτα ῥᾳδιουργεῖν· καὶ χάσμης ἐμπίπλησιν ἡμᾶς καὶ ἀργίας τὸ παντάπασιν ἀνανταγώνιστον. ἐρεθίζεται γὰρ ἀεὶ ῥᾳδίως ὑπὸ τοῦ φιλονείκου πρὸς τὸ φιλόπονον ἡ ψυχή. διὰ τοῦτο οὐκ d ἀποκλείεις τὴν ἀγαθὴν ἔριν τῆς εὐσεβείας, καὶ διὰ τοῦτο οὐκ ἀμβλύνεις τὸ κέντρον τῆς περὶ τὸ θεῖον σπουδῆς, τὴν πρὸς ἀλλήλους ἅμιλλαν καὶ φιλοτιμίαν. ὥσπερ δὲ ἐπὶ τὸν αὐτὸν ἀθλοθέτην ἵενται μὲν ἅπαντες οἱ σταδιεῖς, οὐ μὴν ἅπαντες τὸν αὐτὸν δρόμον, ἀλλ' οἱ μὲν ἔνθεν, οἱ δὲ ἔνθεν, ἀπάντῃ δὲ ἀγέραστος ὁ ἡττημένος, οὕτως ἕνα μὲν ὑπολαμβάνεις τὸν μέγαν καὶ ἀληθινὸν ἀγωνοθέτην, ὁδὸν δὲ ἐπ' αὐτὸν οὐ μίαν φέ- 69 a ρειν, ἀλλὰ τὴν μὲν δυσπορωτέραν, τὴν δὲ εὐθυτέραν, καὶ τὴν μὲν τραχεῖαν, τὴν δὲ ὁμαλήν· συντετάσθαι δὲ

81, 3 Χέοπος] χέροπος A. 7 τοῦτον] τούτων Monac. 113. 8 πυρκαϊὰ A. πῦρ κατὰ H. Conf. Bast. ad Gregor. Cor. p. 467. 9 ἐβιάσατο A. ἐβιάσαντο H. 10 μετὰ A. μέντοι H. 15 ὅσα μὲν A. ὅσα δὲ καὶ H. 24 ἐπὶ Harduinus. Vulgo ὑπό. Conf. locum ab Roulezio p. 24. indicatum in orat. XII. p. 158 d. ad eundem. 27 ἡττημένος A. ἡττώμενος H. ἀπάντῃ δὲ ἀγέραστος ὁ ἡττώμενος delet Iacobsius.

ὅμως ἁπάσας πρὸς τὴν μίαν ἐκείνην καταγωγήν, καὶ τὴν ἅμιλλαν ἡμῖν καὶ προθυμίαν οὐκ ἀλλαχόθεν ὑπάρχειν, ἀλλ' ἐκ τοῦ μὴ τὴν αὐτὴν πάντας βαδίζειν. εἰ δὲ μίαν μὲν ἀτραπὸν λείψεις, ἀποικοδομήσεις δὲ τὰς λοιπάς, ἐμφράξεις τὴν εὐρυχωρίαν τοῦ ἀγωνίσματος. αὕτη παλαιὰ φύσις ἀνθρώπων καὶ τὸ

Ἄλλος δ' ἄλλῳ ἔρεζε θεῶν

b Ὁμήρου παλαιότερον ἦν. μήποτε γὰρ οὐκ ἀρεστὸν τῷ θεῷ ταύτην ἐν ἀνθρώποις γενέσθαι ποτὲ τὴν συμφωνίαν. φύσις δὲ καθ' Ἡράκλειτον κρύπτεσθαι φιλεῖ καὶ πρὸ τῆς φύσεως ὁ τῆς φύσεως δημιουργός, ὃν διὰ τοῦτο μάλιστα σεβόμεθα καὶ τεθήπαμεν, ὅτι μὴ πρόχειρος ἡ γνῶσις αὐτοῦ μηδὲ ἐπιπολῆς καὶ ἐρριμμένη, μηδὲ ἀνιδρωτὶ λαβέσθαι αὐτῆς οἷόν τε καὶ τῇ ἑτέρᾳ. τοῦτον ἐγὼ τὸν νόμον οὐ φαυλότερον ποιοῦμαι τῆς Περσῶν φιλίας· δι' ἐκείνην τοῖς βαρβάροις οὐ πολεμήσομεν, διὰ τὸν νόμον πρὸς ἑαυτοὺς ἀστασίαστοι βιωσόμεθα. χεί-
c ρους Περσῶν ἀλλήλοις ἦμεν, χαλεπώτεραι ἦσαν τῶν ἐπιδρομῶν αἱ γραφαὶ ἐξ ἑκατέρας θρησκείας παρὰ τῆς πόλεως, ὦ θεοφιλέστατε αὐτοκράτωρ, ὑπετείνετό σοι παραδείγματα ἐναργῆ ὁ παρελθὼν χρόνος. ἔα μένειν τὴν τρυτάνην ἐφ' ἑαυτῆς, μὴ καθελκύσῃς ἐπὶ θάτερα τὴν ῥοπήν, ἁπανταχόθεν φοιτᾶν εἰς τὸν οὐρανὸν τὰς ὑπὲρ τῶν σκήπτρων τῶν σῶν ἱκεσίας.

Οὐδὲ ἡ σή, βασιλεῦ, στρατιὰ συντέτακται πᾶσα ἐκ μιᾶς ἰδέας καὶ τῆς αὐτῆς, ἀλλ' οἱ μὲν ὁπλιτεύουσιν, οἱ δὲ ἱππεύουσιν, οἱ δὲ ὁπλίζονται, οἱ δὲ σφενδονῶσι,

---

82, 4 ἀποικοδομήσεις] ἀποκλείσεις, ἀποτειχίσεις gl. A. 7 ἔρεζε A. ἔρεξε H. 8 Ὁμήρου] Iliad. β, 400. 12 σεβόμεθα] σευόμεθα A. 13 μηδὲ ἀνιδρωτὶ] Vulgo μήτε ἀνιδρωτί. 14 λαβέσθαι — τῇ ἑτέρᾳ] „Locutio Platonica ex Sophist. p. 152 d. Conf. infra p. 138 b.“ Iacobsius. 16 τοῖς βαρβάροις] τοῖς om. A. 20 ὦ] ὧν, ὦ Roulezius p. 25. Cum praecedentibus idem comparat XII. p. 161 a. 23 ἁπανταχόθεν] ὥστε ἁπανταχόθεν Roulezius p. 11. comparata p. 161 a. ut paribus. ἁπανταχόθεν δὲ Iacobsius. 26 ὁπλιτεύουσιν] ἤγουν τὰ ὅπλα εὐτρεπίζουσι καὶ κατασκευάζουσιν gl. A. 27 ὁπλίζονται] τοξεύουσιν Spanhemius ad Iulian. p. 112.

καὶ οἱ μὲν παρὰ τὸ σῶμα τὸ σόν εἰσι τεταγμένοι, οἱ d δὲ ἐγγύς, οἱ δὲ καὶ ἄπωθεν λίαν, τοῖς δὲ ἀγαπητόν, εἰ γνωρίζοιντο τοῖς δορυφόροις, οἱ δὲ καὶ τοῦτο ἀδυνατοῦσιν· εἰς σὲ δὲ ὅμως πάντες ἀνήρτηνται καὶ τὴν σὴν γνώμην οὐχ οἱ στρατευόμενοι μόνον, ἀλλὰ καὶ οἱ λοιποὶ σύμπαντες ἄνθρωποι καὶ οἱ δίχα τῶν ὅπλων ὑπήκοοι, οἱ γεωργοῦντες, οἱ ῥητορεύοντες, οἱ πολιτευόμενοι, 70 a οἱ φιλοσοφοῦντες. ταύτῃ νόμιζε γάνυσθαι τῇ ποικιλίᾳ καὶ τὸν τοῦ παντὸς ἀρχηγέτην· ἄλλως Σύρους ἐθέλει πολιτεύεσθαι, ἄλλως Ἕλληνας, ἄλλως Αἰγυπτίους, καὶ οὐδ' αὐτοὺς Σύρους ὁμοίως, ἀλλ' ἤδη κατακεκερμάτισται εἰς μικρά. εἷς γὰρ οὐδεὶς τῷ πέλας τὰ αὐτὰ ὑπείληφεν ἀκριβῶς, ἀλλ' ὁ μὲν τοδί, ὁ δὲ τοδί. τί οὖν βιαζόμεθα τὰ ἀμήχανα;

Ἄγασθαι μὲν οὖν καὶ τοῖς ἄλλοις τοῦ νόμου προσήκει τὸν θειότατον αὐτοκράτορα, μάλιστα δὲ οἷς οὐκ b ἐφίησι μόνον τὴν ἐλευθερίαν, ἀλλὰ καὶ τοὺς θεσμοὺς ἐξηγεῖται οὐ φαυλότερον Ἐμπεδοκλέους, οὐ μὰ Δία ἐκείνου τοῦ παλαιοῦ· οἶδε γὰρ ἀκριβῶς ὅτι τῶν ἀνθρωπίνων ἀγαθῶν ἑκάστῳ ἀπάτη καὶ φενακισμὸς παραπέπηγε καὶ ὑποδύεται μεγαλοπρέπειαν μαγγανεία καὶ εὐσέβειαν ἀγυρτεία, καὶ διὰ τοῦτο τὰς μὲν προάγει, τὰς δὲ κωλύει, καὶ ἱερὰ ἀνοίγων ἀποκλείει μαγγανευτήρια, καὶ θυσίας ἐννόμους ἀφιεὶς οὐ δίδωσιν ἄδειαν τοῖς γοητεύουσιν, ἄντικρυς τὰ αὐτὰ νομοθετῶν Πλάτωνι c τῷ Ἀρίστωνος· καὶ εἶπον ἂν τὰ ῥήματα ὑμῖν, εἰ μὴ τοῦ καιροῦ μακρότερα ἦν.

Ἀλλ' ἐπανιτέον αὖθις εἰς τὴν πανήγυριν, ἣν ἁπασῶν ἐγὼ πανηγύρεων τιμιωτάτην ποιούμενος καὶ θυσ-

---

83, 1 παρὰ A. περὶ H. 4 σὴν add. A. 7 πολιτευόμενοι A. ῥητορευόμενοι H. 8 γάνυσθαι] Vulgo γάννυσθαι. 11 κατακεκερμάτισται] κατακερματίσθαι A. 15 Ἄγασθαι] ἄγεσθαι A. τοῖς ἄλλοις A. τοὺς ἄλλους H. 18 Ἐμπεδοκλέους] Vide Menag. ad Diogen. Laert. VIII, 69. et Mer. Casaubonum ad Antonin. p. 409. 22 ἀγυρτεία] ἀγυρτία Monac. 113. 23 κωλύει] κολούει Roulezius p. 47. ἀποκλείει A. ἀποκλείῃ H.

χεραίνω τι πρὸς αὐτήν, ὅτι μὴ συναπολαύει μοι τέως ἡ καλλίπολις τῶν δρωμένων. ἢ που νῦν, ὦ γενναία, σκυθρωπάζουσα πανηγυρίζεις καὶ χορεύεις ὀδυνωμένη καὶ
d γεγηθυῖα πρὸς τὴν ἐλπίδα πλέον πρὸς τὴν μέλλησιν ἀνιᾷ· εἰ δὲ ἀποβάντα ἴδοις τὸν ἐραστὴν καὶ τὸ ἴχνος ἀπερείσαντα οἴκοι, ποίας οὐκ ἀφήσεις φωνάς, ποίας οὐκ ἐμπλήσεις τὸν αἰθέρα βοῆς, μετὰ τὸν υἱέα, μετὰ τὸν ἀδελφιδοῦν Κωνσταντίνου, αὐτὸν ἐκεῖνον τὸν πάνυ Κωνσταντῖνον ἀπειληφυῖα;

Κείνου μὲν τοιοίδε πόδες, τοιαίδε τε χεῖρες,
ὀφθαλμῶν τε βολαί.

71 a οὐκ ἀφείλετο τῆς ταινίας, οὐκ ἐνήψατο χολοβὸν τὴν ἁλουργίδα, φυλάξει σοι τὸ αὐτὸ μέτρον καὶ τῆς εὐνοίας. Πέρσας δὲ καὶ Ἀθηναῖοι νικῶντες ἐν ταῖς ναυσὶν ἐδᾳδούχησαν τὰ μυστήρια, καὶ βασιλεὺς μετὰ τὴν εἰρήνην ἔξω τοῦ νεὼ τὰ προτέλεια μυήσας εἰς τὰ ἀνάκτορα τὴν τελετὴν καταθήσεται. σπεύδωμεν, ὦ μακάριε, καὶ ἐγκονῶμεν. ὁρᾷς τῇ πόλει καὶ τὸν οὐρανὸν συμπροθυμούμενον, ἀνίησι τὰς νεφέλας, ἔαρ ὑποφαίνει πρὸ ὥρας.
b στέλλε μοι τέως τὸν ἑωσφόρον, τὸν ἐν ἀγκάλαις ὕπατον, τὸν ἐκ τοῦ μαστοῦ πατρῴζοντα ἤδη, ὡς θαρραλέος, ὡς ἀκατάπληκτος, ὡς ὅμοιος δημηγορήσοντι. θεὸς δὲ ὁ μερίτην ποιήσας τῆς ἐπωνύμου ταύτης ἀρχῆς μερίτην ἀποφήνειε καὶ τῆς ἁλουργίδος.

84, 2 νῦν A. θύεις H. 3 καὶ πανηγυρίζεις H. καὶ om. A. 5 ἴδοις A. ἴδῃς H. 8 κωνσταντίνου A. Κωνσταντῖνον H. κωνσταντῖνον A. Κωνστάντιον H. τὸν ἰουλιανὸν λέγει schol. A. 9 ἀπειληφυῖα codex Vales. apud Boisson. ad Homerum vol. III. p. 351. ἀπείληφας H. ἀπειληφὼς Monac. 113. 10 Κείνου] Odyss. δ, 149. 12 ταινίας] ταινίας οὐδὲν Iacobsius. 20 στέλλε] στέλλει A.

VI.

ΦΙΛΑΔΕΛΦΟΙ Η ΠΕΡΙ ΦΙΛΑΝΘΡΩΠΙΑΣ.

Οὐδέποτε, ὦ βασιλεῦ, ἀναγκαίαν εἶναί μοι τὴν διάλεκτον τὴν κρατοῦσαν ὑπολαβών, ἀλλ' ἱκανὸν ἀεὶ νομίσας τὴν πάτριον καὶ Ἑλληνικὴν ἀποχρώντως μεταχειρίζεσθαι, νῦν, εἴπερ οἷόν τε ἦν, διημειψάμην ἂν τὴν γλῶτταν πρὸς τοὺς ἐκείνης τῆς λέξεως ἐπιστήμονας, ὥστε μὴ δι' ἀλλοτρίας ὑμῖν φωνῆς συγγενέσθαι. ὅμως [d] δ' εἰ καὶ τοῦτο ἀμήχανον, ἀλλ' οὐκ ἐνιαυτοῦ μοι δεήσει πρὸς ἐμπειρίαν τῶν συνήθων ὑμῖν ῥημάτων, ὥσπερ πάλαι Θεμιστοκλεῖ τῷ Νεοκλέους. ὁ μὲν γὰρ οὐ χρηστὰ νοῶν εἰκότως οὐδένα προῃρεῖτο ἐξηγητὴν ὑπὲρ ὧν ἔμελλε τῷ βασιλεῖ διαλέγεσθαι, ἐγὼ δὲ εὐξαίμην ἂν ἅπαντας ἀνθρώπους γενέσθαι διακόνους μοι καὶ ἑρμηνέας τοῦ μέλλοντος λόγου· οὕτω πέποιθα μᾶλλον τῇ διανοίᾳ τῶν [72 a] ῥηθησομένων ἢ τοῖς ὀνόμασι. πάντως δὲ καὶ ὑμῖν κριτέον τοὺς λόγους, οὐ τὰ ῥήματα ἐξετάζοντας, ἀλλὰ τὴν γνώμην, καὶ μάλιστά γε τοὺς τῶν φιλοσοφεῖν προσποιουμένων.

Ἔχει γὰρ οὕτως. ἄνωθεν, ὦ βασιλεῦ, εὔνοια καὶ συγγένεια βασιλείᾳ πρὸς φιλοσοφίαν ἐστὶ καὶ ἐπὶ τὴν αὐτὴν χρείαν κατέπεμψεν ὁ θεὸς ἀμφοτέρας εἰς τὴν γῆν, ἐπιμελεῖσθαι καὶ ἐπανορθοῦσθαι τοὺς ἀνθρώπους, [b] τὴν μὲν διδάσκουσαν τὰ ἀγαθά, τὴν δὲ χορηγοῦσαν.

85, 2 οὐδέποτε A. οὐδεπώποτε H. 3 κρατοῦσαν] ᾗ χρῶνται οἱ περὶ τὴν ὑμῶν βασιλείαν. ταύτην γὰρ λέγει κρατοῦσαν schol. A. ἀεὶ add. A. 5 διημειψάμην A. διαμειψαίμην H. 17 τοὺς τῶν A. τοὺς om. H. 19 ἄνωθεν] ἐξ ἀρχῆς gl. A.

τοῦτο τοίνυν αὐτὸ πρῶτον ποιοῦμαι τῆς ὑμετέρας φύσεως σημεῖον, ὅτι τὴν συγγένειαν ταύτην οὐκ ἠγνοήσατε οὐδὲ πεπόνθατε ταυτὸν τοῖς πολλοῖς, οἳ διὰ τοὺς νόθους τοῦ πράγματος δυσχεραίνουσι καὶ τοὺς γνησίους. ἀλλ᾽ οὐχ ὑμεῖς, ἀλλ᾽ οὐδὲν οἴεσθε προσήκειν τοῖς ἰατροῖς τοὺς φαρμακέας οὐδὲ τοῖς ῥήτορσι τοὺς συκο-
B φάντας, οὐδὲ ἄλλῃ τέχνῃ τοὺς ἃ μὴ πέφυκε τῇ τέχνῃ χρωμένους, καὶ διὰ τοῦτο τῶν βασιλείων οὐκ ἀπεληλάκατε τὸ τριβώνιον, οὐδὲ ἧττον ἔντιμον παρ᾽ ὑμῖν στρατηγίας καὶ σατραπείας.

Εὐριπίδης μὲν γὰρ ἢ ὅστις δήποτέ ἐστιν ὁ ποιήσας

Σοφοὶ τύραννοι τῶν σοφῶν συνουσίᾳ,

οὐκ ἦν οἶμαί που πυκνῆς διανοίας. οὐ γὰρ ἄν ποτε εὔνουν ὑπέλαβε τυραννίδι φιλοσοφίαν οὐδὲ τὰ ἀλλο-
d τριώτατα ὁμοήθη ἀρετὴν ὑπάρχειν καὶ μοχθηρίαν. ἀλλ᾽ ὥσπερ οἱ λίαν μελαγχολῶντες ἀποκλείουσι τοὺς θεραπεύοντας, οὕτω σοφίαν τυραννὶς οὐ προσίεται. Πλάτωνα γοῦν ἐπίπρασκε Διονύσιος καὶ Νέρων Μουσώνιον ἐξεκήρυττε καὶ εἶργε τὸν ἐκ Τυάνων ὁ ἀδελφοκτόνος. τῶν γὰρ αὐτῶν ἦν, ὡς ἔοικε, καὶ εἰς ἀδελφοὺς δυσσεβεῖν καὶ εἰς φιλοσόφους, ὥσπερ γε τοὔμπαλιν ἀναγκαῖον οἰκείαν καὶ ἔντιμον εἶναι φιλαδελφίᾳ φιλοσοφίαν. καὶ τοῦτο οὖν κακῶς ἡ τραγῳδία, καὶ
73 a πρός γε ἔτι κάκιον, ὅταν θεὸν λέγῃ τὴν τυραννίδα· καὶ γὰρ οὕτως εἰς ταὐτὸν πλημμέλημα περιίσταται. ὁ γὰρ θεὸς ὅ τι περ ἀκρότατον τῆς σοφίας, μᾶλλον δὲ αὐτοσοφία, καὶ ἐξῆν τῷ Εὐριπίδῃ ἀναβλέψαντι εἰς τὸν οὐρανὸν καταμαθεῖν καὶ διδαχθῆναι ὅτι μὴ τυραννίδος

86, 1 τῆς ὑμετέρας φύσεως A. τῆς φύσεως τῆς ὑμετέρας H. τῆς φύσεως] φύσιν ἐνταῦθα οὐ τὴν οὐσίαν λέγει, ἀλλὰ τὴν γνώμην καὶ τὴν διάθεσιν schol. A. 11 Εὐριπίδης] Vide ad Aristophanis Fragm. p. 136. 13 συνουσίᾳ] συνουσίαις A. 14 που add. A. 16 ἀρετὴν om. A. 23 φιλαδελφίᾳ φιλοσοφίαν A. φιλοσοφίᾳ φιλαδελφίαν H. 25 λέγῃ A. λέγει H. τὴν τυραννίδα] „Eurip. Phoen. 509. Troad. 1169.“ Iacobsius. 27 τῆς add. A. αὐτοσοφία A. αὐτὴ σοφία H. 29 μὴ A. οὐ H.

ἐστὶ τὰ ἐκεῖ, ἀλλ' εὐδαίμονος βασιλείας εὐδαίμονα ἔργα,
οὐ πρὸς ἐξουσίαν ἄκριτον ἀποχρωμένης τῇ τῆς δυνά-
μεως περιουσίᾳ, ἀλλὰ κατὰ τοὺς νόμους τοὺς ἑαυτῆς
διεξιούσης τὸν ἅπαντα αἰῶνα, οὓς αὐτὴ θεμένη πρὸς
σωτηρίαν τῶν ὄντων ἀκινήτους διαφυλάττει.

Τάξις γὰρ οὐκ ἀσθενείας σημεῖον, ἀλλὰ φύσεως b
ἀτρέπτου καὶ ἀθορύβου, καὶ ὅσον ἐκείνη τοῦ παντός
ἐστιν ἐγγυτέρω, τοσοῦτο μάλιστα τῆς τάξεως ἀπολέλαυ-
κεν· ἡ ταραχὴ δὲ καὶ ὁ κλόνος καὶ ὁ κυδοιμὸς ἐν σμι-
κρῷ μορίῳ τοῦ ὄντος, ἀλλ' ὅσων δι' ἔλλειψιν [κατ'
ἀσθένειαν καὶ τῆς τοῦ εἶναι] προσρήσεως ἐνδεέστερον.
ταύτης τῆς πολιτείας εἰκὼν οὐχ ἣν Μίνως ἐν Κρήτῃ
κατεστήσατο, οὐδ' ἣν Λυκοῦργος ἐν Λακεδαίμονι, οὐδ'
ἣν οἱ πάλαι Ῥωμαῖοι, ἀλλ' ἣν ὑμεῖς πολιτεύεσθον, ἣν
ὑμεῖς ἐλάχετε ἐπινεύσαντος τοῦ θεοῦ. μὴ γὰρ οἴεσθε, c
ὦ γενναῖοι, τοὺς στρατιώτας κυρίους εἶναι τηλικαύτης
χειροτονίας, ἀλλ' ἄνωθεν αὕτη κάτεισιν ἡ ψῆφος, ἄνω-
θεν ἡ ἀνάρρησις τελειοῦται — τοῦτο δέ φησιν Ὅμη-
ρος, ἡ τοῦ Διὸς βουλὴ — ταῖς τῶν ἀνθρώπων δια-
κονίαις. τοὐντεῦθεν οὖν ὑμέτερον δεῖξαι τῷ θεῷ τοὺς
στρατιώτας διακονήσαντας. ὡς εἰ μὲν τῷ κράτει μόνῳ
θαρσοίητε, δόξετε ἀκριβῶς παρὰ τῶν ὅπλων εἰληφέναι
τὴν δυναστείαν, εἰ δὲ τῷ κατ' ἀρετὴν ὑπερέχειν, ἐκ
τοῦ οὐρανοῦ φανήσεσθε προβεβλημένοι. τοῦτο γὰρ τῆς d
ἐκεῖθεν χειροτονίας σημεῖόν ἐστιν, οὐ χρυσοῦς ἀετὸς
οὐδὲ γράμματα πολυτίμητα οὐδὲ φλήναφος, ἀλλὰ γνώμη
πρὸς ἐκεῖνον ὁρῶσα καὶ πρὸς τὸν ἐκείνου ζῆλον συντε-
ταμένη. ὥσπερ οὖν ὑμῖν οὐκ ἀνεκτὸς ὁ δίχα τῶν ὑμε-
τέρων συμβόλων ἄρχειν ἐπιχειρῶν, οὕτως οὐδὲ τῷ θεῷ

87, 2 ἄκριτον ἀποχρωμένης A. ἀόριστον χρωμένης H. 3 τοὺς ἑαυτῆς A. τῆς ἑαυτῆς H. 7 ἀθορύβου A. ἀκινήτου H. ἐκείνη τοῦ παντὸς] ἤγουν ἡ ἄτρεπτος φύσις καὶ τὸ πᾶν schol. A. 10 δι' ἔλλειψιν A. διέλειψεν H. κατ' ἀσθένειαν καὶ τῆς τοῦ εἶναι om. A. 11 προσρήσεως A. παραρρήσεως H. 15 ἐλάχετε ἐπινεύσαντος A. ἐλάβετε ἐπινεύοντος H. 20 ὑμέτερον A. ὑμέτερόν ἐστι H. 22 ἀκριβῶς A. ἁπλῶς H. 27 συντεταμένη A. συντεταγμένη H. Vide Heusdii Spec. p. 105.

προσφιλὴς ὁ δίχα τοῦ θείου γνωρίσματος ἐναψάμενος τὴν ἁλουργίδα. ὥστε τοῦτ᾽ ἂν εἴη τὸ γνώρισμα ἐπιδεικτέον, ἐπεὶ τά γε ἀνθρώπινα ἐφ᾽ ὑμῶν καὶ λίαν ἔξω
74a τοῦ εἰωθότος. ἥ τε γὰρ παρὰ τοῦ πλήθους ἀνάρρησις τὸ ἔντιμον ἔχει ἥ τε παρ᾽ ἑνὸς τοῦ κρατοῦντος· ἄμφω ταῦτα ἐφ᾽ ὑμῶν συνδεδράμηκε. καὶ νικᾷ τῷ πλήθει μὲν ἅτερος, τῷ κρατοῦντι δὲ σὺ, μᾶλλον δὲ καὶ ἡ τοῦ πλήθους ψῆφος εἰς σὲ περιήκει. ὃν γὰρ ἅπαντες ἄνθρωποι προεστήσαντο, οὗτος σὲ κοινωνὸν ἐποιήσατο, καὶ δεῖγμα ἐξήνεγκεν ἀκριβὲς τοῦ προσηκόντως αὐτὸς εἰληφέναι, τὸ μεταδοῦναι τῷ πάντα ὁμοίῳ σοι.

Ἀλλ᾽ ἐγὼ τὰ χαμόθεν οὐκ ἀγαπῶ, ἀλλὰ τὸν ἄνωθεν ἐπιζητῶ χαρακτῆρα, κἀκεῖθεν ἐσπούδακα ἤκουσαν
b δειχθῆναι τὴν ψῆφον. τέως οὖν ἱκανόν μοι τοῦτο τεκμήριον τοῦ πεφηνέναι θεόθεν τὴν ὑμετέραν χειροτονίαν ἡ πρὸς ἀλλήλους εὔνοια καὶ σπουδή. ὅπου γὰρ καὶ τοὺς πατρῴαν διαδεξαμένους ἀρχὴν καὶ μερίτας κατὰ τὸν νόμον αὐτῆς γιγνομένους εἰς ἀνήκεστον ἀπέχθειαν ἐξήγαγεν ἡ συγγένεια, τί ἂν εἴποι τις ἐφ᾽ ὑμῶν, οἳ μηδὲ τοῦ νόμου προαναγκάζοντος τοῖς τῆς φύσεως δικαίοις ἐπηκολουθήσατε καὶ διενείμασθε τὴν βασιλείαν ὡς πατρῷον κλῆρον ἡσυχῇ καὶ ἀψοφητὶ, ἣν ἕτεροι κληρονομοῦντες δι᾽ ἀλληλοφονίας μετῆλθον; καὶ γὰρ
c οὐκ ἐμπέπλησται μὲν ἡ σκηνὴ παλαιῶν δραμάτων, νικᾷ δὲ τὰς σκηνὰς τὰ νεώτερα; καὶ ἄπειροι ἄν τις ἄνωθεν ἐπιὼν τὰ μειράκια τὰ Θήβησι, τοὺς Πελοπίδας, τὸν Καμβύσην, τὸν Νέρωνα, τὸν Δομετιανὸν, τὸν τοῦ Σεβήρου, τὰ χθὲς καὶ πρώην, οἳ τῆς φύσεως αὐτοὺς

88, 4 ἥ τε γὰρ A. εἴτε γὰρ ἡ H. 5 ἥ τε παρ᾽ A. εἴτε παρ᾽ H. 6 ὑμῶν A. ὑμῖν H. 7 δὲ καὶ] δὲ om. A.
11 τὸ μεταδοῦναι A. τῷ μεταδοῦναι H. 14 δειχθῆναι A. ἐπιδειχθῆναι H. 15 πεφηνέναι A. πεφυκέναι H. 18 τὸν νόμον A. τὸν om. H. 19 ἐξήγαγεν A. ἤγαγεν H.
20 προαναγκάζοντος] προσαναγκάζοντος Roulezius p. 28.
21 ἐπηκολουθήσατε A. ἠκολουθήσατε H. 22 ἕτεροι κλῆρον οἶσαν πατρῷον H. ἕτεροι κληρονομοῦντες A, quod recepi deleto πατρῷον.

πολυπλασίους ποιούσης ὑφ' ἑαυτῶν ἐμονώθησαν, καὶ τοσαύτη γένους πολυανδρία ἔρωτι μοναρχίας ἐξανάλωται ὑφ' ἑαυτῆς. πρὸς ὑμᾶς δὲ μικρὸν ὁ Ξέρξης, μικρὸν δὲ ὁ Σέλευκος, μικρὸν δὲ ὁ τοῦ Φιλεταίρου. οἱ μὲν γὰρ d τοῦτο μόνον ἀοίδιμοι, ὅτι μετρίως ἐχρήσαντο τοῖς ἀδελφοῖς τῆς βασιλείας ἀμφισβητήσασι, καὶ καθάπερ ἄλλο τι τῶν ἀπίστων ᾄδεται μὲν ὁ Μῆδος φεισάμενος Ἀριμένου διαδικασαμένου πρὸς αὐτὸν περὶ τῆς πατρῴας ἀρχῆς· ᾄδεται δὲ Εὐμένης συγχωρήσας Ἀττάλῳ νεωτερίσαντι. ὑμεῖς δὲ ἔγνωτε πλέον τι εἶναι φιλαδελφίαν ἐπιεικείας. οὐ γὰρ ἐξ ὧν ἀλλήλους οὐκ ἠδικήσατε, ἀλλ' ἐξ ὧν ἀλλήλους εὖ πεποιήκατε, δικαίως ἂν φιλοτιμοῖσθε. καὶ γὰρ εἰ θα- 75 a τέρου τὸ πλέον τῆς εὐποιίας, ἀλλ' οὐδαμοῦ τὸ πλέον ἐκείνῳ κεχαρισμένον. ἄλλως τε ὁ βασιλείας μεταδιδοὺς πόνου μερίτην ποιεῖται τὸν γινώσκοντα οὗ μετείληφεν, οὐχ ἡδονῆς οὐδὲ ῥᾳστώνης. ὡς ὅ γε ἐπὶ τούτοις κοινούμενος τὴν ἁλουργίδα οὐκ εὖ ποιεῖ τὴν ἀρχὴν οὐ μόνον ἐκεῖνον, οὗ τῇ κακίᾳ τὴν χορηγίαν προστίθησιν, ἀλλὰ καὶ τοὺς ἄλλους ἅπαντας, οὓς ἀπολαύειν ἀνάγκη διπλασίονος τῆς μοχθηρίας.

Ἔτι δὲ ὥσπερ οἱ στρατιῶται πλέον ἔχουσιν ἢ δε- b δώκασιν ἐκ τῆς ψήφου, οὕτω καὶ ὁ σὸς ἀδελφὸς προσλαβών, εἰ μὴ καὶ νῦν τὸ πλέον εὐλαβητέον, ἀλλ' ἐκεῖνό

89, 2 ἐξανάλωται A. ἐξηνάλωται H. 7 ὁ Μῆδος] ἴσως ὁ μίδας marg. A. ἀριμένου A. Ἀριαμένους H. Corrige Ἀρτεμένου seu quod Petavius volebat Ἀρτεμένους. 9 Εὐμένης] Vulgo Εὐμενής. 13 οὐδαμοῦ τὸ πλέον ἐκείνῳ κεχαρισμένον A. οὐδαμῶς τὸ πλέον ἐκεῖνο κεχαρισμένον H. 19 τοὺς ἄλλους ἅπαντας] ἢ τοὺς ἀρχομένους gl. A. 21 οἱ στρατιῶται δεδώκασιν ἐκ τῆς ψήφου αὐτῶν τὸ βασιλεῦσαι τοὺς βασιλεύσαντας, ἔλαβον δὲ πλέον τὸ ὑπὸ τοιούτων ἀγαθῶν βασιλεύεσθαι. οὕτω καὶ ὁ σὸς ἀδελφὸς προσλαβών, εἰ καὶ μὴ νῦν τὸ πλέον εὐλαβητέον, διὰ τὸ προχειρίσασθαι καὶ σὲ βασιλεῦσαι ἐκείνης. ἀλλ' ἐκείνῳ ταῦτο ἀνεπίφθονον ὅτι καὶ τοῦτο ὃ σοὶ δέδωκεν εἰς ἐκεῖνον ἐπάνεισι. συνεργὸν γάρ σε εὕρατο ἐν τοῖς τῆς βασιλείας πόνοις schol. A. 22 προσλαβὼν] „Fortasse σὲ προσλαβών." Iacobsius.

23 εἰ μὴ καὶ —] „Sensus est, nisi fortasse in hac quoque re illud πλέον timendum fuerit. at non timendum, sed sine ulla est invidia, quum —." Iacobsius.

γε ἀνεπίφθονον, ὅτι καὶ τοῦτο εἰς ἐκεῖνον ἐκένωσεν ὃ προῄρηται. οὐ γὰρ ἀπεστέρηται τοῦ μέρους τῆς βασιλείας, ἀλλὰ τὸ βασιλέως εἶναι μεῖζον προσείληφεν. βασιλέα μὲν γὰρ αὐτὸν οἱ στρατιῶται, μέγαν δὲ σὺ βασιλέα πεποίηκας· καὶ λαβὼν τὴν ἁλουργίδα ἀντιδέδωκας
c ἑτέραν ψυχήν, ἀντιδέδωκας ἕτερον σῶμα, καὶ ὁρᾶν πλείω καὶ ἀκούειν, καὶ δημηγορεῖν ἅμα ἐν τοῖς μακρὰν διῳκισμένοις καὶ δικάζειν ἐν ταὐτῷ Σύροις καὶ Βρεττανοῖς. καὶ τὸν μὲν Δία φησὶν ὁ ποιητὴς μεταφέρειν ἀπὸ τῆς Τροίας ἐπὶ τὴν Θρᾴκην τὸ ὄμμα, καὶ ταῦτα ἀντιπέρας οὖσαν, τῷ δὲ ἔνεστιν ἅμα τε τὴν Ἰταλίαν ὁρᾶν καὶ τὸν Βόσπορον ἐπιπολεῖσθαι, καὶ εἰ βουληθείη τὸν ὠκεανὸν καὶ τὸν Τίγρητα ὑπολαβεῖν ἅμα τῷ ἀμφοτέρω ἔχειν τὰς ἐσχατιὰς τῆς γῆς, οὐδὲν κωλύει. ἆρά
d σοι δοκεῖ δεδωκέναι πλέον ἢ εἰληφέναι; καὶ νῦν ὑπάρχει τὸ ὑπήκοον τῆς Ῥωμαίων ἀρχῆς καὶ πρὸς ἕω καὶ πρὸς ἑσπέραν οὐχ ὁπλίταις οὐδὲ ἱππεῦσιν, ἀλλὰ βασιλεῦσι πεφράχθαι, καὶ βασιλεῦσιν ἀρτίοιν ἀμφοῖν, ὁλοκλήροιν δυοῖν καθάπερ ἑνί. οὐ γὰρ νέμεσις τῷ λόγῳ φιλοτιμεῖσθαι καὶ πρὸς τὴν ὑπόθεσιν.

Ἐπεὶ καὶ τοῦτο πηλίκον ἐστί, τὸ μὴ χωλεύειν τὴν
76 ξυνωρίδα, μηδὲ τοὔνομα μὲν τῆς βασιλείας ἀμφοῖν ἐπικεῖσθαι, τοὔργον δὲ θατέρῳ μόνῳ προσήκειν, ὃ σχεδὸν ἅπαντες οἱ πρὸ ὑμῶν ὑπομείναντες οὐκ εἰς καλὸν ἀπέλαυσαν τῆς κοινωνίας, οἱ μὲν παῖδας, οἱ δὲ ἀδελφούς, οἱ δέ τινας τῶν φιλτάτων πρὸς αἵματος προσελόμενοι μὲν ὡς ὀφειλομένης αὐτοῖς τῆς τιμῆς, εὐθὺς δὲ ἐν οἷς ἐτίμων πλεονεκτήσαντες, καὶ οὐχ οἷς ἔδοσαν εὔνους ποιήσαντες, ἀλλ' οἷς ἠλάττωσαν παροξύνοντες.

90, 7 δημηγορεῖν A. δημιουργεῖν H. 12 ἐπιπολεῖσθαι] ἐπιπωλεῖσθαι Lobeckius ad Phrynich. p. 584. hic et infra pag. 152 b. 13 ὑπολαβεῖν] ὑποβαλεῖν Morelius. ἅμα addit Iacobsius. 14 κωλύει A. κωλύσει H. ἆρα] Vulgo ἄρα. 16 τὸ ὑπήκοον A. τοῖς ὑπηκόοις H. 17 ἑσπέραν A. ἑσπερίαν H. 19 καθάπερ A. ὡς H. 20 καὶ πρὸς A. καὶ om. H. 25 ἀπέλαυσαν] Vulgo ἐπήλαυσαν. 26 προσελόμενοι] προελόμενοι A.

ὁ δὲ τέλεια μὲν λαβών, τέλεια δὲ νείμας, ἀδελφὸς καὶ b πατήρ, τὸ μὲν ἐκ τῆς φύσεως, τὸ δὲ αὐτὸν ποιήσας; ἴσα μὲν ἐδωρήσατο, σύμπαντα δὲ ἔχει δι' εὐπείθειαν τοῦ κοινωνήσαντος, καὶ τοῦ τεθρίππου τοῦ παρ' Ὁμήρῳ, ὃ τὼ παῖδε τοῦ Ἄκτορος ἡνιόχουν, σύμπνους μᾶλλον καὶ ὁμοπαθὴς ἡ Ῥωμαίων ἀρχή. οὐ γὰρ ὁ μὲν κεντεῖ, ὁ δὲ ἄγει, ἀλλ' ἄγουσιν ἄμφω ταῖς αὐταῖς ἡνίαις. d

Ἔστι μὲν οὖν καὶ καθ' αὑτὸ ἀγαπητὸν τοῖς ὑπηκόοις ἡ τῶν βασιλέων φιλαδελφία, καὶ τὸ κυβερνᾶσθαι ὑπὸ πλειόνων ἐκ μιᾶς γνώμης τιμιώτερον εἰς ῥᾳστώνην ὁμοῦ c καὶ ἀσφάλειαν. καὶ γὰρ τὸ τῶν δικαίων ἐγγυτέρω τυχεῖν καὶ τεθαρρηκέναι μᾶλλον ἁπανταχοῦ, πλησίον ὄντων c τῶν ὅπλων, νῦν ῥᾷον ἢ πρότερον ἡμῖν ὑπάρχει. ἀλλ' οὐ τοῦτό ἐστι τὸ μέγιστον ὧν κερδανοῦμεν, ἀλλ' ὅτι σημεῖόν ἐστι φιλαδελφία φιλανθρωπίας, καὶ ὥσπερ ἀρχὴ καὶ στοιχεῖον τῆς πρὸς ἅπαντας ἀνθρώπους εὐνοίας ἡ πρὸς τοὺς συγγόνους καὶ ὁμοσπόρους. ἡ γὰρ φύσις ἡ πλείστου ἀξιώσασα ἄνθρωπον τῶν λοιπῶν ζῴων πόρρωθεν ἡμᾶς πρὸς ἅπαν συνδέουσα τὸ ὁμόφυλον ἐκ d τῶν ἐγγύθεν καὶ ἀφ' ἑστίας καταβέβληται τὰ προοίμια, καὶ ἕπεται τῷ φιλαδέλφῳ μὲν ὁ φιλοίκειος, τῷ φιλοικείῳ δὲ ὁ φιλόπατρις, τῷ φιλοπάτριδι δὲ ὁ φιλάν- b θρωπος. καὶ οὐκ ἔνεστιν ἐν τοῖς προθύροις τῆς φύσεως ἑαλωκότα μὴ γενέσθαι καὶ προϊούσης κατήκοον.

Καίτοι τί δέομαι κατὰ σμικρὸν ἐπιπλέκειν αὐτό- 77 a θεν ἀναγκαῖον εἶναι τοὺς φιλαδέλφους καὶ φιλανθρώπους; δεῦρο ἴτε, ὦ μακάριοι, δεῦρό ἴτε, ἀναγνωρίσατε τὸν ἀληθινὸν πατέρα, τὴν ἐκείνου πολυπαιδίαν καὶ τὸ ξύμπαν πλῆθος τῶν ἀδελφῶν. οὐκ εἰσὶ πεντήκοντα μόνον ὅσους Αἴγυπτος ἐποίησεν οὐδ' ὅσους ἀριθμοῦσιν

91, 2 αὐτὸν A. αὐτὸς H. 9 καθ' αὑτὸ A. καθ' ἑαυτὸ H. 15 τὸ μέγιστον A. τὸ om. H. κερδανοῦμεν A. κερδαίνομεν H. 20 ἡμᾶς] ὑμᾶς A. 24 ἔνεστιν A. ἔστιν H. 25 γενέσθαι A. γίνεσθαι H. 29 πατέρα A. ἡμῶν πατέρα H. 31 μόνον] μόνοι H.

δὲ ποιητικῶς τοὺς Πριαμίδας, ἀλλ' ὅσοις ἔνεστιν ὁ χαρακτὴρ ὁ πατρῷος ἡ τοῦ λόγου κοινωνία καὶ ἡ τοῦ σώματος πρὸς τὸν λόγον εὐαρμοστία, οὗτοι πάντες
b ὁμόσποροι καὶ αὐτάδελφοι ὑμῖν τε καὶ ἀλλήλοις. ἰδοὺ τὸ γνώρισμα ἐπισκέψασθε, εἰ μὴ δωρεῶν καὶ δακτυλίων ἐχεγγυώτερον. ἢ τοῖς Πελοπίδαις μὲν ἐξήρκει καὶ μόριόν τι περὶ τὸν ὦμον ἐξεικασμένον ἐλέφαντι πρὸς ἀπόδειξιν τῆς συγγενείας, ὑμῖν δὲ ἅπαν τὸ σῶμα οὐκ ἐξαρκέσει δεῖξαι ἕνα τὸν σπορέα καὶ ἀρχηγέτην; καίτοι πόσῳ τοῦ σώματος ἐναργεστέρα ἡ κατὰ ψυχὴν συγγένεια καὶ ὁμοιότης, ὅταν ὡς πέφυκε διασώζηται; περὶ ἀρετῆς ἅπαντες ἀμφισβητοῦμεν, κακίαν ὁμολογεῖν αἰσχυνόμεθα,
c μονωθέντες οὐ καρτεροῦμεν, ἐπιβοώμεθα ἀλλήλους ἐν τοῖς θορύβοις, ἀπαράκλητοι συντρέχομεν εἰς τοὺς κινδύνους, μία τροφὸς ἡμᾶς τιθηνεῖται, κοινὴν κεκτήμεθα πατρῴαν οὐσίαν, τὴν γῆν καὶ τὴν θάλατταν καὶ τὸν ἀέρα καὶ τὸ ὕδωρ, καὶ δὴ καὶ φυτὰ καὶ ζῷα, καὶ τὰ μὲν διενειμάμεθα πρὸς ἀλλήλους, τὰ δὲ ἔτι καὶ νῦν ἀνέμητα ἡμῖν τῶν κτημάτων. ἐῶ τἆλλα· μόνοι τῶν ἐπὶ γῆς τικτομένων αἰσθανόμεθα τοῦ πατρὸς ἢ σαφέστερον ἢ ἀμυδρότερον. καὶ γὰρ εἰ τὰ ἐφεξῆς διεστήκαμεν, ἀλλ' εἰς ἐκεῖνόν γε ἅπαντες ἐπερειδόμεθα.

d Οὐκ ἄρα μάτην ὁ σοφώτατος Ὅμηρος ἀπεσχεδίαζεν ἐν τοῖς ἔπεσι, συνεχῶς ἀνυμνῶν τὸν αὐτὸν καὶ ἕνα πατέρα ἀνδρῶν τε θεῶν τε. καίτοι διὰ τί αὐτὸν οὐχ ἵππων λέγει πατέρα οὐδὲ μὰ Δία κυνῶν ἢ λεόντων; ὅτι τοῖς μὲν ἄλλοις ἅπασι ζῴοις οὐ μέτεστιν, οἶμαι, οὐδὲ μικρὰ μερὶς τοῦ γεννήτορος· οὐκοῦν οὔτε ἐκείνου συνιᾶσιν οὔτε ἀλλήλων, εἰς ἀνθρώπους δὲ μόνους κα-

92, 5 δωρεῶν] ῥᾴον A. δεραίων Harduinus. 10 πόσῳ A. πόσον H. 11 περὶ add. A. 13 ἐπιβοώμεθα A. ἐπιβοῶμεν H. 18 διενειμάμεθα A. διανειμάμενοι H. 19 ἡμῖν om. A. 21 διεστήκαμεν] ὁ μὲν βασιλεὺς καὶ πλούσιος καὶ δυνάστης, ὁ δὲ πτωχὸς καὶ ἰδιώτης καὶ πένης, καὶ ταῖς τύχαις διεστήκαμεν, ᾗ ὁ μὲν σοφὸς καὶ ἄγροικός schol. A. 22 ἐπερειδόμεθα A. ἀπερειδόμεθα H. 23 μάτην om. A. 29 συνίασι A. συνίησιν H.

θήκει τοῦ δευτέρου κρατῆρος ἀπορροή. καὶ τὸ λόγου 78 a κοινωνεῖν οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ κοινωνεῖν τοῦ θείου σπέρματος. Ὁμήρῳ δὲ ταῦτα γινώσκει καὶ ὁ Βοιώτιος ποιητὴς „Ἓν ἀνδρῶν, ἓν θεῶν γένος, ἐκ μιᾶς δὲ φῦμεν ματρὸς ἀμφότεροι,“ καλῶς ἡμᾶς οὗτος πρὸς τῷ πατρὶ καὶ ἐκ τῆς μητρὸς ἐξοικειούμενος. εἰ τοίνυν ἅπαντες ὁμοπάτορες καὶ ὁμομήτορες καὶ ἐκ τοκέων ἁγιωτέρων, οὐδέν, ὡς ἔοικε, διενήνοχε φιλαδελφία φιλανθρωπίας. νῦν δὲ λίαν στενοὺς αὐτῇ καὶ περιγράπτους ὅρους ποιούμενοι τοὺς μὲν Οἰδίποδος υἱέας βδελυττόμεθα ἐν b ταῖς τραγῳδίαις ὡς τέρατα καὶ ὀνείδη τῆς φύσεως, τὰς δὲ πρὸς ἀλλήλους ἡμῶν ἐπιβουλὰς καὶ ἀπεχθείας οὐκ ἀξίας τραγῳδίας ὑπολαμβάνομεν, οὐδ' αἰδώς τις ἡμᾶς ἔχει τοῦ πατρὸς, εἰ μηδέποτε αὐτὸν εὐφρανοῦμεν τῇ πρὸς ἀλλήλους εἰρήνῃ.

Ἀλλ' οὐχ ὑμῖν γε ἀνεκτὸν τοῦτο, ὦ βασιλεῖς. ἀλλ' ἐπειδὴ ὁ κοινὸς ὑμᾶς ἀρχηγέτης ὡς πρεσβυτάτους τε καὶ ἐντιμοτάτους τοῦ λοιποῦ γένους προὐστήσατο, μήτε πρὸς ἀλλήλους ἑτέρως σχοίητε μήτε πρὸς ἡμᾶς ἢ ὡς c ὁ πατὴρ προαιρεῖται· προαιρεῖται δὲ εἰρηνικῶς καὶ ἡμέρως καὶ φιλανθρώπως, καὶ ὡς αὐτὸς ἔχει πρὸς τὰ ἄλλα ἔργα αὐτοῦ καὶ γεννήματα. ὁρᾶτε ὡς ὁ κεραυνὸς ὀλιγάκις καὶ ἐπ' ὀλίγους, τὸ φῶς δὲ πανταχοῦ καὶ ἐφ' ἅπασιν. οὐκ ἔνεστιν οὖν πρὸς τὸν θεὸν ὁμοιωθῆναι τῆς πρὸς ἀνθρώπους εὐμενείας ὀλιγωρήσαντας. οὐ γὰρ τῷ μετ' ἐμπειρίας ἱππηλατεῖν ἢ τοξεύειν ἢ ἀκοντίζειν ἐκεῖνον ἄν τις ζηλώσειεν, οὐδὲ μὰ Δία τῷ κρατεῖν τῶν ἐκ τοῦ σώματος ἡδονῶν· ἀλλὰ ταῦτα λίαν χαμαίζηλα τῆς ψυχῆς ἀγαθὰ καὶ ὄντως χθόνια καὶ ἀνθρώπινα, d

---

93, 4 ποιητὴς] Pindarus Nem. VI, 1. 5 ματρὸς A. γαστρὸς H. αὗτος A. οὕτως H. 8 ὡς ἔοικε A. ὄντως H. φιλαδελφία φιλανθρωπίας A. φιλανθρωπία φιλαδελφίας H. 9 λίαν στενοὺς αὐτῇ καὶ A. στενοὺς αὐτῇ καὶ λίαν H. 22 ἔργα] γένη A. ἄλλα γένη αὐτοῦ καὶ γεννήματα τὰς νοητὰς λέγει οὐσίας, οἷον χερουβὶμ, σεραφὶμ καὶ πάντα τὸν τῶν ἀγγέλων διάκοσμον schol. A. 24 ἅπασιν A. ἅπαντας H. ἔνεστιν A. ἔστιν H.

μόνον δὲ ἐκεῖνο θεῖον ἀτεχνῶς καὶ οὐράνιον ἐπ' ἐξουσίας ἔχειν καὶ ἐν ῥαστώνῃ εὐδαιμονίαν ἀνθρώπων. καὶ τοῦτο ἡ θειότης ἐστίν, ἐξ ἧς συνεχῶς ὑμᾶς ὀνομάζομεν, ἣν οὐχ ὅσιον ἄλλῳ ἐπαληθεύεσθαι, μὴ προϋπαρχούσης φιλανθρωπίας.

Ὡδὶ δὲ σκόπει· τριῶν ὄντων, οἷς ὁ θεὸς διαφέρων θεός ἐστιν, ἀϊδιότητι ζωῆς, περιουσίᾳ δυνάμεως,
79 τῷ μὴ διαλείπειν εὖ ποιεῖν ἀνθρώπους, καθ' ἓν μόνον τοὔσχατον τῶν εἰρημένων ἐφικτὴ βασιλεῖ πρὸς τὸν θεὸν ἡ ὁμοίωσις. τὸ μὲν γὰρ ἢ τῷ χρόνῳ ποτὲ ἐξικέσθαι τοῦ παντὸς αἰῶνος ἢ τῇ περιουσίᾳ τῆς δυνάμεως ἁμιλληθῆναι οὐδεὶς ἂν οὐδ' ἐγγὺς ὑπολάβοι, ὅστις μὴ παρίησι τοὺς Ἀλωάδας ἀποπληξίᾳ. ἡ δὲ εἰς ἀνθρώπους ἀρετὴ καὶ πρᾳότης καὶ εὐμένεια — ὀκνῶ μὲν εἰπεῖν καὶ λίαν ὀκνῶ, ξυγχωρεῖ δὲ ἡ ἀλήθεια — μὴ καὶ μᾶλλόν ἐστιν ἐγγυτέρα τῷ κοινωνοῦντι τῆς φύσεως; αὕτη ποιεῖ θεοείκελον, αὕτη θεοειδῆ, οὕτω διοτρεφὴς
b γίνεται βασιλεύς, οὕτω διογενής, οὕτως αὐτῷ τὴν θειότητα ἐπιφημίζοντες οὐ ψευσόμεθα· οὐκ ἐὰν τὸν Ἄθω τῆς γῆς ἀπορρήξῃ, οὐδ' ἂν ἐμπλήσῃ νεκρῶν τὴν Ἀσίαν. σεισμοῦ γὰρ ἑνὸς καὶ λοιμοῦ τὰ τοιαῦτα ἔργα καὶ πολλῷ μείζω καὶ ἀτοπώτερα. οὐδὲ γὰρ ἐν τοῖς γνωρίσμασιν οἷς κατέλεξα τοῦ θεοῦ ἄλλο τι μᾶλλον ἐκλάμπει τῆς φύσεως τῆς μακαρίας ἢ τἀγαθόν. διὸ καὶ τοὔνομα ἐντεῦθεν αὐτοῦ πεποιήμεθα ὡς προσφυέστατόν τε καὶ ἀξιώτατον, ἐπεὶ καὶ τὸ μακραίωνα εἶναι καὶ ὑπερβάλλειν δυνάμει πολλοῖς καὶ τῶν ἀψύχων ὑπάρχον ὁρῶμεν.

c Ἀλλ' Ὅμηρος, ὡς ἔοικε, τοῦτο οὐκ ὀρθῶς ὑπο-

94, 1 ἐξουσίας A. ἐξουσίᾳ H. 4 ὅσιον ἄλλῳ A. οἷόν τε ἄλλως H. προϋπαρχούσης] προσυπαρχούσης A. 7 θεός add. A. 9 τὸν θεὸν ἡ A. Articulos om. H. 10 ἐξικέσθαι] ἀντὶ τοῦ διαρκέσαι τῷ παντὶ αἰῶνι schol. A. 12 μὴ A. ἂν μὴ H. 13 Ἀλωάδας] ἀλωάδες A. Ἀλεάδας H. Vide Hemsterhus. ad Lucian. vol. I. p. 494. ἀποπληξίᾳ A. εἰς ὑποπληξίαν H. 25 προσφυέστατον A. προφανέστατον H.

λάμβανε, δύο κατακεῖσθαι πίθους ἐν τῷ Διὸς οἴκῳ κηρῶν ἐμπλέους, τὸν μὲν ἐσθλῶν, τὸν δὲ ἕτερον τῶν ἐναντίων. κακῶν γὰρ οὐκ ἔστιν ἐν τῷ οὐρανῷ ταμιεῖον, ἀλλ' ὁ πίθος οὗτος πεφύρηται ἐνθένδε ἀπὸ τοῦ πηλοῦ τοῦ παρ' ἡμῖν καὶ τῆς γῆς, καὶ ἡμεῖς αὐτὸν ἐμπίπλαμεν καὶ ἐκκενοῦμεν. οὐδ' ἴωμεν ἀκράτους ἐπιρρεῖν πηγὰς τῶν ἄνωθεν ἀγαθῶν, ἃ χορηγεῖ συνεχῶς ἀκάματι νόῳ, καθάπερ λέγει ἡ φιλοσοφοῦσα ποίησις, ὁ τῶν ἰάων δοτήρ, ὁ τῆς εὐνομίας ταμίας, οὗ πάρεδρος Δίκη τε καὶ Εὐνομία· ᾧ παραστατοῦσιν αἱ Χάριτες, Εὐ- d
φροσύνη καὶ Ἀγλαΐα Θαλίη τ' ἐρατεινή· οὗ πᾶσαι ἐκ φιλανθρωπίας ἐπωνυμίαι, ὁ μειλίχιος, ὁ φίλιος, ὁ ξένιος, ὁ ἱκέσιος, ὁ πολιεύς, ὁ σωτήρ.

Τοῦτον ἂν βουλοίμην ἐγὼ τὸν κατάλογον τῶν ὀνομάτων προγράφεσθαι ὑμῶν, ὦ βασιλεῖς, ὡς πολὺ θειότερον καὶ πρέποντα μᾶλλον ἢ τὸν ἀπὸ τῶν ἐθνῶν τῶν ἡττημένων. ἐκείνων μὲν γὰρ οὐδέν ἐστιν ἐκ τοῦ οὐρανοῦ, οὐχ ὁ Περσικός, οὐχ ὁ Γερμανικός, οὐχ ὅσα ἂν εἴποις· καὶ ἅμα εἰ μὴ παρακινοῖεν οἱ βάρβαροι, 80 a
ψεύδεσθαι γράφοντας ἀναγκαῖον. ταῦτα δὲ ἀνέκαθεν ὑμῖν πατρῷα, καὶ χρῆσθαι αὐτοῖς ἔνεστι καὶ ἐν πολέμῳ καὶ ἐν εἰρήνῃ, μᾶλλον δὲ καὶ αὐτοὺς ἐπὶ τῶν θρόνων καθεζομένους, καὶ νεύματι ψιλῷ καὶ ῥήματι σμικρῷ πολὺν τοῦτον τὸν κατάλογον βεβαιώσασθαι, οἷον πάλαι ποτὲ ἐπυθόμην ῥῆμα αὐτοκράτορα εἰπεῖν Ῥωμαίων, ὅτι σήμερον οὐκ ἐβασίλευσα· οὐδένα γὰρ τήμερον εὖ ἐποίησα. ἢ πολλαῖς τε καὶ μεγάλαις ἱππομαχίαις καὶ πεζομαχίαις αὕτη ἡ γνώμη παραβαλεῖν ἰσοστάσιος. ἐγὼ γὰρ οὐκ b
ἔλαττον αὐτὴν τέθηπα τῶν Ἀλεξάνδρου τροπαίων. τί

95, 1 τῷ Διὸς A. τῷ om. H. 2 ἐμπλέους A. ἐμπλείους H. 3 ταμιεῖον] Vulgo ταμεῖον. 6 ἀκράτους A. ἀκηράτους H. 7 τῶν ἄνωθεν A. τῶν om. H. 10 Ἀγλαΐα καὶ Εὐνομία H. καὶ Εὐνομία om. A. 11 Ἀγλαΐα] Hesiodus Theogon. v. 909. Θαλίη τ' A. καὶ Θάλεια H. 21 χρῆσθαι A. καὶ χρῆσθαι H. 22 τῶν θρόνων A. τοῦ θρόνου H. 23 ψιλῷ] φίλῳ A. σμικρῷ codex Vales. ap. Boisson. ad Marin. pag. 86. μικρῷ H.

λέγεις, ὦ θεοειδέστατε βασιλεῦ; οὐκ ἐβασίλευσας τήμερον, ἐπεὶ μηδένα τήμερον εὖ ἐποίησας; καὶ πότε πλείους ἄλλοτε εὖ ἐποίησας ἢ ὁπηνίκα ταύτην ἀνεῖπας τὴν γνώμην, δι' ἧς ἅπαντες ἐδιδάχθησαν οἱ μετὰ σὲ βασιλεύσαντες τί τὸ ἔργον αὐτῶν καὶ τί τὸ πρακτέον αὐτοῖς συνεχῶς, εἰ τοὔνομα διασώσαιντο. ὥστε, ὦ βασιλεῦ, δίκαιόν γε εἰπεῖν ὡς οὐδὲ ἡ τότε σοι τῆς βασιλείας ἡμέρα παραπώλετο· ἣν γὰρ ἔνδειαν ἐμέμψω c τῷ λόγῳ, ταύτην σοι ὁ λόγος αὐτὸς ἀνεσώσατο.

Τοιοῦτον δέ τι καὶ ἑτέρου βασιλέως ἔχοιμ' ἂν λέγειν οὐ λίαν ἀρχαῖον οὐδὲ τῆς χρυσῆς γενεᾶς, ἀλλ' ἐφ' ἡμῶν τουτωνὶ τῶν νῦν σε περιεστώτων, ὃς τοῦ μάλιστα ἀνιάσαντος ἐν τῇ τῆς ἑσπέρας ἐπαναστάσει κύριος γεγονὼς μετὰ τὴν φυγὴν τοῦ βαρβάρου ἅμα τῷ λαβεῖν τὴν ἐξουσίαν κατέθετο τὴν ἀπέχθειαν, καὶ ἠμύνατο τὰς λοιδορίας εὐεργεσιῶν ὑπερβολαῖς· ὥστε εἰς μεταμέλειαν καταστῆσαι καὶ τῇ παρ' ἑαυτοῦ λύπῃ κολάσαι τὸν d πλημμελήσαντα, αἰσθανόμενον ἐξ ὧν εὖ ἔπασχεν οἷον ἠδίκει. οὕτως οὐκ ἀντιβλάπτοντα προσήκει τὸν ἀληθινὸν βασιλέα, ἀλλ' εὖ ποιοῦντα κρείττω γίνεσθαι τοῦ λελυπηκότος. ἀρετῆς γὰρ αὕτη νίκη, τιμωρία δὲ δυνάμεως. μέγαν τε χρὴ μὴ τῷ θυμῷ ποιεῖν ἑαυτόν, ἀλλὰ τῇ μεγαλοψυχίᾳ· τοῦτο γὰρ θεῖον τὸ μέγεθος, ἐκεῖνο δὲ σμικρὸν καὶ ἀνθρώπινον, καὶ ποιεῖ κυπτόντων ὑψηλότερον οὐκ ἀνεστώτων. ἐγὼ δὲ εὐξαίμην ἂν οὐχ ὑμᾶς, ἀλλ' ὑπὲρ ὑμῶν δεδιέναι, καὶ τοιούτῳ φόβῳ παρὰ 81 a πάντων τῶν ὑπηκόων δορυφορεῖσθαι ὑμῖν τὴν βασιλείαν· οἷον ὑπὲρ ἀλλήλων δεδοίκαμεν.

Εἶτα ἐγὼ τὰ μὲν ἀλλότρια πρὸς σὲ καταλέγω, τὰ σὰ δὲ οὐκ οἶδα ὅπως παρίημι, καὶ ταῦτα ἔναυλον εἰς τὰ ὦτα ἐνδεδυκότα περιφέρων ἔτι τὸν λόγον, ὃν πρώην

96, 7 ὡς οὐδὲ A. ὡς om. H. 9 ἀνεσώσατο] ἀπεσώσατο Iacobsius apud Geellerum p. 265. 10 ἔχοιμ' A. ἔχοιμεν H. 15 κατέθετο A. ἀπέθετο M. 18 καὶ αἰσθανόμενον H. καὶ om. A. 19 εὖ om. M. 20 γίνεσθαι A. γενέσθαι H. 25 ὑμῶν] ἡμῶν A. 30 ἔναυλον] Ex Platone: vide Ruhnken. ad Timaeum p. 100.

διελέχθης πρὸς τὴν βουλὴν καὶ παραδέδωκας ἐγγυητὴν
τῆς μελλούσης εὐδαιμονίας. καὶ δῆτα ἠγάσθην ἐγὼ
τῆς φύσεως τῆς ἀνθρωπίνης, ὅτι μία ἐστὶν ἀτεχνῶς
καὶ συμφέρεται πολλαχῇ. ἃ γὰρ Πλάτων ὁ θεσπέσιος
ὑπὲρ ἀρχῆς διωρίζετο, ταῦτα ἄντικρυς ἐπιγινώσκω ἐν
τοῖς ὑπὸ σοῦ λεγομένοις, τοῖς ῥήμασι μόνοις διηλλα- b
γμένα. καὶ γὰρ ὅτι πρὸς τῶν ἀρχομένων ἐστὶν αὐτουρ-
γοὺς πρότερον γεγενῆσθαι τοὺς βασιλέας, ἀκολακεύτῳ
καὶ ἐπιπόνῳ τροφῇ τεθραμμένους, γεωργήσαντας, λει-
τουργήσαντας, θυραυλήσαντας, στρατευσαμένους, ἐν-
αυξηθέντας τῇ δυσχερείᾳ τοῦ βίου τοῦ ἀνθρωπίνου,
ὡς Κῦρος, ὡς Νομᾶς, ὡς Δαρεῖος, ὡς Ῥωμαίων οἱ
δοκιμώτατοι, καὶ ὅτι χαλεπώτερον νόσημα τῆς ἀρχῆς
τοῖς συκοφάνταις ἐκκεῖσθαι τοὺς ὑπηκόους ἢ τοῖς βαρ-
βάροις, ὥσπερ, οἶμαι, σώμασι χαλεπώτερα τὰ ἔνδοθεν c
ἀρρωστήματα τῶν ἔξωθεν ἐμπιπτόντων· ταῦτα ἅπαντα,
ἅπερ εἶπον, ἐκ τῶν ἀδύτων τῆς Ἀκαδημίας.

Ἐγὼ σέ, ὦ βασιλεῦ, φημὶ δεῖν τὸν λόγον ἐκεῖνον
προτίθεσθαι, εἰς ὃν ὥσπερ κάτοπτρον ἑκάστης ἡμέρας
ἀποβλέπων καὶ ἀτενίζων, οὐ τὰς κόμας εὐπρεπέστερον
διαθήσεις, ἀλλὰ τὴν Ῥωμαίων ἡγεμονίαν. οὐδέν σοι
προσδεῖ τῶν Μάρκου παραγγελμάτων, οὐδ' εἴ τι χρη-
στὸν ὁ δεῖνα τῶν ἀρχαίων αὐτοκρατόρων ῥῆμα προή-
κατο, ἀλλ' οἴκοθεν τὸν Φοίνικα ἔχεις, οἴκοθεν τὸν
ἐξηγητὴν τῶν τε ῥητέων καὶ τῶν πρακτέων.

Ὅταν δὲ καὶ τὰς ὑπὲρ τοῦ πατρὸς φωνὰς ἐννοή- d
σω, οὐκέτι ζητῶ τὴν αἰτίαν τῆς φιλαδελφίας. ὃς γὰρ
οὕτω τὴν εἰκόνα αὐτοῦ τὴν χαλκῆν ἀγαπᾷς, ὡς τοσαύ-
την χάριν ὁμολογεῖν τοῖς ψηφισαμένοις, εἰκότως δήπου
τὴν ἔμψυχον εἰκόνα αὐτοῦ περὶ πλείστου ποιῇ καὶ ἐρᾷς
οὐκ ἔλαττον ἢ σεαυτοῦ, εἴπερ γε καὶ αὐτὸς ἔμπνους

97, 5 ὑπὲρ ἀρχῆς add. A. ἐπιγινώσκω A. ἐπιγιγνώσκω H. 6 τοῖς ῥήμασι A. τοῖς om. H. 15 οἶμαι add. A. ἔνδοθεν ἀρρωστήματα A. ἔνδον ἀρρωστημάτων H. 19 εἰς ὃν hoc loco A, post ἡμέρας H. 20 εὐπρεπέστερον Iacobsius ad Ach. Tat. p. 579. Vulgo εὐτρεπέστερον. 23 ἀρχαίων add. A. 30 πλείστου ποιῇ A. πολλοῦ ποιεῖς H.

εἰκὼν τοῦ αὐτοῦ παραδείγματος. ταῦτα δὲ ἄρα οὐδὲ
82 a ἀκαρῆ πρὸς τὴν τύχην ἄνισον γενομένην ἐκαρτερήσατε, ὡς τάχιστα αὐτὴν ἀλλήλοις ἐπανισώσαντες, φοιτήσαντες μὲν εἰς τὸ προαστεῖον βασιλεὺς καὶ ἰδιώτης, ἐπανήκοντες δὲ οὐκ εἰς μακρὰν ξυνωρὶς αὐτοκρατόρων, ἀγαλλόμενος ἑκάτερος τῷ συνέδρῳ μᾶλλον ἢ ἑαυτῷ, περιρρεόντων ἔνθεν καὶ ἔνθεν τῶν ὑπηκόων ὑφ' ἡδονῆς, αὐτοῦ πεπιστευκότος ὑμῶν ἑκάστου διπλασίονος γεγενῆσθαι. οὐδεὶς οὕτω περιχαρὴς εἰσῆλθε μοναρχήσας ὡς ὑμεῖς νειμάμενοι τὴν ἀρχήν· ὤ, πόσης φιλαδελφίας καὶ τὰς ἡμετέρας οἰκίας ἐνεπλήσατε. τίς οὐκ αἰσχύνεται λοιπὸν
b ὑπὲρ ἀνδραπόδων ἢ γῆς ὀλίγης στασιάζειν πρὸς ἀδελφόν, ὑμᾶς ὁρῶν τὴν γῆν ὅλην καὶ πάντα γένη ἀνθρώπων ἀψοφητὶ διελομένους;

Ἀλλ' ὥσπερ οὐδὲ τοὺς ἀφ' αἵματος ἅπαντας τῆς ἴσης ἀξιωτέον εὐνοίας, οὐδ' ὑμεῖς μετά γε ἀλλήλους τοῖς ἄλλοις ἅπασι τὰ αὐτὰ ἀπονέμοιτε. ἀλλὰ τίνες ἂν δικαίως πλεονεκτοῖεν τῆς παρ' ὑμῶν ἐπιμελείας βούλεσθε εἴπω σὺν παρρησίᾳ; οὓς πρώτους ἐποιήσασθε μάρτυρας τῆς ἱερᾶς ὁμολογίας καὶ ἐφ' ὧν πρώτων ἐκαλλωπίσασθε τῇ παρ' ἀλλήλων δορυφορίᾳ. ἢ Πλαταιεῖς μὲν ἐφρόνουν δικαίως, ὅτι τὴν χώραν παρέσχοντο τοῖς
c Ἕλλησιν εἰς τὸν κατὰ τοὺς βαρβάρους ἀγῶνα, ἡμεῖς δὲ οὐ σεμνυνούμεθα καὶ φρονήσομεν, ὅτι παρεσχόμεθα ὑμῖν τὸ θέατρον τῆς φιλοσοφίας οὐκ ἐνδεέστερον, πόλιν βασιλίδα, πόλιν εὐδαίμονα, ἑστίαν εὐδαιμόνων αὐτοκρατόρων βασιλέων, ἀγαθὸν οἰώνισμα τῆς χειροτονίας, οὐ μᾶλλον θεωμένην τὰ γιγνόμενα ἢ βεβαιοῦσαν, οὐδὲ τῷ λαβόντι μᾶλλον προσήκουσαν ἢ τῷ δεδωκότι; πρώτη γὰρ ἁπάσης τῆς ὑπηκόου τοῦ μὲν τὴν τύχην

98, 3 ἀλλήλοις ἐπανισώσαντες] ἐπ' ἀλλήλους ἐπανασώσαντες A. φοιτήσαντες A. ἐκφοιτήσαντες H. 6 συνέδρῳ A. ξυνεταίρῳ H. 11 τίς οὐκ A. τίς οὐκ ἂν. H. 15 τῆς ἴσης] τῆς om. A. 17 ἅπασι add. A. ἀπονείμοιτε A. ἀπονέμητε H. Aut ἀπονείμαιτ' ἂν aut ἀπονέμοιτ' ἂν scribendum. 22 παρέσχοντο A. παρέσχον H. 26 αὐτοκρατόρων add. A.

ὑπεδέξατο τὴν ἀμείνω, τοῦ δὲ τῆς ἀρετῆς τὴν ἐπίδειξιν.

Ἀλλ' ἔγωγε εἰς ταυτὸν αὖθις περιενήνεγμαι καὶ δέον σε τῶν σῶν ὑπομιμνήσκειν, περὶ τῆς πόλεως παρ' d ἑαυτοῦ τι λέγειν ἐπιχειρῶ. καίτοι τί τηλικοῦτον εἰπεῖν ἂν ὑπὲρ αὐτῆς δυναίμην, ἡλίκον σὺ πρώην ἐν τῇ βουλῇ, μητέρα ἀνειπὼν τῆς βασιλείας; τούτῳ γὰρ οὐδὲ Κωνσταντῖνος οἷός τε ἦν, εἰ καὶ προῄρητο, πρὸς αὐτὴν χρήσασθαι τῷ προσρήματι. ὥσπερ οὖν ὅμηρον ἔχομεν τὴν φωνὴν ἐκείνην, δι' ἧς προὔθηκας σαυτῷ τὸν ἀγῶνα πρὸς τὸν ἀρχηγέτην. εἰ γὰρ ἐκεῖνος αὐξήσας τὴν βασιλείαν ἐκ τῶν ἡμετέρων λημμάτων οὕτω φιλοτίμως ἡμῖν προσενήνεκται, τόν γε τὴν ἀρχὴν εἰληφότα διὰ τὴν ἀγα- 83 a θὴν τύχην τῆς πόλεως, πηλίκην δίκαιον εἰσενέγκασθαι τὴν προθυμίαν; ὅσον γὰρ πλείονος ἄξιον τὸ κτήσασθαι τὰ ἀγαθὰ τοῦ τὸν κεκτημένον μείζω ποιῆσαι, τοσοῦτον παρὰ σοῦ δικαιοτέρα πρὸς τὴν πόλιν ἐστὶν ἡ τῆς εὐνοίας ὑπόθεσις. ἢ πῶς οὐκ ἄτοπον τὴν μὲν ἐσχατιὰν, ἐφ' ἧς τὴν ἁλουργίδα ἐνῆψω, περιφανεστέραν ποιῆσαι κρηπῖδι καὶ βήματι καὶ ἀνδριάσι, τῇ πόλει δὲ, ἣν οὐκ ὀκνεῖς ὀνομάζειν μητέρα τῆς ἀναρρήσεως, μὴ οἴεσθαι ὀφλισκάνειν τὰ χαριστήρια; καὶ δὴ τὸ μὲν σὸν οὕτως b ἔχει, αὖθις δὲ εἴ τις ἀντεξετάζοι τὰς ἀφορμὰς, δι' ἃς ὁ Κωνσταντῖνος ἑάλω τῆς καλλιπόλεως, καὶ δι' ἣν ὁ σὸς ἀδελφὸς, εἰ ποιοίη τὰ δίκαια, προσαιρήσεται, σεμνοτέραν τῆς νίκης τὴν χειροτονίαν εὑρήσει. ὁ μὲν γὰρ εὐθὺς ἀφείλετο τοῦ γαμβροῦ τὴν ἁλουργίδα, ὁ δὲ εὐθὺς ἀδελφῷ μετέδωκεν. εὐτυχέστερον δὲ καὶ ταῦτα ἐπὶ τῶν οἰκειοτάτων σκοποῦντι κολάσεως δικαίας δικαία φιλοτιμία, καὶ τοῦ καθελεῖν τὸν ὄντα κοινωνὸν τῆς ἀρχῆς

99, 1 τὴν ἀμείνω A. τὴν om. H. 5 τι add. A. 8 προῄρητο] προῃρεῖτο A. 12 λημμάτων] λιμένων Petavius. 13 ἀγαθὴν A. ἀρχαίαν H. 15 ὅσον A. ὅσῳ H. 17 παρὰ σοῦ A. καί σοι H. 19 ἐνῆψω A. ἐνῆψαι H. 24 ὁ Κωνσταντῖνος A. ὁ om. H. 27 εὐθὺς — εὐθὺς A. ἐφ' ὡς — ἐφ' οἷς H. τοῦ γαμβροῦ A. τοῦ om. H. 28 εὐτυχέστερον A. εὐτυχεστέρα H.

τὸ προελέσθαι τὸν κοινωνήσαντα. οὕτω καὶ ἑκατέρῳ
c χωρὶς καὶ ἀμφοῖν ἅμα νικᾶν περίεστι τοῖς δικαίοις τοῖς πρὸς τὴν πόλιν τὸν οἰκιστήν.

Καὶ εἶεν. αὐτὴ δὲ δὴ καθ' ἑαυτὴν ἄνευ τῆς τοιαύτης ἐπικουρίας ἆρ' ἄτιμος καὶ ἀδόκιμος καὶ ἐν φαύλῳ λόγῳ τοῖς μέλλουσιν ἁπάσης ἄρξειν τῆς οἰκουμένης; ἢ καθάπερ σώματος ἑνὸς, ὅλης τῆς γῆς δεύτερος ὀφθαλμὸς, μᾶλλον δὲ καρδία καὶ ὀμφαλὸς καὶ ὅ τι ἂν εἴποι τις τῶν μερῶν τὸ κυριώτατον; συνοχὴ τῶν δυοῖν ἠπείρων, ὅρμος τις ἐν χρείᾳ θαλάττης, ἀγορὰ τῆς πλοΐμου
d καὶ πορευσίμης, ἐγκαλλώπισμα ἐνεργὸν τῆς Ῥωμαίων ἡγεμονίας. οὐ γὰρ ἀπῴκισταί γε, ὥσπερ τέμενος, ἔξω τοῦ πόρου, οὐδὲ παραιρεῖται τοὺς αὐτοκράτορας τὴν τῶν κοινῶν ἐπιμέλειαν, εἰ πρὸς ἑαυτὴν ἀσχολήσειαν, ἀλλὰ πανταχόθεν ἐστὶ καὶ ἐφ' ἅπαντα ὁρμωμένοις ἀναγκαία διαγωγὴ, καὶ ὅταν μάλιστα οἴκοι κατέχῃ, τότε μάλιστα ἐν μέσῳ ποιεῖ τῆς ὅλης ἀρχῆς. τὰ δὲ ἔξω τῆς χρείας σκοποῦντι πάρεστιν ἔχειν ἐν ὀφθαλμοῖς πα-
54 νήγυριν Χαρίτων, κεστὸν Ἀφροδίτης, πέπλον ἐκ γῆς καὶ θαλάττης ἐξυφασμένον, πανδαισίαν ἑορτῆς, ἐργαστήριον εὐφροσύνης, ταμιεῖον εὐδαιμονίας. εἰ δέ τι καὶ τὰ φιλοσοφίας γε ἐστὶ, πάλαι ἦν ἑστία τῶν Πλάτωνος καὶ Ἀριστοτέλους Μουσῶν, καὶ νῦν οὐ μεῖον νὴ Δία φυλάττει τὰ ζώπυρα. ἀλλ' ὦ βασιλεῦ Ζεῦ, ὦ πάτερ ἀνθρώπων, ὦ πολιοῦχε, καὶ τῆς ἑῴας Ῥώμης καὶ τῆς ἑσπερίας, φυλάττοις μὲν τῶν πόλεων τὴν ξυνωρίδα, φυλάττοις δὲ τῶν βασιλέων οἳ τὸ σὸν βούλημα διασῴζουσιν.

100, 1 τὸ προελέσθαι A. τὸ om. H. 9 κυριώτατον] καιριώτατον A. 14 ἀσχολήσειαν] ἀσχολήσειεν A. 16 ὅταν μάλιστα οἴκοι κατέχῃ add. A. 18 τὴν πανήγυριν H. τὴν om. A. 21 τι καὶ A. καὶ om. H. 27 δὲ τῶν A. δὲ καὶ τῶν H.

VII.

ΠΕΡΙ ΤΩΝ ΗΤΥΧΗΚΟΤΩΝ ΕΠΙ ΟΥΑΛΕΝΤΟΣ. b

Οἶμαί σε θαυμάζειν, ὦ βασιλεῦ, τί δή ποτε οὐ παραχρῆμα ἐπὶ τῇ νίκῃ καὶ ἐφεξῆς τοῖς πεπραγμένοις τὸ παρὰ τῶν λόγων τοῖς ἔργοις χαριστήριον προσενήνοχα· c ἀλλὰ τοσοῦτον χρόνον διαλιπὼν δόξαιμ' ἂν ἴσως ἀπαντᾶν ὑπερήμερος τοῖς τοὺς μῆνας ὥσπερ δανείσματα λογιζομένοις, μηκέτι δὲ ἐνθυμουμένοις ὅτι τὰ φιλοσοφίας ὀφλήματα τοὺς βραδύτερον ἐκτιννύντας οὐδὲν θαυμαστὸν τοῦ καιροῦ μᾶλλον τυγχάνειν τῶν λίαν ἐσπουδακότων. καὶ δὴ τοῦτο αὐτὸ πρῶτον δεῖ σοφώτερον καταστῆσαι, ὅτι βέλτιον διαλύει τὸ χρέος ὁ λόγος εἰς τὸν παρόντα χρόνον ἀναβαλλόμενος ἢ εἰ τῶν πραγμάτων εὐθὺς κατηπείχθη. d

Μικρὸν δὲ ἄνωθεν. πρέπει γάρ, οἶμαι, κατὰ τὴν Θηβαίαν λύραν, τοῦ λόγου θέσθαι πρόσωπον τηλαυγές. δύο εἰσὶν ἀρχαί, φιλανθρωπότατε αὐτοκράτορ, διακυβερνῶσαι τὸν βίον, ὡς ἔπος εἰπεῖν, τὸν ἀνθρώπινον, ὧν ἡ μὲν ἐξῆπται τῆς ἡμετέρας κρίσεως καὶ ὁρμῆς, ἡ δὲ ἐκ τῶν ἔξωθεν αἰωρεῖται. καὶ τῆς μὲν ἡμεῖς κύριοί τε καὶ αὐτοκράτορες καὶ τὸ εὖ ἢ κακῶς παρ' ἡμᾶς ἐπὶ ταύτης ἐστί, τὴν δὲ ἐνείμαντο πλείους ἡγεμονίαι. ἢ 85 a γὰρ πρόνοια τοῦ κρείττονος, ἢ ἀνάγκη, ἢ τὸ αὐτόμα-

---

101, 7 δανείσματα A. δανείσματος H. ὡς περὶ δανείσματος Iacobsius ad Achill. Tat. p. 723. 8 τὰ φιλοσοφίας A. τοὺς φιλοσοφίας H. 9 τοὺς βραδύτερον A. τοὺς om. H. 11 δεῖ] δεῖν A. 16 Θηβαίαν λύραν] Pindari Olymp. VI, 3.

τον τὰς ἔξωθεν ἡμῖν αἰτίας ἐπιτροπεύουσιν. ἀγαθοὶ μὲν οὖν καὶ μοχθηροὶ καὶ ἐπαίνων ἄξιοι καὶ τοὔμπαλιν κατηγορίας κατ' ἐκείνην ἐσμὲν τὴν μερίδα τὴν ἐν τῇ ψυχῇ τῇ ἡμετέρᾳ, ἧς ταυτὶ πάντα ὁρμητήρια, εὐτυχεῖς δὲ ἢ κακοδαίμονες καὶ μακαριστοὶ ἢ τοὐναντίον διὰ τὰς ἔξωθεν ἐπιτροπείας. εἰς ταύτας, ὦ βασιλεῦ, τὰς
d ἀρχὰς φιλοσοφία τὰ ἀνθρώπινα ἔργα διελομένη πάντα,
b μᾶλλον δὲ τῇ διαιρέσει τῆς φύσεως ἡμῖν ἀκολουθήσασα, καὶ ἐφ' ἑκάστου παραδείγματος περισκοπεῖν εἴωθεν ὧν πράττειν δοκοῦμεν, πόθεν ὁρμᾶται πᾶν, ἆρα ἔνδοθεν καὶ ἐκ τῶν ὁρίων τῆς ἡμετέρας ἐπικρατείας, ἤ τι τῶν ἔξωθεν ἡμῶν κυριεύει τοῦ πεπραγμένου· πότερον ἀρετῆς μαρτύριον, ἢ εὐτυχίας, καὶ ψόγον ἢ οἶκτον μᾶλλον ἐπιζητεῖ. καὶ νῦν καὶ τῶν ἡμετέρων ἔργων ἕκαστον ἐπισκοποῦντι ἕν τι τῆς ἑτέρας μερίδος χωρίον ἀμφοτέ-
c ρων μετέχειν ἀνάγκη. ἔστι γὰρ ὅτε καὶ πόρρωθεν διεστῶτε καὶ ἀναμίγνυσθον, καὶ δυοῖν ὄντων καιρῶν εἰς οὓς αἱ πράξεις ἡμῶν διαιροῦνται, πολέμου φημὶ καὶ εἰρήνης, τῆς μὲν ἐφ' ἡμῖν τὰ πλείω, τοῦ δὲ πολέμου ὁρῶμεν καὶ τὴν τύχην ἀμφισβητοῦσαν. ἤδη γάρ τισι καὶ μηδ' ὁτιοῦν παραλιποῦσι τῆς εἰς νίκην βεβαίας ἐλπίδος, ἀλλὰ καὶ στρατηγῶν ἀρετῇ καὶ δυνάμεως περιουσίᾳ καὶ αὐτῇ τῇ τοῦ πολέμου ἀφορμῇ νομιμώτερον χρωμένοις τὸ τέλος ἀλλόκοτον ἀπήντησεν. ὥστε καὶ ἡνίκα ἂν ἀκόλουθον ἐκβῇ ταῖς ἀμείνοσι παρασκευαῖς,
d ἀμφίβολον εἶναι πότερον τῆς τύχης δῶρόν ἐστιν, ἢ τῆς γνώμης κατόρθωμα τοῦ κρατήσαντος.

Διὰ ταῦτα τοίνυν, ὦ φιλανθρωπότατε αὐτοκράτορ, ἐπὶ μὲν τῇ νίκῃ τέως ἦγον τὴν ἡσυχίαν, δι' ἧς κατέστησας τὸν πρώην χειμῶνα, εἰδὼς ὅτι πολλοὶ τῶν ἐπαίνων τούτων ἀμφισβητοῦσι. χωρὶς γὰρ τῆς ἔξωθεν καὶ

102, 1 ἡμῖν A. ἡμῶν H. 9 περισκοπεῖν] παρασκοπεῖν A. 15 ἐπισκοποῦντι — ἀνάγκη om. A. 17 δυοῖν A. δυεῖν H. 19 τῆς μὲν] τοῖς μὲν A. πλείω, τοῦ δὲ] πλείω δὲ τοῦ A. 21 τῆς εἰς νίκην] τῆς νίκης A. 23 νομιμώτερον A. νομιμωτέρᾳ H.

δαιμονιωτέρας αἰτίας, ἢ τὰ πολλὰ τὰς ἐν τοῖς πολέ- 86 a
μοις τροπὰς ταλαντεύει, οὐ μόνον λοχαγοὶ καὶ στρατηγοὶ
καὶ ταξίαρχοι, ἀλλὰ καὶ τῶν ὁπλιτῶν ἕκαστος καὶ τῶν
ἱππέων καὶ σφενδονήτης καὶ τοξότης μεταποιεῖται τῆς
ἐπὶ τῇ νίκῃ φιλοτιμίας, καὶ οὐ μόνον Ἀχιλλέως ἀκούο-
μεν ἀμφισβητοῦντος παρ' Ὁμήρῳ τῶν αἰχμαλώτων,
ἀλλ' ἤδη καὶ τοῦ γελοίου Θερσίτου. καίτοι περὶ σοῦ
λέγοντα ἦν καὶ ἐκ τοῦ μόνου τὸ ὅλον ἔργον ποιούμε-
νον μὴ παντάπασι κολακεύειν δοκεῖν. ὁ γὰρ πολλάκις
ὥσπερ ἐν τροπῇ πνευμάτων τῆς κρίσεως τῶν πραγμά-
των μεταβαλλούσης καὶ οὐ μόνον τῶν πολλῶν τούτων b
στρατιωτῶν πρὸς τὴν τοῦ μέλλοντος ἐλπίδα κραδαινο-
μένων, ἀλλ' ἤδη καὶ τῶν ἐν σεμνοτέρῳ προσχήματι ἐπὶ
μιᾶς γνώμης μείνας ἀεὶ καὶ ἐπὶ τοῦ αὐτοῦ χρώματος,
καὶ μήτε ἐπάρας μήτε ὑφεὶς τῆς φωνῆς, μόνος σὺ μά-
λιστα ἦσθα, ὦ βασιλεῦ.

Καίτοι τίνα οὐκ ἂν ἐξέπληξε καὶ λίαν ὄντα καθ'
Ὅμηρον ταλασίφρονα ὁ κατακλυσμὸς ἐκεῖνος καὶ ἡ ζάλη
καὶ ἡ τρικυμία, ἀωρὶ μὲν ἀρξαμένη, πολλὴ δὲ ἐν ὥρᾳ
κατασκευασθεῖσα, ὅτε θεοῖς ἐχθρὸς ἄνθρωπος ἐν ὑπο-
γραφέως ἀεὶ μοίρᾳ διαβιοὺς ἐκ τοῦ μέλανος καὶ τῆς c
καλαμίδος ἐτόλμησεν εἰς νοῦν ἐμβαλέσθαι τὴν Ῥωμαίων
ἡγεμονίαν, ὄλεθρος ἐξ ὀλέθρων, τυφὼν ἀτεχνῶς ἐκ τοῦ
Κιλικίου Κωρύκου, ἐκ τῶν πνιγέων ἀναδὺς καὶ μόνον
τὸ πανταχόθεν ἀδόκητον τόλμης ποιησάμενος ὁρμητή-
ριον ὑπὲρ τὸν Κρίξον, ὑπὲρ τὸν Σπάρτακον ἐθρασύ-
νετο. καὶ γὰρ ἐκεῖνοι μαχαίρας ἁρπάσαντες ἐξ ὀπτα-
νείου καὶ τοῖς τῶν δημιοπράτων ὅπλοις ἐνσκευασάμενοι,
τῶν μονομαχούντων ἐν τοῖς σταδίοις, τὸ μὲν αὐτίκα
γελοῖοι τοῦ σχήματος ἐνομίσθησαν, τῆς καινουργίας δὲ d
αὐτοὺς συναυξούσης, τῆς ἐπισπωμένης ἀεὶ τὸν πολὺν
συρφετὸν, καὶ πρὸς τὰ ξένα καὶ παράλογα κεχηνότα,

103, 4 σφενδονήτης A. σφενδονίτης H. 19 πολλὴ δὲ ἐν ὥρᾳ κατασκεδασθεῖσα Iacobsius apud Goellerum p. 264.
24 ἐκ τῶν] καὶ τῶν Iacobsius. μόνῳ A. μέτρον H.
25 τόλμης A. τῆς τόλμης H. 27 ἁρπάσαντες] Vulgo ἁρπάξαντες.

τοὺς μὲν ὁμοίους συμπείσαντες, τοὺς ἀμείνους δὲ βιασάμενοι, ἐν ἀκαρεῖ φοβεροὶ κατέστησαν οὐ μόνον πρεσβύταις οὐδὲ στρατηγοῖς τῶν πάλαι Ῥωμαίων, ἀλλ' ἤδη καὶ ὑπάτοις καὶ αὐτοκράτορσιν. αἴτιον δὲ ἦν καὶ
87 a τηνικαῦτα οὐ δυοῖν οἰκοτρίβων ἀνδρεία, ἀλλ' ἀλιτήριοι συκοφάνται καὶ παλαμναῖοι προσαγωγεῖς, οἱ συναναγκάσαντες Ἰταλιώτας ἅπασαν ἀσμένως προσίεσθαι τῶν καθεστηκότων μεταβολήν.

Ὅθεν δὲ οὖν ἐξέβην, ἐξῆν μέν, οἶμαι, καὶ τῆς νίκης ταύτης σε μάλιστα αἰτιωμένους, τὸ μὴ πάνυ δοκεῖν λέγειν κεχαρισμένα. διὰ τοῦτο γάρ, ὡς ἔοικεν, ὁ συστρατηγῶν σοι θεὸς εἰς σὲ πανταχόθεν τὸ ἔργον περιωθῶν καὶ πάνυ μεγάλην ἀπένειμε τοῖς ὅπλοις μερίδα τοῦ κατορθώματος. ἀλλ' οἱ πῦρ πνέοντες, οἱ Μιθρι-
b δάτου χαλεπώτεροι Ῥωμαίοις, οἱ τὴν Κύζικον αὐχοῦντες, ἅμα τῷ γενέσθαι ἐντὸς τῶν σῶν ὀφθαλμῶν ὑπὸ μάλης ἔκρυπτον τὰς ἀσπίδας, ὥσπερ φώρια κακοῦργοι καταληφθέντες ἐπ' αὐτοφώρῳ, καὶ τοὔνομα ἀντὶ τῶν ὅπλων τὸ σὸν προὐβάλλοντο, ὀψέ, σὺν πόνῳ δὲ σωφρονήσαντες. τίς οὕτω παρ' Ὁμήρῳ θεὸς ἐπιφανεὶς καὶ τῇ χειρὶ πλήξας γυμνὸν ἐποίησε τὸν τέως νικῶντα ὡς σὺ πόρρωθεν ὁρώμενος πλεῖν ἢ τριάκοντα μεταξὺ σταδίων κατῄδεσας μὲν τοὺς αὐθάδεις, ἐπράϋνας δὲ τοὺς παροξυνομένους, προσηγάγου δὲ τοὺς ἀποσκιρτῶντας,
c εὐπειθεστέρους δ' ἐποίησας ἢ πρότερον ἦσαν; τέως δὲ ἠπίστουν ἐγὼ Ἡροδότῳ τῷ συγγραφεῖ, τοὺς ἀποστάντας οἰκέτας Σκυθῶν ὑποκύψαι μετὰ τῶν ὅπλων δίχα σιδήρου τοῖς δεσπόταις ἐπιφανεῖσιν.

Ἀλλ' ἵνα μὴ αὖθις ὁ λόγος τῆς πρώτης ὁρμῆς ἀπορρυῇ, τὴν μὲν νίκην εἶναι κοινὴν συγχωρῶμεν τοῖς στρατηγοῖς καὶ τοῖς στρατιώταις, εἰ δὲ βούλει, καὶ τοῖς σιτοποιοῖς καὶ τοῖς σκευοφόροις· πάντως οὐδὲ οὗτοι φαύλης μερίδος ἑαυτοὺς ποιήσονται. πρὸς τί τοίνυν

104, 5 δυοῖν A. δυεῖν H. ἀνδρεία] Vulgo ἀνδρία. 10 μὴ πάνυ A. πῶν οὐ H. 15 οἱ τὴν] ἢ τὴν A. 22 πλεῖν A. πλὴν H. 33 ποιήσονται A. ἑαυτοὺς ἐποιήσαντο H.

ἀπιώρων καὶ ποῖον ἔργον ἐκαραδόκουν, ὃ μόνου σοῦ καὶ μάλιστα σοῦ καὶ οὐδενὸς ἑτέρου μᾶλλον ἢ σοῦ; καὶ d ποίους ἐπαίνους διενοούμην, ὡς σοὶ μόνῳ φαινομένους προσήκοντας; πρὸς οὓς οὐ δεῖ σοι τῆς φάλαγγος οὐδὲ τῶν ἱππέων οὐδὲ ναὶ μὰ Δία τῶν δορυφόρων, καὶ ἐξαρκεῖ προελέσθαι καὶ βουληθῆναι. οὐ γάρ ἐστι χειρῶν ἔργον φιλανθρωπία, ἀλλὰ μόνης τῆς γνώμης τοῦ τὴν ὀργὴν ἀφεῖναι κυρίου. καὶ οὐ Πλάτων πρῶτος, ὡς ἔοικε, λόγῳ μὲν ἀπεικάζει τοὺς βασιλέας, θυμῷ δὲ τοὺς στρατιώτας, ἀλλὰ προλαβοῦσα ἡ Ῥωμαίων φωνὴ 88 a καὶ ὁ θεσμὸς τῆς πολιτείας τὴν ἑκατέρῳ πρέπουσαν ἀρετὴν ταῖς ἐπικλήσεσιν ἐνεδείξατο· ὑμᾶς μὲν εὐσεβεῖς καὶ φιλανθρώπους προσαγορεύων, τοῖς στρατιώταις δὲ ἐξ ἀνδρείας μόνης τὰς ἐπωνυμίας νομοθετήσας. ἐπεὶ καὶ νῦν πρὸς μὲν τὸ κρατῆσαι τῶν πολεμίων ῥοπήν τινα συνεισήνεγκαν οἱ συμμετασχόντες σοι τοῦ κινδύνου, τὸ δὲ περισῶσαι τοὺς κρατηθέντας τοῦ σοῦ μόνου νεύματος ἤρτηται.

Δυοῖν τοίνυν ὄντοιν τοῖν εἰρημένοιν, τοῦ τε νικᾶν καὶ τοῦ τῇ νίκῃ χρῆσθαι δεόντως, καὶ τοῦ μὲν κοινοῦ b πρὸς τὰ ὅπλα, τοῦ δὲ τῷ βασιλεῖ μόνῳ προσήκοντος, οὕτω τὸ σὸν τιμιώτερον, ὥστε καὶ ὁ τοῦ κοινοῦ καρπὸς εἰς τὸ σὸν ἴδιον περιίσταται. νίκης γὰρ ὄφελος οὐδὲ ἐν τοῖς καλῶς αὐτὴν μὴ διενεγκοῦσιν, ἀλλὰ καὶ τοὐναντίον πολλάκις εἰς βλάβην κατέστη τοῖς εὐτυχήσασιν. ἢ πόθεν εἰσεφοίτησεν ἡ παροιμία, καὶ τί ποτέ ἐστιν ἕτερον ἡ Καδμεία νίκη ἢ ὅταν τινὲς ὑπὸ τῆς νίκης ὥσπερ μέθης κατακλυσθέντες ἀγνοήσωσι τὸ μέτρον τῆς τοῦ κρατεῖν ἀπολαύσεως καὶ τελευτήσῃ τὸ κέρδος αὐτοῖς εἰς ζημίαν χαλεπωτέραν; οὕτω γὰρ αὐτοί τε ἔπραξαν c οἱ τότε Καδμεῖοι καὶ ὁ μετὰ ταῦτα χρόνος ἐνεπλήσθη τοῦ παραδείγματος. ὀρθῶς ἄρα ὁ Θηβαῖος Ἐπαμινών-

---

105, 8 Πλάτων A. μόνος Πλάτων H. 11 ἑκατέρῳ A: ἑκατέροις H. 14 ἀνδρείας] Vulgo ἀνδρίας. 16 συμμετασχόντες A. μετασχόντες H. 26 ἢ πόθεν — παροιμία add. A. 32 Ἐπαμινώνδας] ἐπαμεινώνδας Monac. 113.

δας μετὰ τὴν ἐν Λεύκτροις μάχην μόνος Θηβαίων ἐσκυθρωπακὼς περιῄει καὶ πρὸς τὸν ἐρόμενον τὴν αἰτίαν, νῦν γάρ, ἔφη, ἐμοὶ νήφειν καιρός, ὅτι τοὺς ἄλλους μεθύειν ἀνάγκη. καὶ οὐδὲ χρήματα εἰσεπράξατο τοὺς αἰχμαλώτους, ἀλλὰ καὶ τὸν ὑπασπιστὴν αἰσθόμενος τῆς φάλαγγος ἀπεσείσατο.

d Ἀλεξάνδρῳ δὲ τῷ Φιλίππου πλείονος δόξης τοῦ νικᾶν αἴτιον ἦν ἀεὶ τὸ μετριάζειν ἐπὶ ταῖς νίκαις. ὅς γε καὶ Πῶρον τὸν Ἰνδὸν οὐχ ὑφιέμενον ἐν τῇ μάχῃ, ἀλλ' ἄχρι τῶν ἐσχάτων ἐγκαρτερήσαντα, παρεθέντα τε ὑπὸ πλήθους τραυμάτων, ζῶντα λαβὼν ἤρετο εὐθὺς ἐν τῷ μέσῳ, πῶς σοι, ὦ Πῶρε, χρήσομαι; ἀποκριναμένου δὲ ὅτι βασιλικῶς, αὖθις ἤρετο, πῶς καὶ ἑτέρως; τοῦ δὲ φήσαντος ἐν τῷ βασιλικῶς πάντα εἶναι, οὐχ ἧττον
69 a ἠγάσθη τὸν ἄνδρα τῆς ἀποκρίσεως ἢ τῶν τραυμάτων, γνοὺς ὅτι πάντα ἔνεστιν ἀτεχνῶς ἐν τῷ βασιλικῶς ὧν ἐδεῖτο. ἐδεῖτο δὲ τοῦ φιλανθρώπως, αἰδημόνως, πράως, μειλιχίως μεῖναι πρὸς τὴν παροῦσαν εὐτυχίαν, ἀνεπιφθόνως, μεμνημένον μάλιστα πρὸ πάντων τῆς περὶ τὴν τύχην ἀπίστου ῥοπῆς. ταῦτα γὰρ ἅπαντα δι' ἑνὸς τούτου ῥήματος συλλαβὼν ὁ μὲν Πῶρος ᾔτησεν, ὁ δὲ Ἀλέξανδρος ἔπραξε, καὶ οὐκ ἠρνήσατο· οὐδὲ γὰρ οἷός
b τε ἦν. βασιλέα γὰρ ἀξιοῦντα εἶναι πάντων τῶν ἐπὶ γῆς ἀνθρώπων, ἔπειτα ἐξαρνεῖσθαι πρᾶξαί γε βασιλικῶς, αἰσχρὸν ἦν καὶ μαχομένου πρὸς τοὔνομα. ἐπεὶ καὶ ἰατροῦ τί ἂν εἴη γελοιότερον ἀρνουμένου τι ποιῆσαι περὶ τὸν ἀρρωστοῦντα ἰατρικῶς, καὶ μουσικοῦ δυσχεραίνοντος πρὸς τὸ μουσικῶς; ἑκάστου γάρ, οἶμαι, τεχνίτου ἡ μὴ περὶ τὴν τέχνην πρᾶξις ἀλλότριον δείκνυσι τὸν πράξαντα τοῦ προσρήματος. ἔοικεν οὖν καὶ κατὰ Πῶρον καὶ Ἀλέξανδρον ταυτὸν εἶναι τὸ βασιλικῶς τῷ

106, 8 ὅς γε codex Vales. apud Boisson. ad Eunap. p. 315. οὔ γε H. 17 δὲ τοῦ codex Vales. δὲ τὸ H. αἰδημόνως] ἀδημόνως A. 24 πρᾶξαί γε codex Vales. πρᾶξαί γε H. 25 μαχομένου codex Vales. et Monac. 113. μαχόμενον H. 29 ἡ μὴ A et Taurinensis. μὴ om. H.

μεγαλοπρεπῶς καὶ φιλοδώρως καὶ τῷ λαβόντι κεχαρισμένως. ἐπεὶ οὖν τοῖν δυοῖν ζηλωτότερος ὁ δεηθεὶς καλῶς ἢ ὁ συγχωρήσας, δῆλον ὅτι ὁ μὲν θεῖος ἔπαινος, ὁ δὲ ἀνθρώπινος. ἤδη οὖν πάντως ἤκουσας Ἡσιόδου τοῦ ποιητοῦ ὅτι ἄλλοι μὲν ἄλλα σαφῶς κτῶνται παρὰ τῶν θεῶν, c

Ἐκ μὲν Μουσάων καὶ Ἀπόλλωνος ἑκάτοιο
κιθαριστάς τε εἶναι καὶ ποιητάς,
ἐκ δὲ Διὸς βασιλῆας.

καὶ ἐῶ μὲν Ὁμήρου καὶ Ἡσιόδου καὶ τοὺς τῶν Ἑλλήνων ἀρχηγέτας· ἀλλ᾽ ἐγώ ποτε ὑπησθόμην καὶ τῶν Ἀσσυρίων γραμμάτων ταὐτὸ τοῦτο κομψευομένων, ὡς ἄρα ὁ νοῦς τοῦ βασιλέως ἐν τῇ τοῦ θεοῦ παλάμῃ δορυφορεῖται, καὶ δεῖ τὸν κίνδυνον ὁρᾶν, ἡλίκος αὐτῷ πρὸς ἀλλοτρίαν τοῦ θεοῦ πρᾶξιν ὁρμήσαντι ἐκπεσεῖν τῆς χειρὸς τῆς φυλαττούσης· οὐ γὰρ σοὶ μόνον, ὦ βασιλεῦ, ἅγια προσήκει φρονεῖν, ἀλλὰ καὶ τοῖς πρὸς σὲ διαλεγομένοις ἅγια φθέγγεσθαι· ὡς ἑκάστου ῥήματος τῶν εἰς τὰς σὰς ἀκοὰς ἐμπιπτόντων εἰς τὴν ἐκείνου παλάμην ἐγγραφομένων. διὰ ταῦτα τοίνυν, ὦ θεοφιλέστατε αὐτοκράτορ, καὶ τὸν ἄγριον ἐκεῖνον Τυφῶνα λίαν ἀναιμακτὶ κατειργάσω, ὅτι σοὶ χρηστὰ ἐννοοῦντι τὴν χεῖρα συνεπέδωκεν ὁ θεός, οὐδὲ ἔμελλεν, ὡς ἔοικεν, ἀποπλήσειν τὴν σπουδὴν τοῦ παλαμναίου. d 90 a

Σπουδὴ δὲ ἦν ἄρα καὶ προθυμία τῆς μιαρᾶς ἐκείνης καὶ κακοδαίμονος κεφαλῆς εἰς τὸν ἑαυτῇ μόνῃ πρέποντα ὄλεθρον ὡς πλείστους συνεπισπάσασθαι τῶν πολλῶν. οὐδὲ ὑπηρέτης ποτὲ χρηστὸς ἐνομίσθη, ἀλλὰ b βάσκανος, ἀλιτήριος, ἀεὶ συγκεκυφώς, ἀεὶ συννεφής, ἐφελκόμενος τὰς ὀφρῦς, τὴν σιωπὴν ὥς τι σεμνὸν μετιών, ἄμικτος, ἀποτρόπαιος, ἀηδίας μεστός, ἐπὶ τῷ

107, 3 „Fort. ὁ συγχωρήσας καλῶς ἢ ὁ δεηθείς.“ Iacobsius. 4 Ἡσιόδου] Theogon. v. 94. 6 παρὰ om. A et Taurinensis. 8 κιθαριστάς] κιθάραν A. 10 ἐῶ μὲν A. ὁρῶμεν H. ἐῶμεν Taurinensis et Vales. 14 καὶ δεῖ — ὁρᾶν] „Fort. καὶ δὴ — ὁρᾷς.“ Iacobsius. 19 τὴν ἐκείνου A. τὴν ἀκήρατον ἐκείνου H.

μισεῖν ἅπαντας καὶ πρὸς ἁπάντων μισεῖσθαι μεγαλαυχούμενος. καίτοι Φάλαρις καὶ Ἀριστόμαχος καὶ Ἀπολλόδωρος καὶ Διονύσιος εἶχον ἄν τινα ἕκαστος παραστήσασθαι καὶ ἀγαπῶντα καὶ ἀγαπώμενον. οὐδὲ γὰρ τοὺς ἔχεις οὐδὲ τοὺς σκορπίους ἡ φύσις ἔξω πεποίηκε
c παντελῶς τοῦ ἐρᾶν καὶ τοῦ ἀντεράσθαι, ἀλλ' εἰ καὶ πρὸς ἀνθρώπους κατεσκεύασται δυσμενῶς, τῆς πρὸς τὰ σύμφυλα φιλίας οὐκ ἀπελήλαται. ἀλλ' ἔοικε καὶ ὁ παλαιὸς λόγος ἀληθὴς εἶναι λίαν καὶ τῆς ἀρχαίας φιλοσοφίας, ὡς ἄρα κατὰ χρόνους τινὰς ὡρισμένους, ποτὲ μὲν ἀκήρατοι καὶ θεῖαι δυνάμεις ἐπ' ἀγαθῷ τῶν ἀνθρώπων ἐμβατεύουσι τὴν γῆν, ἐκ τοῦ οὐρανοῦ κατιοῦσαι — οὐκ ἠέρα ἑσσάμεναι, καθ' Ἡσίοδον, ἀλλὰ σώματα ἀμφιεσάμεναι παραπλήσια τοῖς ἡμετέροις καὶ
d βίον ὑποδῦσαι ἥττω τῆς φύσεως, ἕνεκεν τῆς πρὸς ἡμᾶς κοινωνίας — ποτὲ δ' ἔμπληκτοι καὶ ἀλλόκοτοι καὶ κωκυτοῦ τινος καὶ Ἐρινύων θρέμματα καὶ γεννήματα ἐπὶ λύμῃ καὶ γοητείᾳ καὶ ἀπάτῃ δειλαίων ἀνθρώπων, θρήνων ἐρῶντες καὶ στεναγμῶν, οἰμωγῆς ἀκορεῖς, δάκρυσι πιαινόμενοι, ἀντὶ σεισμῶν, ἀντὶ λοιμῶν, ἀντ' ἐπικλύσεως ἐπικόπτειν τὴν γῆν τεταγμένοι, ὁπηνίκα ἂν εὐθηνῆται.

Θέασαι γὰρ ἐκ τῶν ἔναγχος τούτων, ὦ βασιλεῦ,
91 a ἄρτι καθεστηκυίας τῆς Ῥωμαίων ἀρχῆς καὶ γαλήνης λαμπρᾶς ἐφ' ἅπασαν τὴν γῆν τεταμένης, ὥσπερ σώματος τὰ ἔξωθεν ὑγιαίνοντος ῥῆγμα ὕπουλον ὑποτρεφόμενον ἐν τῷ βάθει περὶ τὸ κυριώτατον τῶν μερῶν ἀπεσήμαινεν. Ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες εὗδον παννύχιοι, καὶ οὐδ' ἂν τὸν Δία ἴσως ἡ κωμῳδία τοῦ τηνικαῦτα ἀποδραθεῖν ὑπεξείλετο. οὐ γὰρ ἂν περιεῖδεν ἐργαστήριον τοιχωρύχων ἐπὶ κακῷ τῆς οἰκουμένης ἐγρη-

108, 7 τῆς πρὸς] τῆς γε πρὸς Monac. 113. 12 οὐρανοῦ] οὐρανοῦ οὐ A. 13 Ἡσίοδον] Ἔργ. v. 124. 253. 17 Ἐρινύων] Vulgo ἐριννύων. 27 κυριώτατον] καιριώτατον Boissonadius ad Eunap. p. 315. ἀπεσήμαινεν] ἀπεσήμαινον A. 28 Ἄλλοι] Iliad. β, 1. 29 τὸν δία A. εἰς Δία H. 31 ἐγρηγορώς] Vulgo ἐγρήγορος.

γορός. κἄπειτα μεσούσης τῆς νυκτὸς οἱ μὲν ἐξαίφνης ἤγοντο, οἱ δὲ ἐφέροντο, τῶν δὲ τὰς εὐνὰς κατελάμβα- b νον στρατιῶται, οἱ δὲ ἐκ τῶν σκιμπόδων εἰς δεσμωτήρια συνηρπάζοντο, τοῖς δὲ οἱ σκίμποδες ἐγίνοντο ἀντὶ ξύλων. ἀρχαὶ δὲ αἱ μέγισται μετά γε τὴν ὑμετέραν ἐν μοίρᾳ κακούργων ἦσαν συνειλημμέναι, ἡ δὲ παννυχὶς ἦν ἀγρία τῆς τότε νυκτός. καὶ Ὅμηρος μὲν ὄναρ κακὸν ἐπιστῆναί φησι τοὺς τῶν Ἑλλήνων κατασκόπους τοῖς ἀπὸ Θρᾴκης νεήλυσι στρατιώταις. τηνικαῦτα δὲ οὐ συμπάσῃ μόνῃ τῇ Θρᾴκῃ, ἀλλὰ καὶ ταῖς ἠπείροις ὄναρ σχεδὸν ἀμφοτέραις κακὸν ἐπέστη, μᾶλλον δὲ ἐν καιρῷ ὀνείρατος ὕπαρ. κἄπειτα ἐπόμπευεν ἐκ βαλανείου ἐν c ἀσπίδι, καὶ δορατίῳ περιδέραια περικείμενος, παράσημος αὐτοκράτωρ, προσσεσηρώς, ἅπαντας προσκαλούμενος, μειδιῶν μειδίαμα δολερὸν, μειδίαμα θηρίων μεστὸν, μειδίαμα ἄρξαν πολλῶν δακρύων, ἄντικρυς τὰ Πλάτωνος τοῦ θεσπεσίου καὶ ἅ φησιν ἐκεῖνος προδεικνύναι τοὺς τυράννους ἐν τοῖς προοιμίοις, χρεῶν ἀποκοπὰς, γῆς ἀναδασμοὺς, τὴν ἐπὶ Κρόνου καὶ Ῥέας εὐδαιμονίαν, πικρὰ δελεάσματα τοῖς ὑπὸ τούτων ἁλισκομένοις. καὶ θησαυροφυλάκια μὲν ἀνεπετάννυντο, λιμένες δὲ d ἀνεφράγνυντο καὶ νεώρια, πολιορκία δὲ εἴσω τείχους περιειστήκει τὴν πόλιν, ἔξωθεν προκαθημένων τῶν σώζειν προαιρουμένων. εἶτα ἐπέσειε τὰ χαλεπώτερα μηχανήματα, ὧν αὐτὸς ἦν τέκτων καὶ μηχανορράφος, τὰς ἀτόπους φήμας καὶ τοὺς ἀγγέλους τοὺς ἐκ τῶν προαστείων κεκονιαμένους, τοὺς μὲν ἐξ Ἰλλυριῶν, τοὺς δὲ ἐξ Ἰταλίας, τοὺς δὲ ἐξ Ὠκεανοῦ τοῦ ἑσπερίου. πρεσβεῖαι δὲ εἰσεκαλοῦντο εἰς τὰ βασίλεια Σύρων, Ἀσσυ- 92 a ρίων, Αἰγυπτίων, Λιβύων, Ἰβήρων, ὥσπερ διαπτᾶσαι ἐξαίφνης ἐκ τῶν ἐσχάτων τῆς οἰκουμένης. καὶ τούτους ἢ πάνυ πιστεύειν ἐχρῆν ἢ πάνυ δεδιέσθαι. λαθεῖν γὰρ οὐκ ἐνῆν οὐ δεδεμένους, οὐ σιωπῶντας, οὐ στένοντας,

---

109, 1 μεσούσης] μὴ οὔσης A. 3 οἱ δὲ ἐκ τῶν A. ἐκ om. H. 12 ἐπόμπευεν] ἐπόμπευσεν A. 31 τούτους ἢ πάνυ] τούτους καὶ πάνυ A.

οὐ μειδιῶντας, ἀλλ' ὑπεφαίνοντο ἑκασταχοῦ, μᾶλλον δὲ συμπαρῆσαν ἀεὶ κατάσκοποι, ὠτακουσταί, Ἄργου πλείονας ἔχοντες ὀφθαλμούς, Λυγκέως ὀξυωπέστεροι.

Καὶ τὴν μὲν σεμνὴν γερουσίαν εἰσεπράσσετο εἰσ-
b φορὰς πολυστενάκτους οὐκ οἶδ' ὅπως ἐνιαυτοῦ, μᾶλλον δὲ χειμῶνος ἑνός, οὐχ ἑορτῆς χρόνον, ὥσπερ Νέρων, τὸν τῶν Ὀλυμπίων μετατιθεὶς καὶ μεταβάλλων, ἀλλὰ τὸ εἰς πέρυσι καὶ τὸ εἰς νέωτα, τὸν ἕνα καὶ τὸν αὐτὸν μῆνα στενοχωρῶν ταῖς εἰσπράξεσιν. ὁ δὲ Κωνσταντίνου δῆμος ὁ τρυφῶν, ὁ ἐν ἀδείᾳ ζῶν, ὁ κακῶν ἀπείρατος μέχρι τῆς ἑσπέρας ἐκείνης, ὃν σὺ παρὰ τῶν ἐκείνου κληρονόμων διαδεξάμενος οὐκ εἴασας αἰσθέσθαι τῆς τοῦ γένους μεταβολῆς, ὑπὸ τοῦ Κωνσταντῖνον προϊσχομένου καὶ τοὔνομα τοῦτο ἀναισχύντως προσειόντος ὥσπερ
c θαλλὸν ἀφαιρεθεὶς τὴν συνήθη τρυφήν, ἠγάπα συμπαρατρεφόμενος τοῖς βοσκήμασι. τοῖν δὲ ἀρχόντοιν τοῖν κορυφαίοιν ὁ μὲν τεθνηκὼς ἠπιστεῖτο, ὁ δὲ οὐ τεθνηκὼς ἐπιστεύθη τεθνάναι.

Ταύτην τοίνυν τὴν οὕτω πολυειδῆ καὶ ποικίλην τραγῳδίαν μικροῦ μὲν ἔτι μέλλουσαν προαπέκλεισας τῆς ἐξόδου· ἐπεὶ δ' ἐχρῆν, ὡς ἔοικε, δῆλον γενέσθαι τὸ μέγεθος τῶν ἐπικρεμασθέντων κακῶν, ὥσπερ ἰατρῷ συνεχώρησεν ὁ θεὸς ἐν ἀκμῇ τῆς νόσου τὴν τέχνην ἐπιδεί-
d ξασθαι. ἔτι γὰρ αὐτοῦ τὴν φύσιν ἐπικρύπτεσθαι πειρωμένου καὶ αἰκάλλοντος καὶ περισαίνοντος ἅπαντας, εἰ συνέβη ταχεῖαν ἐπιλαβεῖν τὴν καταστροφήν, ἴσως ἂν ὁ κίνδυνος ἠγνοήθη. [τὸν πλησίον ἀποστάντα ἀποστρέψασθαι.] νῦν δὲ τοσαῦτα εὐτυχῆσαι συγχωρηθείς,

---

110, 4 γερουσίαν] ἐργασίαν A. 13 Vulgo Κωνσταντίνου. Κωνσταντῖνον Iacobsius apud Goellerum p. 284. προσισχόμενος A et Monac. 113. προσιόντος H, quod in προσειόντος mutabant Ruhnkenius ad Timaeum p. 137. et Iacobsius. 14 προσειόντος] προσιόντος A et Monac. 113. προϊσχομένου H. 15 θαλλὸν] Vulgo θαλόν. Correxit Stephanus. 17 ὁ δὲ οὐ τεθνηκὼς A. ὁ δὲ ζῶν H. 18 τεθνάναι Monac. 113. Vulgo τεθνᾶναι. 19 ἔτι] ὅτι A. 20 προαπέκλεισας A: προαπέκλεισε H. 25 ἅπαντας om. A. 27 ἀποστρέψασθαι] ἀποτρέψασθαι Monac. 113.

ὁπόσα θαρρήσας ἔμελλεν ἐκφανεῖν τὸ κακόηθες καὶ δολερὸν καὶ ὑποδεδυκὸς τῆς ψυχῆς, καὶ τοσοῦτον ἀπολαύσας τῆς ἐξουσίας ὅσον μὴ λαθεῖν οἷος ἦν· ἅμα τε 93 a ἠλέγχθη καὶ ἀνηρπάσθη ὥσπερ χειμάρρους ἀθρόως μὲν αὐξηθεὶς, ἀθροώτερον δὲ ἐπιλιπὼν αἰθρίας ἐπιφανείσης. καὶ οὕτως ἄρα σοι καὶ τὸ δυστυχέστατον τῶν συμβεβηκότων εἰς δέον τέθεικεν ὁ θεός. ὥστε οὐ μόνον τοῦτο ἐκέρδανας τῆς μελλήσεως, τὸ τὴν ἐκείνου μοχθηρίαν ἐκκαλυφθῆναί σοι; ἀλλ' ὃ καὶ τούτου μεῖζόν ἐστι, τὸ καὶ τὴν σὴν πρᾳότητα φανερωτέραν γενέσθαι ἢ πρὶν συμπεσεῖν τὸν καιρὸν τὸν ταύτης δεόμενον τῆς ἐπιδείξεως. οὐ γὰρ ἐποιήσω τὸν θυμὸν δικαστὴν, οὐδὲ ἐμέτρησας τὴν τιμωρίαν τῷ μέτρῳ τῆς ὀργῆς, ἀλλ' b ἐπιστήσας τῷ πάθει τὸν λόγον καὶ τῶν νόμων ἐφάνης πρᾳότερος, καὶ πανταχοῦ τοῖς γεγραμμένοις ἀκολουθῶν ἔδειξας ἐν οἷς τὸ παραβαίνειν τὰ γράμματα τοῦ φυλάττειν βασιλικώτερον, καὶ διέκρινας τὸ ἀδίκημα καὶ ἁμάρτημα καὶ ἀτύχημα. καὶ γὰρ εἰ μὴ τὰ Πλάτωνος ἀποστοματίζεις μηδὲ τὰ Ἀριστοτέλους μεταχειρίζῃ, ἀλλὰ τά γε ἐκείνοις δοκοῦντα τοῖς ἔργοις βεβαιοῖς. οὐ γὰρ τῆς ἴσης τιμωρίας ἀξίους ᾠήθης τούς τε ἐξ ἀρχῆς βουλεύσαντας τὴν ἐπανάστασιν καὶ τοὺς ὑπὸ τῶν ὅπλων c παρασυρέντας καὶ τοὺς ἤδη τῷ δοκοῦντι κρατεῖν ὑποκύψαντας, ἀλλὰ τῶν μὲν κατέγνως, τοὺς δὲ ἐμέμψω, τοῖς δὲ συνήλγησας.

Τοσαύτη δέ ἐστιν ἡ τῆς πρᾳότητος περιουσία ὥστε ἀγανακτοῦμεν εἰ καὶ σμικρόν τις ἀνιαθείη τῶν τὰ ἔσχατα προσδοκώντων, καὶ δυσχεραίνομεν οὐκ εἰ παντάπασιν ἀρνήσαιο τὴν συγγνώμην, ἀλλ' εἰ καὶ πρὸς μικρὸν ἀναβάλλοιο. πρῴην γὰρ ἀπῄειμεν ἐκ τῶν βασιλείων πρὸς τὸ τέως ἐσκυθρωπακότες, καὶ τυχεῖν ὧν

111, 8 τὴν — μοχθηρίαν A. τὰς — μοχθηρίας H. 9 σοι add. A. 16 ἔδειξας A. ἔδοξας H. τὸ παραβαίνειν — τοῦ φυλάττειν A. τοῦ παραβαίνειν — τὸ φυλάττειν H. 27 ἀνιαθείη A. ἀνιαθεὶς H. 30 ἀπῄειμεν A. ἀ * * * H.

ἐλιπαροῦμεν οὐκ ᾠόμεθα, οὐκ ἀνανεύσαντος, ἀλλ' ἀνα-
d θεμένου τὴν χάριν. αἴτιον δὲ οὐχ ἡ τῶν αἰτούντων
ἀγνωμοσύνη, ἀλλ' ἡ τοῦ διδόντος φιλοτιμία, ἣ ἥμερον
καὶ ἐκκεχυμένον τῆς εὐμενείας μᾶλλον ἐκφαίνεσθαι ποιεῖ
τὸ μὴ τοῖς πολλοῖς παραπλήσιον. οὐ γὰρ ἐν τοῖς ἄγαν
ῥερυπωμένοις, ἀλλ' ἐν τοῖς ἄγαν κεκαθαρμένοις ἔκδη-
λον τὸ μόλυσμα γίνεται, κἂν σμικρότατον ᾖ. οὕτω τοι
τῶν μὲν ὑπερβαλλόντων πικρίᾳ καὶ χαλεπότητι, ἐν εἴ
94 a τι χρηστὸν πέπρακται, μνήμης τυγχάνει· τῶν δὲ φιλαν-
θρωπίᾳ νικώντων ἐν εἴ τι παρεώραται, ἀνεξάλειπτον
διαμένει. ἀεὶ γὰρ ἐν πλείονι καθίσταται λόγῳ τὸ παρ'
ἐλπίδας. τοιγαροῦν Νέρωνος μὲν ἀοίδιμος ἡ πρὸς Μου-
σώνιον ἐπιείκεια, πρὸς Ἀλέξανδρον δὲ ὑπὲρ Καλλισθέ-
νους ἔτι καὶ νῦν ἀγανακτοῦμεν. καίτοι γε ὁ μὲν εἰς
ἔργον ἐξεβίασε τὴν ὀργήν, σὺ δὲ ἐν οἷς μὴ παραχρῆμα
ὑπεῖξας ἑαυτοῦ στερεώτατος ἐνομίσθης.

b Περικλῆς μὲν οὖν ἐσεμνύνετο πρὸς Ἀθηναίους
καταλύων τὰς ἔχθρας ταῖς στρατηγίαις· σὺ δὲ τηλι-
καῦτα ἀδικηθεὶς καὶ οὐκ ἐπ' ἴσης Περικλεῖ τῆς ἐξουσίας
τοῦ δημαγωγοῦ γέγονας, ὦ αὐτοκράτορ ἐπιεικέστατε,
καὶ διπλῆν ἐνίκησας νίκην. οὐ γὰρ μόνον τῶν πολε-
μησάντων, ἀλλὰ τῶν συμπολεμησάντων κρείττων ἐφάνης,
τῶν μὲν ἀντιστάντων κρατήσας, πραΰνας δὲ τοὺς ὑβρισμέ-
c νους, καὶ τοὺς μὲν ἀνδρείᾳ χειρωσάμενος, τῶν δὲ τὸν
θυμὸν ἡμερώσας, καὶ γνοὺς ὁπόσον πολέμου νόσημα ἐμφύ-
λιον διενήνοχε, καὶ ὅτι βαρβάρων μὲν Ῥωμαίους ἄχρι παντὸς
ἐπεξιέναι προσήκει, Ῥωμαίοις δὲ μέτρον ἐπικεῖσθαι κατὰ
Ῥωμαίων, τὴν τοῦ πταίσματος ἐπανόρθωσιν. καὶ ὥσπερ
σώματος ἑνὸς τὸ μέρος τὸ ἀρρωστῆσαν ὁ θεραπεύειν ἐνὸν
φαρμάκοις ἀποκόπτειν προαιρούμενος οὐκ ἰᾶται τὸ σύμ-
d παν, ἀλλ' ἀσθενέστερον ποιεῖ τῷ ἐλλείποντι, οὕτω καὶ
τῆς ἀρχῆς μιᾶς οὔσης τῆς ὅλης Ῥωμαίων ὥσπερ πόλεως,

112, 1 ἐλιπαροῦμεν A. ἐλιπαρήσαμεν H. 3 ἣ ἥμερον Stephanus. Aberat ἥ. 7 ᾖ om. A. 15 σὺ δὲ A. ὁ δὲ H. ὁ δὲ Monac. 113. 16 ὑπεῖξας] Vulgo ὑπείξας. ἐνομίσθης Monac. 113. Vulgo ἐνομίσθη. 20 ἐπιεικέστατε A. ἐπιεικέστερος H. 24 ἀνδρείᾳ] Vulgo ἀνδρεία.

ἀκριβῶς ἅπαν γίνεται βλάβος, ὃ βέλτιον ἔχειν ἐξὸν
ζημιούμεθα. καίτοι χεῖρα ἢ σκέλος ἢ ἄλλο τι μέλος
πονῆσαν οὐ δυνατὸν ἐκ τῆς ἰατρείας ὑγιέστερον ἢ πρὶν
τι παθεῖν ἀποφῆναι, ἀνὴρ δὲ ἐμμέτρου δίκης τυχὼν
γένοιτ' ἂν ποτε καὶ βελτίων περὶ τὸν πρᾴως προσενε-
χθέντα. Ῥωμαῖοι Μασανάσσην τὸν Λίβυν, ἐπειδὴ
πολλὰ κακὰ παρ' αὐτοῦ πεπονθότες ζῶντα ληφθέντα 95 a
ἀφῆκαν ἑκόντες, οὔ φασιν ἀριθμητὰ εἶναι ὅσα Ῥω-
μαίους Μασανάσσης χρηστὰ εἰργάσατο. εὖ δὲ ἐποίει
καὶ Σωκράτης τὸν παρὰ τοῖς πολλοῖς εὐδοκιμοῦντα
λόγον ἐπανορθῶν, ὅτι δεῖ τοὺς μὲν φίλους εὖ ποιεῖν,
τοὺς δὲ ἐχθροὺς κακῶς ποιεῖν. ἐπηνώρθου δὲ τὸ μὲν
φυλάττων, τὸ δὲ μεταγράφων· τὸ τοὺς μὲν φίλους εὖ
ποιεῖν μεταγράφων, τοὺς δὲ ἐχθροὺς κακῶς ἐπιδιορθού-
μενος. τὸ μὲν γὰρ εὖ ποιεῖν ἐπῄνει, τὸ δὲ κακῶς ἐπη-
νώρθου, τοὺς φίλους μὲν εὖ ποιεῖν, τοὺς δὲ ἐχθροὺς
μὴ κακῶς ποιεῖν, ἀλλὰ φίλους μεταγράφων, καὶ πρὸς
τὸν ἀπειλήσαντα, ἂν μή σε λαβὼν ἀποκτείνω, ἀνταπει- b
λήσας, ἂν μή σε φίλον ποιήσω.

Εἰ δὲ τὴν πρᾳότητα ταύτην τριβωνίῳ μέν φησί
τις προσήκειν, ἁλουργίδι δὲ μή, ἀλλ' ἐγώ σοι κατα-
ριθμήσω καὶ τοὺς ἐνδοξοτάτους τῶν βασιλέων παρα-
πλησίους Σωκράτει γεγενημένους. Φιλίππῳ τῷ Ἀμύν-
του κατεῖπέ τις ὁτουδὴ τῶν ταξιαρχῶν ὡς ἀπεχθῶς δια-
κειμένου καὶ ῥᾳδίως κακόν τι βουλεύσοντος, εἰ μὴ τά-
χιστα ἐκποδὼν γένοιτο. τί οὖν ὁ Φίλιππος; οὐκ εὐθὺς
ἧξεν ἐπὶ τὸν σίδηρον, ἀλλὰ καὶ παρ' ἡμᾶς, φησί, τὸ
αἴτιον τῆς ἀπεχθείας· ὁ γὰρ ἀνὴρ οὐχ ὁ φαυλότατος c
τῶν Μακεδόνων. καὶ τά τε ἄλλα ἐπιμελεῖται εὐθὺς τοῦ
ἀνθρώπου, καὶ προῖκα ἐπιδίδωσι δεομένῳ θυγατρὸς
ὡραίας. καὶ μετὰ ταῦτα οὐδεὶς ἦν πιστότερος τῷ βα-
σιλεῖ τῶν πάλαι κεκριμένων ἐπιτηδείων.

113, 2 μέλος A. μέρος H. 24 κατεῖπέ τις] Vide Plutarch. Moral. p. 177 d. cum Wyttenbachii annotatione vol. VI. p. 1058. 26 γένοιτο codex Ambros. apud Wyttenbach. γένηται H. 27 ἧξεν A. ἧκεν H. 32 κεκριμένων] κεκρυμμένων A.

Ὡς εὐεργεσίη κακοεργίης μέγ᾽ ἀμείνων.

οὐ γὰρ ῥᾴδιον οὕτω τινὰ ἐν ἀνθρώποις ἀπάνθρωπον
φῦναι ὥστε παρ᾽ οὗ τὰ ἔσχατα πείσεσθαι προσεδόκησε,
τούτῳ χρηστῷ καὶ προσνείμαντί τι τιμῆς οὐκ εὐθὺς
εὔνουν γενέσθαι, ἀλλ᾽ ὁ τὴν τιμωρίαν διαφυγὼν ὅσῳ
d δικαιότερον ὦφλε, τοσούτῳ μᾶλλον ὑπόχρεως γίνεται
τῷ συγχωρήσαντι. οὕτω δὲ Ἀλέξανδρος Μέμνονα τὸν
Δαρείῳ συστρατηγήσαντα ἀποκτιννύειν τινῶν κελευόν-
των, ἐπειδὰν ὡς τάχιστα κύριος γένηται, Μηδαμῶς,
ἔφη, ἀλλὰ ποιήσωμεν ἀντὶ φιλοδαρείου τὸν ἄνθρωπον
φιλαλέξανδρον, καὶ οὕτω τὴν εἰς ἐκεῖνον σπουδὴν εἰς
ἡμᾶς μεταθήσεται. ταὐτὸ δὲ τοῦτο καὶ ὁ Βοιώτιος
στρατηγὸς, ἐπειδὴ Θηβαῖοι τῶν πόλεων ἐξελαύνειν ἐπε-
χείρουν τοὺς λακωνίζοντας, Ἀλλ᾽ οὐδεὶς, ἔφασκεν, ὦ
96 a Θηβαῖοι, τίκτεται φύσει φιλοθήβαιος, ἢ φιλολακεδαι-
μόνιος, ἀλλ᾽ ἕκαστος ἑαυτῷ ἁπανταχόθεν τὰ συμφέρον
ἐπιζητῶν παρ᾽ ὧν ἂν τὰ χρησιμώτερα προσδοκήσῃ, τού-
τοις ἑαυτὸν προσνέμει. ταύτην τοίνυν ἐμποιητέον τὴν
ἐλπίδα τοῖς ὑπηκόοις, καὶ οὐ δεήσεσθε ὅπλων πρὸς τὸ
ποιεῖν ἑαυτοῖς ἐπιτηδείους, ἀλλ᾽ ὄψεσθε τὰ ὑμέτερα
ἑκόντας αἱρουμένους.

Εἶεν. ἀλλ᾽ οἱ μὲν παρὰ τοῖς Ἕλλησιν εὐδόκιμοι
τοῦτον τὸν τρόπον, οἱ δὲ Ῥωμαίων αὐτοκράτορες πῶς;
b ἅπαντες, ὧν τὰ μεγάλα ὀνόματα παραπλησίως σοὶ τοὺς
ἠτυχηκότας μετεχειρίσαντο, Πομπήιος τοὺς Σερτωρίῳ
συνεπαναστάντας, Καῖσαρ τοὺς Πομπηίῳ συμπολεμή-
σαντας, ὁ Σεβαστὸς τοὺς Ἀντωνίῳ συναποστάντας,
Μάρκος τοὺς Κασσίῳ συναραμένους. τοὺς δὲ ἐφεξῆς
καὶ ἐγγὺς ἡμῶν τούτους οὐ λέγω· καὶ οὗτοι πάντες

114, 1 Ὡς] Odyss. χ, 374. 2 ἀπάνθρωπον Stephanus. Vulgo ἄνθρωπον. 3 φῦναι] φῆναι A. 4 προσνείμαντί τι] προσεῖναι ἄντι A. 6 ὦφλε] ὤφειλε A. τοσούτῳ] τοσοῦτον A. Quo recepto, ὅσῳ in ὅσον mutandum videtur: conf. p. 83 a. 12 ταὐτὸ] αὐτὸ A. 15 τίκτεται] φαίνεται A. 17 προσδοκήσῃ] προσδοκοίη A. 20 ἑαυτοῖς] ἑαυτοὺς A. ὑμέτερα] αἱρούμενα A. 25 μετεχειρίσαντο] μεταχειρίσαντι A. 29 οὐ λέγω Petavius. Aberat οὐ.

τῆς ἀνθρωπίνης φύσεως στοχαζόμενοι, ὅτι μηδὲν πρὸς εὔνοιαν ἐπαγωγότερον εὐεργεσίας καὶ ὅτι βέλτιστον βασιλεῖ τὸ δι᾽ εὔνοιαν ἐπισπᾶσθαι, καὶ μὴ διὰ τὸν φόβον κρατεῖν· ἡ μὲν γὰρ ἑκόντων, ὁ δὲ ἀκόντων ποιεῖ κυρίους. c καὶ δυνάμει μὲν εὔνοιαν οὐκ ἔστιν εὑρεῖν καταλυθεῖσαν, εὐνοίᾳ δὲ δυνάμεις πολλάς.

Ἰδιώτῃ μὲν τοίνυν οὐχ οὕτω ῥᾴδιον μετασκευάζειν εἰς οἰκειότητα τοὺς ἀπεχθῶς διακειμένους. ὅταν γὰρ ἐν ἴσῳ καθεστήκῃ τοῖς προσκεκρουκόσιν, οὔτε ἀφιεὶς τὴν ὀργὴν δῆλός ἐστι, τῷ μὴ κεκτῆσθαι ἀναμφισβήτητον τοῦ τιμωρεῖσθαι τὴν ἐξουσίαν, οὔτε ὑπάρχων εὐεργεσίας, τῷ πολλάκις ἀδυνατεῖν, κἂν προαιρῆται. βασιλεῖ δὲ ἐκφανοῦς ὑπαρχούσης καὶ τοῦ βλάπτειν καὶ τοῦ d ποιεῖν εὖ τῆς ῥᾳστώνης, εἰς τὴν ἀμείνω χώραν μεταθετέον ἀεὶ καθάπερ ψῆφον ἐν πεττείᾳ κειμένην ἐν τῇ φαυλοτέρᾳ, καὶ ποιεῖν τοὺς τέως ἐχθροὺς πιστοὺς καὶ οἰκείους τῇ τῶν ἀγαθῶν χορηγίᾳ.

Καὶ ταῦτα ἐγὼ μεταμόρφωσιν βασιλικωτέραν νενόμικα ἧς μετεμόρφου Ξέρξης τὴν ἤπειρον καὶ τὴν θάλασσαν, καὶ ἧς ἡ Κίρκη τοὺς ἀνθρώπους καὶ ἧς ἡ Μήδεια τὸ γῆρας καὶ ἧς Αὐτόλυκος τὰ φώρια. οὐ γὰρ 97 a ἔστι πρὸς τὴν φύσιν φιλονεικία, ἀλλὰ θεόσδοτος ἀκριβῶς ἡ δύναμις αὕτη καὶ Ἑρμοῦ δῶρον, ψυχὰς ἐξ ἀγρίων ἡμέρους καὶ ἐξ ἀλλοτρίων ἐπιτηδείους. νῦν δὲ τοῦ χαλκὸν μὲν εἰς ἀργύριον μεταβαλεῖν καὶ τοῦ τὸ ἀργύριον εἰς χρυσίον ἀσμένως ἄν τινα ἐξεύροιμεν τέχνην, ᾧ δὲ ἔνεστιν ἀνθρώπους εἴτε ἀπὸ τύχης εἴτε ἀπὸ γνώμης ἀφηνιάσαντας αὖθις χειροήθεις ποιῆσαι, οὗτος εἰ τὸ νουθετεῖν ἐάσας τῷ ἐπὶ καιροῦ λελυπηκότι ἀδιαλλάκτα ἀγανακτοίη καὶ τοῦ βασιλεῖ προσήκοντος ἐπίπροσθεν b ἄγοιτο τὸ θυμῷ κεχαρισμένον, πῶς οὐκ ἂν ἀτοπώτερος εἴη τῶν ἡνιόχων, οἳ τοὺς αὐθάδεις τῶν ἵπ-

---

115, 8 εἰς οἰκειότητα A et Taurinensis. εἰς om. H. 10 ἀναμφισβήτητον] ἀναμφίσβητον A. 19 τὴν ἤπειρον A. μὲν ἤπειρον H. 31 ἄγοιτο A. ἄγοι H.

πων οὐκ ἀποσφάττουσι παραχρῆμα, ἀλλὰ πρᾳοτέρους ποιήσαντες χρῶνται βελτίοσι γεγενημένοις;

Ἔχω δέ σοι καὶ ἕτερον εἰπεῖν βασιλέα τοσαύτης μὲν οὐκ ἄρξαντα γῆς ὅσης Φίλιππος καὶ Ἀλέξανδρος, τῷ Πυθίῳ δὲ ὅμως παρασχόντα ἀμφισβήτησιν, εἴτε θεὸν αὐτὸν προσρητέον εἴτε ἄνθρωπον, Λυκοῦργον τὸν Σπαρτιάτην. οὗτος τοίνυν οὐκ εἰς χρήματα ζημιωθεὶς οὐδὲ στρατιώτας ἀφαιρεθεὶς, ἀλλ' αὐτὸν ἐκκοπεὶς τὸν ἕτερον τῶν ὀφθαλμῶν, νέου τινὸς ξύλῳ πατάξαντος ἐν
c ἐκκλησίᾳ, παραλαβὼν τὸν ἐκκόψαντα οἴκοι, πῶς ἐτιμωρήσατο; πῶς ἠμύνατο; ἀντέκοψε μὲν καὶ αὐτὸς, ἀλλ' οὐ τὸν ὀφθαλμὸν τοῦ ἐκκόψαντος, ἀλλὰ τῆς ψυχῆς τὴν θρασύτητα, ἀντὶ μοχθηροῦ πολίτου χρηστὸν ἀποφήνας. διὰ τοῦτο ἄρα ὁ Πύθιος τῆς μὲν ψάμμου τὸν ἀριθμὸν οὐκ ἐδίσταζεν ὁπόση εἴη οὐδὲ τῆς θαλάσσης τοὺς χόας, τὸν δὲ βασιλέα τὸν οὕτω φρονοῦντα οὐκ εἶχεν ἀποφήνασθαι πότερον θεὸς ἢ ἄνθρωπος εἴη. σὺ δὲ οὐχ ἕνα ἐπράϋνας, ὥσπερ Λυκοῦργος, οὐδὲ ἕνα ἀντὶ ἐχθροῦ φίλον ἐποίησας, ὥσπερ Ἀλέξανδρος, οὐδὲ
d τὸν δεῖνα λοιδορησάμενον προσηγάγου, ὥσπερ ὁ ἔναγχος εὐδοκιμήσας, ἀλλ' ἔξεστιν ἀριθμεῖν κατὰ φῦλα, στρατηγοὺς χωρὶς, ταξιάρχας χωρὶς, λοχαγοὺς πολλοὺς, ἴλας τοξευτῶν, ἴλας ἱππέων, τοὺς ἐκ τῆς μεγάλης βουλῆς, οἷς εὖ οἶδ' ὅτι τοσούτοις οὖσι καὶ τηλικούτοις οὐκ εἰς μακρὰν τὸ ἐνδέον προσθήσεις. καὶ τότε ἐξέσται μοι μετὰ παρρησίας διστάσαι „Δίζω εἴ σε θεὸν μαντεύσομαι
98 a ἢ ἄνθρωπον“, οὐχ ὅτι καὶ νῦν τινες χαλεπόν τι καὶ πέρα τοῦ μέτρου πεπόνθασιν, ἀλλ' ὅτι σὺ σαυτοῦ πεποίηκας καὶ τὰ εἴσω τοῦ μέτρου. καὶ ζητήσουσιν οἱ ἄνθρωποι οὔ τί τοῖς ὑπ' ἐκείνων πταίσμασιν ἀκόλου-

---

116, 5 τῷ Πυθίῳ] Apud Herodotum I, 65. et alios quos indicat Maius ad Diodori Excerpta p. 1. 8 οὐδὲ στρατιώτας ἀφαιρεθεὶς add. A et Taurinensis. ἀλλ' αὐτὸν ἐκκοπεὶς om. Taurinensis. 20 λοιδορησάμενον] λοιδορησάμενος A. ὥσπερ ὁ A. ὁ om. H. 25 ἐξέσται] ἔξεστι A. 28 σαυτοῦ] σαυτῷ A. 30 ἀκόλουθον ἦν H. ἦν om. A.

θον, ἀλλὰ τὸ τοῖς ὑπὸ σοῦ περὶ τοὺς λοιποὺς πεπραγμένοις, καὶ θαυμάσουσιν οὐχ ὅτι μὴ πάντες οἱ τὰ αὐτὰ πλημμελήσαντες τὴν αὐτὴν δεδώκασι δίκην, ἀλλ' ὅτι μὴ πάντες οἱ τὰ ἴσα ἐξαμαρτόντες τῆς ἴσης τετυχήκασι φιλανθρωπίας.

Ἐπεὶ τά γε πράγματα αὐτὰ καθ' ἑαυτὰ ἐξετάζοντι b ἐντιμότερον σὺ προσενήνεξαι τοῖς ἑαλωκόσιν ἢ ἕτεροι τοῖς ὑπὲρ σφῶν ἀριστεύσασιν. οἶδας γάρ, ὡς ἔοικεν, ἀκριβῶς ὅτι δεῖ μὲν καὶ θυμοῦ μέγεθος ἐνυπάρχειν τῷ βασιλεῖ, ἀλλὰ μέγαν ὄντα τὸν θυμὸν εὐήκοον εἶναι προσήκει, ὥστε εὐμετάπειστον εἶναι τῷ λόγῳ. τὸ δὲ ἅπαξ παραλλάξαντος ἀνακαλεῖσθαι τὴν ἀκμὴν οὐ μεγάλης, ἀλλὰ καὶ πάνυ σμικρᾶς διανοίας, ὥσπερ μειρακίου τραῦμα ἀλύπως ἰαθὲν ἀναξαίνοντος καὶ διατρίβον- c τος ἐν τῷ βοᾶν, δέον τῷ φαρμάκῳ συγχωρήσαντα ἀπηλλάχθαι· φάρμακον δὲ ὀργῆς οἰδαινούσης τὸ μὲν αὐτίκα λόγος ἐστίν, ᾧ σὺ τηνικαῦτα ἐπράϋνας σφαδάζουσαν καὶ ζέουσαν ἔτι, τὸ μετὰ ταῦτα δὲ ὁ χρόνος ἰατρὸς ἤδη γίνεται καὶ τοῖς λίαν δυσμεταχειρίστοις. τὸ δὲ ὑπ' ἀμφοῖν ἀμείλικτον ἔξω τῆς φύσεως ὑπολαμβάνεις καὶ τῆς θείας καὶ τῆς ἀνθρωπίνης. διό φησιν Ὅμηρος τοὺς μὲν ἄλλους θεοὺς τρεπτοὺς εἶναι καὶ παραρρήτους, τὸν δὲ Ἀΐδην μόνον ἀμείλικτον καὶ d ἀδάμαστον.

Τοιγαροῦν μόνος αὐτοκρατόρων καὶ οἷς ἐπιεικέστερον προσηνέχθης, τούτους χαλεπώτερον τετιμώρησαι εἰς αἰσχύνην καὶ μεταμέλειαν καταστήσας, καὶ τῇ παρ' ἑαυτῶν λύπῃ κολάσας τοὺς πλημμελήσαντας, αἰσθομένους ἐξ ὧν οὐκ ἀντέπαθον κακῶς οἷα ἠδίκησαν. χαλεπωτέρα δὲ ἐλευθέρῳ λύπη τῆς διὰ τοῦ σώματος γινομένης ἡ διὰ τῆς αἰσχύνης ἐστί. σημεῖον δέ· τὰς μὲν 99 a γὰρ ὑπομένουσι καὶ ἐγκαρτεροῦσι, δι' αἰσχύνην δὲ προΐενται πολλάκις τὸν βίον. πῶς οἴει θρηνοῦσι τὴν ἀβουλίαν; πῶς οἴει στένουσι τὴν γοητείαν, οἷον ἀνθ' οἵου

117, 2 θαυμάσουσιν] θαυμάζουσι Monac. 113. 14 ἀναξαίνοντος] ἀναξαίνοντες A. 16 οἰδαινούσης] οὐδενούσης A.

προείλοντο παραβάλλοντες καὶ σταθμώμενοι βελτίονος εἰς ὃν ἐξήμαρτον ἢ ᾧ φενακισθέντες προσέθεντο; οὐδὲ γὰρ ἐν μέσοις τοῖς κινδύνοις ἦν ἀνεκτός, ἀλλ' εἴ ποτε σμικρὸν ὑπὸ τῆς τύχης ἀνερριπίσθη, τοῦ Ξέρξου παρῄει τὴν ὀφρῦν, τοῦ Καμβύσου τὴν παροινίαν, οὐδὲ ἀνδραπόδοις b μετρίως χρώμενος τοῖς ὑπ' αὐτοῦ γοητευθεῖσιν. ὃ δὲ μάλιστά μοι δοκεῖ τῆς ἐκείνου φύσεως δεῖγμα γενέσθαι, τοῦτο οὐ πρὶν εἰπεῖν παύσομαι.

Φιλοσοφίαν τοίνυν, ὦ βασιλεῦ, ἅπαντες μὲν ᾐδέσθησαν ὥσπερ τι πάτριον ἱερὸν οἱ σὺν νόμῳ τὰς βασιλείας διαδεξάμενοι, πολλοὶ δὲ καὶ συμπαρέλαβον ἐπιστατοῦσαν καὶ τοῦ βίου σφῶν προεστήσαντο, οἷς ἐκτιννύει τὰ γινόμενα χαριστήρια, ἀνεξάλειπτον αὐτῶν c τὴν ἀγαθὴν μνήμην τῷ παντὶ χρόνῳ συμπαραπέμπουσα. καὶ γὰρ ὅστις ἔδοξεν οὐ πρὸ πολλοῦ περιορᾶν ἀδικουμένην, οὐκ αὐτός τι κακὸν ἐργασάμενος, ἀλλ' ὅτι προήκατο μόνον καὶ περιεῖδεν, ὅμως οὐκ ἀνταναφέρει τῇ λοιπῇ δόξῃ πρὸς ταύτην μόνην τὴν δυσφημίαν. ταύτης τοίνυν ἔτι μικροῦ περισωζομένου λειψάνου, οὐκ ἔχων οὔτε μέγα οὔτε μικρὸν ἐγκαλέσαι, ἀλλ' ὅτι μόνον συνῄδει μὴ δυναμένην συνεπαινεῖν τῷ τολμήματι, οὐκ ἐφείσατο ὅσον ἐφ' ἑαυτῷ οὐδὲ ὤκνησε ψῆφον ἐξενεγκεῖν, ἣν d οἱ θεοὶ καλῶς ποιοῦντες ἔτρεψαν αὐτῷ παραχρῆμα εἰς τὴν κεφαλήν, ὁ τὸν πώγωνα καθειμένος καὶ τοῦ φιλοσοφωτάτου τῶν βασιλέων ἀντιποιούμενος, ἀλλ' οὐχ ὑμεῖς οἱ τοῖς ὅπλοις ἐντεθραμμένοι, ἀλλ' εἰσκαλεῖτε καὶ συμπαρίστασθε καὶ τῶν μεγίστων τιμῶν ἀξιοῦτε.

Καὶ τοῦτον μὲν ἐῶ, ἀλλὰ τὸν καθηγητὴν ἐκείνου τοῦ αὐτοκράτορος διασπαράττειν πρώην τῶν στρατιω-

---

118, 3 μέσοις add. A et Taurinensis. ἀλλ' εἴ A. * * * ἀδύσας H. 4 ἀνερριπίσθη A. ἀνερριπίσθαι H. 16 προήκατο] προσήκατο A. 20 ἐγκαλέσαι] ἐπαινέσαι A, sed ἐγκαλέσαι ab eadem manu in margine. 21 συνεπαινεῖν A. ἐπαινεῖν H. 25 ἀντιποιούμενος A. μεταποιούμενος H. περὶ Ἰουλιανοῦ βασιλέως δοκεῖ ἀποσκώπτειν τοῦ παραβάτου. schol. A. 26 οἱ τοῖς A. οἱ om. H. εἰσκαλεῖτε A, εἰσκαλεῖσθε H. 28 τοῦτον Monac. 113. τοῦτο H.

τῶν ὡρμημένων ἐξελόμενοι προὔπτου θανάτου, ἐπειδὴ 100 a
τὸν θυμὸν ἔδει παραμυθήσασθαι τῶν δικαίως ἀγανακτεῖν πεπιστευκότων, χρήμασι μόνοις ἐζημιώσατε. χρῆν γάρ, ὡς ἔοικεν, ἐξ ἀμφοῖν ὑμᾶς φιλοτιμεῖσθαι, καὶ δι' ὧν εὖ ποιεῖτε φιλοσοφίαν καὶ δι' ὧν τοῦ πάσχειν κακῶς ἐξαιρεῖσθε, καὶ πᾶσι γενέσθαι φανερὸν ὅτι μηδὲ ἐκείνη ἡ ψῆφος τῆς ὑμετέρας κρίσεως ἦν, ἀλλὰ τοῦ κοινοῦ θορύβου καὶ τῆς συστάσεως καὶ τῆς εἰωθυίας ἀπαντᾶν ἀγνωμοσύνης τοῖς ἐν παιδείᾳ διενεγκοῦσι. καὶ b
τούτου τεκμήριον ἐναργές· τὸν γὰρ ἐγκληθέντα μὲν ὑπὲρ τῶν αὐτῶν πρᾳότερον δὲ χρησάμενον τῇ παρὰ τῶν πολλῶν δυσμενείᾳ οὔτε τιμῇ παραχρῆμα ἀφῆκας.

'Αλλ' ἱκανῶς ἔχει τῷ νεμεσήσαντι δαιμονίῳ εἴ τί τοι καὶ πρότερον παρεώραται. ἀλλὰ τὰ νῦν γε ἄντικρυς τῆς Σωκράτους μεγαλοψυχίας οὐχ ἥρπασε τὸν καιρὸν βουλιμιῶν, οὐ συμπαρηνέχθη τῇ φορᾷ τοῦ ἀλάστορος, οὐ ῥῆμα ἀφῆκεν ἀδικουμένου, ἀλλὰ τὴν ὀργὴν τῶν ἐννόμως βασιλευόντων τῆς φιλανθρωπίας c
ἀνεκτοτέραν ὑπέλαβε τοῦ τοῖς νόμοις ἐπαναστάντος, ἀλλὰ μᾶλλον εἵλετο διακαρτερεῖν ἐν οἷς ἦν ἢ τὰ παρόντα μεμψάμενος ἀπηλλάχθαι. τοιγαροῦν ἅπαντα ὁ μιαρὸς τἄλλα μετακινῶν, τὰς ἐκείνου συμφορὰς μόνας ἐφύλαξεν ἐπὶ σχήματος. καίτοι εἰ καὶ πάνυ δικαίως καταψηφισθέντα ἠπίστατο, ἀλλ' ἑτέροις γε ἔδωκεν ἄδειαν πολλῷ δικαιότερον κατεγνωσμένοις. νῦν δέ, ὡς ἔοικεν, οὐκ ἤνεγκεν ὑπὸ τοῦ μάλιστα παρ' ὑμῶν πά- d
σχειν δοκοῦντος κακῶς παρορώμενος. δίκαιος οὖν ἀπολαῦσαι τῆς σῆς πρᾳότητος ὁ τῆς ἐκείνου μὴ ἐθελήσας· καλόν τι διασώσασθαι τὰ ζώπυρα τῆς φιλοσοφίας· σημεῖον γὰρ βασιλέως εὐδαίμονος αὕτη ἡ τέχνη ἐπιδιδοῦσα, καὶ ἀνάγκη ἀρετὴν ἔντιμον εἶναι παρ' οἷς φι-

---

119, 7 ἐκείνη] ἐκείνης A. ὑμετέρας] ἡμετέρας A. 11 πρᾳότερον A. πρᾳοτέρῳ H. 12 „Sub οὔτε τιμῇ latet error." Stephanus. οὐ τετιμημένον Roulezius p. 29. „οὔτε τιμῇ. Leg. οὐδὲν ὅτι μή." Iacobsius. 30 βασιλέως A. βασιλείας H.

λοσοφία σπουδῆς ἀξιοῦται, ἐν ᾗ δεῖ σε μνήμην ἀθά-
101 νατον καὶ ἀγήρω καταλιπεῖν. οὐ γὰρ μόνον οἱ τὰς πόλεις εὖ ποιοῦντες ἀθανάτους καταλείπουσι τὰς μνήμας, ἀλλὰ καὶ οἱ τὰ κάλλιστα τῶν ἐπιτηδευμάτων τιμῶντες. ἀεὶ γάρ, ἕως ἂν ᾖ γένος ἀνθρώπων, οὐκ ἐπιλείψουσιν οἱ περὶ τοὺς θειοτέρους τῶν λόγων φιλοχωροῦντες. ὥστε ἀνάγκη διαδόσιμον γενέσθαι τὴν φήμην τῶν καλῶς αὐτῇ προσενεχθέντων εἰς ἅπαντα σχεδὸν τὸν αἰῶνα.

120, 4 κάλλιστα] μάλιστα A.

VIII.

ΠΕΝΤΑΕΤΗΡΙΚΟΣ. b

Περὶ φύσεως βασιλικῆς καὶ αὐτὸς οὕτω γινώσκων τυγχάνω, καὶ ἐπαινῶ Πίνδαρον τὸν ποιητήν, ὡς ἄρα οὐ πᾶσιν ἀνθρώποις ὁμοίως ἐν ἀγαθῇ μοίρᾳ τὸ προελθεῖν εἰς χρόνον πλείω τὸν βίον, ἀλλὰ μόνοις τοῖς ζῆν μετὰ δικαιοσύνης προαιρουμένοις. καὶ τούτοις ἐλπὶς γλυκεῖα συνδιαιτᾶται καὶ ἀγαθὴ γηροτρόφος, παραπέμπουσα μετ' εὐφροσύνης εἰς τὸ τῆς φύσεως καταγώγιον. ἡ δὲ τῆς κακίας ἀπαλλαγὴ ὅσωπερ ἂν θᾶττον ὑπάρξῃ, τοσούτῳ (c) μᾶλλον τοῖς καταληφθεῖσιν ὑπ' αὐτῆς συνενήνοχεν. οὐ γὰρ ἐφ' πλείοσι περιπεσεῖν πλημμελήμασιν, οὐδὲ τοῦ γήρως πειρασθῆναι δυσκολωτέρου, προανασείοντος τὰς φροντίδας, ὧν μεταλλάξαντες ὑπομενοῦσιν. εἰ οὖν ἀληθὴς οὗτος ὁ λόγος ἐπὶ τῶν ἰδίων βίων ἐστί, πόσῳ μᾶλλον ἐφ' ὧν πολλοὺς ἀναγκαῖον συναπολαύειν ἢ τῆς ἀρετῆς ἢ τῆς μοχθηρίας; ἄμφω ταῦτα, καὶ τὰ χρηστὰ λέγω καὶ τὰ φαυλότερα, τῷ χρόνῳ συνεπιδί- (d) δωσι. καὶ εὔξαιντο ἂν οἱ κοινωνοῦντες τὰ μὲν ἐπὶ πλεῖστον αὐτοῖς χορηγεῖσθαι, τὰ δὲ μηδὲ ἀκαρῆ παραμένειν.

Χρύσιππος δὲ ἄχρι τῶν ῥημάτων ἔοικεν ἀνδρίζεσθαι, ταυτὸν δύνασθαι φάσκων ἀνδρὶ σπουδαίῳ μίαν ἡμέραν, μᾶλλον δὲ καὶ μίαν ὥραν, πολλοῖς ἐνιαυτοῖς.

121, 3 Πίνδαρον] Fragm. 233. pag. 672. Boeckh.
9 κακίας ἀπαλλαγὴ] τὸν θάνατον λέγει, περὶ τῶν κακῶν τοῦτο τῶν τάχιον τελευτώντων. schol. A. 17 συνεπιδίδωσι A. συνεπιδιδοῦσι H. 19 μηδὲ ἀκαρῆ A. μηδ' ἐν ἀκαρεῖ H.

οὐδὲ γὰρ ἰδιώτῃ φιλοσοφοῦντι πρὸς τὸ ἔργον ἄν τις
102 a ἀρκεῖν ὑπολάβοι καθάπερ ἀστραπὴν ἐκλάμψασαν τὴν ἀρετὴν εὐθὺς ἀποσβῆναι, ἀνδρὶ δὲ

Ὧι λαοί τ' ἐπιτετράφαται καὶ τόσσα μέμηλε,

καὶ ᾧ πᾶσαν μὲν γῆν, πᾶσαν δὲ θάλασσαν κοινωνεῖν ἀνάγκη τῶν ἀγαθῶν, πῶς, ὦ βέλτιστε Χρύσιππε, οὐ συνεύχῃ τὸν χρόνον καὶ ἔξω τῆς φύσεως; ὅσῳ γὰρ ἂν ἐκεῖνον μακρότερον ποιῇς, τοσούτῳ μακροτέραν ποιεῖς τὴν τῶν ἀνθρώπων εὐδαιμονίαν. ταύτῃ τοίνυν ἐγὼ μάλιστα φαίην ἂν τῶν τυράννων εἶναι τοὺς βασιλέας,
b ὅσῳ τῶν μὲν ὁ πλείων χρόνος ἀληθής ἐστιν ἑορτὴ καὶ πανήγυρις, ἡ τυραννὶς δὲ ἡ μακροτέρα μακρότερον πένθος ἐστὶ τῶν χρωμένων, καὶ αἱ πεντάδες αὗται τῶν ἐνιαυτῶν καὶ αἱ δεκάδες δικαιοσύνης μὲν καὶ φιλανθρωπίας δορυφορούσης τὴν βασιλείαν εὐκταῖαι, καὶ ἀσμενέστατοι οἱ κύκλοι καὶ περίοδοι τῶν πανηγύρεων, καὶ ἐπιστάντος τοῦ καιροῦ πρόσεισιν ἕκαστος ἑορτάζων ἀληθινῶς καὶ χορεύων αὐτῇ ψυχῇ καὶ συνεξορμῶν τὸν θεὸν τὸν μηκύνοντα τὴν εὐπραγίαν. εἰ δ' ἡ ἀπανθρωπία καὶ χαλεπότης σχῆμα ὑπεδύετο βασιλείας, ἡ ταύτης διατριβὴ καὶ ὁ ταύτης χρόνος ἀνιαρότατος τοῖς
c ὑπηκόοις. καὶ ἡνίκα ἂν τὰ σύμβολα γίνηται τοῦ χρόνου, μᾶλλον ὑπομιμνήσκει τοὺς ἀνθρώπους ὧν δυσπραγοῦσι, καὶ δέονται πλειόνων μαστίγων ἐπὶ τὰς ἑορτὰς ἢ πάλαι ποτὲ ἐπὶ τὰς μάχας οἱ Ξέρξῃ στρατευόμενοι· καὶ εὐφημοῦσι μὲν ἄνωθεν ἀπὸ τῆς γλώττης, τὰ δὲ εἴσω μεστὰ ὀδυρμῶν. οὕτω γὰρ τὸ μὲν Κύρου γῆρας εὐκτὸν ἦν τοῖς τὴν Ἀσίαν οἰκοῦσι, Νέρων δὲ ἐν ἀκμῇ τῆς ἡλικίας ἑαυτὸν ἀποσφάξας ὀψὲ λίαν ἔδοξε τεθνάναι.

122, 1 πρὸς A. κατὰ H. 2 ὑπολάβοι] ἀπολαύοι A. ἐκλάμψασαν A. ἐλλάμψασαν H. 7 γὰρ ἂν A. ἂν om. H. 8 ποιῇς A. ποιεῖς H. 15 εὐκταῖαι] εὐκταῖοι A. 16 ἀσμενέστατοι A. ἀσμενεῖς H. οἱ κύκλοι] οἱ om. A. 23 γίνηται A. γένηται H. 24 μαστίγων] τοῦτ' ἔστι μαστίζειν ἑαυτοὺς ταῖς λύπαις θέλουσι πλέον κατὰ τὰς ἑορτάς. schol. A. 30 τεθνάναι] Vulgo τεθνᾶναι.

Τί οὖν μοι βούλεται τὸ προοίμιον τῶν λόγων; χρῆναι καὶ νῦν ἀνερωτᾶν ἕκαστον ἑαυτὸν ὅπως ἔχει d πρὸς τὴν παροῦσαν πανήγυριν, εἰ μὲν δὴ τὰ ἔνδον αὐτῷ κατηφιᾷ καὶ συνέσταλται, ἐπιτρέχει δὲ ὁ γέλως ἄνωθεν καὶ ἡ εὐφροσύνη καὶ τὸ συνευθυμεῖσθαι δοκεῖν τοῖς δρωμένοις, κολακεύσων μὲν ἐγὼ πρῶτος εἰς τὰ βασίλεια παρελήλυθα, κολακεύσοντες δὲ ὑμεῖς οἱ τὸν λόγον ἐπαινεσόμενοι. καὶ κροτεῖτε νῦν, ὡς ἔοικεν, ἀπ᾽ ἄκρων τῶν χειρῶν καὶ ἐκβοᾶτε ἀπ᾽ ἄκρας τῆς γλώττης, 103 a ἡ δὲ ἀφανὴς ψῆφος κατακρίνει τε ἡμῶν καὶ θωπείαν καταψηφίζεται. εἰ δὲ διὰ τοῦ βάθους ἡ πανήγυρις ὑμῖν διήκει καὶ ἑορτάζετε ταῖς καρδίαις, αὕτη ἂν ἡ πολύευκτος εἴη πενταετηρὶς, αὕτη ἡ ζητοῦσα δεκαετηρίδα, οὗτος ὁ κύκλος, ὃν πολλάκις ἄμεινον ἀνελιχθῆναι τῇ τῆς πεντάδος προσθήκῃ.

Ἀλλὰ τὴν μὲν περὶ τὸν ἀριθμὸν τοῦτον φιλοτιμίαν τοῖς ταῦτα σοφωτέροις παρῶμεν, ἃ δὲ προσήκει b φιλοσόφῳ τὸ ὄνειδος ἀπωθουμένῳ τῶν σοφιστῶν, κοσμῆσαι τὴν πανήγυριν, ταῦτα ἐπεξίωμεν ἤδη, παραιτησάμενοι μικρὰ τοὺς ἀκροωμένους, ἃ πολλάκις μὲν ἤδη καὶ πρότερον, δεῖ δὲ, ὡς ἔοικε, συχνοτέρας τῆς ἐπῳδῆς, εἰ μέλλοιμέν τι περαίνειν ὡς νομοθετοῦντες τοῖς φιλοσόφοις, καὶ ὅπως λεκτέον καὶ ἃ λεκτέον. οὓς χαλεπὸν μὲν ἐπισχεῖν· ποιοῦνται γὰρ καὶ τὰ ἐναντιώτατα ἀφορμὰς, σιωπῶντα μὲν φιλόσοφον λοιδοροῦντες ὡς δι᾽ c ἀδυναμίαν τοῦ λέγειν σεμνότητα σχηματιζόμενον, λέγοντι δὲ ἐπιτιμῶντες ὡς ἐκ φιλοσοφίας εἰς ῥητορικὴν μετιόντι, κἂν μὲν νουθετῇ, φλυαρεῖν, ἂν δὲ ἐπαινῇ, κολακεύειν, ἂν δὲ ἐλέγχῃ, μελαγχολᾶν, ἂν εἰς τὰ βασίλεια παρίῃ, περιεργάζεσθαι, ἂν οἰκουρῇ, κεῖσθαι μάταιον ἄχθος ἐπὶ τῆς γῆς, ἂν πολιτεύηται, σπουδαρχεῖν, ἂν ἀφιστῆται

123, 4 κατηφιᾷ Iacobsius ad Philostrat. p. 606. Vulgo κατηφᾷ. 6 κολακεύσων A. κολακεύων H. 7 παρελήλυθα A. εἰσελήλυθα H. 11 ὑμῖν] ἡμῖν A. 12 αὕτη ἂν A. ἂν om. H. 22 περαίνειν Wyttenbach. ad Plutarch. de S. N. V. p. 74. Vulgo παραινεῖν. 26 ἀδυναμίαν A. ἀδυναμίας H. 31 ἀφιστῆται Iacobsius. Vulgo ἀφίσταται.

τῶν κοινῶν, ἀχρεῖον εἶναι. τί οὖν ἂν πάθοιμεν πρὸς
ἀνθρώπους οὕτω δυσκόλους, οἳ χώραν οὐκ ἔχουσιν εἰς
ἣν ἂν τάξειαν ἡμᾶς, ἀλλὰ βαρύτεροι καθεστήκασι τοῖς
d φιλοσόφοις τῶν τὰ μειράκια παιδαγωγούντων; διὰ τού-
τους οὖν καὶ τοὺς τοιούτους μικρά μοι συγχώρησον,
ὦ βασιλεῦ, ἐκλογήσασθαι καὶ ὑπὲρ ἐμαυτοῦ καὶ ὑπὲρ
τῶν λόγων οὓς προαιροῦμαι. ἔσται δὲ οὐ ταῦτα ἔξω
τῆς ὑποθέσεως, ἀλλὰ καὶ προὔργου τῷ καθορᾶν
δυναμένῳ.

Ἐγώ, φιλανθρωπότατε αὐτοκράτορ, ταύτῃ μάλι-
104 a στα τῶν ἄλλων τεχνῶν φιλοσοφίαν διαφέρειν πεπιστευ-
κώς, ὅτι μὴ κέχηνε πρὸς δόξας ἀνθρώπων, μηδὲ τὰς
ἀκοὰς ποιεῖται κριτὰς ὧν αὐτῇ πρακτέον ἐστὶν ἢ ῥη-
τέον, ἀλλ' ὅσα ἂν ὁ λόγος ὑφηγῆται συντείνειν αὐτῇ
πρὸς τὸ κεφάλαιον, ὃ προεστήσατο. ταῦτα ἐγὼ εἰκό-
τως πρὸς τοὺς ἀρχαίους πατέρας τῆς τέχνης ἐμαυτῷ
καὶ νομοθέτας ποιούμενος ἁπανταχοῦ πειρῶμαι τοῖς
ἴχνεσι τοῖς ἐκείνων ἀκολουθεῖν, ἂν οἷός τε ὦ. φασὶ
δὲ ἐκεῖνοι δύο ὁδοὺς εἶναι φιλοσοφίας, τὴν μὲν ἀν-
θρωπίνην, τὴν δὲ θειοτέραν, δεῖσθαι δὲ ὁμοίως ἀλλή-
b λων καὶ οὔτε τὴν ἀνθρωπίνην ἐξεῖναι βαδίζειν ἄνευ τῆς
θείας οὔτε τὴν θείαν ἄνευ τοῦ προκαθήρασθαι τῇ
ἀνθρωπίνῃ. μεταλλάττειν οὖν τὰς ὁδοὺς τοὺς ὀρθῶς
ὁδοιποροῦντας καὶ μεταβαίνειν ἐκ τῆς ἑτέρας εἰς τὴν
ἑτέραν, ὡς ὁ καιρὸς ὑφηγεῖται. τίκτεσθαι γὰρ ἡμᾶς
οὐχ ἑαυτοῖς μόνον, ἀλλὰ καὶ πολίταις καὶ φίλοις καὶ
ἁπλῶς ἀνθρώποις. ὅταν μὲν οὖν ὁ καιρὸς παραγ-
γέλλῃ μηδ' ὁτιοῦν ὄφελος εἶναι προσιόντι τοῖς ἀνθρώ-
ποις τῆς κατεχούσης πολιτείας καὶ τῶν ταύτης προεστη-
κότων, ἀποκλειόντων τὴν ὁδὸν τοῖς φιλοσοφοῦσιν, ὥσ-
περ τῶν ἀρρωστούντων τοῖς ἰατροῖς, τηνικαῦτα δὴ
c προσήκειν τῶν κοινῶν ἀναγκαίως ἀφισταμένους ἀγαπᾶν

124, 3 ἂν τάξειαν A, ἂν om. H. 14 συντείνειν] συντείνει F. A. Wolfius. 28 ἀνθρώποις] ἀνθρωπίνοις A. 32 ἀφισταμένους A. ἀφισταμένοις H.

εἰ τὸ καθ' ἑαυτοὺς εὖ διαθήσονται, ὥσπερ ἐν ζάλῃ κονιορτοῦ, φησὶν ὁ Πλάτων, ὑπὸ πνεύματος φερομένου, ὁρῶντες τοὺς ἄλλους καταπιμπλαμένους ἀδικίας τε καὶ ἀνόμων ἔργων, αὐτοὶ στάντες ὑπὸ τειχίον, τό γε μὴ τὰ αὐτὰ παθεῖν τοῖς πολλοῖς κέρδος ἡγήσονται· ὅταν δὲ εἰσκαλῇ μὲν ὁ τῆς πολιτείας προεστηκώς, ἐνδιδῷ δὲ ἐλπίδας χρηστὰς ἁπτομένοις τῆς ἰατρείας καὶ τὰ παραγγέλματα καταδέχηται γεννικῶς, καὶ ἀπαιτῇ τὴν παρρησίαν ὥσπερ ὄφλημα ἀναγκαῖον παρὰ τῆς τέχνης, καὶ μηδὲν αὐτῆς νουθέτημα ἄχρι τῶν ὤτων προσίηται, d ἀλλ' ἐγχαράττῃ τὰς συμβουλίας τῇ ψυχῇ καὶ περιφέρῃ τὸν ἐφεξῆς χρόνον, καθάπερ ἐν στήλῃ ἀδάμαντος ἐγγεγραμμένας, ὁ τούτῳ μὴ προσιὼν συνεχῶς μηδὲ χειροήθη κατασκευάζων, μήτ' ἐπιδεικνύμενος τὴν τέχνην ἣν ἐπισχνεῖται, ἀνηκουστεῖ μὲν φιλοσοφίας, ἀνηκουστεῖ δὲ Πλάτωνος τοῦ σοφοῦ, βασιλέα νέον ἐπιζητοῦντος εὖ πεφυκότα, ὡς τηνικαῦτα μάλιστα τὴν χρείαν ἐπιδεῖξαι τὴν ἑαυτῆς δυνησομένης φιλοσοφίας.

Καὶ διὰ ταῦτα ἐκεῖνος οὐκ ὤκνει διαπλέων ἐκ 105 a τῆς Ἀττικῆς τὸν Ἰόνιον, καὶ τὰ πρῶτα ἁμαρτὼν δευτέραν πεῖραν προσενεγκεῖν, καὶ τὰ δεύτερα ἀμεληθεὶς μηδὲ τὰ τρίτα ἀποκνῆσαι. καίτοι Πλάτων μὲν τῇ Διονυσίου φύσει φιλονεικῶν ἐπεχείρει τοῖς ἀνιάτοις, τὴν δὲ σὴν φύσιν ἔξεστι καθορᾶν κηρίνου παντὸς ἐκμαγείου εὐπλαστοτέραν πρὸς ἀρετήν. μᾶλλον δὲ τί δεῖ κύκλῳ περιιέναι καὶ οὐκ αὐτὸν Πλάτωνα μάρτυρα παραστήσασθαι; ὡς ἐκεῖνος μὲν πλέων ὡς Διονύσιον τοὺς αὐτοῦ νόμους παρεώρα, οὓς ἔθετο ἡμῖν ὥσπερ γνωρίσματα b φύσεως εὐαγώγου πρὸς βασιλικὴν ἀρετήν, ἡμεῖς δὲ ταυτὶ τὰ γνωρίσματα ἐξευρόντες ἀγαπητῶς συνδεδραμηκότα μᾶλλον ἀκούομεν Πλάτωνος ἢ αὐτὸς ἑαυτοῦ, καὶ τοῖς ἴχνεσιν ἀκολουθοῦμεν, ὧν ὁ θέμενος ὠλιγώρησε.

125, 2 Πλάτων] De Rep. VI. p. 496d. Conf. infra p. 326b.
4 τειχίον A. τειχίων H. 14 μήτ'] Immo μηδ'.
24 κηρίνου A. κυρίου H.

Σκοπεῖτε γάρ, εἰ μὴ δόξειεν ὑμῖν ἀνὴρ τὰ παρόντα μᾶλλον προφητεύειν ἢ δείγματα εἰς μέσον ὑποδεικνύναι φύσεως ἀπιστουμένης τοσούτων συλλαβεῖν ἀγαθῶν ἀριθμόν, ἃ μὴ ῥᾳδίως ἀνέχεται τὴν κοινωνίαν. δότε γάρ μοι, φησί, βασιλέα νέον, σώφρονα, c μεγαλοπρεπῆ, μνήμονα, πρᾶον, ἀνδρεῖον, εὐμαθῆ. οὗτος ἐκεῖνός ἐστιν, ὃν ζητεῖς, ὦ θαυμασιώτατε Πλάτων, καὶ λέγεις μοι λίαν ἀκριβῶς, οὐκ εἰδὼς ὃν λέγεις, καὶ τὴν εἰκόνα ἐκμάττῃ, οὐχ ἑορακὼς τὸ ἀρχέτυπον. ἰδοὺ τοίνυν καταμάνθανε πρῶτον τὸ ὕστατον τῶν γνωρισμάτων, ὅπως ἐκλάμπει περιφανῶς ἐν τῷ νεανίᾳ τὸ φιλομαθές, εἰ δὲ βούλει, καὶ εὐμαθές· ὃν οὐδὲ ὁμόγλωττον ὄντα τοῖς λόγοις τοῖς ἡμετέροις προθυμότερον ἔστιν ἰδεῖν ἀπαντῶντα εἰς τοὺς λόγους ἢ τοὺς λίαν ἐκ τῆς Ἀττικῆς. καὶ οὐ δεῖ σοι μακρᾶς παραγγελίας οὐδὲ d ἀντιβολήσεων ἐμμήνων, οὐδὲ προστίθεσθαι ἱκετηρίαν, ἀλλ' ἐξαρκεῖ μόνον ἀπαγγεῖλαι. καὶ πράγματα ἕξεις περινοστῶν τοὺς ἰδιώτας· ὁ δὲ προκάθηται ἕτοιμος τὸν χορὸν τὸν οἰκεῖον περιστησάμενος, καὶ τὰς Μούσας οὐκ ἔλαττον ἀσμενίζει τῆς Ἐνυοῦς, καὶ πρὸς τοὺς λόγους οὐχ ἧττον ἢ τὴν σάλπιγγα διεγείρεται. καὶ οὐδὲ τὰ ῥήματα αὐτὸν θορυβεῖ ξένα ὄντα καὶ οὐκ ἐν ἔθει, 106 a ἀλλὰ τὸν ἐνδεδυκότα αὐτοῖς νοῦν ἐρευνᾷ καὶ μικρᾶς ἐνδοθείσης ἀρχῆς δεῖται ἐλάχιστα ἑρμηνέως. τὸ γὰρ ἀκόλουθον εὐθέως καὶ τὸ ἐφεξῆς οἴκοθεν εὑρίσκει τῇ τῆς φύσεως εὐκολίᾳ. ᾐσθάνεσθε γοῦν αὐτοῦ κραδαινομένου πρώην πρὸς τὸ κάλλος τῆς διανοίας καὶ τῇ δυνάμει τοῦ λόγου συμμεταβάλλοντος τὴν μορφήν, μειδιῶντος, συνάγοντος τὰς ὀφρῦς, οὐκ ἀγαπῶντος ἕπεσθαι μόνον τοῖς εἰς τοὐμφανὲς λεγομένοις, ἀλλὰ καὶ τὴν τέχνην, ἀφ' ἧς ἕκαστον ὁρμᾶται τῶν ἐπιχειρημάτων, ἐπιζητοῦντος. ὥστε δυοῖν εἰσελθόντοιν τοῖν λόγοιν

126, 4 κοινωνίαν] τὴν ἐν τῷ αὐτῷ συνύπαρξιν schol. A. 9 ἑορακὼς] Vulgo ἑωρακὼς hic et alibi. 16 προστίθεσθαι] προτίθεσθαι F. A. Wolfius. 32 et 127, 6 δυοῖν] Vulgo δυεῖν.

μᾶλλον ἑάλω τοῦ νοῦν οἰκεῖον ἔχοντος ἢ τοῦ τὰ ῥήματα. b ὃ δὲ μάλιστα ἄξιον ἄγασθαι, ὅτι καὶ τῶν ἐπαίνων ἐκείνους μόνους προσίεται μεθ' ἡδονῆς, οὓς ἂν γνωρίζῃ προσήκοντας, οὓς δὲ ἀνευρίσκει περαιτέρω τοῦ ἀληθοῦς κεχαρισμένους, δυσχεραίνει πρὸς τούτους, ὡς ἐξαπατᾶν πειρωμένους. τοῦτο δὲ δυοῖν ἂν εἴη σημεῖον, τοῦ τε γινώσκειν ἑαυτὸν καὶ τὰ ἑαυτοῦ καὶ τοῦ γε ἀνάλωτον εἶναι κολακείας, καὶ κινδύνου κρείττω χαλεπωτέρου ἢ χρυσίου, καὶ μάλιστα τοῖς ἐν ὑπεροχῇ τοσαύτῃ καθεστηκόσιν. ὧν οἱ πολλοὶ τὸ προσηνὲς ἀεὶ καὶ ἐν τοῖς λόγοις ἐπιζητοῦντες αὐτοὶ προκαλοῦνται τοὺς προσιόντας c ἐξ ὧν εὐφρανοῦσι σκοπεῖν, οὐκ ἐξ ὧν ὠφελήσουσιν. ἀλλ' οὐ σύ γε, ἀλλὰ κουφότερον φέρεις βλασφημίαν ἢ κολακείαν, γινώσκων ὡς ἡ μὲν οὐδὲν ὤνησε, λοιδορηθέντες δὲ πολλοὶ τὰ ἐλλείμματα ἐπηνώρθωσαν. καὶ πρὸς τοὺς νουθετοῦντας ἥμερος ὢν πρὸς τοὺς θωπεύοντας ἀγριαίνεις. ἃ τοίνυν προὐθέμην, τὸ γὰρ εὐπειθὲς τοῦτο αὐτὸ καὶ εὐάγωγον εὐμαθείας εἶναι τεκμήριον τίς οὐκ ἂν φαίη, ὃ σοὶ διαφερόντως ὑπάρχον ὁρῶμεν; d

Ἀλέξανδρος μὲν γὰρ ὁ Φιλίππου πολλὰ ἀκούσας Ἀριστοτέλους πολλάκις πλείω καὶ παρήκουε, σοὶ δὲ πᾶσα χρηστὴ παραίφασις ἐγκάθηται ἐν τῷ βάθει τῆς διανοίας καὶ μένει παντάπασιν ἀνεξάλειπτος. καὶ ὅστις ἄν σοι ῥηθῇ παρ' ἡμῶν λόγος ἀρχαῖος γνώμην παλαιὰν ἔχων καὶ νουθεσίαν παρέστηκεν ἀεὶ καὶ συνδιαιτᾶται. οὐκ οἶσθα ὅπως ἄγαμαι, βασιλεῦ, ἀκούων σου 107 a πολλάκις ἐκεῖνον τὸν λόγον ὑπερφυῶς ἀγαπῶντος καὶ πρόχειρον ἔχοντος ἐπὶ τῶν καιρῶν, ὅτι σεισμοῦ μὲν καὶ λοιμοῦ τὸ διαφθείρειν ἀνθρώπους, βασιλέως δὲ ἔργον τὸ σώζειν ἐστί, καὶ τὸ ῥῆμα ἐκείνου τοῦ αὐτοκράτορος, ὅτι σήμερον οὐκ ἐβασίλευσα, οὐδένα γὰρ σήμερον εὖ ἐποίησα. ταῦτα γὰρ καὶ πλείω τοιαῦτα οὐχ οἷόν τε ἐπαινεῖν οὐδὲ μεμνῆσθαι τὸν πεφυκότα ἐξ ἐναν-

---

127, 8 κολακείας] κολακεία F. A. Wolfius. χαλεπωτέρου] χαλεπώτερον A. 9 ἐν om. A. 12 εὐφρανοῦσι F. A. Wolfius. Vulgo εὐφραίνουσι.

τίας. ὅταν οὖν αὐτὸς μὲν ὑπέχῃς τὰ ὦτα, ἡμεῖς δὲ
b ἀποκνῶμεν προσάγειν τοὺς λόγους, οὓς ἀσμενίζεις, οὐχὶ σὸν ἤδη τὸ ἔγκλημα, ἀλλὰ τῶν εἰς δέον τῇ φύσει τῇ σῇ μὴ χρωμένων. ἀλλὰ τοῖς μὲν ἄλλοις, ὦ βασιλεῦ, κἂν συγγνώμην τις ἀπονείμειε — ταῖς μὲν γὰρ οὐ σχολή, οἱ δὲ εἰς ἑτέραν φαῖεν ἂν εἰσφέρεσθαι χρείαν — φιλοσόφῳ δέ, ᾧ δέδωκας ἤδη πεῖραν τῆς εὐπειθείας, εἰ μὴ προσάγοι συνεχῶς λόγους ἐγκάρπους καὶ ὀνησίμους, τίς οὐκ ἂν δικαίως νεμεσήσειεν, εἰ σχῆμα ἀνειληφὼς γυμναστοῦ ἁμιλλῷτο ὀψαρτύταις, καὶ ἐπιμελοῖτο μόνον τοῦ προσηνὴς εἶναι δοκεῖν καὶ τῇ πανηγύρει
c κεχαρισμένος, φάρμακον δὲ τοῖς ἡδύσμασι μηδ' ὁτιοῦν ἐγκεραννύοι;

Πλάτων μὲν οὖν, εἰ καὶ τὰ ἄλλα πάντα θεῖος καὶ αἰδοῖος, ἀλλὰ τοῦτόν γε ἀτεχνῶς ἀποκεκινδυνευμένως προήκατο λόγον, ὅτι μὴ πρότερον τὰ κακὰ λήξει τοῖς ἀνθρώποις, πρὶν ἂν ἢ φιλόσοφοι βασιλεύσωσιν ἢ βασιλεῖς φιλοσοφήσωσιν. ἐλήλεγκται δὲ ὁ λόγος καὶ δέδωκεν εὐθύνας τῷ χρόνῳ. ἄγασθαι δὲ ἄξιον Ἀριστοτέλην, ὅτι μικρὸν τὰ Πλάτωνος ῥήματα μεταθεὶς
d τὸν λόγον πεποίηκεν ἀληθέστερον, φιλοσοφεῖν μὲν τῷ βασιλεῖ, οὐχ ὅπως ἀναγκαῖον εἶναι φάσκων, ἀλλὰ καὶ ἐμποδών, τὸ δὲ φιλοσοφοῦσιν ἀληθινῶς ἐντυγχάνειν εὐπειθῆ καὶ εὐήκοον. ἔργων γὰρ ἀγαθῶν τὴν βασιλείαν ἐνέπλησεν, οὐχὶ ῥημάτων. ὅση τοίνυν χρεία τοῖς εἰρημένοις τοῦ προϊέναι μὴ ἄνευ λόγου, τοσοῦτον ἀπολαύειν προσῆκε τοῦ φιλοσοφοῦντος τὸν βασιλεύοντα. νῦν δὲ ὅμοιον ὥσπερ εἴ τις πρὸς τὸν στέφανον τὸν Ὀλυμπίασιν ἀποχρῆν οἴοιτο τὸ παλαίσματα ἐκ βιβλίου μεμαθηκέναι, κόνεως δὲ μὴ ἅψαιτο μηδὲ ἁλτήρων. ὁ
108 a γὰρ τοιοῦτος ἀγωνιστής, πρὶν ἐμβῆναι τοῦ σταδίου, γέλωτα ὀφλισκάνει τοῖς θεαταῖς· ὅστις δὲ ἐκ φύσεως

128, 7 εὐπειθείας A. εὐμαθείας H. 15 ἀποκεκινδυνευμένως] ἀποκεκινδυνευμένον A. 23 ἐντυγχάνειν] τυγχάνειν A. 29 τὸ παλαίσματα A. τὰ παλαίσματα H. 30 κόνεως A. κόνιος H.

πρόθυμος καὶ τὸν ὑπ' ἄλλου καλῶς εἰρημένον λόγον οἰκεῖον ποιεῖσθαι, τούτῳ συμβαίνει μήτε προΐεσθαι τὸν καιρὸν τῶν ἔργων εἰς λόγους καὶ τὸ κέρδος ἀποφέρεσθαι τὸ ἐκ τῶν λόγων. πάνυ μὲν γάρ, οἶμαι, καλῶς καὶ Τιμόθεος ὁ στρατηγὸς φιλοσόφῳ παραβαλὼν εἰς πλῆθος ἐπιχειροῦντι μόνον εἶναι τὸν σοφὸν στρατηγόν, Ἄνδρες, ἔφη πρὸς τοὺς παρόντας, οὗτος ὁ ἀνὴρ οὐδεπώποτε ὑπὸ σάλπιγγος τεθορύβηται. ἀλλὰ τοῦτον μὲν τὸν λόγον εὐχῆς οἰητέον, οἵας πολλὰς ὀνειροπολοῦμεν b οἱ ἄνθρωποι προελθεῖν εἰς ἔργον ῥᾳδίως μὴ δυναμένας. ἀγαπῶμεν δέ, εἰ φανείη ποτὲ βασιλεὺς οὐκ αὐτὸς αὐτουργῶν φιλοσοφίαν, τοῖς δὲ φιλοσοφοῦσιν ἀληθῶς εὐπειθὴς καὶ ὑπήκοος.

Διὰ τοῦτο καὶ ὁ πάνυ Σεβαστὸς μέγας ἦν, ὅτι τὸν Ἄρειον καὶ τὸν Θράσυλον συμπεριήγετο, οὐχ ἵνα αὐτῷ συνθέσεις οἰκοδομημάτων ἐξηγῶνται καὶ ἀναλύσεις, ἀλλ' ἵνα πρὸς τὰ ἔργα τῆς ἀρετῆς παρορμῶσι. καί ποτε λόγος ἀναβάντα ἐφ' ὑψηλὸν βῆμα τὸν Σεβαστὸν θρασυναμένου τι τοῦ δήμου τῶν Ἀλεξανδρέων c καὶ δεδιότος τὴν τιμωρίαν, Ἀφίημι, φάναι, τὴν ὀργὴν ὑμῖν Ἀρείου μὲν συμβουλῇ, ἐμῇ δὲ εὐπειθείᾳ. εἰ δὲ Ἄρειος μὲν ὡς οἷόν τε ἄριστα εἶπεν, ὁ Σεβαστὸς δὲ ὠλιγώρησε τῆς παραινέσεως, οὐδὲν ἂν ὁ δῆμος τῆς τοῦ φιλοσόφου νουθεσίας ἀπώνατο.

Ἐμοὶ δὲ καὶ Ζήνων ὁ Κιτιεὺς λίαν ἀρεστὸς τὴν εὐπείθειαν ἀποφηνάμενος τῆς ἀγχινοίας ἀρετὴν εἶναι βασιλικωτέραν, καὶ τὴν τάξιν τὴν Ἡσιόδου μεταθείς·

Κεῖνος μὲν πανάριστος ὃς εὖ εἰπόντι πίθηται,
ἐσθλὸς δ' αὖ κἀκεῖνος ὃς αὐτῷ πάντα νοήσει. d

οὐ γὰρ οἷόν τε ἕνα ὄντα τὸν βασιλέα, κἂν σφόδρα ὑπάρχῃ θεοειδής, τοσαύταις ἐπιστατοῦντα φροντίσιν

129, 5 παραβαλὼν A. παραβάλλων H. 15 Θρασύλον codex Vales. apud Boisson. ad Aristaen. p. 441. Θράσυλον H. 16 οἰκοδομημάτων] „Leg. ἐνθυμημάτων." Iacobsius. 22 ἄρειος A. ὁ Ἄρειος H. 25 Κιτιεὺς] Vulgo Κιττιεύς. 27 Ἡσιόδου] Ἔργ. v. 291. 29 αὐτῷ A. αὐτὸς H. νοήσει] νόει A.

ἐν ἁπάσαις τὸ δέον εὑρίσκειν. ἀλλ' ἐὰν ἔχῃ τὸ εὐπειθὲς καὶ εὐήκοον, ἐρανίζειν οἷός τε παρὰ πλειόνων, ἃ τὸ πλῆθος τῶν πραγμάτων οἴκοθεν ἅπαντα λειτουργεῖν οὐκ ἐᾷ.

109a Πολλῶν δ' ἀγρομένων (φησὶν ὁ Νέστωρ) τῷ πείσεαι, ὅς κεν ἀρίστην
βουλὴν βουλεύσοι.

ἀλλ' ὁ μὲν Νέστωρ καὶ ἐπιτιμᾷ που τῷ Ἀγαμέμνονι,

Μάλα γάρ τοι ἔγωγε
πόλλ' ἀπεμυθεόμην.

σοὶ δ' οὐκ ἔστι μέχρι γε νῦν ὅστις ἂν ἔχοι προενεγκεῖν ὅτι χρηστὴν αὐτοῦ συμβουλὴν προσφέροντος παρακήκοας, ἀλλ' ἢ κατὰ σαυτὸν προλαβὼν τὸ δέον ἐξεῦρες, ἢ τὸ ἔργον ἐπάγεις τῷ παρ' ἄλλου καλῶς εὑρημένῳ.

b Τὸ δὲ δὴ τῆς μνήμης, Ἀρταξέρξῃ μὲν τῷ Περσῶν βασιλεῖ καὶ μόνον ἀντὶ σεμνότητος ἐξήρκεσε καὶ προσήπται τῷ ὀνόματι τῷ Ἀρταξέρξου ὁ Μνήμων ὥσπερ ἄλλο τι ἐγκαλλώπισμα, ἐγὼ δὲ τὸ μὲν ἁπλῶς ἁπάντων μεμνῆσθαι καὶ διατηρεῖν ἀνεξάλειπτα οὔπω χρηστῆς φύσεως σημεῖον ποιοῦμαι, καὶ ταῦτα ἐπ' ἀνδρὸς βασιλέως, μᾶλλον δὲ ὃν ἐξ ἰδιώτου βασιλέα πεποίηκεν ὁ θεός. ἀνάγκη γὰρ τὸν τοιοῦτον πολλὰ μὲν ἀκοῦσαι παρὰ γνώμην ἐν τῷ πρόσθεν βίῳ, πολλὰ δὲ ὑπομεῖναι
c τῶν δυσχερῶν, καὶ ἄρχων δ' ἂν αὐθάδης ὀλιγωρήσειεν ἰδιώτου, καὶ ὁ τὰ πλείω κεκτημένος παρίδοι τὸν τὰ ἐλάττω. τὸν δὴ τοιοῦτον εὐξαίμην ἂν ἔγωγε, εἴπερ οἷόν τε, τὸ τῆς λήθης ὕδωρ πιόντα ἐκ τῆς στρατιωτικῆς χλαμύδος τὴν ἁλουργίδα μεταμφιάσασθαι. ἀλλ' ἐκεῖνο ὑπείληφα ἀξιέπαινον, μᾶλλον δὲ ἀτεχνῶς φύσεως θείας, καὶ μνήμονα εἶναι τὸν βασιλέα καὶ ἐπιλήσμονα· μνήμονα μὲν τῶν ἀγαθῶν, ἐπιλήσμονα δὲ τῶν ἐναν-

---

130, 5 Πολλῶν] Iliad. ι, 74. 9 Μάλα] Iliad. ι, 108. 16 τῷ Περσῶν] Vulgo τῶν Περσῶν. 18 ὥσπερ ἄλλο] ὡς περίαλλον Iacobsius. 22 πεποίηκεν ὁ θεός A. πεποίηκε κύριος ὁ θεός H. 29 μεταμφιάσασθαι A. μεταμφιέσασθαι H.

ιων. πόσους εἰκὸς Δαρείῳ τῷ Ὑστάσπου, ἡνίκα δορυ-
ιόρος ἐστρατεύετο ὑπὸ Καμβύσῃ, καὶ προσκροῦσαι
ιάτην καὶ λοιδορήσασθαι, τυχὸν δὲ καὶ ἀφελέσθαι τι d
ῶν κτημάτων; ἀλλ' ἀφ' ἧς ἡμέρας εἰς τὸν Καμβύσου
ρόνον ἐκάθισε, τὰ μὲν ἄλλα πάντα ἀφῆκε, Συλο-
ῶντι δὲ οὐκ ἀφῆκεν. οἶδα ὅτι τὸν Συλοσῶντα ἐπι-
ητεῖς ὅστις ποτὲ ἦν. Σάμιος ἦν, ἰδιώτης ἀνήρ, καὶ
αρεῖον στρατευόμενον ἐν τοῖς δορυφόροις, ἐπειδὴ τῆς
λαμύδος ἁλόντα ᾔσθετο, ἣν ἔτυχεν ἠμφιεσμένος, δω-
εῖται προῖκα ἐκδὸς ἀργύριον καταβάλλοντι. καὶ τὴν
ὲν χλαμύδα κατέτριψε Δαρεῖος οὐκ εἰς μακράν, τὴν 110 a
νήμην δὲ οὐ κατέτριψε τῆς δωρεᾶς, ἀλλ' ἡνίκα εἰς
ὴν βασιλείαν παρῆλθε, τοῦτο ὑπέλαβεν εἶναι τῆς
μείνονος τύχης προοίμιον, εἰ νικήσειε πολλῷ τὸν εὖ
οιήσαντα.

Σὺ δὲ ὀργὴν ἀπεμνημόνευσας οὐδενί, Συλοσῶν-
τας δὲ πλεῖν ἢ μυρίους νενίκηκας. ἠμύνω μὲν γὰρ οὐδ'
ντινοῦν, εὖ δ' ἐποίησας καὶ τῶν προσκρουσάντων οὓς
ρηστοὺς ᾔδεις. τὸ μὲν γὰρ ἐκπλῆσαι τὴν ἰδίαν ἀπέ-
θειαν ἰδιώτῃ, τὸ δὲ ἆθλα τῆς ἀρετῆς ἀποδοῦναι βα-
ιλεῖ προσήκειν ἐνόμισας. Ἀλκιβιάδης δὲ ὁ Κλεινίου, b
αὶ ταῦτα στρατηγὸς ὢν αἱρετός, οὐχ οὕτως ἀπεμνη-
όνευσεν Εὐπόλιδι τῷ κωμῳδοδιδασκάλῳ τοὺς Βάπτας,
αίτοι τῆς τέχνης αὐτῷ διδούσης τοῦ σκώπτειν τὴν
δειαν ἐκ τῶν νόμων. ἀλλὰ σὺ κἀκεῖνον, ὡς ἔοικε, τὸν
ὐτοκράτορα παρελήλυθας, ὃς ἐπειδὴ τάχιστα ἧκεν εἰς
ὴν ἀρχήν, καλέσας ὃν μάλιστα ἀπεχθανόμενον ᾔδει,
άρσει, φησίν, ὦ βέλτιστε· οὐ γὰρ ἕξεις χαλεπὸν
χθρὸν ἐκ τῆς σήμερον. καὶ ἐπὶ τούτῳ τῷ ῥήματι
ὐχ ἧττον ἀοίδιμος οὗτος ὁ βασιλεὺς ἢ τῇ Δεκεβάλου
φαγῇ καὶ ταῖς Παρθικαῖς νίκαις καὶ Γερμανοῖς ὑπα- c
ούουσι. μείζων γάρ, ὡς ἔοικε, νίκη βασιλεῖ Ῥωμαίων
ὸν θυμὸν ὑποκύπτοντα ἔχειν τῷ λόγῳ ἢ τοὺς βαρβά-
ους τοῖς στρατιώταις. οὐδὲ γὰρ ἡ Γετῶν ἐκδρομὴ

131, 9 ἁλόντα A, ἐρῶντα H. 17 πλεῖν A. πλὴν H.
5 ἀλλὰ συ A. σὺ om. H.

τοσοῦτον εἰργάσατο τὴν Ῥωμαίων ἀρχὴν ὅσον ἡ Νέρωνος ἐμπληξία καὶ ἡ Δομετιανοῦ μελαγχολία. καίτοι τοῦτόν γε οὐδὲ θυμὸν ἴσως κλητέον, ὃς κατακοιμηθεὶς ὑπὸ τοῦ λογισμοῦ, ἐπειδὰν λάβηται δυνάμεως, ἀνεγείρει τι ἀλλόκοτον καὶ πικρίαν καὶ μῆνιν, σκιροῖς ἐοικότα νοσήμασιν, αὐτὴν πρώτην τιμωρουμένοις καὶ δαπανῶσι τὴν ψυχήν, ᾗ ἐντέτηκε.

d Λόγος δέ με ἐκ λόγου παραλαμβάνων εἰς ἕτερον γνώρισμα ἐξενήνοχεν, ἐκ τῆς μνήμης εἰς τὴν πρᾳότητα, περὶ ἧς τίς ἂν ἡμῖν ἀμφισβητήσειε τὰ χθὲς καὶ πρώην ἑορακώς; οἶμαι γάρ ἔγωγε ὡς εἴ τις ἐκδημήσας τῆς Ῥωμαίων ἀρχῆς τὸν τῆς ἐπαναστάσεως χρόνον καὶ τὴν προτέραν τάξιν ἐγνωκὼς ὑγιῆ τῇ πολιτείᾳ τῇ νῦν ἐπισταίη, σφόδρα ἂν ἀπίστους νομίσαι τοὺς ἐξευρόντας τὰ μεταξὺ συμβεβηκότα, οὐδ' ὁτιοῦν εὑρίσκων ἄξιον

111 a τοσαύτης καινουργίας μετηλλαγμένον, ἀλλὰ καὶ ταξιάρχους τοὺς αὐτοὺς καὶ στρατηγοὺς καὶ λοχαγοὺς καὶ δορυφόρους καὶ στρατιώτας καὶ τὸ πλήρωμα τῆς γερουσίας, δικαιότατα δὴ τοῦτο ἀποσεσωσμένον, ὥστε ζητεῖν οὐκ ἀπεικότως, τίνες ἄρα ἦσαν οἱ συναράμενοι τῷ παλαμναίῳ τούτῳ τὴν προλαβοῦσαν εὐδίαν. ἀφοσιοῖ γὰρ τῆς νῦν γαλήνης ἐπιλαβούσης ἡ τοῦ ἐν μέσῳ χειμῶνος αἴσθησις ὑπεξῄρηται. ἀλλ' ὅπως μὲν εἰς ἀσφαλὲς αὖθις κατέστησας τοὺς ὑπ' ἐκείνης τῆς ζάλης παρενεχθέντας κατ' ἰδίαν ὁ λόγος ὑμνήσας τί ἂν αὖθις

b παλιλλογοίη;

Πρός γε μὴν τοὺς οἰκείους τοσοῦτον ἄρα σοι τῆς ἀρετῆς ταύτης περίεστιν ὥστε τούτους γε ὑπολαμβάνειν οὐδὲ ῥήματι τραχυτέρῳ δεῖν ἀνιᾶν, ἀλλὰ εἴ τι καὶ ἐκδράμοι ἐκ τῆς γλώττης, ἄρριζόν ἐστιν ἐκ τῆς ἔνδο

132, 5 ἐοικότα] ἐοικυῖαν F. A. Wolfius. 6 τιμωρουμένοις καὶ δαπανῶσι A. τιμωρουμένην καὶ δαπανᾷ (δαπανῶσαν Wolfius) E 13 προτέραν A. πρώτην H. 14 ἐξευρόντας] ἢ τοὺς ἱστορήσαντας τὰ μεταξὺ συμβάντα, τοὺς ἐξαίροντας. schol. A. ἐξεικόντας Roulezius p. 30. ἐξεροῦντας Iacobsius. 17 λοχαγοὺς] Vulg λοχαγωγοὺς, quod interdum pro altero posuerunt librarii. 20 ἄρα] Vulgo ἆρα.

ὀργῆς καὶ συνήνεγκε τῷ παροξύναντι. ἀφεὶς γὰρ τὸ πλημμέλημα αἰτιάσασθαι εἰς ἀπολογίαν τοῦ ῥήματος ἀντικαθίστασαι. σχολῇ γ' ἄν τινα τῶν ὁμοήθων ἄχρι τῶν ἔργων λυπήσαις, ὁ μηδὲ ἄχρι τῶν ὤτων ποτὲ καρτερήσας.

Ἆρ' οὖν ἀμφισβητήσιμος ἡ πρᾳότης, οὗ μηδεπώποτε ὁ θυμὸς ἐκ τῆς καρδίας ὡρμήθη; τοῦ δὲ Ἀγα- c
μέμνονος Ὅμηρος ἀγανακτοῦντος οὐδὲν ἀθόρυβον ἐᾷ τοῦ σώματος μέρος,

Ἀχνύμενος· μένεος δὲ μέγα φρένες ἀμφιμέλαιναι
πίμπλαντ', ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐΐκτην.

εἶτα λοιδορεῖται τῷ μάντει, λοιδορεῖται τῷ στρατηγῷ, αἰχμαλώτου γυναίου χάριν, ἐν οὐδενὶ λόγῳ ποιούμενος τὴν τοῦ στρατεύματος σωτηρίαν. καὶ οὐδὲ ἄχρι τῆς λοιδορίας ἔστησε τὴν ὀργήν, ἀλλ' εἰς ἔργον ἐξήγαγε. d
τοιγαροῦν ᾔσθετο οὐκ εἰς μακρὰν ὁ γεννάδας ἐπὶ πολλῶν χαλεπήνας. καὶ Ὅμηρος οὐχ ἵνα κατηγορήσῃ τοῦ Ἀγαμέμνονος, ἐπεξῆλθε τῷ παθήματι, τῷ γε τὸ σκῆπτρον αὐτῷ διαδόσιμον ἐκ τοῦ οὐρανοῦ παραγενέσθαι, ἀλλ' ἵνα ἐλέγξῃ τὸν θυμόν, ὁπόσης δεῖται βασιλεῖ φυλακῆς. εἰ γὰρ καὶ τὸν ἥρω τὸν οὐ πολλοστὸν ἐκ Διός, ὃν οὐκ οἴεται δεῖν ἑνὶ θεῶν παραβάλλειν, ἀλλὰ τρισί, τοσαύτης ἐνέπλησε ταραχῆς, ὡς πῦρ μὲν ἐκλάμπειν τοῖν ὀφθαλμοῖν, ζεῖν δὲ τὸ αἷμα, οἰδαίνειν δὲ τὴν γνώμην, ἀνατρέψαι δὲ τὰ πράγματα ἅπαντα 112 a
μικροῦ δεῖν, πῶς οὐκ ἄλλοις γε τὸ πάθος πλείονος ἄξιον εὐλαβείας; ᾧ σὺ καλῶς ποιῶν τὸν χαλινὸν ἐπέθηκας τὸν ἐκ τοῦ λόγου, μᾶλλον δὲ εἰς λόγον ἀεὶ τελευτᾶν ποιεῖς.

Ἀλλὰ νὴ Δία τὸ μεγαλοπρεπές τε καὶ ἐλευθέριον ἀνδρῶς ἂν τις ἐμφαίνεσθαι φαίη τῷ βασιλεῖ, καὶ οὐ ταῦτα εἶναι τὰ πάντων ἐκδηλότατα τῶν γνωρισμάτων. σκοπεῖτε δὲ οὕτως· ἅπασι τοῖς βασιλεῦσιν ἡ περὶ τὰ

133, 10 Ἀχνύμενος] Iliad. α, 103. 21 τὸν οὐ πολλοστὸν] τὸν οὐ μετὰ πολλοὺς ἄλλους ἐκ τοῦ Διὸς φύντα, ἀλλ' ἐγγὺς συγγενῆ τοῦ Διός: schol. A.

b χρήματα ἀρετή, σχεδὸν δὲ καὶ πᾶσιν ἀνθρώποις, εἰς δύο ταῦτα διανενέμηται, λαμβάνειν τε ὅσα δεῖ καὶ ἀναλίσκειν εἰς ἃ προσήκει. ἐγὼ τοίνυν, εἰ μὲν ἑκάτερον τούτων καθ᾽ ἑαυτὸ ἦν, καὶ ἢ δαπανᾶν ἐξῆν μηδ᾽ ὁτιοῦν κομιζόμενον, ἢ κομίζεσθαι μηδ᾽ ὁτιοῦν μέλλοντα ἀναλίσκειν, τῆς ἴσης ἂν ἠξίουν ἄμφω προνοίας· ἐπειδὴ δὲ θατέρου θάτερον ἤρτηται, καὶ προΐεσθαι ἐκ τῶν ταμιείων οὐχ οἷόν τέ ἐστι μὴ πρότερον εἰσενεγκόντας ἐκεῖ, πλείω φημὶ δεῖν ἐπιδείκνυσθαι τὴν εὐλάβειαν ὅθεν ἐξῆπται καὶ ἡ περὶ τὸ δεύτερον φιλοτιμία. καὶ διὰ
c τοῦτο ἐπαινεῖσθαι μᾶλλον προσήκει οὐ τοὺς πλείω δωρουμένους τῶν ἱκανῶν, ἀλλὰ τοὺς ἐλάττω τοῦ συνήθους εἰσπραττομένους. οὐ γὰρ ἔνεστιν ἀφειδέστερον δαπανᾶν ἄνευ τοῦ συναγαγεῖν ἀδικώτερον. ὅταν δὲ δὴ καὶ συμβαίνῃ τὰ παρὰ πολλῶν συνειλεγμένα μὴ σμικρὰ γίνεσθαι δωρεά, οὐδαμῶς ὁ κίνδυνος ἴσος ἀνιῶντα μυρίους ἑνὶ φανῆναι κεχαρισμένον, ἢ τὰς ἀναγκαίας ἀφορμὰς ἀφαιρούμενον τῶν πολλῶν ποταμοῖς ἐπιρραίνειν ψεκάδας· ἄλλως τε καὶ γελοῖον ὁρῶ τὸ συμβαῖνον. ἅπαντες γὰρ οἱ παρ᾽ ὑμῶν κομιζόμενοι τὰς δωρεὰς ἢ
d κέκτηνται γῆν καλῶς πονοῦντες ἢ κτήσονται· ὥστε εἰ πάνυ βούλοιντο συναύξεσθαι σφίσι τὰς δωρεάς, ἴστωσαν ἅμα ἐσπουδακότες συναύξεσθαι τὰς εἰσφοράς. ὁ γὰρ κύκλος εἰς ἑαυτὸν οὗτος περίεισι, καὶ ὥσπερ τὰς νεφέλας φασὶν ἑλκούσας τὸ ὕδωρ ἐκ τῆς γῆς αὖθις τῇ γῇ χορηγεῖν ὅσον εἵλκυσαν, οὕτω καὶ τοὺς βασιλέας ὁρῶμεν εἰς οὓς προΐενται, παρ᾽ ἐκείνων καὶ ἐρανίζοντας.

Τὸ τοίνυν κεφάλαιον τοῦ λόγου τοῦτό ἐστιν, ὅτι
113 a ὅσῳπερ ἂν ἐλάττω προσάγηται βασιλεύς, τοσούτῳ πλείω δωρεῖται. τοῦτο τοίνυν ἐκλελοιπὸς ἤδη τῆς Ῥωμαίων ἀρχῆς, μᾶλλον δὲ καθεστηκὸς εἰς τοὐναντίον. ἀεὶ γὰρ ἐπεδίδου τὸ μέγεθος τῶν εἰσφορῶν ὅσα ἔτη, καὶ τὸ παρελθὸν ἔτος ἀεὶ τοῦ παρόντος κουφότερον

134, 16 δωρεὰ A. δωρεὰν H. 30 ὅσῳπερ ἂν A. ἂν om. H. 31 τοίνυν] „Fort. τοίνυν ἦν." Iacobsius.

ἣν, καὶ βαρύτερον ἀμφοῖν τὸ προσδοκώμενον. ταύτην τὴν κακὴν αὔξησιν καταλαβόντες πρῶτον μὲν ἐστήσατε ἀπροσδοκήτως, καὶ τρεῖς ἐφεξῆς ἐνιαυτοὺς οὐ προὔβη τὸ νόσημα, ὥσπερ εἰώθει, τῷ τετάρτῳ δὲ τὴν ἴσην μοῖραν παρελύσατε τῆς βαρύτητος, καὶ ἀνεγνώσθη γράμματα ἀπιστούμενα, λειτουργήσεις ἐλάττους τόσους b καὶ τόσους μεδίμνους καὶ οἴνου κοτύλας, καὶ τὰ λοιπὰ ἐξ ἴσης ἀποδέοντα τοῦ συνήθους. τί λέγεις; ἡνίκα ἐπὶ Σκύθας στρατεύει βασιλεύς, ἡνίκα ἐγείρει πόλεμον ἀκραιφνῆ, καὶ σιτούμενον οὐχ ὡρισμένα, οὐ γὰρ ἀγαπητὸν εἰ μὴ τῇ χρείᾳ καὶ προσοίσομεν; καὶ γὰρ ἄπιστον, εἰ μὴ τὰς εἰσφορὰς ἡ κατασχοῦσα ἀνάγκη διπλασιάσει. νῦν δὲ ἐν καιρῷ περιουσίαν αἰτοῦντι δαπάνης εἰς τὴν ἀρχαίαν ἀκρίβειαν ἡμᾶς ἐπανάγεις, καὶ τοῦτο οὐκ ἀτρέμα, ἀλλ' ἀθρόως, εὖ καὶ πάνυ σοφῶς ἐννοή- c σας ὅτι τὸ μὲν αὔξειν τὰ δυσχερῆ κατὰ μικρὸν αἱρετώτερον· οὕτως γὰρ ἂν κλέπτοι τὴν αἴσθησιν ἡ τῆς δυσχερείας προσθήκη· τὸ δὲ τῶν χαλεπῶν ὑφαιρεῖν, ὅσῳπερ ἂν ἀθροώτερον γίνηται, τοσούτῳ μᾶλλον ἔκδηλον ἔχει τὴν ἐπὶ τὰ ἀμείνω μεταλλαγήν. διὰ τοῦτο οἱ μὲν ἀεὶ κατὰ χοίνικα προστιθέντες ἔλαθον ἐν τεσσαράκοντα ἔτεσιν εἰς διπλάσιον τὰς εἰσφορὰς περιστάντες, σοὶ δέ, εἰ κατὰ γνώμην ἐκβαίνοι τὰ μέτρα τῆς ἐπανόδου, ἐξ ἡμισείας εἰς νέωτα λειτουργήσομεν. d

Βούλει τοίνυν ἐξείπω τὸ τούτων αἴτιον; οἰκίας πρότερον ἐπεμελήθης ἢ βασιλείας, καὶ μετήνεγκας ἀπὸ τῶν ἐλαττόνων ἐπὶ τὰ μείζω τὴν ἐμπειρίαν. ἐρέτην δὲ ἔφη δεῖν ἡ κωμῳδία πρῶτα γενέσθαι, πρὶν πηδαλίοις ἐπιχειρεῖν. οὐδέν σε δεῖ ζητεῖν τοὺς διδάξοντας ἐξ ὅσων ἱδρώτων περιγίνεται τοῖς γεωργοῖς καὶ ἡμίεκτον καὶ ἀμφίεκτον καὶ ἀμφορεὺς καὶ χαλκοῦς εἷς καὶ ἀργυροῦς στατὴρ χρυσοῦς τε, ὅ τι καὶ θέαμα ἀγαπητὸν τοῖς πολλοῖς ἀνθρώποις. 114 a οἶσθα ὁπόσον κακὸν πρακτῆρος ἀναισχυντία, ὁπόσον

135, 6 τόσους καὶ τόσους A. τόσου καὶ τόσου H. 27 ἡ κωμῳδία] Aristophanes Equit. v. 542. 31 χρυσοῦς] Vulgo χρυσός.

γραμματέως κακοτεχνία, ὁπόσον ἀστυκοῦ στρατιώτου φιλοκέρδεια· ὑφ' ὧν πολυπλασιάζεται τὰ δυσχερῆ. ταύτην παιδευθεὶς τὴν παιδείαν ἐπὶ τουτὶ τὸ βῆμα ἀνῆλθες, ἣν ἐπαιδεύθη Κῦρος ἐν Πέρσαις, ἣν Φίλιππος ἐν Μακεδόσιν, ἣν Νουμᾶς ἐν τοῖς πάλαι Ῥωμαίοις, ὃν ἡ σύγκλητος Ῥωμαίων ἀροῦντα ἐν ἐξωμίδι ἀποσπάσασα ἐκ τοῦ ζεύγους ἠμφίεσε τῇ ἁλουργίδι· διὰ τοῦτο οἷός
b τε εἶ πόρρωθεν προορᾶν ὥσπερ οἰκίας μιᾶς τῆς τοσαύτης ἀρχῆς, τί μὲν πρόσεισιν ἑκάστου ἔτους, τί δὲ ἀναλοῦται, καὶ τί μὲν ἐνδεῖ, τί δὲ περίεστι, καὶ ποῦ μὲν ῥᾷον, ποῦ δὲ ἐργῶδες.

Τοιγαροῦν μόνος αὐτοκρατόρων οὐκ ἐποίησας σεμνοτέρους τοὺς ἐπὶ ταῖς ψήφοις τεταγμένους τῶν ταξιαρχῶν, οὐδὲ βαδίζουσι τὰς ὀφρῦς ἐπηρκότες μᾶλλον τῶν στρατηγῶν οἱ τοὺς λογισμοὺς διοικοῦντες, οὐδὲ κεῖται ἐπὶ τοῖς ἐκείνων δακτύλοις τὰ κοινά, ἀλλ' ἤδη τὸν Ἀριστείδην ἐκεῖνον τῆς ἐπὶ τοῖς φόροις δικαιοσύνης ζηλοῦσιν. οὕτω καὶ συνιέναι καὶ προλαβεῖν καὶ καταγε-
c λάσαι τῶν λαβυρίνθων τῆς τέχνης ὀξύτερος φαίνῃ τῶν μόνον τοῦτο ἔργον πεποιημένων. ἵνα τοίνυν τὰ ἄλλα παρῶ, τοῦτο ἐξαρκεῖν φημι καὶ μόνον εἰς μιᾶς εὐχῆς ἀφορμήν, οὗ τὸ κέρδος εἰς ἅπαντας διικνεῖται· τοῦτο δ' ἐστὶν οὐ τὴν μέσην ἀνακομίσασθαι τῶν ποταμῶν, οὐδὲ Σκύθας τοὺς περαιτέρω σωφρονισθῆναι, οὐδὲ Γερμανοὺς ἀναστῆσαι τὰς πόλεις, ἃς διεπόρθησαν. ἐκείνου μὲν γὰρ εἰ καὶ τύχοιμεν, Σύροι μόνον αἰσθήσονται, τοῦ δὲ Θρᾷκες, τοῦ δὲ Γαλάται, καὶ ἡ πρόσοικος χώρα ἑκάστῳ τροπαίῳ· ἡ δὲ περὶ τὰς εἰσπράξεις φειδὼ κοινὸν ἁπάντων κέρδος ἐστὶ τῶν ἀπὸ τῆς γῆς
d τρεφομένων. καὶ τῶν μὲν λαφύρων καὶ τῶν αἰχμαλώτων εἰς τοὺς τὰ ὅπλα φέροντας μόνους ἡ ἀπόλαυσις περιίσταται, καὶ τὸ πρᾶγμα οὐδαμῶς ἴσον, μισθοφορεῖν μὲν ὑπὲρ τοῦ κρατεῖν τῶν πολεμίων, τῶν ἄθλων δὲ μὴ κοινωνεῖν τοὺς μισθοδότας. ὅταν δὲ ἅπαντες

136, 8 τῆς τοσαύτης A. τῆς om. H. 20 πεποιημένων A. προσποιουμένων H.

γίνωνται μερῖται τοῦ κέρδους, οἱ μὲν πλείω λαμβάνοντες ἐκ τῶν πολεμίων, οἱ δὲ ἐλάττω διδόντες ἐκ τῶν οἰκείων, τοῦτο ἄν τις φαίη τὸ τρόπαιον τῆς κοινῆς εὐδαιμονίας, καὶ ταύτην τὴν νίκην ἀληθινήν, δι' ἣν 115 a ἅμα Σκύθαις καὶ τῶν δασμολόγων ὑπερφρονήσομεν, καὶ οὐκ ἔσονταί μοι τῶν βαρβάρων οἱ πράκτορες φοβερώτεροι, οὐδὲ ἐκκενωθήσεται πρὶν εἰσελθεῖν ὁ σῖτος τοῖς γεωργοῖς, οὐδὲ παρεστήξουσιν οἱ δανείζοντες τοῖς τρυγῶσιν, οὐδὲ ἀνεόρταστος ὁ χειμὼν τῶν ταμιείων εὐρωτιώντων, ἀλλ' ἐπιχειλῆ πᾶσι τὰ ἀγαθά, καὶ τότε αἰσθήσομαι τῶν λαφύρων τῶν Σκυθικῶν, ὅταν μηδεὶς τὰ ἐμὰ λάφυρα ποιῆται.

Ταῦτα ἴσθι τὰ ῥήματα φοιτῶντα νῦν διὰ πάσης b γῆς καὶ θαλάσσης, μᾶλλον δὲ συμφοιτῶντα εἰς μίαν φωνὴν τὴν ἐμήν. ταύτην σοι τὴν εἰσφορὰν ἀντεισφέρομεν, κερδαίνοντες μὲν μοῖραν οὐκ ὀλίγην τῆς συντελείας, λειτουργοῦντες δὲ τὴν εὔνοιαν ἐξ ὁλοκλήρου τῆς διανοίας, λειτουργίαν βασιλεῖ τιμιωτάτην, τὰ τῆς ἀρετῆς χαριστήρια. καὶ ἀντὶ τῶν ἐκ γῆς καρπῶν, οὓς ἀφῆκας ἡμῖν, ἐκκαρποῦσθαί σοι περίεστι καρποὺς αἰωνίους. οὐδὲν γὰρ οὕτως ἀειθαλὲς τῶν ἀπὸ τῆς γῆς φυομένων οὐδὲ οὕτω πρὸς τὸν χρόνον παρατεινόμενον ὡς δόξα ἀγαθὴ καὶ αἰώνιος. αὕτη καὶ τὴν τοῦ Σεβα- c στοῦ βασιλείαν ἀεὶ νέαν ποιεῖ καὶ τὸν Τραϊανὸν ἀγήρω φυλάττει καὶ τὸν Μάρκον ὁσημέραι ἀναβιώσκει· οἷς τὸν βασιλεύοντα ἐγὼ συναριθμεῖσθαι βουλοίμην ἄν. καίτοι τούτων ἕκαστον οὐδὲν ἂν ὤνησε τηλικοῦτον πρὸς τὴν ἀγαθὴν μνήμην τὰ τρόπαια, εἰ χαλεποὶ γενόμενοι τοῖς βαρβάροις μὴ λίαν ἦσαν χρηστοὶ πρὸς τοὺς ὑπηκόους. οὐδὲν γὰρ τῷ πάσχοντι κακῶς τὸ Σκύθην ἢ Ῥωμαῖον εἶναι τὸν ἀδικοῦντα, ἀλλ' ὑφ' ὅτουπερ ἂν πάσχῃ κακῶς, τοῦτον εἶναι τὸν πολέμιον οἴεται. καὶ πολλοὶ τῶν εὐπατριδῶν τὰ σκῆπτρα ἐκ τριγονίας διαδεξάμενοι ποθεινοὺς ἐποίησαν τοὺς d βαρβάρους τοῖς ὑπηκόοις. ἀλλὰ οὐ νῦν, ἀλλ' ἀκολου-

137, 5 σκύθαις A. Σκυθῶν H. 7 οὐδὲ ἐκκενωθήσεται A οὐ γὰρ κενωθήσεται H. 26 καίτοι τούτων A. καὶ τοιούτων H.

*θεῖ τῇ φύσει τοῦ γένους τό τε οἰκεῖον καὶ τὸ ἀλλό-
τριον· οἱ μὲν γὰρ ἀγαπῶσιν, οἱ δὲ πεφρίκασιν.*

*Ἐκ ταύτης τοίνυν τῆς φιλεργίας οὐδὲ ὅση τῆς
δαπάνης ἡ χρεία ἀγνοεῖς, ἀλλὰ συστέλλεις ὁσημέραι
τὴν μὴ δέουσαν εἶναι, ἵνα τῆς δεούσης εὐπορῇς. καὶ
νῦν οὐδεὶς τῶν στρατεύεσθαι λεγομένων ψευδῶς τοὔνομα*
116 a *ἐπιγέγραπται, οὐδὲ ἄχρι τῆς χλαμύδος καὶ τῆς ζώνης
στρατιώτης ἐστὶν, ἀλλ' ἢ τὸ ἔργον ἔχει παρασχέσθαι τῆς
τάξεως, εἰς ἣν ἑαυτὸν ἔταξεν, ἢ ἀπελήλαται. καὶ τέως
μὲν ὀνομάτων ἦν σεμνῶν ἀριθμὸς ἐν τοῖς καταλόγοις,
νῦν δὲ ὁ μὲν ὁπλίτης ὄντως ὁπλίτης, ὁ δὲ ἱππεὺς τοῦτο
ἀληθινῶς, ὁ δὲ ἀκοντιστὴς οὐκ ἄχρι τοῦ προσρήματος.
καὶ πρώην εἶδον ἐγὼ στρατιὰν μᾶλλον χοροῦ παντὸς
ἠσκημένην. Ὅμηρος δὲ, ὡς ἔοικε, λίαν ἀρχαῖος ἦν,
τὸν Μενεσθέα τεθαυμακὼς, ἱκανὸν ὁπλίτας καὶ ἵππους*
b *κοσμῆσαι. οὐ γὰρ ᾔδει τῆς σῆς φάλαγγος τὴν εὐρυ-
θμίαν, οὐδὲ τῆς ἵππου τὴν συνήθειαν, οὐδὲ τοὺς ἐνοι-
κεῖν τῷ σιδήρῳ πεπαιδευμένους, οὐδὲ κατεπλάγη ποτὲ
τοιαύτην ὄψιν μεθ' ἡδονῆς. κατεγέλασε δ' ἂν, οἶμαι,
καὶ τῆς μηρίνθου καὶ τῆς πελειάδος τοὺς φερομένους
τοξότας ἑορακὼς, οἳ τοῖς ἵπποις ἐπιτρέποντες τὰς ἡνίας
ἐπισκοπώτερα βάλλουσι τῶν ἐπὶ γῆς ἑστηκότων.*

*Ἐκεῖνο μὲν οὖν οὐκ ἀπεικότως ὁ Πρίαμος μακα-
ρίζει τὸν Ἀγαμέμνονα, ὅτι Φρυγῶν πλείονας ἦγε στρα-*
c *τιώτας ἐκ τῆς Ἑλλάδος· σὲ δὲ ἤδη τις τὰ σκῆπτρα
ὑπεριδὼν τὰ πατρῷα, καὶ ταῦτα οὐκ ἀφανοῦς βασι-
λείας, μετανάστης ἥκει δορυφορήσων, ἀγαθὸν οἰώνισμα
τῶν ἀπὸ τῆς ἕω τροπαίων. ἀλλ' ὅ γε ἐκ τούτων δῆλόν
ἐστιν, ὅτι σύμπαν τὸ κεφάλαιον τῶν εἰρημένων εἰς σὲ
ἀνήκει. ὁ γὰρ ἐντιθεὶς ἑκάστῳ τὴν προθυμίαν τοῦ τὸ
προσῆκον ἑαυτῷ μέρος ἐξακριβοῦν αἴτιός ἐστι τοῦ τὰ
σύμπαντα ὀρθῶς ἔχειν. προθυμεῖται δὲ ἕκαστος, πρω-*

138, 4 *ἡ χρεία* A. *ἡ* om. H. 5 *εἶναι* add. A. 8 *παρασχέσθαι* A. *παρέχεσθαι* H. 9 *τέως*] *τέως πρὶν* A. 10 *σεμνῶν* A. *σεμνὸς* H. 18 *ποτὲ τ. ὄ.* A. *τ. ὄ. ποτὲ* H. 23 *ἐκεῖνο* A. *Ἐκείνῳ* H. 32 *προθυμεῖται δὲ* A. *προθυμεῖται γὰρ* H.

τον μὲν ὅταν γινώσκῃ μὴ λήσειν, ἔπειτα ὅταν τὰ ἆθλα ἐκδέχηται τῆς ἀρετῆς. σὲ δὲ οὔτε λαθεῖν οἷόν τε τὸν d *κατορθοῦντα οὔτε μὴ λαθόντα ἀγέραστον καταλειφθῆναι.*

Ἆρ' οὖν ταξιάρχους μὲν καὶ λοχαγοὺς ἐξετάζεις καὶ ἡ ξυνωρίς σοι τῶν στρατηγῶν ἐστιν ἐκκεκαθαρμένη, τοὺς δὲ εἰρηνικοὺς ἄρχοντας τούτους περιορᾷς καὶ λαθεῖν ἔνεστι δώρων ἁλόντα, ἢ προσεισπράξαντα τοῖς ὡρισμένοις, ἢ παρανόμως γνόντα, ἢ παροινήσαντα ἄλλως εἰς ὑπηκόους; καὶ οὐχ ὥσπερ ἐγγύθεν ἐφεστηκὼς 117 a *πάντα ἐφορᾷς καὶ πάντ' ἐπακούεις, καὶ σχεδὸν αὐτήκοος εἶ καὶ αὐτόπτης τῶν ὑφ' ἑκάστου δρωμένων, καὶ τοὺς ὀφθαλμοὺς ἐπὶ πάντα ἄγεις, ὥσπερ τὸν Δία φησὶν Ὅμηρος ἐκ τῆς Ἴδης τρέπειν τὼ ὄσσε νόσφι ἐφ' ἱπποπόλων Θρῃκῶν, Μυσῶν τ' ἀγχεμάχων· σὺ δὲ ἐκ Μυσῶν Φοίνικας ἐφορᾷς καὶ ὑπεραγανακτεῖς ἀδικουμένων. τοιγαροῦν σπάνιν ἐποίησας τῶν σπουδαρχούντων, καὶ οὐ πρόκειται νῦν ἀρχῶν ἀγορά, οὐδὲ προκηρύττονται αἱ τῶν ἐθνῶν ἐπιτροπεῖαι, ὥσπερ τὰ ὤνια, ἀλλὰ* b *τὸ ἀρχαῖον τίμημα ἐπανελήλυθε δικαιοσύνη καὶ ἐμπειρίᾳ· κἂν τοῦτο εὑρίσκηταί τις κεκτημένος, οὐ δεήσεται τοῦ προσαιτεῖν πινακίδας, ἀλλὰ λειτουργήσει τοῖς κοινοῖς, κἂν μὴ προαιρῆται. Ἀρταξέρξης γὰρ αἰτουμένῳ Σατιβαρζάνῃ σατραπείαν τινὰ μὴ προσήκουσαν ἐπὶ τρισχιλίοις δαρεικοῖς, τὰ μὲν χρήματα ἔδωκε, τὴν δὲ ἀρχὴν οὐ προήκατο. χρυσίον μὲν γὰρ τοσοῦτον δούς, Οὐκ ἔσομαι, ἔφη, πενέστερος, κακῷ δὲ ἀρχὴν ἐπιτρέψας ἀδικώτερος. οὐδὲν γὰρ οὕτω περὶ πλείστου βασιλεῖ ποιητέον ἐστὶν ὡς τὸ σῶμα τῆς βασιλείας. σῶμα* c

---

139, 5 ταξιάρχους A. ταξιάρχας H. 6 ἡ ξυνωρὶς A. ἡ om. H. 9 παροινήσαντα A. παρανομήσαντα H. 10 ἐφεστηκὼς A. ἑστηκὼς H. 12 ὑφ' ἑκάστου A. ἑκάστῳ H. 14 Ὅμηρος] Iliad. ν, 3. 15 ἱπποπόλων] ἱπποπώλων A. 17 σπάνιν ἐποίησας A. πάντας ἐποίησας H. 19 ἐπιτροπεῖαι A. ἐπιτροπίαι H. 20 καὶ ἐμπειρίᾳ] καὶ om. A. 24 Σατιβαρζάνῃ] Ἀρταβαζάνῃ A. προσήκουσαν A. καθήκουσαν H. 29 σῶμα δὲ τῆς βασιλείας — εἰπών τις A. σῶμα δὲ — εἰπών τις τῆς βασιλείας H.

δὲ τῆς βασιλείας τὴν ὑπήκοον γῆν εἰπών τις οὐκ ἂν ἁμάρτοι. ὥσπερ οὖν ἐπὶ τῶν ἡμετέρων σωμάτων, κἂν τὸ τυχὸν μέρος πονῇ, παραπέμπει τῷ σύμπαντι τὴν ἀλγηδόνα, οὕτως ἐπὶ τῆς βασιλείας τῆς ὅλης, κἂν μία πόλις πράττῃ κακῶς, οὐκ ἐᾷ τὴν σύμπασαν ἀρχὴν ὑγιαίνειν.

Νῦν δὲ ἀκούω πολλοὺς τῶν παλαιῶν αὐτοκρατόρων τῆς μὲν κόμης λίαν φροντίσαι, ὡς μὴ φαίνεσθαι ἀποδέουσαν, πόλεις δὲ ὅλας περιιδεῖν καταρρυείσας, καὶ d *τὼ ὀφθαλμὼ μὲν ὑπογραφομένους διατελεῖν, τὴν γῆν δὲ ἀκόσμητον ἐῶντας μὴ δυσχεραίνειν. εἶτα ἵπποις μὲν οὐκ ἂν ἐχρήσαντο μὴ λίαν ἐξητασμένοις, ἀνθρώποις δὲ ἐχρῶντο πρὸς τὰ κυριώτατα ἀνεξετάστοις. καὶ ἡνιόχων μὲν οὐκ ἂν ὑπέμειναν θεαταὶ γενέσθαι μὴ τῶν ἄριστα ἐλαυνόντων, τῶν δὲ πόλεων ἐπιτρέπειν τὰς ἡνίας τοῖς τυχοῦσι πρᾶγμα οὐδὲν ὑπελάμβανον, οὐκ εἰδότες ὅτι πᾶς ὁ λαχὼν ἀρχὴν μικρὰν εἰκόνα τῆς βασι-* 118 a *λείας ὑποδύεται. τεκμαίρονται δὲ ἐκ τῆς εἰκόνος οἱ ἄνθρωποι τὴν μορφὴν τοῦ ἀρχετύπου. γελοῖον οὖν ἀνδριάντα μέν, ἐὰν μὴ πάνυ προσεοικὼς ᾖ, καταβάλλειν καὶ τὸν πίνακα εὐθὺς ἐξαλείφειν, εἰ μηδὲν φέρει τοῦ παραδείγματος, περὶ δὲ τὰς ἐμψύχους εἰκόνας μὴ φροντίζειν ῥᾳδιουργοῦντας. καίτοι χαλκῆ μὲν εἰκὼν μὴ σώζουσα τὴν ἰδέαν τοῦ βασιλέως οὐδὲν ἂν λυμήναιτο τοῖς θεωμένοις, ἄρχων δὲ μὴ φέρων τὸν σὸν χαρακτῆρα ἀντὶ κακῆς γίγνεται μοίρας τοῖς ὑπακούειν ταχθεῖσι,* b *καὶ μετατίθησι τὴν ἐξουσίαν, ἧς ἐπὶ τῷ εὐποιεῖν τετύχηκεν, εἰς τοὐναντίον. οὐδὲ γὰρ τὰ ξίφη σὺ διανέμεις οὐδὲ τὰ ἀκόντια τοῖς στρατιώταις, ὡς χρῆσθαι καθ'.*

140, 4 *οὕτως* A. *οὕτω καὶ* H. 11 *μὲν οὐκ* A. *μὲν ἴσως οὐκ* H. 13 *κυριώτατα*] *καιριώτατα* A. 15 *ἐπιτρέπειν* A. *ἐπιτρέποντες* H. 17 *ἀρχὴν* A. *ἄρχειν* H. *μικρὰν* A. *σμικρὰν* H. 20 *ἐὰν — ᾖ* A. *εἰ — εἴη* H. 21 *τὸν πίνακα* A. *τὸν* om. H. *φέρει* A. *φέροι* H. 27 *τετύχηκεν*] *εὐτύχηκεν* A. 28 *σὺ διανέμεις*] *συνδιανέμεις* A. 29 *ὡς χρῆσθαι* A. *εἰ χρῆσθαι* H.

ἡμῶν, εἰ βουληθεῖεν, ἀλλ' ὡς ὑπὲρ ἡμῶν χρῆσθαι πρὸς τοὺς βαρβάρους. εἰ δέ τις τοῦ καλῶς δοθέντος σιδήρου κακῶς ἀπολαύειν οἴεται δεῖν, ὑπέχει τιμωρίαν ὡς ἀνδροφόνος φανεὶς ἀντὶ στρατιώτου. οὔκουν οὐδὲ τὸν ποιμαίνειν παρὰ σοῦ ταχθέντα, εἰ λύκος ἀντὶ ποιμένος ὀφθείη, κερδαίνειν τὴν προσήκουσαν δίκην ἐᾷς.

Πολλὰ οὖν ἀγάμενος τῆς βασιλείας τουτὶ μάλιστα ἄγαμαι τῶν λοιπῶν, ὅτι τὸν θεσμὸν τοῦτον ἐν
χρόνῳ περιοφθέντα εἰς τάξιν καθίστης καὶ δῶρα παρὰ c
τῶν φίλων ἔγνωκας ἀπαιτεῖν, οὐχ ἵππον οὐδὲ κύνας μὰ Δία — ταῦτα γὰρ διδόναι μᾶλλον ἢ λαμβάνειν βασιλικώτερον — ἀλλ' ἄνδρας ἀγαθοὺς καὶ πρὸς τὸ ἄρχειν ἐπιτηδείους, ὧν δίχα τοῖς ὑπηκόοις οὐδεμία γένοιτο αἴσθησις τῆς παρὰ σοῦ κηδεμονίας, ἀλλὰ κἂν χοίνικα ἐπιτάττῃς κἂν μίαν κοτύλην, ἅπασα αὕτη ἡ φιλοτιμία ἄκαρπος γίνεται καὶ ἀνόνητος, εἰ κακουργοῖτο. οὐδὲν γὰρ οὕτω βαρὺ τῶν τελουμένων, ὡς αὐτὸ καθ' ἑαυτὸ μὴ ῥᾴδιον εἶναι, ἀλλὰ τὸ πότε καὶ πῶς,
καὶ τὸ μὴ ἐνθαδί, ἀλλ' ἐνθαδί, καὶ τὸ μὴ εἰς αὔριον, d
ἀλλ' αὐτίκα· ταῦτα ποιεῖ καὶ τὸ μικρὸν μέγα καὶ τὸ ῥᾷστον ἐργῶδες, καὶ τὸ δυοῖν ὀβολοῖν ἄξιον ταλάντου, ἃ νόμος μὲν διορίζειν οὐχ οἷόν τε· οὐ γὰρ δέχεσθαι πέφυκεν ἡ τούτων φύσις τύπον ἑστῶτα· νόμου δὲ ἐμψύχου δεῖ πρὸς τὸν καιρὸν ἕκαστον ἁρμοττομένου καὶ δικαιοσύνης χθαμαλωτέρας, ἀεὶ τὸ παρὸν τοῖς ὑπηκόοις εὖ τιθεμένης. τοιούτους δὲ ὑπάρχειν ἀνάγκη τοὺς μέρος ἐπιτροπεύσοντας τῷ τὸ σύμπαν ἀνηρτημένῳ, ὥσ-
περ γε καὶ τοῦ σύμπαντος τοῦδε ὁ κόσμος ὄνομα πρέ- 119 a
πον ἐστί, καὶ τὸ μὲν κεφάλαιον εἰς τὸν θεὸν ἀνῆπται τῆς σωτηρίας, τὰ μέρη δὲ ἄλλος ἄλλο κυβερνᾷ τῶν

141, 1 εἰ βουληθεῖεν A. εἰ om. H. ὑπὲρ ἡμῶν] ὑπὲρ ἡμῶν δὲ A. 3 ὑπέχει] ὑπέχειν A. τιμωρίαν A. τὴν τιμωρίαν H. 12 τὸ ἄρχειν A. τῷ κατ' ἀρχὴν H. 17 τελουμένων A. συντελουμένων H. 18 πῶς, καὶ A. καὶ om. H. 24 πρὸς τὸν A. κατὰ τὸν H. 27 μέρος A. μέρους H. ὥσπερ γε] ὥστε A. 29 ἐστί, καὶ A. ἐστιν, ἀλλὰ H.

ὑπ' ἐκείνου προστεταγμένων· ἧς τάξεως ἀπολαύειν οἴει δεῖν καὶ τοῦτον τὸν κόσμον οὗ προστατεύεις.

Ἀλλὰ γὰρ οὐκ οἶδα ὅπως ὁ λόγος ἐξ ἑτέρων εἰς ἕτερα μεταβαίνων ἀψοφητὶ τῷ πλήθει τῶν γνωρισμάτων καὶ τὸν Πλάτωνος ἀριθμὸν παρελήλυθεν. οὐ γὰρ μόνον μεγαλόδωρον εἶναι χρή, ἀλλὰ καὶ τῶν ἀκριβῆ *** b αὐτοῖς ἐξεταστήν, καὶ τὰ ἐλάττω καὶ τὰ μείζω προορῶντα τῶν ἀρχομένων, καὶ ἁπλῶς ἃ μηδὲ τῷ λόγῳ συνάγειν Πλάτων ἐθάρρησε, καὶ ταῦτα ἀπέφηνεν ἔργῳ τὰ σύμπαντα κεκτημένον· ὥστε καὶ μέχρι ἐνταῦθα ἔστη καὶ περιῄει, τὴν τῆς ὑποθέσεως ῥᾳστώνην τῇ τοῦ πράγματος ἀληθείᾳ** καὶ τὴν ἀνδρείαν καὶ τὸ παρεστηκὸς πρὸς τοὺς κινδύνους, εἰ ἄρα ἐνδεέστερον κέκτηται βασιλεὺς ἢ Πλάτων ὑπετυπώσατο. ἔσται δὲ ὁ λόγος τά γε πρῶτα ὑπὲρ ἀμφοῖν. παραλαβόντες γὰρ τὴν ἀρ- c χὴν ὥσπερ ναῦν πανταχόθεν ταραττομένην· περιεκέκοπτο μὲν γὰρ αὐτῆς τὰ πρὸς ἕω, καὶ ἃ τοῖς ὅπλοις οὐκ ἤλπισαν οἱ πολέμιοι, ταῖς σπονδαῖς ἐωνήσαντο· Γερμανοὶ δὲ τὴν ἑσπέραν διώχλουν, καὶ μικρὸν ἀνακόπτοντες οὐχ οὕτως κατεπλάγησαν ὡς παρωξύνθησαν, Σκύθαι δὲ ταῖς μέσοις ἐπῃωροῦντο καὶ μισθὸν ἐπράττοντο τῆς μελλήσεως· τοιοῦτον κύκλον εἰρήνης καὶ πολέμου καταλαβόντες ἐφάμιλλα ἀδικούντων, τοὐναντίον πεπόνθατε ἢ τις ἂν εἴκασε· μᾶλλον γὰρ ὑμᾶς ἐλύπησαν τῶν d πολεμεῖν προῃρημένων.

Εἶεν· τί δὴ λοιπὸν ἡμῖν τῶν γνωρισμάτων; ἆρα μή τινος ἐκλελήσμεθα; φέρε, ἴδω τὰ Πλάτωνος ῥήματα. ζητεῖ βασιλέα νέον, εὐμαθῆ, μνήμονα, πρᾷον, ἀνδρεῖον, σώφρονα, μεγαλοπρεπῆ. καὶ δῆτα ὑπὲρ σωφροσύνης ἆρα ἂν λόγου προσδεηθείημεν, οὕτως ὑπ' αὐτοῦ πιεζόμενον τὸ σῶμα ὁρῶντες, δίψει, λιμῷ, ταῖς ὁσημέραι

142, 6 καὶ τῶν] προσφόρων τοῖς ὑπηκόοις supplet F. A. Wolfius. 10 μέχρι] Vulgo μέχρις. 11 περιῄει] παρῄει Iacobsius. 12 ἀληθείᾳ] δεικνὺς addit Wolfius. 19 ἀνακόπτοντες] ἀνακοπέντες Wolfius. 21 μέσοις] Μυσοῖς Wolfius. 23 ἀδικούντων] ἀδικοῦντες A. 26 δὴ] δεῖ A. 27 τινος A. τι H. 30 προσδεηθείημεν A. προσδεηθείητε H. 31 δίψει A. δίψῃ H.

θυραυλίαις; ὅς γε καὶ εὐνὴν μίαν ἀγαπᾷ, ᾗ συνεζύγη,
καὶ ταῦτα ἐν ἀκμῇ τῆς ἡλικίας, ἐν ᾗ καὶ τοῖς ἰδιώ- 120 a
ταις αἱ τῆς φύσεως ὁρμαὶ δυσκαταγώνιστοι. τοιγαροῦν
ἐξ ἱερῶν γάμων καὶ εὐαγῶν καὶ τὸ βλάστημα ἱερώτα-
τον, ὁ ἀγαπητὸς, ὁ πολύευκτος, ὃν ἐγὼ ποιησαίμην
Ἀλέξανδρον καὶ θρέμμα αὖθις τοιοῦτον αὐχήσειε φιλο-
σοφία. δίδωσι δέ μοι καὶ οὗτος ἤδη τὰ σύμβολα τῶν
βασιλικῶν γνωρισμάτων, σύννουν πρόσωπον. οὐ γελω-
τοποιὸς αὐτὸν προσάγεται ἔξω τοῦ μέτρου, οὐ θαυμα-
τοποιὸς ἐκπλήττει, ὥσπερ εἰκὸς τὸν μέλλοντα ἐν ταύτῃ
εὐφρανεῖσθαι καὶ ἄλλα θαυμάσειν. θεὸς δὲ τὴν εὐχὴν b
ταύτην ἡμῖν τελειώσειεν.

143, 4 ἱερώτατον] ἱερώτερον A. 5 ἀγαπητὸς A. καλὸς H. 10 ἐν ταύτῃ A. ἐν τ' ἄλλοις H. τὸν γὰρ υἱὸν φησὶ τοῦ βασιλέως οὐ γελωτοποιὸς προσάγεται, ἢ θέλγει, οὐδὲ θαυματοποιὸς, ὥσπερ ἐνδέχεται διακεῖσθαι τὸν μέλλοντα ἐν ταύτῃ εὐφρανεῖσθαι, ἤτοι τῇ φιλοσοφίᾳ ἢ τῇ βασιλείᾳ, καὶ ἄλλα θαυμάσειν; οἷον νίκας κατ' ἐχθρῶν καὶ τρόπαια. schol. A. 11 θεὸς δὲ A. δὲ om. H.

IX.

ΠΡΟΤΡΕΠΤΙΚΟΣ ΟΥΑΛΕΝΤΙΝΙΑΝΩΙ ΝΕΩΙ.

c Ὦ παῖ δυοῖν ἀηττήτων πατέρων, οὐκ οἶδα ὅ τι σὲ προσειπὼν μᾶλλον τύχοιμι τοῦ προσήκοντος, πότερον τὸ μέλλον, ἢ τὸ ὁρώμενον. σοὶ γὰρ δὴ μόνῳ τὸ πέρας τῆς ἐν ἀνθρώποις τιμῆς ἁπάσης ἀρχὴ γίνεται καὶ ὑπόστασις, καὶ οὗ καταλύουσιν οἱ τὰ μήκιστα αὐξηθέντες, ἐντεῦθεν σὺ προοιμιάζῃ· ὁρᾷς δὲ δήπου καὶ τουτονὶ τὸν κοινωνοῦντα τῆς παρούσης ἀρχῆς. τοῦτο μέντοι τὸ χρέος τῆς ἀρετῆς εἰ καὶ πάνυ φαίη τις ἐγκαιρότατα
d ἐκτετικέναι τοὺς σοὺς πατέρας, ἀλλ᾽ ὅμως τὸ σεμνότατον αὐτῷ τῆς τιμῆς ἡ πρὸς σὲ γίνεται κοινωνία, καὶ τὸ σοῦ δεύτερος αἱρεθῆναι μεῖζον εἰς δόξαν νενόμικε τοῦ πρῶτος ἑτέρου. καὶ πρός γε ἔτι τῷ μὲν τοῦτο μέγιστον ἁπάντων ἐστὶν ὧν τετύχηκε, σοὶ δὲ τὸ μέγιστον τοῦτο ἐλάχιστόν ἐστιν ὧν ἐντεύξῃ προϊών· καὶ
121 a ταῦτα ἅπαντα καὶ ἀκόλουθα καὶ συμβαίνοντα ἑαυτοῖς. πρῶτος γὰρ δὴ τέως τῆς εὐδαίμονος οἰκίας ἐσπαργανώθης ἐν ἁλουργίδι, καὶ νίκη μέν σε ὑπεδέξατο ἐκ τῶν ὠδίνων, νίκη δὲ εὐθὺς τιθηνεῖται· νίκης δὲ ἐπώνυμος ἀνήρ, μᾶλλον δὲ νίκης πολλάκις αἴτιος γεγονὼς συνάρχει σοι τὴν πρώτην ἀρχήν, ἀγαθὸν οἰώνισμα ὧν μετὰ ταῦτα στήσεις τροπαίων.

Ἔτι δὲ ἐν ἀγκάλαις περιφερόμενος, συστρατεύῃ τῷ πατρὶ καὶ συστρατηγεῖς, καὶ τρέφει σε οὐκ ἐν θα-

---

144, 2 σὲ add. A. 7 σὺ προοιμιάζῃ A. σοι προοιμιάζειν H. 15 ἐντεύξῃ A. τεύξῃ H. 17 τέως τῆς] τῆς τέως F. A. Wolfius. 22 στήσεις] στήσειε A. 23 συστρατεύῃ A. συστρατεύεις H.

λάμοις κατακοιμίζων, οὐδ' ἐν δήμῳ προβάτων καὶ μυελῷ, b ἀλλ' ἐπὶ τῷ Ἴστρῳ καὶ τοῖς χειμῶσι τοῖς Σκυθικοῖς τὰ αὐτὰ καὶ σιτία σιτούμενον καὶ ποτὰ πίνοντα τῷ πατρὶ καὶ τοῖς στρατιώταις. ἀνέχῃ δὲ εὐθαρσῶς καὶ βοῆς ἐνυαλίου καὶ ἀσπίδων δούπου καὶ θωράκων μαρμαρυγῆς καὶ λόφων. σὺ δὲ οὐδ' ἂν ἐκπλαγείης

Δεινὸν ἀπ' ἀκροτάτης κορυφῆς νεύοντα νοήσας

οὐδὲ μορμολύττεταί σε ἀνὴρ σιδηροῦς φανταζόμενος, ὃν καὶ ταλασίφρων ἄν τις καθ' Ὅμηρον ἰδὼν ταραχθείη. τόξου δέ σε, ὦ γενναῖε, καὶ ἀποπειρώμενον εἶδον καὶ φιλονεικοῦντα πρὸς τὴν ἡλικίαν· c

Νευρὴν μὲν μαζῷ πέλασεν,

οὐδ' ἂν εἴποι ὁ ποιητὴς τὼ σὼ χεῖρε τεθεαμένος ἀτρίπτους εἶναι καὶ ἁπαλάς, οἵας τῶν ἐν Ἰθάκῃ μειρακίων φησί, μᾶλλον δὲ ἀνδρῶν ἤδη μνηστήρων, τάχιστα ὑπὸ τρυφῆς ἀπειπεῖν καὶ ἀποστῆναι τοῦ ἄθλου. οὐδὲν οὖν θαυμαστὸν εἰ καὶ προὐκάθισας πρώην ἐπὶ τοῦ βήματος, πρεσβύτου παντὸς στερεώτερον. ὥστε οἱ μὲν ἀκούοντες ἀπηυδήκεισαν, σὺ δὲ εὔδηλος ἦσθα καρτερήσων καὶ εἰς ἑσπέραν. καλὰ μὲν δὴ ταῦτα καὶ βασιλικὰ τὰ παιδεύματα, γεύεσθαι ὥσπερ σκύλακα αἵματος θη- d ρίων καὶ μελετᾶν ὀργὴν κατὰ βαρβάρων.

Ἐγὼ δέ σε εὐξαίμην ἂν ὅσον οὐδέπω καὶ τούτων βασιλικώτερα διδάγματα ἐπιζητῆσαι. δεῖ μέν, οἶμαι, τὸν ποιμένα ἔσεσθαι μέλλοντα καὶ τοὺς λύκους ἀποσοβεῖν ἐπίστασθαι τῶν προβάτων· πρῶτον μέντοι γε τοὺς κύνας παιδεύειν, ὅπως ἂν τοῖς ποιμνίοις εἶεν πρᾶοι καὶ εὐμενεῖς. ταύτην δὲ τὴν παιδείαν φησὶν Ἡσίοδος ὁ ποιητὴς ὅτι παιδεύει τοὺς βασιλέας ἡ Καλλιόπη, καὶ 122 a ἐν χρείᾳ μᾶλλόν ἐστι τοῖς ἄρχουσιν ἢ τοῖς ἀρχομένοις, καὶ τέως ἐπήκουε τῶν ἐπῶν, μικρὸν δὲ ὕστερον αὐτὰ καὶ συνῄδεις· φησὶ δὲ λέγων ὑπὲρ τῆς Καλλιόπης ὅτι προφερεστάτη ἐστὶ τῶν Μουσῶν.

145, 1 οὐδ' ἐν A. οὐδὲ H. μυελῷ] μυελῶν A. 7 Δεινὸν] Iliad. ζ, 470. ἀκροτάτης A. ἄκρας H. 12 Νευρὴν] Iliad. δ, 123. 21 γεύεσθαι] γεύσασθε A.

Ἡ γὰρ καὶ βασιλεῦσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ.
ὅντινα τιμήσουσι Διὸς κοῦραι μεγάλοιο,
γινόμενόν τ' ἐσίδωσι διοτρεφέων βασιλήων,
τοῦ μὲν ἐπὶ γλώσσῃ γλυκερὴν χεύουσιν ἐέρσην,
τοῦ δ' ἔπε' ἐκ στόματος ῥεῖ μείλιχα· οἱ δέ τε λαοὶ
b πάντες ἐς αὐτὸν ὁρῶσι διακρίνοντα θέμιστας.

παπαῖ, ἡλίκον ἀριθμὸν προξενεῖ τοῖς βασιλεῦσιν ὁ ποιητής, εἰ μὴ τῶν Μουσῶν ἀπελοῦεν· πρῶτον μὲν αἰδοίους αὐτοὺς ὀνομάζει. τοῦτο δὲ, ὅτι ἄρξουσι τῶν ὑπηκόων αἰδοῖ μᾶλλον ἢ φόβῳ χρώμενοι· ἔστι δὲ τὸ μὲν αἰδοῖον τίμιον τοῖς αἰδουμένοις, τὸ φοβερὸν δὲ ἀπευκτὸν τοῖς δεδοικόσιν. ἔπειθ' ὅτι καὶ θεοφιλεῖς ἀναγκαῖον εἶναι τοὺς βασιλέας ἅμα τῇ πρώτῃ γενέσει· c ὃ σοί, παίδων μακαριώτατε, διαφερόντως ὑπάρχον ὁρῶμεν. ἀντὶ γὰρ οἰωνῶν ἀγαθῶν, ἀντὶ χρησμῶν, ἀντὶ μαντείας τῇ σῇ γεννήσει προεφήτευσεν ὁ θεὸς τὴν καθαίρεσιν τοῦ παλαμναίου. καὶ δῆλον ὅτι τὰς σὰς ὠδῖνας ἐπεῖδον αἱ Μοῦσαι. ἐπεὶ πόθεν εὐθὺς τὴν τῆς ἀρχῆς ἁρμονίαν διεφθορυῖαν σχεδὸν ὁ πατὴρ ὁ σὸς ἀνεσώσατο, καὶ τοὺς μὲν ἀνεὶς, τοὺς δὲ ἐπιτείνας τῶν φθόγγων τῶν παρὰ μέλος ἠχησάντων εἰς τὴν ἀρίστην κρᾶσιν καὶ συμφωνίαν μεθήρμοσε; δῆλον γὰρ ὅτι σε d γενόμενον ἐφορῶσαι συνεπεῖδόν σοι καὶ τὸν φύσαντα. οὐ γὰρ οἷόν τε τὸν μὲν καρπὸν ἀγαπᾶν, τῆς ῥίζης δὲ ὠλιγωρηκέναι.

Ἀλλὰ καὶ διοτρεφεῖς ὀνομάζει τοὺς βασιλέας τοὺς ὑπὸ τῶν Μουσῶν ἑωραμένους καὶ ῥυήσεσθαί φησιν αὐτῶν ἀπὸ τῆς γλώττης δρόσον γλυκεῖαν, καὶ λόγους ἐγκάρπους καὶ ὠφελίμους λέγων τὴν δρόσον αὐτοῖς συνείσεσθαι καὶ τὴν θέμιν καὶ τὴν δίκην, καὶ ἐπιστρέψειν πρὸς ἑαυτοὺς τῶν ὑπηκόων καὶ τοὺς ὀφθαλμοὺς καὶ
123 a τὰς γνώμας, ἄντικρυς ἐρώμενον μὲν τὸν βασιλέα ποιῶν,

146, 1 Ἡ γὰρ] Theogon. v. 80. 8 παπαῖ] Vulgo παπαί. 30 τὴν δρόσον] τὸν νόμον F. A. Wolfius et Roulezius p. 31.

ἐρωμένους δὲ τοὺς ἄρχοντας, καὶ ἥδιστον μὲν θεαμάτων τὴν ἐκείνων ὄψιν, ἥδιστον δὲ ἀκουσμάτων τὴν ἐκείνου φωνήν. ταῦτά ἐστί σοι παρὰ τῆς Καλλιόπης, ὦ φίλε παῖ, πατρῷα σύμπαντα ἀγαθά. ἢ οὐχ ὁρᾷς αὐτῷ παρεδρεύουσαν μὲν τὴν Θέμιν, συνθακοῦσαν δὲ τὴν δίκην, τὸν νόμον δὲ συνόντα ἀεί; αἰσθάνῃ δὲ ἴσως τηλικοῦτος ὤν, ὅτι πᾶσιν ἀνθρώποις ἐπιτάττων καὶ τὴν γῆν καὶ τὴν θάλασσαν ὑπήκοον ἔχων, ὅμως οὐκ ἀτιμάζει καλεῖν ἑαυτοῦ καθηγεμόνα καὶ ἐπιστάτην ἕνα πρεσβύτην, οὐχ b ὅτι τὸ σῶμα ἔρρωται ὑπὲρ τοὺς πολλοὺς οὐδ' ὅτι τῶν τακτικῶν ἐστιν ἐπιστήμων, ἀλλ' ὅτι πρὸς τὰς Μούσας αὐτὸν ξεναγεῖ καὶ τῶν ἱερῶν τούτων ταμίας ἐστί, διὰ τοῦτο αὐτοῦ κατάκρας ἑάλωκεν. ἐπὶ τίνος γὰρ τῶν βασιλέων αἱ Μοῦσαι τοσοῦτον ὅσον ἐπὶ τοῦ σοῦ πατρὸς ἐξέλαμψαν καὶ ἐξήνθησαν; τίς δὲ οὕτως ἠρέθισε τὰς ψυχὰς τῶν νέων ἐπὶ τοὺς λόγους; τίς προὔθηκε τηλικαῦτα ἀγαθά; τίς ὁμοτίμους ἐποιήσατο τοὺς ἀπὸ τῆς γλώττης τοῖς ἀπὸ τῶν ὅπλων; τίνι δὲ θαρσοῦσα φιλοσοφία σεμνότεραι ἐμαρτύρησε; μὴ τοίνυν ὅσια νο- c μίσῃς τῆς πατρῴας σπουδῆς ὀλιγωρῆσαι. καὶ γὰρ ὑπάρχει σοι τὰ μὲν ἄλλα ἡττᾶσθαι τοῦ φύσαντος, ταύτῃ δὲ καὶ πλείω σχεῖν, εἰ προέλοιο· ὃ γὰρ τῷδε παρεγένετο οὐκ ἐκ τοῦ ῥᾴστου, σοὶ μετὰ ῥᾳστώνης ὑπάρξει, διδασκάλων ἀφθονία καὶ παιδευτῶν.

Δεῦρ' ἴθι παῖ, ἐπὶ τῶν ἐμῶν καθίζου γονάτων. οὐ φαυλότερος ἔσομαί σοι τοῦ Φοίνικος τοῦ θρεψαμένου τὸν Ἀχιλλέα, ἀνδρὸς φυγάδος καὶ τὸν πατέρα ἠδικηκότος, οὐδὲ ὄψα ἀποτεμῶ καὶ οἶνον ἀφέξω· ἀλλ' αὔξου, φησὶ, παρ' ἐμοῦ τῷ νέκταρι καὶ τῇ ἀμβροσίᾳ, τοῖς d οὐρανίοις σιτίοις, ὑφ' ὧν αὐξηθεὶς καὶ τραφεὶς κατὰ τὸν χρόνον τὸν ἐοικότα εἴσῃ μὲν ἃ χρὴ λέγειν, εἴσῃ δὲ

147, 16 νέων om. A. 17 ἀγαθὰ] ἆθλα voluit Petavius. 18 γλώττης] γλώττης ὁμοτίμους A, recte, si praecedens ὁμοτίμους delens. 19 σεμνότερον A. σεμνότερα H. ὅσια] ὅσα A. 26 ἔσομαί σοι A. σοι om. H. 28 ἐφέξω A. ἀφίξω H. αὔξου] ἁβρῶ A. ἀντὶ τοῦ τραφήσῃ gl. A. αὐξήθητι παρ' ἐμοῦ Iacobsius in append. ad Porsoni Advers. p. 317.

ἃ χρὴ σιωπᾶν, καὶ ὅσα πράττειν καλὸν καὶ ὅσα μὴ πράττειν ὠφελιμώτερον, καὶ ὁπότε ἐγείρειν χρὴ τὸν θυμὸν καὶ ὁπότε κατακοιμίζειν, καὶ τί διενήνοχεν ἀτύχημα καὶ ἁμάρτημα καὶ ἀδίκημα, καὶ ὅτι προσήκει τὸν βασιλέα τὸ μὲν οἰκτείρειν, τὸ δὲ ἐπανορθοῦν, μόνον δὲ
124 a τὸ ἔσχατον τιμωρεῖσθαι, καὶ ὅτι ἄλλο μὲν ἐλευθέρων ἄρχειν, ἄλλο δὲ οἰκετῶν, καὶ τὸ μὲν ἀρετῆς ὑπεροχή, τὸ δὲ τύχης πλεονεξία. συμπαιδαγωγήσουσι δέ σε ἐμοὶ Πλάτων ὁ κλεινὸς καὶ ὁ θεσπέσιος Ἀριστοτέλης, οἳ καὶ τὸν μέγαν Ἀλέξανδρον ἐπαιδαγώγησαν. οὗτοι Μακεδόνα ἄνθρωπον Δαρείου καὶ Περσῶν ἐποίησαν κρείττω. ἀλλὰ χρὴ προσιέναι τοῖς ἀνδράσι μετ᾽ εὐλαβείας τὸν μέλλοντα αὐτῶν ἀπολαύσεσθαι καὶ πρὸς ἀλήθειαν, οὐ πρὸς δό-
b ξαν, καὶ ἀκοῦσαι τῶν διδαγμάτων, οὐ παρακοῦσαι. πρὸς δὲ τοῦτο ἴσως μὲν καὶ ἄλλοι διακονήσονται, ἐγὼ δὲ ὀφλισκάνω πατρῷά σοι χαριστήρια καὶ ἀντεισφέρειν ἕτοιμος παρὰ λόγων ὧν τετύχηκα εἰς τοὺς λόγους.

Ὑπάρχει δέ σοι τὰ μὲν ῥᾴω πρὸς τὸ γενέσθαι τῶν πατέρων εὐκλεεστέρῳ, τὰ δὲ καὶ πολλῷ δυσκολώτερα. καὶ πῂ μὲν πλεονεκτεῖς ἤδη τοὺς σοὺς γονέας, πῂ δὲ μεῖζόν σοι μὴ ἡττᾶσθαι. ὅτι μὲν γὰρ ἔφυς ἐκ βασιλέων, οἱ δὲ ἐξ ἰδιώτου, πλεονεκτεῖς· ὅτι δὲ οἱ μὲν
c ἀρετῆς ἆθλον ἐκαρπώσαντο τὴν βασιλείαν, σοὶ δὲ ἡ τοῦ γένους δίδωσι διαδοχή, ταύτῃ φημί σοι καὶ τὴν ἅμιλλαν δυσκολωτέραν. χρὴ γὰρ καὶ τῆς τύχης καὶ τῶν πατέρων ἀμείνω φανῆναι, ὃ παρ᾽ ἐκείνων οὐδεὶς ἂν ἐπιζητήσειεν· ἀλλὰ τοῖς μὲν μικρὸν τὸ πρὸς τοὺς γονέας φιλονεικεῖν, σοὶ δὲ καὶ πάνυ μέγα τὸ κατ᾽ ἴσον τοῖς πατράσιν ἐλθεῖν. τοῖς μὲν γὰρ πρὸς ἰδιώτην χρηστὸν ἦ, εἴπερ ἄρα, καὶ στρατηγὸν ἡ ἐξέτασις, σοὶ δὲ πρὸς αὐτοκράτορας τῆς Ῥωμαίων ἀρχῆς, καὶ τούτους οὐχ
d οἵους ἄν τις ἀριθμήσειε τῶν ἐπάνω. εἴτε γὰρ τὸν πρεσ-

148, 4 καὶ ἁμάρτημα post καὶ ἀδίκημα legebatur. Transposuit Roulezius p. 2. Conf. p. 15 c. 93 b. 13 ἀπολαύσεσθαι] Vulgo ἀπολαύσασθαι. 20 πῇ — πῇ A. τῇ — τῇ H. 24 δίδωσι A. δώσει H. 26 ἀμείνω A. μὴ χείρω H.

βύτερον πρῶτον ἐνθυμηθείης, οὐδεὶς οὕτως ἀθορύβου καὶ καθαρᾶς πρὸς βασιλείαν ἔτυχε ψήφου, οὐ Περσῶν ἐπικειμένων, οὐδὲ καταπεπληγμένης τῆς στρατιᾶς, οὐδὲ ἀγνοούντων οἳ γῆς ἑστήκασι τῶν ἐκείνην φερόντων τὴν ψῆφον, οὐδὲ τῆς τύχης, οὐχὶ τῆς γνώμης χειροτονούσης, ἀλλ' ἐπ' ἀδείας, ἐπ' ἐξουσίας, ἐν ἐκκλησίᾳ κοινῇ 125 a καὶ συνόδῳ, αὐτῶν πρῶτον χειροτονούντων, ὅσοις εἰκὸς ἦν ἀμφισβητεῖν. εἴτ' οὖν ἐκεῖνον ἐννοήσειας εἴτε τὸν ὄντως πατέρα, ἐργῶδές σοι τὸ ἀγώνισμα. εἰ γὰρ ὁ τῆς κοινῆς ψήφου τυχὼν οὐδὲ πρὸς μικρὸν ἐκαρτέρησε μὴ οὐχὶ κοινωνὸν προσελέσθαι, πῶς οὐ μᾶλλον τούτῳ τὸ τῆς χειροτονίας σεμνὸν βεβαιοῦται καὶ μιᾷ ψήφῳ πλεονεκτεῖ τιμιωτάτῃ τὸν προσελόμενον; ὥστε χαλεπὸν μὲν καὶ πρὸς ἕνα ἀγωνίζεσθαι τοιοῦτον ἀγῶνα, σοὶ δὲ πολλαπλασίονος δεῖ τῆς σπουδῆς. χρὴ γὰρ μηδετέρου τῶν b πατέρων ἀπολειφθῆναι.

Ἀλλ' ἐκεῖνα μὲν ἡμῖν αὖθις ῥᾴω πολλῷ. οἴκοθεν γὰρ εὐποροῦμεν τῶν παραδειγμάτων, καὶ ὁπόσα ἂν περισκέψῃ σεαυτῷ, ἢ θεῖος ἢ βασιλεὺς ἢ πατὴρ ἢ ἀνεψιὸς πρὸς ζῆλόν σε ἐκκαλέσεται. ἵνα γὰρ τοὺς ἀρχηγέτας ἀφεὶς, ἐπὶ τὸν ὁμόστοιχόν σοι λαμπτῆρα τοῦ γένους ἀπίδω, ἀποχρήσει τέως νέῳ πρὸς νέον διαμιλλᾶσθαι. ἐκεῖνον μέντοι πυνθάνομαι προσκυνεῖσθαι μὲν c ὑφ' ἁπάντων Ἑλλήνων τε καὶ βαρβάρων, ὑποκύπτειν δὲ τῷ διδασκάλῳ, καὶ φοβερὸν μὲν εἶναι Κελτοῖς καὶ Γερμανοῖς, κάτω δὲ ὁρᾶν φανέντος τοῦ τῶν μαθημάτων καθηγεμόνος, κατιόντα ἐκ τοῦ θρόνου τοῦ ὑψηλοῦ, ἡνίκα ἂν χρηματίσειε τοῖς βαρβάροις, εὐλαβέστερον δὲ τῶν ἰδιωτικῶν μειρακίων ὑπέχειν ἑαυτὸν τῷ παιδεύοντι. ὢ μακάριος τούτου τοῦ δέους, εἰς ὁπόσον θάρσος αὐτὸν ὁ φόβος οὗτος προάξεται. ὁπότε οὖν ἔχομεν οἰκο-

---

149, 4 ἐκείνην A. ἐκείνῳ H. 9 ἐργῶδες A. καὶ ὡς ἐργῶδες H. 14 πολλαπλασίονος A. διπλασίονος H. 17 αὖθις A. αὐτοῖς H. 28 ἡνίκα ἂν] Aut ἂν delendum, aut χρηματίσῃ scribendum. δὲ τῶν] δὲ om. A. 31 προάξεται A. προσάξεται H.

d θεν οἷς ἀκολουθεῖν ἀναγκαῖον, ἡμέτερον ἂν εἴη μὴ μαλακίζεσθαι.

Τούτῳ μὲν δὴ πρῶτον πλεονεκτοῦμεν καὶ τῶν γονέων καὶ τοῦ ἀδελφοῦ, τῷ βαδίζειν ὁδὸν ἤδη τετριμμένην. ἔπειθ' ὅτι καὶ χωρίων μετειλήφαμεν εὐμουσοτέρων, καὶ οὐ μεταπέμπειν ἀναγκαῖον ἐκ περάτων γῆς τοὺς διδάσκοντας, ἀλλ' ὅποι ποτ' ἂν διατρίβῃς, παρεστῶτας ἔχεις καὶ ἀγαπῶντας, καὶ μάλιστα δὴ τοὺς τῆς τέχνης τῆς βασιλικῆς ἐπιστήμονας· ἧς ὑπὸ τὴν σὴν
126a μερίδα τὰ ζώπυρα διασώζεται. εἰσὶ γάρ, ὦ φίλε παῖ, καὶ ἐν τοῖς λόγοις οἱ μὲν βασιλικοὶ καὶ διοτρεφεῖς ἀτεχνῶς, οἱ δὲ ὑπηκόοις πρέποντες καὶ ἰδιώταις. ὅσοι μὲν πρὸς μέγεθος αἴρουσι τὴν ψυχὴν καὶ σεμνότητος ἐμπιπλᾶσι καὶ βασιλέα ποιοῦσιν ἑαυτοῦ πρῶτον τὸν μέλλοντα ἔσεσθαι καὶ τῶν ἄλλων, οὗτοι βασιλεῖ πρέποντα ἀκούσματα καὶ διδάγματα, ὅσοι δὲ τὴν γλῶτταν μὲν θεραπεύουσι, τὴν ψυχὴν δὲ ἐῶσιν ἀκόσμητον, οὗτοι δὴ ἅπαντες χθαμαλοὶ καὶ μικροπρεπεῖς καὶ ἐπ' ὀλίγον
b ἀναγκαῖοι τῷ βασιλεῖ. ὥσπερ οὖν ὅπλα οὐ τὰ αὐτὰ ἀναλήψῃ τοῖς ὑπηκόοις οὐδὲ ἐσθῆτα ἀμφιέσῃ παραπλησίαν, οὐδὲ οἴκησιν ὁμοίαν οἰκήσεις, ἀλλὰ πάντα ἔσται σοι παρὰ τοὺς ἀρχομένους διαφανέστερα, καὶ ἵπποι καὶ κύνες καὶ διάκονοι καὶ ὀχήματα, οὕτω καὶ τῶν λόγων τοὺς ἀρίστους καὶ θειοτάτους κτητέον ἐστί σοι, δι' οὓς ἐπὶ σοὶ τὴν θειότητα ἀληθεύσομεν.

Οὐδὲ γὰρ τὸν πατέρα τὸν σὸν τὸ μὴ τοῖς ῥήμασιν ἀττικίζειν διεκώλυσε πρᾳότερον νομισθῆναι τῶν πώποτε αὐτοκρατόρων, ἀλλ' ὅτι τοῖς πράγμασι φιλοσοφεῖ
c μᾶλλον ἢ τοῖς ὀνόμασι, ταύτῃ πάμπολυ διενήνοχεν, ὥσπερ καὶ ὁ τοῦ παντὸς οὐρανοῦ βασιλεὺς οὐχ ὅτι δοκιμώτατα φθέγγεται προσκυνεῖται παρὰ τῶν ἀνθρώπων, ἀλλ' ὅτι φιλανθρωπότατός ἐστι, δυνατώτατος ὤν, καὶ ὅτι ζωῆς χορηγὸς καὶ ὅτι πρύτανις εὐδαιμονίας καὶ ὅτι

150, 12 ἀτεχνῶς] ἀκραιφνῶς gl. A. 14 πρῶτον A. πρώτου H. 24 κτητέον ἐστι A. μαθητέον ἔσται H. 28 πράγμασι] γράμμασι A. 31 ἀνθρώπων A. ἄλλων H.

ταμίας τῶν ἀγαθῶν, καὶ ὅτι πρὸς ἐκεῖνον ὁρῶμεν ἐν τοῖς δεινοῖς τεθαρρηκότες. τραγῳδίας δὲ [ἱκανῶς] γράφειν καὶ Διονύσιος ὁ τύραννος ἱκανὸς ἦν, ἀλλ' ἐνέπλησε δραμάτων Σικελίαν μᾶλλον ἢ τὴν σκηνήν. ὃν δὲ χρὴ καλεῖσθαι σωτῆρα, ὃν βουλαῖον, ὃν πολιοῦχον, τὰς τοῦ Διὸς ἐπωνυμίας, τὴν τοῦ Διὸς κτητέον αὐτῷ σωφροσύνην d καὶ φιλοσοφίαν ἐστί.

Ταύτην δὲ ὁ μὲν πατὴρ ὁ σὸς ἐπιδείκνυται, σοὶ δὲ ἔξεστι προσλαβεῖν καὶ τὴν ἐπιστήμην. καὶ εἴ γε σεαυτὸν ἐπιτρέψειας Πλάτωνι καὶ Ἀριστοτέλει, οἱ δὲ ἔτι σε βαδίζοντα ἐπὶ τῆς γῆς ἀνάξουσιν εἰς τὰ ἀνάκτορα τῆς τοῦ οὐρανοῦ βασιλείας καὶ τὴν ἐκεῖ τάξιν περιηγήσονται καὶ πρὸς τὸν κόσμον ἐκεῖνον μυσταγωγήσουσι. ἐκεῖνα τὰ βασίλεια δορυφοροῦσι πρᾳότης καὶ εὐμένεια 127 a καὶ φιλανθρωπία, ἐκείνοις οὐ πρόσεισι κακοήθεια, ἐκείνοις οὐ πλησιάζει συκοφαντία, διαβολὴ δὲ καὶ πόρρωθεν ἀπελήλαται.

Εἰς ἐκείνην τὴν τάξιν ὁρῶντες οἱ πατέρες διευθύνουσι τὰ ἀνθρώπινα, πρῶτον ἀφ' ἑστίας καὶ πρὸς ἀλλήλους τὸν κόσμον τοῦτον ἐπιδεικνύμενοι, καὶ κοινωνοῦντες ἀψοφητὶ τῶν τέως ἀκοινωνήτων εἶναι δοκούντων, τιμῆς καὶ δόξης καὶ βασιλείας. καὶ μόνοι δὴ βασιλέων οὐκ ἐν γράμμασι τίθενται νόμους, ὥστε κοινωνεῖν b ἀλλήλοις τοὺς ὑπηκόους, ἀλλ' ἑαυτοὺς νόμους πεποιήκασι κοινωνίας. οὐδεὶς γὰρ εἰς τοὺς προστάτας ὁρῶν πλέον ἔχειν ἐφίεται τοῦ προσήκοντος. καὶ γὰρ τοῦ τοιούτου καρποῦ καὶ τῆς τοιαύτης δικαιοσύνης αὐτόθεν ἀπολαύειν ὑμῶν περίεστιν· ἑκάτερος γὰρ τῆς ἀσφαλείας τῆς ἑαυτοῦ φύλακα τὸν ἕτερον κέκτηται, καὶ δυοῖν ἑνὸς μέλει, μᾶλλον δὲ ἤδη τρισί, μελήσει δὲ ὅσον οὐδέπω καὶ τέτταρσιν ἑνός.

Ναὶ πρὸς Διὸς βασιλείου, ὦ πάντα σὺ τὸν ἀδελφὸν ἐζηλωκώς, οὔτοι δίκαιον καὶ πολλῷ βραδυτέρους c τῆς φύσεως ὑμᾶς νομισθῆναι. τοῦτον ἐκείνη προλα-

---

151, 21 δοκούντων] δοκοῦντες A. 28 ὑμῶν A. ὑμῖν H. 29 δυοῖν] Vulgo δυεῖν.

βοῦσα ἐχειροτόνησεν αὐτοκράτορα, καὶ τέτακται βασιλεῖ ὥσπερ ἀετῶν νεοττός, ὀξὺ μὲν ὁρῶν ἤδη, περιμένων δὲ τὰ ὠκύπτερα. καὶ οὐκ ἐφ' ἡμῖν ταῦτα ψηφίζεσθαι, ἀλλ' ἡ φύσις ἐπαναγκάζει τὸν σκύμνον τοῦ λέοντος λέοντα εἶναι, καὶ τὸν βλαστὸν ταῖς ἐνεγκούσαις ῥίζαις ὁμοφυῆ. δότε οὖν τοῖς παισὶν ὑμῶν τὸ κάλλιστον τῶν ὑμετέρων ζηλῶσαι, τὴν πρὸς ἀλλήλους ὁμόνοιαν. νῦν d *δὲ τὰ ἄλλα παρ' ὑμῶν εἰληφὼς ὁ σὸς ἀδελφιδοῦς, οὔπω πρὸς ὀντιναοῦν ὁμότιμον ἐπιδείξεται τὴν φιλαδελφίαν ἣν προσείληφεν. ἀλλ' ἀγαθῇ τύχῃ, καὶ δέχομαι τὸ προοίμιον. προοίμιον γὰρ ὀνομάζω τὴν τήβεννον τῆς ἁλουργίδος καὶ τοῦ στεφάνου τὸ σκῆπτρον καὶ τῶν δορυφόρων τοὺς ῥαβδοφόρους. ἔπος γὰρ οὐδὲν παλινάγρετον τοῦ Διός, οὐδὲ ἀπατηλόν,*

Οὐδ' ἀτελεύτητον, ὅ τι κεφαλῇ κατανεύσῃ.

128 a *κατένευσε δὲ ἡ θεία κεφαλὴ περιμένειν ἕτερον σχῆμα τοῦ παρόντος αὐτοῦ τιμιώτερον. οἷον ὄψονται ἐπὶ τῆς παρούσης περιόδου θέαμα ἄνθρωποι, τέτρωρον βασιλέων, ποιητὴς ἂν εἴποι, δύο ξυνωρίδας ὁμηλίκων σχεδὸν ἑκατέρων καὶ ὁμοχρόνων, ἴσα βαινόντων, ἴσα πνεόντων, ἰσαρίθμων τοῖς πέρασι τῆς γῆς ἣν φυλάττουσιν. ἀλλ' εἰς τοῦτον μὲν τὸν ἀριθμὸν τὴν βασιλείαν ὁ φήνας θεὸς ὡς τάχιστα καὶ αὐξήσειεν. ἃ δὴ νῦν ἀντιβολεῖ μὲν ὁ δῆμος, ἀντιβολεῖ δὲ ἡ μεγάλη βουλή, προσ-* b *θείς, ἵνα μὴ πέρα τοῦ καιροῦ διοχλοίην, ἀπαλλάξομαι.*

Ἡμεῖς, ὦ θειότατε βασιλεῦ, πρῶτοι μέν σε αὐτοκράτορα πάντων ἀνθρώπων, πρῶτοι δὲ ὕπατον προσειρήκαμεν. παρ' ἡμῖν δὲ ἄμφω τῆς ἀρετῆς τὴν ὑπεροχὴν ἐπεδείξασθε, ὁ μὲν ὥστε μὴ μόνος ἔχειν τὸ τιμιώτατον, σὺ δὲ ὥστε μόνος τῆς κοινωνίας ἄξιος κριθῆναι. δίκαιον οὖν τὴν πόλιν τὴν βασιλίδα, καὶ ἣν

152, 1 *βασιλεῖ* A. *βασιλεῦ βασιλεὺς* H. *ἐκ βασιλέων βασιλεὺς* Petavius. **5** *λέοντα εἶναι*] *λέοντος* A. **8** *οὔπω* A. *οὕτω* H. **10** *ἣν* om. A. **11** *τήβεννον* A. *τήμερον* H. **15** *Οὐδ'*] Iliad. *α*, 527. **32** *καὶ ἣν*] *καὶ* delendum videtur.

μάρτυρα παρεστήσασθε τῆς θείας ὑμῶν ὁμολογίας, καὶ
νῦν τὰ δρώμενα ἐπιψηφίσαι, καὶ τὸν ἑαυτῆς ὕπατον c
προσειπεῖν ἐπὶ τοῦ πατρῴου θρόνου καθήμενον ἐν τῷ
πρώτῳ βουλευτηρίῳ, πρὶν τὴν ἱερὰν στολὴν κατα-
θέσθαι, καὶ τὰς ῥάβδους ἀναμὶξ ταῖς πατρῴαις κα-
θιερῶσαι. ἔα πρὸς Διὸς ἀνασχεῖν ἐκ τῆς Κωνσταντί-
νου κρηπῖδος τὸν νεανίαν, λαμπρὸν παμφαίνοντα, ὥσ-
περ ἀστέρα ἐν οὐρανῷ· ἔα δήμου φωνῆς ἀκοῦσαι βασι-
λεῦσιν ὁμιλεῖν εἰθισμένον· ἔα πομπεῦσαι τῆς ἐλπίδος
πομπὴν ἐπαξίαν. ἦ που καὶ στρατηγῷ συγχωρήσεις
μικρὸν ἀνακλίναντι τὴν ἀσπίδα καὶ τῷ σῶμα ἀναπαύ-
σαντι, ὃ πολλάκις ὑπὲρ τῶν κοινῶν ἐπιδέδωκεν, ἐφέ- d
στιον ἡμῖν στῆσαι κρατῆρα, καὶ ἐγκαλλωπίσασθαι τῇ
πατρίδι, ὥσπερ οἱ νικήσαντες Ὀλυμπίασιν.

X.

129 a ΕΠΙ ΤΗΣ ΕΙΡΗΝΗΣ ΟΥΑΛΕΝΤΙ.

Ὤιμην ἐγώ σοι κατακορὴς ἤδη καὶ πλήσμιος εἶναι, τοσαυτάκις ἔμπροσθεν διειλεγμένος. ὥστε διὰ τοῦτο ἀπώκ-
b νουν καὶ νῦν ποιήσασθαι πρόοδον ἐπὶ τοῖς λόγοις, μὴ δόξαιμι διοχλεῖν οὐδὲν δεομένῳ. ἀλλ' ἐπειδὴ καὶ πάνυ προθυμούμενον ἠρεμεῖν οὐκ ἐᾷς, ἀλλ' ὥσπερ εἰσφορὰν ἐνιαύσιον φοιτᾶν οἴει σοι δεῖν καὶ τὴν ἐκ τῶν λόγων συντέλειαν, εἴκειν μὲν ἀναγκαῖον, αὐτόθεν δὲ ἔστω μοι τὸ προοίμιον. οὐδὲ γὰρ ἄλλο τι πρότερον τῶν σῶν ἀγαθῶν ἀποδέχεσθαι προσήκει τοὺς λόγους ἢ περὶ ἑαυτοὺς προθυμίαν.

Καὶ δῆτα ἐπαινῶ σου τοῦτο πρῶτον, ὦ βασιλεῦ,
c ὅτι τοῖς γεωργοῖς ἀνιέναι προθυμῇ τὰ λειτουργήματα, τοῖς φιλοσοφοῦσι δὲ οὐ συγχωρεῖς, ἀλλὰ τοὺς μὲν ἥδιστ' ἂν ἴδοις καθ' ἕκαστον ἔτος ἔλαττον εἰσφέροντας ὧν προσήνεγκαν, παρὰ τῶν λόγων δὲ ἀεί τι πλεῖον εἰσπράττῃ. καὶ τό γε ἔτι τούτου θαυμασιώτερον, ὅτι καὶ τῶν λόγων αὐτῶν προτιμοτέρους ἄγεις τοὺς ἡμετέρους τῶν ὁμογλώττων. αἴτιον δέ· οὐ γὰρ ἐκκρέμασαι τῶν ὀνομάτων, ἀλλὰ τὸν ἐνδεδυκότα αὐτοῖς νοῦν ἐρευνᾷς,
d οὐδὲ τοῦ κάλλους τῶν ῥημάτων ἑάλωκας, ἀλλὰ τοῦ κόσμου τῆς διανοίας, καὶ διὰ τοῦτο, ὡς ἔοικεν, ἐντιμοτέραν ἔχει παρὰ σοὶ τάξιν φιλοσοφία ῥητορικῆς. ὃ γὰρ μάλιστα ἀγαπᾷς, τοῦτο μάλιστα ἐσπούδακεν αὕτη

154, 4 πρόοδον] πρόσοδον Stephanus. 6 εἰσφορὰν Iacobsius. Vulgo εἰς φορὰν. Conf. p. 143 b. 13 ἀνιέναι A. ἐπανιέναι H. ἢ ἀφιέναι καὶ ἐπανιέναι schol. A. 16 πλεῖον om. A.

ἡ τέχνη, τὸν νοῦν παρέχεσθαι χρηστόν, οὐχὶ τὰ ῥήματα, καὶ σκοπεῖν οὐχ ὅπως ἂν ἥδιστα εἴποι τις τοῖς ἀκούουσιν, ἀλλ' ὅπως ὠφελιμώτατα· ὃ σοι μάλιστα ἀρέσκον ὁρῶμεν. πρὸς γὰρ τοὺς κολακεύοντας ὕποπτος ὢν τοῖς νουθετοῦσιν εὔκολον σεαυτὸν παρέχεις καὶ χειροήθη. Καλλισθένην μὲν γὰρ Ἀλέξανδρος, ὅτι πα- 130 a
ρῄνει τοῖς νομίμοις ἐμμένειν τῶν Μακεδόνων, τὴν παρρησίαν οὐκ ἐνεγκὼν ἀπεσείσατο. σὺ δὲ προσκαλεῖς τοὺς φιλοσόφους, κἂν ἀποκνῶσι, καὶ ὁπόσον σὺ χρόνον τοῦ ἔτους ἐπὶ χώρας μένεις ἀνάγκῃ χειμερίζεις μετὰ τῶν λόγων. τοῖς στρατηγοῦσι δὲ οἱ φιλοσοφοῦντες ἐν ἴσῃ τῇ προεδρίᾳ, καὶ συμπλέκεται τὴν καλλίστην πλοκὴν ἡ περὶ σὲ δορυφορία γνώμης ἅμα καὶ δυνάμεώς σε θεραπευούσης. διὰ γὰρ τοῦτο καὶ τὴν Ἀθηνᾶν ἐκ τῆς κεφαλῆς γεννῶσιν οἱ ποιηταὶ τοῦ Διός, ἐνδεικνύμενοι καλῶς ὅτι προσήκει τῶν βασιλέων μήτε λόγον ἄπρακτον μήτε πρᾶξιν ἄλογον ἐκφοιτᾶν, ἀλλὰ καὶ τὸν νοῦν ἐνερ- b
γὸν εἶναι καὶ γέμειν νοῦ τὸ δραστήριον.

Πιστοῦται δὲ καὶ τοῦτο ὁ προλαβὼν χρόνος. εἴτε γὰρ τὸν Ἀλέξανδρον ἐννοήσεις εἴτε τὸν Σεβαστὸν εἴτε τὸν Μάρκον, δι' οὐδὲν ἄλλο εὑρήσεις εἰς τοσοῦτον δόξης προεληλυθότας ἢ ὅτι τῶν χλαμύδων οὐκ ἀπεσκήνου πολὺ τὰ τριβώνια, οὐδὲ Παρμενίωνος Ἀριστοτέλης ἀτιμότερος ἦν οὐδὲ Ἄρειος Ἀγρίππου. ὅσοι δὲ ἢ φιλόσοφοι γεγόνασι πλέον ἢ φιλοπόλεμοι, καὶ τὸ δοκοῦν ὑπ' αὐτῶν ἀξιοῦσθαι σπουδῆς μέρος τῷ παροφθέντι συνηφανίσθη. οὐ γὰρ οἷόν τε ἢ λόγους ἐνδόξους γενέ- c
σθαι μὴ τῶν ἔργων αὐτοὺς βεβαιούντων, ἢ τὰ ἔργα πρὸς τὸν χρόνον διαβῆναι τὸν ἐφεξῆς μὴ λόγου τὴν μνήμην αὐτῶν παραπέμποντος. οἱ μὲν τοίνυν τῶν ποιη-

---

155, 2 τις τοῖς] τοῖς A. τις H. 5 σεαυτὸν] ἑαυτὸν A. 10 χειμερίζεις] χειμερίζειν A. 11 ἴσῃ τῇ A. τῇ om. H. 12 προεδρίᾳ Monac. 113. Vulgo προεδρείᾳ. καὶ συμπλέκεται — δορυφορία add. A, et codex Ambrosianus alter apud Wyttenbach. ad Iulian. II. p. 15. καλλίστην] ἀρίστην Ambr. alter. 16 βασιλέων] Vulgo βασιλειῶν. 20 ἐννοήσαις A. ἐννοήσῃς M. 24 ἀτιμότερος ἦν om. A. 28 αὐτοὺς] αὐτῶν A.

τῶν λόγοι καὶ οἱ τῶν ῥητόρων ἴσως μὲν ἄλλο τι χρηστὸν ἔχοιεν ἄν, οὗ δὲ μάλιστα ἐχρῆν πεφροντικέναι, τοῦτο παρορῶσι. τὸ γὰρ μέγεθος ἐν ταῖς πράξεσιν, οὐ τὴν ἀρετὴν, ἐπιζητοῦσι, καὶ διὰ τοῦτο τὰς παρατάξεις καὶ τοὺς πολέμους καὶ τῶν νεκρῶν τὸν ἀριθμὸν
d διατριβὴν ποιοῦνται τοῖς λόγοις, καὶ τὸ πολὺ τῶν ἐγκωμίων αὐτοῖς οἱ φόνοι καὶ αἱ πορθήσεις· εἰρήνην δὲ ἐν καιρῷ γενομένην καὶ μετὰ τοῦ πρέποντος σχήματος οὐδεὶς πώποτε ὑπέλαβε πολλῶν τροπαίων τιμιωτέραν. τὸ δὲ οὐχ οὕτως ἔχει, ἀλλὰ τοῦ νικῆσαι πολλάκις τὸ τὴν νίκην ὑπεριδεῖν ἐντιμότερον.

Ἐμοὶ δὲ τοῦτο ἔσται κεφάλαιον τοῦ παρόντος λόγου. οὐ γὰρ οὕτως ἀνήκοός εἰμι Πλάτωνος τοῦ θεσπε-
131 a σίου ὥστε τὰ αὐτοῦ μὴ μανθάνειν, ὅτι κολοβὸς καὶ βασιλεὺς, καὶ νομοθέτης, ὃς πολεμεῖν μὲν ἱκανὸς, εἰρήνην δ' ἄγειν οὐχ οἷός τε. ταύτῃ γάρ, οἶμαι, καὶ Λυκοῦργον εὐθύνει τὸν Σπαρτιάτην, ὡς συστησάμενον πολιτείαν στρατευομένοις μὲν ἐπιτήδειον, καταθεμένοις δὲ τὰ ὅπλα δυσμεταχείριστον. τοῦτο δέ ἐστι τὸ βέλτιον τοῖν μεροῖν παρεορακότος καὶ οὗ χάριν θάτερον ἀναγκαῖον. πολέμου γὰρ ἆθλον εἰρήνη, καὶ στρατεύονται οἷς ἀνάγκη, οὐχ ἵνα διὰ τέλους στρατεύοιντο, ἀλλ' ἵνα
b ἀσφαλῶς ἡσυχάσωσιν. ὅστις οὖν πρὸς μὲν ἀσχολίαν παιδεύειν ἱκανὸς, σχολὴν δὲ οὐχ οἷός τε διατίθεσθαι, τῆς καλλίονος μοίρας ὀλιγωρεῖ.

Καὶ τοῦτο οὖν ἐγὼ Πλάτωνος θαυμάζω καὶ ἔτι μᾶλλον, ὅταν διδάσκῃ ὅτι πολέμου καὶ εἰρήνης σπέρματα ἐν ἑκάστῃ ψυχῇ πρῶτόν ἐστι, καὶ ὅστις οἷός τε πρὸς ἑαυτὸν ἄγειν εἰρήνην, οὗτος οἷός τε καὶ πρὸς τοὺς ἔξωθεν πολεμίους· ᾧ δὲ ἀδύνατος ἡ πρὸς ἑαυτὸν ἐκεχειρία, σχολῇ ποτ' ἂν οὗτος τὰς πρὸς ἀλλήλους σπονδὰς ἀγα-
c πήσειεν. εἶναι γάρ τι καὶ ἐν ἑκάστῳ βάρβαρον φῦλον, λίαν αὔθαδες καὶ δυσπειθὲς, τὸν θυμὸν λέγω καὶ τὰς

156, 16 οἷός τε] τοῦτον τὸν τρόπον addit A, glossema proximi vocabuli ταύτῃ. 17 εὐθύνει] ἢ κακίζει, αἰτιᾶται A. 30 πολεμίους A. πολέμους H.

ἀπλήστους ἐπιθυμίας, ἀντικαθήμενα γένη τῷ λογισμῷ, καθάπερ Ῥωμαίοις Σκύθαι καὶ Γερμανοί. ὥσπερ οὖν τὰ πάθη ταῦτα, ἡνίκα ἐπανίσταται τῷ βελτίονι, παντάπασι μὲν ἐξελεῖν οὔτε δυνατὸν οὔτε συμφέρον, ἃ χρείας ἕνεκεν ἡ φύσις ἐγκατέσπειρε τῇ ψυχῇ, ὑποκύπτοντα δὲ παρέχεσθαι καὶ εὐήκοα τοῖς ἐκ τοῦ νοῦ παραγγέλμασι τῆς ἀρετῆς ἔργον ἐστίν, οὕτω καὶ τῶν βασιλέων ἔργον, οἷς τοὔνομα τοῦτο ἐπαληθεύεται, ὅταν παρακινήσαντας καταλάβωσι τοὺς βαρβάρους, τὸ μὴ πρόρριζον ἐκκόπτειν παντελῶς τὸ συμπλήρωμα τῆς φύσεως τῆς ἀνθρωπίνης, ἀλλ' ἐπικόψαντας τὴν αὐθάδειαν σώζειν ἤδη καὶ περιστέλλειν, ὡς τῆς ἀρχῆς μοῖραν γεγενημένους. d

Ἔχει γὰρ οὕτως· ὅστις μὲν ἀγρείως ἐπεξειὼν ἀπανθαδιασαμένοις τοῖς βαρβάροις, οὗτος Ῥωμαίων μόνων ἑαυτὸν βασιλέα ποιεῖ, ὅστις δὲ κρατεῖ μέν, φείδεται 132 a δέ, οἶδεν ἑαυτὸν βασιλέα πάντων ἀνθρώπων, καὶ μᾶλλον ἐκείνων οὓς διετήρησε καὶ διέσωσεν, ἐξὸν ἀνελεῖν παντελῶς. ὡς ἔγωγε οὐδὲ τὸν κομψὸν Ἀγαμέμνονα φαίην ἂν λέγειν βασιλικῶς, ἐπιτιμῶντα τῷ ἀδελφῷ μαλαττομένῳ πρὸς τὸν ἱκέτην, καὶ πικρὰν οὕτως εὐχὴν καὶ ἀλλόκοτον προσευχόμενον, μηδένα τῶν Τρώων διαφυγεῖν, μηδ' ὅντινα γαστέρι μήτηρ κοῦρον ἐόντα φέρει, μηδὲ τοῦτον διαφυγεῖν, ἀλλὰ καὶ τοὺς οὔπω τεχθέντας ἀπολέσθαι πρὸ τοῦ γενέσθαι. ἀλλ', ὡς ἔοικεν, οὐκ ἦν εὐρυκρείων ἀληθινός, ἀλλ' Ἀργείων μόνων βασιλεὺς καὶ Μυκηναίων, ἀνθρώπων δὲ οὔ. καίτοι γε Ὅμηρος b ὅταν αὐτὸς ὀνομάζῃ τὸν Δία πατέρα, οὐ τῶν Ἑλλήνων μὲν λέγει πατέρα, τοὺς βαρβάρους δὲ ἐξαιρεῖται, ἀλλ' ἁπλῶς φησι πατέρα θεῶν καὶ ἀνθρώπων. ὅστις οὖν καὶ τῶν ἐπὶ γῆς βασιλέων οὐ Ῥωμαίοις μόνον ὡς πατὴρ

157, 9 παρακινήσαντας] τοὺς ἰδίους ὅρους ὑπερβάντας schol. A. 14 ἀγρείως A. ἀχρείων H. ἀγρίως Petavius. 15 τοῖς A.; τὸ τοῖς H. 23 μηδ' ὅντινα — τοῦτον διαφυγεῖν add. A. Sunt Iliad. ζ, 58. Conf. orat. XXXIV. p. 64. ed. Mai. 28 αὐτὸς] αὐτοῖς A, sed correctum a m. rec. 30 θεῶν om. A.

προσειρήκασι, ἀλλ' ἤδη καὶ Σκύθαις, οὗτός ἐστιν ὁ τοῦ Διὸς ζηλωτὴς καὶ οὗτος ὁ φιλάνθρωπος ἀτεχνῶς. τῶν δὲ ἄλλων Κῦρον μὲν φιλοπέρσην καλῶ, ἀλλ' οὐ φιλάνθρωπον, φιλομακεδόνα δὲ Ἀλέξανδρον, ἀλλ' οὐ
c φιλέλληνα, τὸν δὲ Σεβαστὸν φιλορώμαιον, ἄλλον δὲ ἄλλου γένους ἐραστὴν ἢ ἔθνους οὗ καὶ βασιλεὺς ἐνομίσθη· φιλάνθρωπος δὲ καὶ βασιλεὺς ἁπλῶς, ὃς μη-
b δένα ἀνθρώπων ὅλως ἀλλότριον τῆς ἑαυτοῦ προνοίας ποιεῖται.

Καλὸν μὲν οὖν καὶ τὸ περαιοῦσθαι τὸν Ἴστρον σὺν τῇ τοῦ πολέμου παρασκευῇ καὶ δὶς ἐφεξῆς ἀνάστατον ποιεῖσθαι τὴν πολεμίαν, σταθμοὺς τόσους καὶ τόσους ὅσους οὐδὲ πρεσβεύοντες πώποτε προελθεῖν ἐθαρρήσαμεν. ἀλλ' εἰ καὶ σεμνὰ ταῦτα καὶ γενναῖα καὶ λίαν
d ὀλίγοις ὑπάρξαντα τῶν πώποτε αὐτοκρατόρων, ἀλλ' ἔγωγε ὅταν ἐννοήσω τὴν ἡμέραν ἐκείνην ἧς ἐγενόμην αὐτόπτης, τότε μοι τῆς τε Ξέρξου σχεδίας, ἐφ' ἧς διεβίβασε σὺν τῇ στρατιᾷ τὸν Ἑλλήσποντον, φαίνεται ἀμείνων ἡ μία ναῦς, ἐφ' ἧς ὁ βασιλεὺς τὰς σπονδὰς ἐποιήσατο, καὶ τῆς γεφύρας τῆς διακομιζούσης τὸν πόλεμον ἡ διαδιδοῦσα ὁλκὰς τὴν εἰρήνην. ἐγὼ παρατάξεις μὲν οὐ τεθέαμαι Σκυθικάς, ἐκκλησίαν δὲ φόβου καὶ συνέδριον καταπλήξεως καὶ στρατηγὸν Ῥωμαίων
133 a ἐπιτάττοντα Σκυθῶν βασιλεῦσι, καὶ ἀλαλαγμοῦ μὲν οὐκ ἀκήκοα βαρβαρικοῦ, θρήνων δὲ καὶ ὀδυρμῶν καὶ δεήσεων, καὶ φωνῆς αἰχμαλώτοις μᾶλλον ἢ σπενδομένοις πρεπούσης, ὑφ' ὧν ἐπεκλάσθη τις ἂν καὶ ἀδάμαντος στερεώτερος. ἀλλὰ βασιλεὺς τῶν μὲν βαρβάρων πολλὰς ἀπέπεμψεν εἰς τοὐπίσω πρεσβείας ἀπράκτους, τὴν δὲ ἡμετέραν κατῃδέσθη. καί, ὡς ἔοικεν, ὑπὲρ Σκυθῶν ὑμεῖς ἐχειροτονήσατε φιλοσοφίαν, τὴν μόνην θείαν τε οὖσαν καὶ δίκαιον θυμὸν καταπραΰνειν.

158, 3 Κῦρον μὲν A. μὲν om. H. 12 ποιεῖσθαι A. ποιῆσαι H. 15 ἀλλ' ἔγωγε ὅταν ἐννοήσω A. ἀλλ' ὅταν ἐννοήσωμεν H. 17 τότε μοι A. τότε σοι H. 29 ἀπέπεμψεν A. ἀπέστρεψεν H. 32 θείαν] οἵαν Roulezius p. 38. δίκαιον] δικαίαν Stephanus, collato δίκαιος σωφρονισθῆναι p. 61 c.

Ὥστε μοι τότε μάλιστα ἔργον ἦν τοὺς ὑπὲρ φιλανθρωπίας λόγους ἐπαμελετᾶν καὶ δεικνύναι τῷ βασιλεῖ ὅτι [b] μᾶλλον θεῷ παραπλήσιοι τῶν ἀναιρούντων οἱ σώζοντες. μόλις μὲν οὖν καὶ χαλεπῶς, ἀλλὰ συνεπείσθη καὶ εἶξε καὶ προσωρμίσατο πλησίον σὺν εὐμενεστέρῳ τῷ σχήματι. ὁ μὲν οὖν Τρωικὸς ποταμὸς ἐκποδὼν καθίστατο Ἀχιλλεῖ κατὰ τῶν Τρώων παροξυνομένῳ, θορυβῶν τῷ ἀφρῷ καὶ τοῖς κύμασι τὸν νεανίαν· Ἴστρος δὲ ἐπὶ πολέμῳ μὲν βασιλέως περαιουμένου ἐζεύγνυτο ἄκων, σπένδεσθαι δὲ μέλλοντι συμπροεθυμεῖτο καὶ γαλήνην ἐθελοντὴς ὑπεστρώννυε ταῖς τὴν εἰρήνην πρυ- [c] τανευούσαις τριήρεσιν. ἐσάλευον μὲν οὖν ὥσπερ ἐν ὅρμῳ τῷ ῥεύθρῳ, καὶ ἔδοξας ἂν ὁρμίζεσθαι τὰς ναῦς ταῖς ἀγκύραις. εὐθὺς δὲ ἐκ προοιμίων ὅτι συνεχώρει τὰ σφέτερα αὐτοῖς καρποῦσθαι δῆλον ἐποίει, προσχωρῶν μὲν πλησίον, ἀποβῆναι δὲ μὴ θελήσας. οἱ δὲ ἐξεκέχυντο ἀγεληδὸν ἐπὶ τῆς ὄχθης ἥμεροι καὶ χειροήθεις, πλῆθος οὐ ῥητὸν ἀριθμῷ, τότε δὴ πρῶτον Ῥωμαίοις μυριάδες τοσαῦται Σκυθῶν ἄνευ φροντίδος ὁρώμεναι.

Ὦ μάκαρ Ἀτρεΐδη, μοιρηγενές, ὀλβιόδαιμον, [d]

εἶπεν ἄν τις ἀπιδὼν τηνικαῦτα εἰς ἄμφω τὰς ἠόνας τοῦ ποταμοῦ, τὴν μὲν ἀστράπτουσαν τοῖς στρατιώταις ἐν κόσμῳ τὰ δρώμενα θεωμένοις μετὰ φρονήματος καὶ ἡσυχίας, τὴν δὲ ὁμάδου γέμουσαν συμμιγοῦς ἐπὶ γῆς ἐρριμμένων τῶν ἱκετῶν. μᾶλλον δὲ εἶπεν ἄν σε καὶ τοῦ Ἀγαμέμνονος ὀλβιώτερον· ὁ μὲν γὰρ οἷς ἦγε μόνον ἐμακαρίζετο, σὺ δὲ καὶ οἷς εἶχες καὶ οἷς ξυνεχώρεις.

Ξέρξης μὲν οὖν τῆς πρὸς τοὺς Ἕλληνας ναυμαχίας [134 a] οὔτε θεατὴς ἦν ἀνδρεῖος, ἀλλ' ἐκάθητο ὑπὸ σκηνῇ χρυσῷ σκιαζόμενος ὀρόφῳ, μαλακίας μᾶλλον ἢ πλούτου

139, 5 προσωρμίσατο Stephanus. Vulgo προσωρμήσατο. 18 ῥωμαίοις A. θείοις H. 21 τηνικαῦτα om. A. 25 ἱκετῶν] οἰκετῶν A. 27 ξυνεχώρεις Monac. 113. συνεχώρεις H. 28 Ξέρξης A. Ἕτερος H. πρὸς τοὺς A. τοὺς om. H. 29 οὔτε in οὐδὲ mutandum, nisi aliquid excidit. 30 δ' μαλακίας Iacobsius.

σημεῖον, βασιλεὺς δὲ καὶ ἐν ταῖς σπονδαῖς ἐνεδείκνυτο τὴν καρτερίαν, ἣν οὐκ ἂν ἤνεγκαν οἱ Σκύθαι πολεμούμενοι, ἐφ' ἡλίῳ στὰς ἐπὶ τῆς νεώς, ἡνίκα μάλιστα ἑαυτοῦ φλογωδέστερος ἦν, ἐπὶ ταὐτοῦ σχήματος ἐξ ἕω μέχρι δείλης ὀψίας. καταστὰς δὲ ὑπὲρ τῶν δικαίων b εἰς ἀγῶνα πρὸς τοὺς βαρβάρους, νίκην ἐνίκα σεμνοτέραν καθ' ἑαυτόν, ἧς οὐδεὶς ἔτι κοινωνὸς ἦν, οὐ στρατηγός, οὐ ταξίαρχος, οὐχ ὁπλίτης. ἀλλ' ἐγὼ πάλαι μὲν τὴν ἀγχίνοιαν μόνον ἐτεθαυμάκειν, ᾗ χρώμενον εἰς τὰ πράγματα καθεώρων, καὶ φύσεως ᾤμην κατόρθωμα εἶναι αὐτοφυῆ βασιλέα δημιουργούσης. δεινότητι δὲ τοσαύτην καὶ βάθος ὁμοῦ διανοίας καὶ δρόμον ῥημάτων κεκραμένον καταπλήξει καὶ εὐμενείᾳ οὐδὲ ἐν ῥήτορι τοῦτο ἔργον ποιουμένῳ ῥᾳδίως κατεῖδον. ὥστε μοι μικρὸς ἐφαίνετο ὁ Περικλῆς καὶ ὁ τὸν Περικλέα τεθαυ- c μακώς, ὅτι καὶ θαρσοῦντας Ἀθηναίους λέγων κατέπλησσεν εἰς τὸ φοβεῖσθαι καὶ δεδιότας εἰς τὸ θαρσεῖν ἀντικαθίστη.

Αἰσθανόμεθα οὖν πρὸς τοὺς λόγους τοῦ βασιλέως τὰ αὐτὰ τῶν βαρβάρων πασχόντων, ἃ πάσχειν οὐδὲν ἦν θαυμαστὸν ὑπὸ τοῦ δεινοτάτου τῶν τότε ῥητόρων τοὺς Ἕλληνας καὶ Ἀθηναίους. καίτοι γε προήγορον εἶχον οὐδετέρᾳ ληπτόν, οὐδὲ ὥσπερ γλώττῃ βάρβαρον, οὕτω δὲ καὶ τῇ διανοίᾳ, ἀλλ' ἐν τῷ συνεῖναι μᾶλλον σοφώτερον ἢ ἐν τοῖς ὅπλοις. οὕτω γοῦν τὴν d μὲν τοῦ βασιλέως ἐπωνυμίαν ἀπαξιοῖ, τὴν τοῦ δικαστοῦ δὲ ἀγαπᾷ, ὡς ἐκεῖνο μὲν δυνάμεως πρόσρημα, τὸ δὲ σοφίας. ἀλλ' ἐφάνη δὴ τότε λίαν τοῦ δικάζειν αὐτὸ τὸ δικάζεσθαι χαλεπώτερον, καὶ διηλέγχθη γελοῖος ὁ ῥήτωρ, ὁ κριτὴς ἄριστος εἶναι πεπιστευκώς. τοσοῦτον γὰρ αὐτοῦ τῇ δεινότητι περιῆν ὥστε τὸν συνήγορον τοῖς

160, 2 ἂν ἤνεγκαν] διήνεγκαν Monac. 113. οἱ Σκύθαι add. A. 8 ταξίαρχος] ταξιάρχης Monac. 113. 22 προήγορον] προσήγορον, sed σ a m. rec. A. ἢ προσαγορεύοντα αὐτὰ καὶ δημηγοροῦντα, ἢ προσήγορον εἶχον οἱ βάρβαροι schol. A. 27 τὸ δὲ] τοδὶ δὲ Monac. 113. Leg. τόδε δή, Iacobsius. 29 διηλέγχθη] διελέχθη Monac. 113. ὁ ῥήτωρ A. ὁ om.

βαρβάροις ἀπρόσιτον ποιῆσαι καὶ καταστῆσαι τοῦ μετὰ τῶν ὅπλων ἀγῶνος τὸν διὰ τῶν λόγων αὐτῷ χαλεπώτερον. ἀλλ' ὅμως καταβαλὼν εἶτα ἀνίστη καὶ χεῖρα ὤρεγε θορυβουμένῳ καὶ φίλον ὑπὸ μάρτυσιν ἐποιεῖτο 135 a τοῖς ἀδικεῖσθαι πεπιστευκόσι. τοῦτο δὲ ἦν διαλύοντος τὴν ταραχὴν εἰς ἣν κατέστησεν. ἀπῄει οὖν λίαν ἀγαπητῶς, τοῖς ἐναντίοις πάθεσι κατειλημμένος, θαρσῶν ἅμα καὶ δεδιώς, περιφρονῶν τοὺς ἀρχομένους καὶ ὑφορώμενος, οἷς μὲν διηλέγχθη, καταπεπτωκὼς τὴν ψυχήν, οἷς δὲ ἔτυχε τῶν σπονδῶν, ἀπαυθαδιαζόμενος. ἦν οὖν θέαμα ἰδεῖν ἄπιστον καὶ διὰ πολλοῦ συμβεβηκός, διδόντας τὴν εἰρήνην Ῥωμαίους, οὐκ ὠνουμένους. οὐδεὶς εἶδε χρυσίον ἀπαριθμούμενον τοῖς βαρβάροις, οὐκ ἀργύρου τάλαντα τόσα καὶ τόσα, οὐκ ἐσθῆτος ναῦς γεμιζομένας, b οὐχ ἃ πρότερον ὑπομένοντες διετελοῦμεν, βαρυτέραν τῶν καταδρομῶν ἐκκαρπούμενοι τὴν ἡσυχίαν καὶ φόρον ἐτήσιον φέροντες, οὗ τὸ ἔργον οὐκ αἰσχυνόμενοι τοὔνομα ἐξηρνούμεθα. βασιλεὺς δὲ καίτοι μεγαλοδωρότατος ὤν, ὅμως τηνικαῦτα οὐκ ᾐσχύνθη φειδωλότατος νομισθῆναι, ὅς γε καὶ τὸ σύνηθες αὐτῶν σιτηρέσιον παρῃρεῖτο, καὶ ἀντὶ τῶν τοσῶνδε τῶν πρότερον κομιζομένων μόλις ἑνὶ συνεχώρει τῷ πρὸς τὴν γλῶτταν διακονοῦντι, ὡς οὐδὲν μᾶλλον τοῦ ἔργου Σκύθαις ἢ Ῥωμαίοις c προσήκοντος. οὕτω δὲ διὰ πάντων ἐφιλονείκησε δῆλον ποιῆσαι οὐκ ἀγαπήσας αὐτὸς τὴν εἰρήνην, ἀλλὰ φεισάμενος τῶν βαρβάρων, ὥστε οὐδὲ τὰς ἐμπορίας αὐτοῖς οὐδὲ τὰς ἀγορὰς, ἃς ἐπὶ τῆς προτέρας εἰρήνης ἐπ' ἀδείας εἶχον ὅποι βούλοιντο ποιεῖσθαι, νῦν ἐπ' ἐξουσίας ἔχειν ἀφῆκεν.

Ἀλλὰ καίτοι τοῦ κέρδους ὑπάρχοντος κοινοῦ τοῖς ἔθνεσιν ἀμφοτέροις ἐκ τῆς ἀμοιβῆς τῶν ἐν χρείᾳ συναλλαγμάτων, δύο μόνας πόλεις τῶν ποταμῷ προσῳκισμένων d ἐμπόρια κατεσκευάσατο. τοῦτο δὲ ἦν ἅμα μὲν

161, 2 τῶν ὅπλων A. τοῦ ὅπλ. M. 8 δεδιὼς A. δεδοικὼς M. 14 ἐσθῆτος] ἐσθῆς (sic) A. 17 οὗ] καὶ A. 20 παρῃρεῖτο] παρῄρειτο A. 22 ποταμῷ] ποταμῶν A.

σημεῖον τοῦ πάντα ἐπιτάττοντα τοῖς βαρβάροις τὰς σπονδὰς ποιεῖσθαι, ἅμα δὲ πρόνοια τοῦ κακουργοῦντας ἧττον λανθάνειν, ἀποκεκλεισμένης αὐτοῖς εἰς τὰ ὡρισμένα χωρία τῆς ἐπιμιξίας. γινώσκει γάρ, οἶμαι, σώζειν τοὺς βαρβάρους δυνάμεως ἔχων, τὴν φύσιν δὲ αὐτῶν ἀμείβειν οὐχ οἷός τε ὤν· ὥστε ἀφῄρητο αὐτῶν τὴν ῥᾳστώνην τῆς ἀπιστίας. διὰ τοῦτο γὰρ καὶ τῶν φρουρίων
136 a τὰ μὲν ᾠκοδόμησεν ἐκ καινῆς, τὰ δὲ ἀνέστησε κατατετριμμένα, τοῖς δὲ προσέθηκε τὸ ἐνδέον, ὕψους μὲν ᾗ χθαμαλώτερον ἦν, πάχους δὲ ὅπου τούτου προσέδει, ὕδατος δὲ ἀφθονίαν, ᾗ ταύτῃ πρότερον ἐπιέζετο, τροφῶν δὲ θησαυροὺς ἁπανταχοῦ καὶ λιμένας τῆς γειτνιώσης θαλάσσης, καὶ στρατιώτας ἐκ καταλόγου, καὶ φρουροὺς τὸν ἀριθμὸν οὐ ψευδομένους, καὶ ὅπλα καὶ βέλη καὶ μηχανήματα, ἅπαντα εἰς τὸ ἔσχατον ἐξητασμένα. τέως μὲν γὰρ ἐκ τῆς περὶ τὰς φρουρὰς ὀλιγωρήσεως ἐπεπιστεύκεισαν οἱ πολέμιοι ἐπ' αὐταῖς ἀτεχνῶς κεῖσθαι
b καὶ τὸν πόλεμον καὶ τὴν εἰρήνην, ὁρῶντες τοὺς μὲν στρατιώτας οὐ μόνον ἀνόπλους, ἀλλὰ καὶ ἀχίτωνας τοὺς πολλούς, καὶ ταῖς ψυχαῖς καὶ τοῖς σώμασι καταπεπτωκότας· φρουράρχας δὲ καὶ ταξιάρχας ἐμπόρους μᾶλλον καὶ τῶν ἀνδραπόδων καπήλους, οἷς τοῦτο μόνον ἔργον προσέκειτο, πλεῖστα μὲν ὠνήσασθαι, πλεῖστα δὲ καὶ ἀπεμπολῆσαι· τῶν φυλάκων δὲ ἐλαττοῦσθαι τὸν ἀριθμόν, ὅπως ἂν γίνοιτο κέρδος αὐτοῖς ἡ μισθοφορὰ τῶν ἐκλειπόντων· ταῦτα δὲ τὰ φρούρια κατερρυηκότα,
c γυμνὰ καὶ ἀνθρώπων καὶ ὅπλων. ταῦτ' οὖν ὁρῶντες οὐκ ἀπεικότως ἐφρόνουν ἑαυτοὺς εἶναι ἀμείνονας τῶν ἐκδρομῶν, κἂν ἄρα δοκῇ τὸν ἐκ τοῦ προφανοῦς πόλεμον τέως δυσωπεῖσθαι, ἀλλὰ τό γε κλωπεύειν αὐτοῖς ἐπ' ἀδείας καθεστηκέναι. διεσπείροντο οὖν ἁπανταχόσε τῆς ὄχθης οὐ καθ' ἕνα καὶ δύο μόνον, ἀλλ' ἤδη καὶ κατὰ λόχους καὶ οὐλαμούς, λῃσταὶ δῆθεν, οὐ στρατιῶ-

---

162, 1 τοῦ πάντα Monac. 113. τὰ πάντα H. 5 δυνάμεως] ἱκανῶς Petavius. δυνάμεως εὖ Iacobsius apud Goellerum p. 269. 28 ἀμείνονας τῶν A. ἀμείνους αὐτῶν H.

καὶ, φύρια τὰ λάφυρα ὀνομάζοντες. ἀλλ' οὐ νῦν, ἀλλ'
ἄνωθεν μέχρι θαλάττης δόξαις ἂν τεῖχος ἀδαμάντινον
ἐληλάσθαι· τοιούτῳ καταπεπύκνωται χαρακώματι φρου-
ρίων, ὅπλων, στρατιωτῶν. d

Ἵνα γὰρ τἆλλα παρῶ, ἓν ἐξαρκεῖ τεκμήριον ἐκλο-
γίσασθαι τῆς περὶ ταῦτα ἐπιμελείας. ἐρῶ δὲ οὐκ ἀκοὴν
ἀλλοτρίαν, ἀλλ' ὧν αὐτὸς γέγονα θεατής. ἴστε δήπου
τοῦτο ὅσοι γεγόνατε ἐπὶ τῆς χώρας ἐκείνης, ἣ καλλίστη
μέν ἐστι τῆς Σκυθικῆς τῆς ὑπηκόου, ἥκιστα δὲ ἀσφα-
λὴς πρὸς τοὺς βαρβάρους, οὐ καθαροῦ διαρρέοντος αὐ-
τὴν τοῦ ποταμοῦ, ἀλλ' ἀναπεφυρμένου τῇ γῇ, καὶ τενά-
γους κόλπον ποιοῦντος εἰσέχοντα ἐπιπολὺ τῆς ἠπείρου, 187 a
οὔτε ναυσὶν ὄντα πλωτὸν οὔτε βατὸν πορευσίμοις. αὕτη
τοίνυν ἡ χώρα τέως μὲν ὁρμητήριον καθειστήκει ταῖς
ἐκδρομαῖς τῶν πολεμίων, στρατῷ μὲν ἀθρόῳ καὶ προ-
φανεῖ μὴ θαρρούντων διὰ τὸ πρόσχημα τῆς εἰρήνης,
κλωπείας δὲ καὶ κακουργίας ἐν τοῖς μονήρεσι πλοίοις
ποιούμενοι καὶ ναυλοχοῦντες περὶ τὰς νησῖδας ἐνέπιπτον
ἐξαίφνης τοῖς προσοικοῦσιν. εἶτα ἐν ὅσῳ συνησθάνοντο
οἱ φρουροὶ πόρρωθεν ἀλλήλων ἀφεστηκότες, καταδρα-
μόντες ὅσα οἷόν τε ἦν ἐγκατιδύοντο τῷ ποταμῷ, τοὐν- b
τεῦθεν δὲ ἄπορον ἦν τὸ διώκειν, μήτε πλεῖν μήτε βα-
δίζειν συγχωροῦντος αὐτοῖς τοῦ τενάγους. καὶ τὸ πρᾶγμα
οὐκ ἦν ἀνεκτὸν, ἐν ὀφθαλμοῖς λεηλατεῖσθαι ἀμηχα-
νοῦντας πρὸς τὴν τιμωρίαν. ἀλλ' ὁ βασιλεὺς οὔτε πρὸς
τὴν φύσιν τοῦ τόπου δυσμήχανος ἦν, ἀλλ' ἐξευρὼν τῆς
γῆς ἐκείνης λεπτὴν ταινίαν ἐς τὸ τέναγος προσιοῦσαν
καὶ τελευτῶσαν εἰς ὄχθον ὑψηλὸν, ἐξ οὗ πᾶν τὸ πέριξ
ἄποπτον ἦν, ἐπετείχισε φρούριον ἐκ καινῆς, ἀμυδροῖς
τείχεσιν ἀκολουθήσας, ἃ τῶν πρότερον τις αὐτοκρατό- c
ρων διὰ μὲν τὸ χρήσιμον κατεβάλετο, πρὸς δὲ τὴν δυσ-
χέρειαν ἀπεῖπεν. ὅπου γὰρ οὐ λίθος πλησίον, οὐ πλίν-

163, 1 φύρια τὰ] τὰ φύρια Iacobsius. 10 οὐ καθαροῦ Iacobsius ad Ach. Tat. p. 725. οὐκάθρου codex Monac. 113. Vulgo οὐκ ἄθρου. 21 οἷόν τε ἦν Harduinus. Vulgo τε ἦν οἷον.

θὸς ὀπτή, οὐ κονία μετὰ ῥᾳστώνης, ἀλλὰ συναγαγεῖν
ἅπαντα χρὴ σταδίους τόσους καὶ τόσους μυριάσιν ὑπο-
ζυγίων, τίς οὐκ ἂν συνέγνω τοῖς ἀποστᾶσιν ὡς ἀμη-
χάνου τῆς ἐπινοίας; βασιλεὺς δὲ ἐνίκα τὴν Ἀμφίονος μου-
σικήν, ἣν ἐκεῖνος εἰς τὸν τειχισμὸν τῶν Θηβῶν ἐνεδείξατο.
εἶπες ἂν αὐτομάτους μὲν φέρεσθαι τοὺς λίθους, αὐτο-
d μάτην δὲ τὴν πλίνθον, τεκτόνων δὲ ἄνευ καὶ λιθολό-
γων ἀνιέναι τὸ ἐπιτείχισμα· τοσαύτη μὲν ἡ τῶν στρα-
τιωτῶν εὐπείθεια, τοσαύτη δὲ ἡ τῶν χαλεπῶν εὐκολία.
καταινείμας γὰρ εἰς ἅπαντας τὴν φροντίδα καὶ μηδὲν
μέρος συγχωρήσας τῆς στρατιᾶς ὑπὲρ δύναμιν πιεσθῆ-
ναι, ἀλλ' ὥσπερ φορτίον τὸ ἔργον εἰς μικρὰ διελών,
οὐκ εἴασεν οὐδ' ὁντιναοῦν αἰσθέσθαι τοῦ ἄχθους, τῷ
138 a πάντας μερίτας ποιῆσαι, καὶ πρῶτόν γε ἑαυτὸν ἐκ τοῦ
πλείονος. ἆρα πιστεύσαιτε ἄν μοι ὅτι μηδὲ τῶν κατευ-
ναστῶν ἀπέσχετο μηδὲ τῶν προχοΐτων, ἀλλὰ κἀκεῖνοι
συνεισήνεγκαν μέτρον ὡρισμένον κεράμου συντετριμμένου;
ἐγὼ δὲ τέως ἐθαύμαζον τὸν Ἀλκίφρονος Δημοσθένην
τοῦ προτειχίσματος τῆς Σφακτηρίας, ὅτι τοῖς στρατιώ-
ταις οὕτως ἐχρήσατο εὐηκόοις ὥστε δι' ἀπορίαν σκευῶν
τὸν πηλὸν φέρειν ἐπὶ τῶν νώτων ὀπίσω τὼ χεῖρε συμ-
πλέκοντας, ἀνθρώπους οὐ πλείους ἢ χιλίους, καὶ τού-
τους ἐρέτας μᾶλλον ἢ ὁπλίτας, ὑπὸ χειμῶνος ἀπειλημ-
b μένους, θριγκίον, οὐ τεῖχος κατασκευάζοντας. ὅπου δὲ
ταξίαρχοι καὶ στρατηγοὶ ἀχθοφορεῖν οὐ παρῃτοῦντο,
πῶς ἄν τις ἀγάσαιτο πρὸς ἀξίαν ἢ τὸν παιδεύσαντα
οὕτως ἢ τοὺς οὕτω πεπαιδευμένους;

Καὶ νῦν παρατέταται μὲν ἡ εἰρήνη διὰ πάντων
σχεδὸν τῶν μεθορίων, παρατέταται δὲ ἡ τοῦ πολέμου
παρασκευή. οἶδε γὰρ βασιλεὺς ὡς ἐκεῖνοι μάλιστα ἀλη-
θεύουσιν ὅσοι μάλιστά εἰσι πρὸς τὸν πόλεμον ηὐτρεπι-
σμένοι· γέμει δὲ ἡ μὲν ὄχθη φρουρίων, τὰ δὲ φρούρια

164, 15 πιστεύσαιτε] Vulgo πιστεύσητε. 16 τῶν προχοΐ-
των A. τῶν om. H. 18 Ἀλκίφρονος] Immo Ἀλκισθένους.
24 θριγκίον] θριγγίον Monac. 113. 31 μάλιστά εἰσι
add. A.

στρατιωτῶν, οἱ στρατιῶται δὲ ὅπλων, τὰ δὲ ὅπλα κάλλους ἅμα καὶ ἀσφαλείας. καὶ τρυφὴ μὲν ἐξελήλαται τῶν καταλόγων, περιουσία δὲ ἀντεισῆκται τῶν ἀναγκαίων, δι' ἣν οἱ φρουροῦντες οὐκ ἀναγκάζονται ἀντὶ c
τῶν βαρβάρων πολεμεῖν τοῖς ὑπηκόοις, κἀκείνων μὲν ἀπέχεσθαι διὰ τὰς σπονδάς, φέρειν δὲ καὶ ἄγειν τοὺς γεωργοῦντας διὰ τὴν ἔνδειαν, ἀλλ' ἀντέστραπται οὐκ οἶδ' ὅπως τοῖς στρατιώταις πρὸς τὴν εἰωθυῖαν τάξιν ὁ φόβος καὶ ἡ θρασύτης. καταφρονοῦσι μὲν γὰρ τῶν βαρβάρων, ὑπερδεδοίκασι δὲ τοὺς γεωργούς. καὶ τὸ παρ' ἐκείνων μέμψιν ὑπομεῖναι φοβερώτερον αὐτοῖς ἢ μυριάδας Σκυθῶν ἐπιοῦσαι. οὕτω καὶ ἔξωθεν καὶ ἔνδοθεν ἡμᾶς εἰρήνη κατέχει, τοὺς πολεμίους μὲν ὁ τῶν ὅπλων φόβος, τοὺς στρατιώτας δὲ ὁ τῶν νόμων. εἴργει δὲ Σκύθας Ῥωμαίων οὐ ποταμός, οὐ τέναγος, οὐ θριγκία· ταῦτα μὲν γὰρ ἄν τις καὶ διακόψειε καὶ διαπλεύσειε καὶ ὑπερβαίη· ἀλλὰ φόβος, ὃν οὐδεὶς πώποτε ὑπερέβη καταδεέστερον εἶναι πεπιστευκώς. καὶ τρόπαιον ἕστηκε ταύτης τῆς νίκης οὐκ ἐκ λίθου πεποιημένον οὐδὲ χαλκοῦν ἢ χρυσοῦν πεπηγὸς ἐφ' ἑνὸς χωρίου, ἀλλ' ἅπασι 139 a
μὲν βαρβάροις, ἅπασι δὲ Ῥωμαίοις ἐνδιαιτώμενον· καὶ τοῦτο ἀνέστησε βασιλεὺς οὐ πλήθει φόνων καὶ τραυμάτων οὐδὲ σωροῖς νεκρῶν ἀδιηγήτων, ἀλλὰ μόνῃ τῇ προσεδρίᾳ καὶ τῇ καρτερίᾳ.

Ἦν τις ἐπὶ τῶν προγόνων τῶν ἡμετέρων πύκτης ἀνήρ, Μελαγκόμας ὄνομα αὐτῷ, κάλλιστός τε καὶ μέγιστος καὶ τὴν τέχνην εὐδοκιμώτατος, οὗ καὶ τὸν Τίτον φασὶν ἐραστὴν γενέσθαι τὸν αὐτοκράτορα. οὗτος οὐδένα πώποτε τρώσας οὐδὲ πατάξας μόνῃ τῇ στάσει καὶ τῇ τῶν χειρῶν ἀνατάσει πάντας ἀπέκαμνε τοὺς ἀντιπάλους. ἀπῄεσαν οὖν τῇ μὲν φειδοῖ χαίροντες, τῆς δὲ b
παρασκευῆς ἡττημένοι. τοῦτο καὶ πρὸς τὸν βασιλέα νῦν πεπόνθασιν οἱ πολέμιοι. νενίκηνται γὰρ ἄνευ τοῦ

165, 16 θριγκία] Vulgo θριγγία. Conf. p. 164, 24.
18 καταδεέστερον A, καταδεέστερα H, καταδεέστερος Stephanus.
26 Μελαγκόμας] „Conf. Dion. orat. de Melanc. XXVIII. et XXIX." Iacobsius. 33 ἄνευ τοῦ παρατάξασθαι A. ἄνευ παρατάξεως H.

παρατάξασθαι καὶ πεπτώκασιν ἄνευ τοῦ στῆναι. οὐ
γὰρ τοῖς σώμασιν ἥττηνται οὐδὲ τοῖς ὅπλοις, ὑφ᾽ ὧν
καὶ οἱ βελτίους πολλάκις ἐλαττοῦνται τῶν φαυλοτέρων,
ἀλλὰ τῇ γνώμῃ καὶ τῇ διανοίᾳ καὶ τῷ πολὺ χείρους
εἶναι πεισθῆναι. οὔκουν περίεστιν αὐτοῖς ἢ κλέμμα
στρατηγῶν αἰτιάσασθαι ἢ ἐνέδραν ἢ δυσχωρίαν ἢ τὸ
c ἀδοκήτοις ἐπιπεσεῖν, ἃ δίδωσιν ἐλπίδα τοῖς ἡττημένοις
τοῦ πάλιν ἐκ τῆς ἥσσης ἀναμαχέσασθαι, ἀλλὰ καὶ χρό-
νον προσλαβόντες εἰς παρασκευὴν καὶ πόλεμον νόμιμον
καὶ προφανῆ πολεμούμενοι οὐχ ἤνεγκαν τὴν προβολὴν
τοῦ βασιλέως, ἣν προβαλλόμενος ἐν τρισὶν ὅλοις ἐνιαυ-
τοῖς ἀπειπεῖν ἠνάγκασε τοὺς δειλαίους, ἐν οἷς οὔτε
χειμῶνος ἀντεπελθεῖν οὔτε θέρους ἀντιστῆναι τολμή-
σαντες δὶς καθ᾽ ἕκαστον ἔτος ἡττῶντο.

Καὶ νῦν περίεστιν ἡμῖν οὐ τοὺς νεκροὺς ἀριθμεῖν,
ὅσων κρείττους γεγόναμεν, ἀλλὰ τοὺς ζῶντας, οὐδὲ
d κεκρατηκέναι μέν, οὓς δὲ ἐκρατήσαμεν μὴ ἔχειν. οὕτω
γίνονται κρείττους ἄνθρωποι ἀνθρώπων, ἐκείνως δὲ
ἄρκτων καὶ συῶν καὶ παρδάλεων. καίτοι γε ἐκείνων
σπέρμα κυνηγετοῦντες ὑπολιμπάνομεν, ὁ δ᾽ ἐξαιρῶν
παντελῶς ἀλιτήριος τῆς ἄγρας νομίζεται. εἶτα θηρίων
μὲν τῶν ἀγριωτάτων, ἃ διείργει πρὸς ἡμᾶς οὐχ Ἴστρος
οὐδὲ Ῥῆνος, ἀλλ᾽ ἡ φύσις αὐτή, φειδὼ ποιούμεθα,
140 a ὅπως ἂν τῷ γένει σώζοιτο καὶ διαμένοι, καὶ δυσχε-
ραίνομεν ἐξῃρημένων ἐκ Λιβύης μὲν ἐλεφάντων, ἐκ
Θετταλίας δὲ λεόντων, ἐκ δὲ τῶν ἑλῶν τῶν περὶ τὸν
Νεῖλον τῶν ἵππων τῶν ποταμίων, ἔθνος δὲ ἀνθρώπων,
καὶ εἰ πάνυ φαίη τις βαρβάρων, ἀλλὰ ἀνθρώπων,
ἐπτηχός, ὑποκῦπτον, ἐφ᾽ ἡμῶν κεῖσθαι ὁμολογοῦν, οὐ
θαυμασόμεθα τὸν μὴ παντελῶς ἐξελόντα, ἀλλὰ περι-
ποιήσαντα καὶ φεισάμενον;

Ἀναμιμνήσκομαι δὲ ὅτι τῶν παλαιῶν αὐτοκρατό-
b ρων ὁ μέν τις Ἀχαϊκὸς ἐπεκλήθη, ὅτι τὴν Ἑλλάδα

166, 8 ἥσσης] Vulgo ἴσης. „Codices Ambrosiani habent ἥσ-
σης: alter in margine γρ. ἴσης, ἤγουν μοίρας.“ Wyttenbach. ad
Iulian. II. p. 24. 10 προβολὴν] προσβολὴν A.

ἀνάστατον ἐποίησε, Μακεδονικὸς δέ τις ἕτερος, ὅτι τὴν Μακεδονίαν ἔρημον καὶ ἀοίκητον, Σκηπίων δὲ ὁ μέγας ἐκεῖνος ὁ τοῦ πάνυ Σκηπίωνος υἱιδοῦς τὸν Ἀφρικανὸν ἐκτήσατο ἐπώνυμον παρὰ τοῦ δήμου καὶ τῆς γερουσίας, ὅτι Καρχηδόνα ἀπειποῦσαν καὶ παντελῶς ἐκτετρυχωμένην εἰς ἔδαφος κατήρραξε καὶ ἠφάνισεν. εἰ δὲ ἐξ ὧν ἀπώλλυον οὕτως τὰς ἐπικλήσεις ἐκομίζοντο δικαίως, πολλῷ σὺ δικαιότερον ἂν ἐξ ὧν περιεποίησας ὀνομάζοιο. οὕτω γὰρ καὶ τοὺς θεούς, οἶμαι, καλοῦμεν, τὸν μὲν Δία Πελασγικόν, Ἀμυκλαῖον δὲ τὸν Ἀπόλλωνα, Κυλ- c λήνιον δὲ τὸν Ἑρμῆν, ἐξ ὧν μάλιστα ἀγαπῶσι χωρίων καὶ ἃ μάλιστα διασώζουσι. τίνα οὖν ἐπικαλεῖσθαι μάλιστα Γοτθικὸν προσήκει; δι' ὃν εἰσι Γότθοι καὶ σώζονται, ἢ δι' ὃν οὐκέτ' ἂν ἦσαν, εἰ προείλετο; Πύρρος ἦν Ἠπειρωτῶν βασιλεύς, πολλὰ μὲν Μακεδόσι, πολλὰ δὲ Ἕλλησιν ἐνοχλήσας, τὰ δὲ τελευταῖα καὶ Ῥωμαίοις παρασχὼν πράγματα· οὗτος πολλῶν κρατήσας πολλάκις οὐδεπώποτε ἠγάπησε τὰ παρόντα, ἀλλ' ὧν οὔπω κύριος ἦν μόνα ἑώρα. συνέβη τοίνυν αὐτῷ πολέμους d ἐκ πολέμων ἀλλαττομένῳ ἐν τῷ νικᾶν ἀναλωθῆναι, καὶ οὐδὲν ὤνησε Κινέας πόρρωθεν αὐτοῦ τὴν ἀπληστίαν ἐπιρραπίζων, ὅτι τῶν πολλῶν καὶ ἀνηνύτων κινδύνων ἐκείνων τὸ πέρας ὁ κώθων ἐστίν, ὅταν εὐπραγήσῃ, οὗ καὶ νῦν ἔξεστιν οἴκοι καθημένῳ καὶ ἣν παρέλαβεν ἀρχὴν διασώζοντι ἀπολαύειν μετὰ ἀσφαλείας.

Ἀλλ' οὐχ ἵστησι τοὺς ἀεὶ τοῦ πλείονος ὀρεγομένους πέρας οὐδέν, οὐδὲ ὅρος οὐδείς, οὐδ' ἂν πέλαγος 141 a εἴπῃς Ἀτλαντικόν. οἷς γὰρ οὐ πέπηγεν ὅρος ἐν τῇ ψυχῇ, οὐδὲ ἐν τῇ γῇ. πολεμοῦσι δὲ τὴν ἑαυτῶν ἐμπιπλάντες ἐπιθυμίαν, οὐ τοῦ κοινῇ συμφέροντος προνοούμενοι. ἀλλ' οὐ βασιλεύς, ἀλλ' ἄχρι τούτου χαλεπὸς καὶ ἀπαραίτητος ἄχρι ἂν τὸ κοινὸν ὕποπτον ᾖ, τούτου δὲ αὐτῷ εὖ τιθεμένου τὰ λοιπὰ εἶναι δοκεῖ περιττὴ

167, 23 ὁ κώθων A et Monac. 113. οἴκοθεν H. „Vide Plutarchi Vit. Pyrrhi c. 14." Iacobsius. 32 ἄχρι ἂν] Vulgo ἄχρις ἄν.

φιλοτιμία. ἀλλὰ τὰ μὲν πρὸς τοὺς βαρβάρους εὖ ἔχει b καὶ ἕξει, σὺ δέ μοι τὴν εἰρήνην τοῖς ὑπηκόοις ἔγκαρπον ποίει καὶ ἐνεργόν, καὶ χωρείτω διὰ πάσης, ὡς ἔπος εἰπεῖν, τῆς ἀρχῆς. ἄκουε γὰρ Πλάτωνος τοῦ θεσπεσίου, ὅτι μήτε Κῦρος μήτε Δαρεῖος βασιλεὺς ἦν· πολλῷ δὲ μᾶλλον τὸν Ἀλέξανδρον οὐκ ἂν ἔφη. ἐοίκασι γὰρ ἅπαντες οὗτοι καθάπερ σώματος τῆς ἀρχῆς ὅπως μὲν τοῖς ἔξωθεν καλὸν φανήσεται προϊδεῖν, ὅπως δὲ καὶ ἔνδοθεν ὑγιαίνοι μὴ φροντίσαι. καὶ δῆτα συμβέβηκεν αὐτοῖς στρατηγοῖς μὲν γενέσθαι, βασιλεῦσι δὲ c μή. ἔστι δὲ στρατηγίας μὲν ἔπαινος ἡ τῶν πολεμίων καταστροφή, βασιλείας δὲ ἡ τῶν ὑπηκόων εὐδαιμονία.

168, 3 χωρείτω A. πορείτω H. 8 τοῖς ἔξωθεν A. τὸ ἔξωθεν H. καλὸν add. A.

XI.

ΔΕΚΕΤΗΡΙΚΟΣ Η ΠΕΡΙ ΤΩΝ ΠΡΕΠΟΝΤΩΝ ΤΩΙ ΒΑΣΙΛΕΙ.

———

Ἆρα ὥσπερ στέφανοι καὶ ὑφάσματα ἐξήρηται ὑπὸ τῶν d ἀνθρώπων ἃ βασιλεῖ μόνῳ δορυφορεῖν τάττει ὁ νόμος, ἰδιώτῃ δὲ οὐ θέμις, ἀλλὰ χαλεπαίνει ἡ πολιτεία, εἴ τις ἐγχειροίη ἢ χλαῖναν καθ᾽ Ὅμηρον πορφυρέην, ἢ λιθοκολλήτους ζωστῆρας ἄλλῳ τινὶ καὶ μὴ ἐκείνῳ μόνῳ ἐργάζεσθαι,

Ὧι λαοί τ᾽ ἐπιτετράφαται καὶ τόσσα μέμηλε,

καὶ τέτακται αὐτοῦ ὥσπερ σύμβολα ἱερὰ καὶ κόσμος 142 a ἄθικτος καὶ ἀνέπαφος τοῖς ἀρχομένοις, οὕτω δὲ ἄρα καὶ λόγοι τινές εἰσιν ἐκ τῶν λόγων, οὓς μόνῳ βασιλεῖ προσοιστέον καὶ μόνῳ ἀπαρκτέον καὶ μόνῳ ἀποθυτέον, ὥσπερ ἱερῶν τῷ Διί, ἐξ ὧν οὐ θέμις ἄλλῳ θεῷ ἱερουργῆσαι; ἢ τὸ μὲν σῶμα αὐτοῦ κόσμον ἕξει ἀποκρινόμενον καὶ τέχνας τὸν κόσμον τοῦτον ἐργαζομένας, καὶ παρακολουθοῦσιν αὐτῷ ὑφάνται καὶ χρυσοχόοι καὶ σκυτοτόμοι καὶ ἀκεσταί, ὧν οὐκ ἄν τις ἀξιώσειεν ἄλλῳ ἐπιτάττοντι ὑποϋργήσειν, ἀλλ᾽ ἄκοινος αὐτοῖς καὶ ἀπόρρητος b πρὸς τοὺς πολλοὺς ἡ τῶν ἔργων παρασκευή, ἡ ψυχὴ δὲ οὐχ ἕξει κόσμον οἰκεῖον οὐδ᾽ ἐπιστήμην τοῦ κόσμου τούτου ὑψοῦ ὁρῶσαν, ἀλλὰ θεραπεύσουσιν αὐτὴν αἱ χαμαὶ ἐρχόμεναι καὶ ἐν τῷ πάτῳ τῶν πολλῶν ἀνθρώπων καὶ προτείνουσαι τὰ ἔργα τὰ αὐτῶν ὁμοίως πᾶσι τοῖς δεομένοις, ὥσπερ αἱ τὰ σιτία τε καὶ τὰ ποτὰ

———

169, 16 ἐργαζομένας A. ὑπεργαζομένας H. 19 ἐπιτάττοντι ὑπουργήσειν A: ἐπιτάττειν ὑπουργεῖν H. Sic ἀμπεχόνας ἐπιτρέψειν p. 210 a.

ἀλλαττόμεναι παντὶ τῷ διδόντι ἀργύριον ἐν τοῖς δημοσίοις πωλητηρίοις;

Εἰ μὲν δὴ ἅπασαι αἱ τέχναι τῶν λόγων βάναυσοί
c τέ εἰσι καὶ φιλοψευδεῖς καὶ φορτικαί, οὐκ ἂν εἴη τῇ ψυχῇ τῇ βασιλίδι κόσμος οἰκεῖος, ἀλλὰ πάντες ὑποδεεῖς καὶ ἀνάρμοστοι. εἰ δέ τις καὶ λόγων τέχνη ἐστὶν ἀρχική τε καὶ ἐλευθέρα καὶ ἕπονται αὐτῇ αἱ λοιπαὶ ὥσπερ βασιλίδι, αἱ μὲν ἐγγυτέρω δορυφοροῦσαι, αἱ δὲ πορρωτέρω, ταύτης ἂν εἴη τοῦτο ἔργον, λέγω δ' ὁ κόσμος τῆς βασιλίδος ψυχῆς καὶ θεραπεία. μόνη γὰρ αὐτῇ οἷόν τε καὶ ἰδεῖν τὴν ψυχὴν ταύτην καὶ ἐρευνῆσαι καὶ μὴ στῆναι ἄχρι τῶν προθύρων καὶ παραπετασμάτων, ἀλλ' ἐνδῦναι εἰς τὸ βάθος καὶ ἐφικέσθαι τῆς καταγωγῆς, ἐν ᾗ κατασκηνοῖ ὁ ἀληθινὸς βασιλεύς, καὶ
d οὐκ ἐκπλήττουσιν αὐτὴν οἱ ἔξω δορυφόροι καὶ ῥαβδοφόροι οὐδὲ ἡ πολλὴ περὶ τὰ βασίλεια ἡσυχία, ἀλλὰ τὸν εἴσω θρόνον ἐπιζητεῖ καὶ τὰ ἐν τῇ γνώμῃ βασίλεια, καὶ εἰ ἐκεῖ ἔνεστιν ἡσυχία καὶ εἰ ἐκεῖ ἐφεστήκασι δορυφόροι, μὴ ἐῶντες εἰσφοιτᾶν τὸν πολὺν συρφετόν. γένος γὰρ τῇ ἐπιστήμῃ ταύτῃ ἔνεστιν, οὐκ ἔνθεν ποθὲν ἀπὸ
143a τῆς γῆς, ἀλλ' ἄνωθεν ἐκ τοῦ οὐρανοῦ καὶ τῆς τοῦ Διὸς ἀρχῆς τοῦ πάντων πατέρος καὶ βασιλέως· οὗ γέννημα ἱερὸν καὶ εἰκὼν ἡ ἐπὶ τῆς γῆς βασιλεία. ἅτε οὖν ἀεὶ περὶ τὸ ἀρχέτυπον τεταμένη αὕτη ἡ τέχνη καὶ τὴν εἰκόνα οὐ χαλεπῶς γνωρίζει καὶ ἐξετάζει. εἰκὼν δὲ ἐκείνου τοῦ ἀρχετύπου οὐχ ὁ τῷ μεγέθει ὑπερφέρων οὐδὲ ὁ τῷ κάλλει τοῦ σώματος, ἀλλ' οὐδὲ ὅστις ποδωκέστατος, οὐδὲ ὅστις βάλλειν ἐπισκοπώτατος· ταῦτα γὰρ καὶ Καμβύσῃ ὑπῆρχε τῷ μαινομένῳ καὶ Ξέρξῃ τῷ ἀλαζόνι· ἀλλ' ὅστις τὴν γνώμην θεοειδὴς καὶ διοτρεφὴς καὶ Διὶ
b μῆτιν ἀτάλαντος. ὁ γὰρ τοιοῦτος ὑπὸ θάρσους καὶ τοῦ εἰδέναι ὅτι κόσμος ἀποχρῶν αὐτῷ ἡ ἀλήθεια ἀγαπᾷ μὲν καὶ τὰς ἄλλας τέχνας τῶν λόγων, προσκαλεῖται δὲ ἐκείνην μόνην, ἧς ἐπίσταται τὸ ψεῦδος πορρωτάτω

170, 10 βασιλίδος] βασιλέως A. 19 εἰσφοιτῶν A. εἰσφοιτᾶν H. 23 ἄει οὖν ἀεὶ A. ἀεὶ οὖν H.

ἀπῳκισμένου, καὶ ταύτην μόνην οὐκ ἀποκνεῖ εἰσπράττεσθαι, οἷόν τινα ἐτήσιον τοῦ ἔργου εἰσφοράν. ἀλλὰ καὶ μελλούσης οὐ καρτερεῖ καὶ εὐλαβουμένης οὐ ξυγχωρεῖ καὶ χρόνον αἰτούσης εἰς τὴν παρασκευὴν οὐκ ἀνέχεται. καὶ ἔστι μὲν δὴ ἀτεχνῶς λόγος ἔργου σκιή· ὁ δὲ καὶ μᾶλλον αὐτὸν ποιεῖ σκιάν, ἐπείγων τε καὶ ἐπαναγκάζων. c

Καὶ μὴ δυσχεράνητε πρὸς τῶν Μουσῶν, ὦ φίλοι ἑταῖροι, εἰ φαινοίμην ἐγὼ ἐπιγαυρούμενος τῇ εἰσπράξει τοῦ βασιλέως, ἥν με ἐφ' ἁπάντων ὑμῶν εὐθύς τε ἰδὼν εἰσεπράττετο καὶ οὐκ ἀνῆκεν ἐφεξῆς, ἕως ἧκον αὐτῷ συσκευασάμενος τὰ δῶρα, ἅττα ἐν ὀλίγῳ δεδύνημαι. εἰ δ' ἵππων ὑπόχρεως ἦν ἢ χρυσίου ἢ ἱματίων, πάντως ἄν με ἀφῆκεν, εὖ οἶδα, καὶ ἀπωνάμην ἂν καὶ ἐγὼ τοῦ κύκλου τῆς δεκάδος τῶν εὐδαιμόνων ἐνιαυτῶν, ὥσπερ οἱ γεωργοί. νῦν δὲ ἐκείνοις μέν που ἀφήσει οὐκ d εἰς μακρὰν τὰ ἐλλείμματα, ἀφήσει δὲ καὶ ἑτέροις πολλοῖς βαρύτερα ὀφλήματα τῶν χρημάτων· τοῖς λόγοις δὲ οὐκ ἀφήσει τὸ ὄφλημα οὐδὲ χαριεῖται, ἀλλὰ καὶ φιλονεικήσει καὶ φιλοτιμήσεται τῇ φιλονεικίᾳ, καὶ οὐκ ἐπιστήσει ἀρχὴν τῇ εἰσπράξει ταύτῃ οὐδὲ στρατιώτην, ἀλλὰ αὐτὸς εἰσπράξεται δι' ἑαυτοῦ καὶ αὐτὸς ἀποδέξεται, μᾶλλον δὲ αὐτὸς ἔσται τὸ ταμιεῖον καὶ οὐκ ἀπαναλώσει τοῦδε τοῦ θησαυροῦ οὐδὲ προήσεται, ἀλλὰ 144a τὸ χρυσίον μὲν δαπανήσει καὶ τὸ ἀργύριον καὶ τὰς χλαμύδας καὶ τοὺς χιτῶνας, τὰ δὲ ἐμὰ δῶρα κατασημανεῖται καὶ περιοίσει σὺν ἑαυτῷ καὶ ᾗ ἂν μένῃ καὶ ᾗ ἂν βαδίζῃ. καίτοι ᾤμην αὐτῷ κατακορής τε ἤδη καὶ πλήσμιος εἶναι τοσαῦτα μὲν ἐν τῇ βασιλίδι πόλει, τοσαῦτα δὲ ἐπὶ τῷ Ἴστρῳ διειλεγμένος· ἀλλὰ γὰρ ἔοικεν ὁ ἀνὴρ νίκης μὲν οὐκ εἶναι ἀκόρητος, ἀλλὰ καὶ ἑκὼν κατατίθεσθαι, τῶν δὲ

171, 4 τὴν παρασκευὴν A. τὴν om. H. 5 λόγος ἔργου σκιή] „Conf. p. 200 d. Plutarch. Mor. p. 348 b. Lennep. ad Phalar. p. 260.“ Iacobsius. 14 καὶ ἐγὼ A. καὶ om. H. 22 καὶ αὐτὸς] καὶ οὗτος A.

φιλοσοφίας λόγων ἀκόρητος εἶναι καὶ ῥᾷον συγχωρήσειν b ἀργίαν στρατευομένῳ ἢ φιλοσοφοῦντι σιωπήν.

Ὥρα οὖν μοι ἐκτίνειν, ὅπως ἂν δυναίμην, ἄνευ θωπείας καὶ κολακείας. ἄλλως γὰρ ποιοῦντι οὐ συγχωρήσει τὰ παιδικά, ἀλλὰ δυσχερανεῖ καὶ ἀχθεσθήσεται, εἰ μὴ ἐμμάρτυρα φθεγγοίμην ὁπόσα φθεγγοίμην. προκάθηται δέ, ὡς ὁρᾶτε, ἐπ' αὐτῷ τούτῳ καὶ ἕτοιμος εἰς τὴν ψυχὴν καταδέχεσθαι ἃ ἐγγράφοιμι μᾶλλον ἢ τὸ c κήρινον ἐκμαγεῖον τὰ γράμματα τοῦ σιδηρίου. τῷ καὶ ἐκεῖνο μὲν ἐξαλήλιπταί μοι πολλάκις, τῇ δὲ βασιλέως ψυχῇ ἐγκεκολαμμένοι εἰσὶν οἱ τύποι καὶ παραγγέλσεις τῆς φιλοσοφίας, καὶ οὔτ' ἂν ἡδονὴ αὐτοὺς ἀϊστώσειεν οὔτ' ἂν θυμὸς ἐπαχλύσειεν, ἀλλ' ἀκραιφνεῖς ἑστήκασι καὶ ἀεὶ ἐν ἀκμῇ πρὸς τὰ ἔργα ἃ παρηγγέλθησαν παρωξυμμένοι. καίτοι οὐδὲ αὐτοπροσώπως ἐπαφῶνται, ἀλλὰ δι' ἑτέρων ὀνομάτων οἷον πορθμείων. ἀλλ' d ὅμως ὑπὸ φιλολογίας τε καὶ φιληκοΐας οὐ τὰ ῥήματα ἐπιζητεῖς τὰ ὁμοήθη, ἀλλὰ τὸν νοῦν ἀγαπᾷς, ὃν τὰ ῥήματά σοι ἐξαγγέλλει, καὶ ἀπρὶξ ἔχῃ τῆς γνώμης τῶν ὀνομάτων καὶ οὐ μεθίεσαι, ὥσπερ οἱ τῶν καλῶν σωμάτων ἐρῶντες πρὸς μὲν τὰ ἀμφιέσματα οὐ διαφέρονται, εἴτε Ἑλληνικὰ εἴη εἴτε χλαμύδες, τὰ σώματα δὲ αὐτὰ ἐξετάζουσιν ὧν ἐρῶσι.

Καὶ ἔγωγε ἐνεθυμήθην πολλάκις ὅτι οὐκ ἄλλο τί 145a σοι αἴτιον τῆς πολυμνήτου φιλανθρωπίας ἢ ἡ φιλολογία τε καὶ φιληκοΐα. τὸν γὰρ λόγων ἐρῶντα ἀνάγκη καὶ ἀνθρώπων ἐρᾶν, ὥσπερ εἴ τις ποδώκειαν θαυμάζοι, τούτῳ ἀνάγκη ἵππους θαυμάζειν· καὶ ὅστις ἀλκήν, τούτῳ λέοντας· καὶ ὅστις εὐφωνίαν, τούτῳ τὰ ᾠδικώτατα τῶν ὀρνέων. καὶ οὖν ὁ σοφίαν τεθαυμακὼς καὶ ὕψου ἐξαίρων ἀεὶ καὶ σύνθακον ἑαυτῷ παραλαμβάνων δῆλός ἐστιν ὅτι εἰκότως τὸ ζῷον τοῦτο ἀγαπᾷ καὶ περὶ

172, 9 τῷ καὶ] Vulgo τῷ τοίνυν. τῷ γραφείῳ τοίνυν ἐκεῖνο F. A. Wolfius. 10 ἐκεῖνο] ἐκεῖνα Iacobsius. 25 τῆς πολυμνήτου A. τῆς om. H.

πλείστου ποιεῖται, ᾧ μόνῳ σοφίας ἐνέσταξε σπέρματα ὁ θεός.

Καλὰ μὲν δὴ καὶ τὰ Φιλίππου εἰς Ἀριστοτέλην b *καὶ τὰ Ἀλεξάνδρου εἰς Ξενοκράτην καὶ τὰ τοῦ Σεβαστοῦ εἰς Ἄρειον, καὶ ὅσα Τραϊανὸς εἰς Δίωνα ἐπεδείξατο, καὶ ὅσα Τιβέριος εἰς Θρασύλλον, καὶ ὁπόσα Μάρκος εἰς Σέξτον· ἐκεῖνα δὲ δεῖ καὶ τὰ τοῦ Διὸς ἐπωνύμου πρὸς τὸν τηνικαῦτα φιλοσοφοῦντα ἐν Βυζαντίῳ· ἀλλὰ πρὸς τὸν σὸν ἐραστήν, ὦ μακάριε, ὃν φιλοσοφίας ἐρᾷς, τί ἂν εἴη σύμπαντα ἐκεῖνα ἀπαριθμοῦντας; μὴ οὖν νεμεσήσειε πρὸς τῶν θεῶν, εἰ μικρὸν τῷ λόγῳ τούτῳ ἐνδιατρίψαιμι. τί γὰρ ἂν καὶ ἕτερον λόγος εὐλογώτερον ἐμποιοίη φιλολογίας;* c

*Ἔστι μὲν οὖν, οἶμαι, ἐν ἑκάστῃ τέχνῃ καὶ ἐπιστήμῃ τὸ μέν τι ἐπαληθεῦον τὴν τέχνην, τὸ δὲ ἐξαπατῶν τῷ ὀνόματι καὶ ψευδόμενον, καὶ ἐπιὼν ἑκάστην οὐ χαλεπῶς ἐξευρήσεις· οἷον ἰατροὺς τοὺς μὲν ὄντας, τοὺς δὲ δοκοῦντας, καὶ γραμματιστὰς τοὺς μὲν ὄντας, τοὺς δὲ οἰομένους, καὶ ῥήτορας τοὺς μὲν ἱκανούς, τοὺς δὲ ἄχρι τοῦ ὀνόματος. τίς οὖν ἐπαινέτης ἰατρικῆς; ἆρ' ὁ δι' ἴσης σπουδῆς ἅπαντας ἄγων τοὺς ἰατροὺς *** εἶναι ἐνομίσθη; ἢ ὁ τοὺς μὲν ἐπιστήμονας εἰσκαλῶν, τοὺς δὲ ἀμαθεῖς ἀποκλείων;* d *ταὐτὸ δὲ τοῦτο καὶ ἐπὶ τῶν γραμματιστῶν καὶ τῶν ῥητόρων. ὁ μὲν τὸν ἐξαμαρτάνοντα ἐν τῇ τέχνῃ οὐδέν τι μεῖον περιέπων τε καὶ σπουδάζων οὐ τὴν τέχνην ἀγαπᾷ, ἀλλὰ τὸν ἄνθρωπον, ὁ δὲ μόνους τοὺς εὐδοκίμους καὶ κορυφαίους, οὗτός ἐστιν ὁ τῆς τέχνης ἐκείνης ἐραστής· οὐδὲ γὰρ φίλιππον ἄν τις καλοίη δικαίως ὅστις ἅπαντας ἵππους ἀσπάζεται παρα-* 146 a *πλησίως, ἀλλ' ὅστις τοὺς γαύρους καὶ εὐηνίους καὶ ποδώκεις ἅμα καὶ διαρκεῖς, οὕτω δὴ καὶ φιλόλογον καὶ φιλόσοφον τὸν συναύξοντα τοὺς ἀρίστους τῶν λόγων.*

173, 6 *Θρασύλλον*] *Θράσυλον* A. *Θράσυλλον* H. 8 *φιλοσοφοῦντα*] *τὸν ζητοῦντα, φημί, λέγει* schol. A. 14 *Ἔστι μὲν* [*οὖν*] *ἔστιν οὖν* A, sed *ν* in *ἔστιν* a m. rec. 21 Post *ἰατροὺς* indicavi lacunam. 27 *μόνους* A. *μόνον* H.

*θος ὀπτή, οὐ κονία μετὰ ῥᾳστώνης, ἀλλὰ σκευαγωγεῖν
ἅπαντα χρὴ σταδίους τόσους καὶ τόσους μυριάσιν ὑπο-
ζυγίων, τίς οὐκ ἂν συνέγνω τοῖς ἀποστᾶσιν ὡς ἀμη-
χάνου τῆς ἐπινοίας; βασιλεὺς δὲ ἐνίκα τὴν Ἀμφίονος μου-
σικήν, ἣν ἐκεῖνος εἰς τὸν τειχισμὸν τῶν Θηβῶν ἐνεδείξατο.
εἶπες ἂν αὐτομάτους μὲν φέρεσθαι τοὺς λίθους, αὐτο-
d μάτην δὲ τὴν πλίνθον, τεκτόνων δὲ ἄνευ καὶ λιθολό-
γων ἀνιέναι τὸ ἐπιτείχισμα· τοσαύτη μὲν ἡ τῶν στρα-
τιωτῶν εὐπείθεια, τοσαύτη δὲ ἡ τῶν χαλεπῶν εὐκολία.
κατανείμας γὰρ εἰς ἅπαντας τὴν φροντίδα καὶ μηδὲν
μέρος συγχωρήσας τῆς στρατιᾶς ὑπὲρ δύναμιν πιεσθῆ-
ναι, ἀλλ' ὥσπερ φορτίον τὸ ἔργον εἰς μικρὰ διελών,
οὐκ εἴασεν οὐδ' ὁντιναοῦν αἰσθέσθαι τοῦ ἄχθους, τῷ
138 a πάντας μερίτας ποιῆσαι, καὶ πρῶτόν γε ἑαυτὸν ἐκ τοῦ
πλείονος. ἆρα πιστεύσαιτε ἄν μοι ὅτι μηδὲ τῶν κατευ-
νάστων ἀπέσχετο μηδὲ τῶν προχοΐτων, ἀλλὰ κἀκεῖνοι
συνεισήνεγκαν μέτρον ὡρισμένον κεράμου συντετριμμένου;
ἐγὼ δὲ τέως ἐθαύμαζον τὸν Ἀλκίφρονος Δημοσθένην
τοῦ προτειχίσματος τῆς Σφακτηρίας, ὅτι τοῖς στρατιώ-
ταις οὕτως ἐχρήσατο εὐηκόοις ὥστε δι' ἀπορίαν σκευῶν
τὸν πηλὸν φέρειν ἐπὶ τῶν νώτων ὀπίσω τὼ χεῖρε συμ-
πλέκοντας, ἀνθρώπους οὐ πλείους ἢ χιλίους, καὶ τού-
τους ἐρέτας μᾶλλον ἢ ὁπλίτας, ὑπὸ χειμῶνος ἀπειλημ-
b μένους, θριγκίον, οὐ τεῖχος κατασκευάζοντας. ὅπου δὲ
ταξίαρχοι καὶ στρατηγοὶ ἀχθοφορεῖν οὐ παρῃτοῦντο,
πῶς ἄν τις ἀγάσαιτο πρὸς ἀξίαν ἢ τὸν παιδεύσαντα
οὕτως ἢ τοὺς οὕτω πεπαιδευμένους;*

*Καὶ νῦν παρατέταται μὲν ἡ εἰρήνη διὰ πάντων
σχεδὸν τῶν μεθορίων, παρατέταται δὲ ἡ τοῦ πολέμου
παρασκευή. οἶδε γὰρ βασιλεὺς ὡς ἐκεῖνοι μάλιστα ἀλη-
θεύουσιν ὅσοι μάλιστά εἰσι πρὸς τὸν πόλεμον ηὐτρεπι-
σμένοι· γέμει δὲ ἡ μὲν ὄχθη φρουρίων, τὰ δὲ φρούρια*

164, 15 *πιστεύσαιτε*] Vulgo *πιστεύσητε*. 16 *τῶν προχοΐτων* A. *τῶν* om. H. 18 *Ἀλκίφρονος*] Immo *Ἀλκισθένους*. 24 *θριγκίον*] *θριγγίον* Monac. 113. 31 *μάλιστά εἰσι* add. A.

στρατιωτῶν, οἱ στρατιῶται δὲ ὅπλων, τὰ δὲ ὅπλα κάλλους ἅμα καὶ ἀσφαλείας. καὶ τρυφὴ μὲν ἐξελήλαται τῶν καταλόγων, περιουσία δὲ ἀντεισῆκται τῶν ἀναγ- c καίων, δι' ἣν οἱ φρουροῦντες οὐκ ἀναγκάζονται ἀντὶ τῶν βαρβάρων πολεμεῖν τοῖς ὑπηκόοις, κἀκείνων μὲν ἀπέχεσθαι διὰ τὰς σπονδάς, φέρειν δὲ καὶ ἄγειν τοὺς γεωργοῦντας διὰ τὴν ἔνδειαν, ἀλλ' ἀντέστραπται οὐκ οἶδ' ὅπως τοῖς στρατιώταις πρὸς τὴν εἰωθυῖαν τάξιν ὁ φόβος καὶ ἡ θρασύτης. καταφρονοῦσι μὲν γὰρ τῶν βαρβάρων, ὑπερδεδοίκασι δὲ τοὺς γεωργούς. καὶ τὸ παρ' ἐκείνων μέμψιν ὑπομεῖναι φοβερώτερον αὐτοῖς ἢ μυριάδες Σκυθῶν ἐπιοῦσαι. οὕτω καὶ ἔξωθεν καὶ ἔν- d δοθεν ἡμᾶς εἰρήνη κατέχει, τοὺς πολεμίους μὲν ὁ τῶν ὅπλων φόβος, τοὺς στρατιώτας δὲ ὁ τῶν νόμων. διείργει δὲ Σκύθας Ῥωμαίων οὐ ποταμός, οὐ τέναγος, οὐ θριγκία· ταῦτα μὲν γὰρ ἄν τις καὶ διακόψειε καὶ διαπλεύσειε καὶ ὑπερβαίη· ἀλλὰ φόβος, ὃν οὐδεὶς πώποτε ὑπερέβη καταδεέστερον εἶναι πεπιστευκώς. καὶ τρόπαιον ἕστηκε ταύτης τῆς νίκης οὐκ ἐκ λίθου πεποιημένον οὐδὲ χαλκοῦν ἢ χρυσοῦν πεπηγὸς ἐφ' ἑνὸς χωρίου, ἀλλ' ἅπασι 139 a μὲν βαρβάροις, ἅπασι δὲ Ῥωμαίοις ἐνδιαιτώμενον. καὶ τοῦτο ἀνέστησε βασιλεὺς οὐ πλήθει φόνων καὶ τραυμάτων οὐδὲ σωροῖς νεκρῶν ἀδιηγήτων, ἀλλὰ μόνῃ τῇ προσεδρίᾳ καὶ τῇ καρτερίᾳ.

Ἦν τις ἐπὶ τῶν προγόνων τῶν ἡμετέρων πύκτης ἀνήρ, Μελαγκόμας ὄνομα αὐτῷ, κάλλιστός τε καὶ μέγιστος καὶ τὴν τέχνην εὐδοκιμώτατος, οὗ καὶ τὸν Τίτον φασὶν ἐραστὴν γενέσθαι τὸν αὐτοκράτορα. οὗτος οὐδένα πώποτε τρώσας οὐδὲ πατάξας μόνῃ τῇ στάσει καὶ τῇ τῶν χειρῶν ἀνατάσει πάντας ἀπέκναιε τοὺς ἀνταπά- b λους. ἀπῄεσαν οὖν τῇ μὲν φειδοῖ χαίροντες, τῆς δὲ παρασκευῆς ἡττημένοι. ταὐτὸ καὶ πρὸς τὸν βασιλέα νῦν πεπόνθασιν οἱ πολέμιοι. νενίκηνται γὰρ ἄνευ τοῦ

165, 16 θριγκία] Vulgo θριγγία. Conf. p. 164, 24. 18 καταδεέστερον A, καταδεέστερα H, καταδεέστερος Stephanus. 26 Μελαγκόμας] „Conf. Dion. orat. de Melanc. XXVIII. et XXIX." Iacobsius. 33 ἄνευ τοῦ παρατάξασθαι A. ἄνευ παρατάξεως H.

παρατάξασθαι καὶ πεπτώκασιν ἄνευ τοῦ στῆναι. οὐ
γὰρ τοῖς σώμασιν ἥττηνται οὐδὲ τοῖς ὅπλοις, ὑφ' ὧν
καὶ οἱ βελτίους πολλάκις ἐλαττοῦνται τῶν φαυλοτέρων,
ἀλλὰ τῇ γνώμῃ καὶ τῇ διανοίᾳ καὶ τῷ πολὺ χείρους
εἶναι πεισθῆναι. οὔκουν περίεστιν αὐτοῖς ἢ κλέμμα
στρατηγῶν αἰτιάσασθαι ἢ ἐνέδραν ἢ δυσχωρίαν ἢ τὸ
c ἀδοκήτοις ἐπιπεσεῖν, ἃ δίδωσιν ἐλπίδα τοῖς ἡττημένοις
τοῦ πάλιν ἐκ τῆς ἥσσης ἀναμαχέσασθαι, ἀλλὰ καὶ χρό-
νον προσλαβόντες εἰς παρασκευὴν καὶ πόλεμον νόμιμον
καὶ προφανῆ πολεμούμενοι οὐκ ἤνεγκαν τὴν προβολὴν
τοῦ βασιλέως, ἣν προβαλλόμενος ἐν τρισὶν ὅλοις ἐνιαυ-
τοῖς ἀπειπεῖν ἠνάγκασε τοὺς δειλαίους, ἐν οἷς οὔτε
χειμῶνος ἀντεπελθεῖν οὔτε θέρους ἀντιστῆναι τολμή-
σαντες δὶς καθ' ἕκαστον ἔτος ἡττῶντο.

Καὶ νῦν περίεστιν ἡμῖν οὐ τοὺς νεκροὺς ἀριθμεῖν,
ὅσων κρείττους γεγόναμεν, ἀλλὰ τοὺς ζῶντας, οὐδὲ
d κεκρατηκέναι μέν, οὓς δὲ ἐκρατήσαμεν μὴ ἔχειν. οὕτω
γίνονται κρείττους ἄνθρωποι ἀνθρώπων, ἐκείνως δὲ
ἄρκτων καὶ συῶν καὶ παρδάλεων. καίτοι γε ἐκείνων
σπέρμα κυνηγετοῦντες ὑπολιμπάνομεν, ὁ δ' ἐξαιρῶν
παντελῶς ἀλιτήριος τῆς ἄγρας νομίζεται. εἶτα θηρίων
μὲν τῶν ἀγριωτάτων, ἃ διείργει πρὸς ἡμᾶς οὐκ Ἴστρος
οὐδὲ Ῥῆνος, ἀλλ' ἡ φύσις αὐτή, φειδὼ ποιούμεθα,
140a ὅπως ἂν τῷ γένει σώζοιτο καὶ διαμένοι, καὶ δυσχε-
ραίνομεν ἐξηρημένων ἐκ Λιβύης μὲν ἐλεφάντων, ἐκ
Θετταλίας δὲ λεόντων, ἐκ δὲ τῶν ἑλῶν τῶν περὶ τὸν
Νεῖλον τῶν ἵππων τῶν ποταμίων, ἔθνος δὲ ἀνθρώπων,
καὶ εἰ πάνυ φαίη τις βαρβάρων, ἀλλὰ ἀνθρώπων,
ἐπηχὸς, ὑποκῦπτον, ἐφ' ἡμῶν κεῖσθαι ὁμολογοῦν, οὐ
θαυμασόμεθα τὸν μὴ παντελῶς ἐξελόντα, ἀλλὰ περι-
ποιήσαντα καὶ φεισάμενον;

Ἀναμιμνήσκομαι δὲ ὅτι τῶν παλαιῶν αὐτοκρατό-
b ρων ὁ μέν τις Ἀχαϊκὸς ἐπεκλήθη, ὅτι τὴν Ἑλλάδα

166, 8 ἥσσης] Vulgo ἴσης. „Codices Ambrosiani habent ἥσσης: alter in margine γρ. ἴσης, ἤγουν μοίρας.“ Wyttenbach. ad Iulian. II. p. 24. 10 προβολὴν] προσβολὴν A.

ἀνάστατον ἐποίησε, Μακεδονικὸς δέ τις ἕτερος, ὅτι τὴν Μακεδονίαν ἔρημον καὶ ἀοίκητον, Σκηπίων δὲ ὁ μέγας ἐκεῖνος ὁ τοῦ πάνυ Σκηπίωνος υἱϊδοῦς τὸν Ἀφρικανὸν ἐκτήσατο ἐπώνυμον παρὰ τοῦ δήμου καὶ τῆς γερουσίας, ὅτι Καρχηδόνα ἀπειποῦσαν καὶ παντελῶς ἐκτετρυχωμένην εἰς ἔδαφος κατήρραξε καὶ ἠφάνισεν. εἰ δὲ ἐξ ὧν ἀπώλλυον οὗτοι τὰς ἐπικλήσεις ἐκομίζοντο δικαίως, πολλῷ σὺ δικαιότερον ἂν ἐξ ὧν περιεποίησας ὀνομάζοιο. οὕτω γὰρ καὶ τοὺς θεούς, οἶμαι, καλοῦμεν, τὸν μὲν Δία Πελασγικόν, Ἀμυκλαῖον δὲ τὸν Ἀπόλλωνα, Κυλ- c
λήνιον δὲ τὸν Ἑρμῆν, ἐξ ὧν μάλιστα ἀγαπῶσι χωρίων καὶ ἃ μάλιστα διασώζουσι. τίνα οὖν ἐπικαλεῖσθαι μάλιστα Γοτθικὸν προσήκει; δι' ὃν εἰσι Γότθοι καὶ σώζονται, ἢ δι' ὃν οὐκέτ' ἂν ἦσαν, εἰ προείλετο; Πύρρος ἦν Ἠπειρωτῶν βασιλεύς, πολλὰ μὲν Μακεδόσι, πολλὰ δὲ Ἕλλησιν ἐνοχλήσας, τὰ δὲ τελευταῖα καὶ Ῥωμαίοις παρασχὼν πράγματα· οὗτος πολλῶν κρατήσας πολλάκις οὐδεπώποτε ἠγάπησε τὰ παρόντα, ἀλλ' ὧν οὔπω κύριος ἦν μόνα ἑώρα. συνέβη τοίνυν αὐτῷ πολέμους d
ἐκ πολέμων ἀλλαττομένῳ ἐν τῷ νικᾶν ἀναλωθῆναι, καὶ οὐδὲν ὤνησε Κινέας πόρρωθεν αὐτοῦ τὴν ἀπληστίαν ἐπιρραπίζων, ὅτι τῶν πολλῶν καὶ ἀνηνύτων κινδύνων ἐκείνων τὸ πέρας ὁ κώθων ἐστίν, ὅταν εὐπραγήσῃ, οὗ καὶ νῦν ἔξεστιν οἴκοι καθημένῳ καὶ ἣν παρέλαβεν ἀρχὴν διασώζοντι ἀπολαύειν μετὰ ἀσφαλείας.

Ἀλλ' οὐχ ἵστησι τοὺς ἀεὶ τοῦ πλείονος ὀρεγομένους πέρας οὐδέν, οὐδὲ ὅρος οὐδείς, οὐδ' ἂν πέλαγος 141 a
εἴπῃς Ἀτλαντικόν. οἷς γὰρ οὐ πέπηγεν ὅρος ἐν τῇ ψυχῇ, οὐδὲ ἐν τῇ γῇ. πολεμοῦσι δὲ τὴν ἑαυτῶν ἐμπιπλάντες ἐπιθυμίαν, οὐ τοῦ κοινῇ συμφέροντος προνοούμενοι. ἀλλ' οὐ βασιλεύς, ἀλλ' ἄχρι τούτου χαλεπὸς καὶ ἀπαραίτητος ἄχρι ἂν τὸ κοινὸν ὕποπτον ᾖ, τούτου δὲ αὐτῷ εὖ τιθεμένου τὰ λοιπὰ εἶναι δοκεῖ περιττὴ

167, 23 ὁ κώθων A et Monac. 113. οἴκοθεν H. „Vide Plutarchi Vit. Pyrrhi c. 14.“ Iacobsius. 32 ἄχρι ἂν] Vulgo ἄχρις ἄν.

φιλοτιμία. ἀλλὰ τὰ μὲν πρὸς τοὺς βαρβάρους εὖ ἔχει
b καὶ ἕξει, σὺ δέ μοι τὴν εἰρήνην τοῖς ὑπηκόοις ἔγκαρπον ποίει καὶ ἔνεργον, καὶ χωρείτω διὰ πάσης, ὡς ἔπος εἰπεῖν, τῆς ἀρχῆς. ἄκουε γὰρ Πλάτωνος τοῦ θεσπεσίου, ὅτι μήτε Κῦρος μήτε Δαρεῖος βασιλεὺς ἦν· πολλῷ δὲ μᾶλλον τὸν Ἀλέξανδρον οὐκ ἂν ἔφη. ἐοίκασι γὰρ ἅπαντες οὗτοι καθάπερ σώματος τῆς ἀρχῆς ὅπως μὲν τοῖς ἔξωθεν καλὸν φανήσεται προϊδεῖν, ὅπως δὲ καὶ ἔνδοθεν ὑγιαίνοι μὴ φροντίσαι. καὶ δῆτα συμβέβηκεν αὐτοῖς στρατηγοῖς μὲν γενέσθαι, βασιλεῦσι δὲ
c μή. ἔστι δὲ στρατηγίας μὲν ἔπαινος ἡ τῶν πολεμίων καταστροφή, βασιλείας δὲ ἡ τῶν ὑπηκόων εὐδαιμονία.

168, 3 χωρείτω A. πορείτω H. 8 τοῖς ἔξωθεν A. τὸ ἔξωθεν H. καλὸν add. A.

XI.

ΔΕΚΕΤΗΡΙΚΟΣ Η ΠΕΡΙ ΤΩΝ ΠΡΕΠΟΝΤΩΝ ΤΩΙ ΒΑΣΙΛΕΙ.

Ἆρα ὥσπερ στέφανοι καὶ ὑφάσματα ἐξῄρηται ὑπὸ τῶν d *ἀνθρώπων ἃ βασιλεῖ μόνῳ δορυφορεῖν τάττει ὁ νόμος, ἰδιώτῃ δὲ οὐ θέμις, ἀλλὰ χαλεπαίνει ἡ πολιτεία, εἴ τις ἐγχειροίη ἢ χλαῖναν καθ' Ὅμηρον πορφυρέην, ἢ λιθοκολλήτους ζωστῆρας ἄλλῳ τινὶ καὶ μὴ ἐκείνῳ μόνῳ ἐργάζεσθαι,*

Ὧι λαοί τ' ἐπιτετράφαται καὶ τόσσα μέμηλε,

καὶ τέτακται αὐτοῦ ὥσπερ σύμβολα ἱερὰ καὶ κόσμος 142 a *ἄθικτος καὶ ἀνέπαφος τοῖς ἀρχομένοις, οὕτω δὲ ἄρα καὶ λόγοι τινές εἰσιν ἐκ τῶν λόγων, οὓς μόνῳ βασιλεῖ προσοιστέον καὶ μόνῳ ἀπαρκτέον καὶ μόνῳ ἀποθυτέον, ὥσπερ ἱερῶν τῷ Διί, ἐξ ὧν οὐ θέμις ἄλλῳ θεῷ ἱερουργῆσαι; ἢ τὸ μὲν σῶμα αὐτοῦ κόσμον ἕξει ἀποκρινόμενον καὶ τέχνας τὸν κόσμον τοῦτον ἐργαζομένας, καὶ παρακολουθοῦσιν αὐτῷ ὑφάνται καὶ χρυσοχόοι καὶ σκυτοτόμοι καὶ ἀκεσταί, ὧν οὐκ ἄν τις ἀξιώσειεν ἄλλῳ ἐπιτάττοντι ὑποὐργήσειν, ἀλλ' ἄκοινος αὐτοῖς καὶ ἀπόρρητος* b *πρὸς τοὺς πολλοὺς ἡ τῶν ἔργων παρασκευή, ἡ ψυχὴ δὲ οὐχ ἕξει κόσμον οἰκεῖον οὐδ' ἐπιστήμην τοῦ κόσμου τούτου ὑψοῦ ὁρῶσαν, ἀλλὰ θεραπεύσουσιν αὐτὴν αἱ χαμαὶ ἐρχόμεναι καὶ ἐν τῷ κάτω τῶν πολλῶν ἀνθρώπων καὶ προτείνουσαι τὰ ἔργα τὰ αὐτῶν ὁμοίως πᾶσι τοῖς δεομένοις, ὥσπερ αἱ τὰ σιτία τε καὶ τὰ ποτὰ*

169, 16 ἐργαζομένας A. ὑπεργαζομένας H. 19 ἐπιτάττοντι ὑπουργήσειν A: ἐπιτάττειν ὑπουργεῖν H. Sic ἀμαπαίστως ἐπιτρέψειν p. 210 a.

ἀλλαττόμεναι παντὶ τῷ διδόντι ἀργύριον ἐν τοῖς δημοσίοις πωλητηρίοις;

Εἰ μὲν δὴ ἅπασαι αἱ τέχναι τῶν λόγων βάναυσοί
c τέ εἰσι καὶ φιλοψευδεῖς καὶ φορτικαί, οὐκ ἂν εἴη τῇ ψυχῇ τῇ βασιλίδι κόσμος οἰκεῖος, ἀλλὰ πάντες ὑποδεεῖς καὶ ἀνάρμοστοι. εἰ δέ τις καὶ λόγων τέχνη ἐστὶν ἀρχική τε καὶ ἐλευθέρα καὶ ἕπονται αὐτῇ αἱ λοιπαὶ ὥσπερ βασιλίδι, αἱ μὲν ἐγγυτέρω δορυφοροῦσαι, αἱ δὲ πορρωτέρω, ταύτης ἂν εἴη τοῦτο ἔργον, λέγω δ' ὁ κόσμος τῆς βασιλίδος ψυχῆς καὶ θεραπεία. μόνη γὰρ αὐτῇ οἷόν τε καὶ ἰδεῖν τὴν ψυχὴν ταύτην καὶ ἐρευνῆσαι καὶ μὴ στῆναι ἄχρι τῶν προθύρων καὶ παραπετασμάτων, ἀλλ' ἐνδῦναι εἰς τὸ βάθος καὶ ἐφικέσθαι τῆς καταγωγῆς, ἐν ᾗ κατασκηνοῖ ὁ ἀληθινὸς βασιλεύς, καὶ
d οὐκ ἐκπλήττουσιν αὐτὴν οἱ ἔξω δορυφόροι καὶ ῥαβδοφόροι οὐδὲ ἡ πολλὴ περὶ τὰ βασίλεια ἡσυχία, ἀλλὰ τὸν εἴσω θρόνον ἐπιζητεῖ καὶ τὰ ἐν τῇ γνώμῃ βασίλεια, καὶ εἰ ἐκεῖ ἔνεστιν ἡσυχία καὶ εἰ ἐκεῖ ἐφεστήκασι δορυφόροι, μὴ ἐῶντες εἰσφοιτᾶν τὸν πολὺν συρφετόν. γένος γὰρ τῇ ἐπιστήμῃ ταύτῃ ἔνεστιν, οὐκ ἔνθεν ποθὲν ἀπὸ
143a τῆς γῆς, ἀλλ' ἄνωθεν ἐκ τοῦ οὐρανοῦ καὶ τῆς τοῦ Διὸς ἀρχῆς τοῦ πάντων πατέρος καὶ βασιλέως· οὗ γέννημα ἱερὸν καὶ εἰκὼν ἡ ἐπὶ τῆς γῆς βασιλεία. ἅτε οὖν ἀεὶ περὶ τὸ ἀρχέτυπον τεταμένη αὕτη ἡ τέχνη καὶ τὴν εἰκόνα οὐ χαλεπῶς γνωρίζει καὶ ἐξετάζει. εἰκὼν δὲ ἐκείνου τοῦ ἀρχετύπου οὐχ ὁ τῷ μεγέθει ὑπερφέρων οὐδὲ ὁ τῷ κάλλει τοῦ σώματος, ἀλλ' οὐδὲ ὅστις ποδωκέστατος, οὐδὲ ὅστις βάλλειν ἐπισκοπώτατος· ταῦτα γὰρ καὶ Καμβύσῃ ὑπῆρχε τῷ μαινομένῳ καὶ Ξέρξῃ τῷ ἀλαζόνι· ἀλλ' ὅστις τὴν γνώμην θεοειδὴς καὶ διοτρεφὴς καὶ Διὶ
b μῆτιν ἀτάλαντος. ὁ γὰρ τοιοῦτος ὑπὸ θάρσους καὶ τοῦ εἰδέναι ὅτι κόσμος ἀποχρῶν αὐτῷ ἡ ἀλήθεια ἀγαπᾷ μὲν καὶ τὰς ἄλλας τέχνας τῶν λόγων, προσκαλεῖται δὲ ἐκείνην μόνην, ἧς ἐπίσταται τὸ ψεῦδος πορρωτάτω

170, 10 βασιλίδος] βασιλέως A. 19 εἰσφοιτῶν A. εἰσφοιτᾶν H. 23 ἅτε οὖν ἀεὶ A. ἀεὶ οὖν H.

ἀπῳκισμένον, καὶ ταύτην μόνην οὐκ ἀποκνεῖ εἰσπράττεσθαι, οἷόν τινα ἐτήσιον τοῦ ἔργου εἰσφοράν. ἀλλὰ καὶ μελλούσης οὐ καρτερεῖ καὶ εὐλαβουμένης οὐ ξυγχωρεῖ καὶ χρόνον αἰτούσης εἰς τὴν παρασκευὴν οὐκ ἀνέχεται. καὶ ἔστι μὲν δὴ ἀτεχνῶς λόγος ἔργου σκιή· ὁ δὲ καὶ μᾶλλον αὐτὸν ποιεῖ σκιάν, ἐπείγων τε καὶ ἐπαναγκάζων. c

Καὶ μὴ δυσχεράνητε πρὸς τῶν Μουσῶν, ὦ φίλοι ἑταῖροι, εἰ φαινοίμην ἐγὼ ἐπιγαυρούμενος τῇ εἰσπράξει τοῦ βασιλέως, ἥν με ἐφ' ἁπάντων ὑμῶν εὐθύς τε ἰδὼν εἰσεπράττετο καὶ οὐκ ἀνῆκεν ἐφεξῆς, ἕως ἧκον αὐτῷ συσκευασάμενος τὰ δῶρα, ἅττα ἐν ὀλίγῳ δεδύνημαι. εἰ δ' ἵππων ὑπόχρεως ἦν ἢ χρυσίου ἢ ἱματίων, πάντως ἄν με ἀφῆκεν, εὖ οἶδα, καὶ ἀπωνάμην ἂν καὶ ἐγὼ τοῦ κύκλου τῆς δεκάδος τῶν εὐδαιμόνων ἐνιαυτῶν, ὥσπερ οἱ γεωργοί. νῦν δὲ ἐκείνοις μέν που ἀφήσει οὐκ d εἰς μακρὰν τὰ ἐλλείμματα, ἀφήσει δὲ καὶ ἑτέροις πολλοῖς βαρύτερα ὀφλήματα τῶν χρημάτων· τοῖς λόγοις δὲ οὐκ ἀφήσει τὸ ὄφλημα οὐδὲ χαριεῖται, ἀλλὰ καὶ φιλονεικήσει καὶ φιλοτιμήσεται τῇ φιλονεικίᾳ, καὶ οὐκ ἐπιστήσει ἀρχὴν τῇ εἰσπράξει ταύτῃ οὐδὲ στρατιώτην, ἀλλὰ αὐτὸς εἰσπράξεται δι' ἑαυτοῦ καὶ αὐτὸς ἀποδέξεται, μᾶλλον δὲ αὐτὸς ἔσται τὸ ταμιεῖον καὶ οὐκ ἀπαναλώσει τοῦδε τοῦ θησαυροῦ οὐδὲ προήσεται, ἀλλὰ 144a τὸ χρυσίον μὲν δαπανήσει καὶ τὸ ἀργύριον καὶ τὰς χλαμύδας καὶ τοὺς χιτῶνας, τὰ δὲ ἐμὰ δῶρα κατασημανεῖται καὶ περιοίσει σὺν ἑαυτῷ καὶ ᾗ ἂν μένῃ καὶ ᾗ ἂν βαδίζῃ. καίτοι ᾤμην αὐτῷ κατακορής τε ἤδη καὶ πλήσμιος εἶναι τοσαῦτα μὲν ἐν τῇ βασιλίδι πόλει, τοσαῦτα δὲ ἐπὶ τῷ Ἴστρῳ διειλεγμένος· ἀλλὰ γὰρ ἔοικεν ὁ ἀνὴρ νίκης μὲν οὐκ εἶναι ἀκόρητος, ἀλλὰ καὶ ἑκὼν κατατίθεσθαι, τῶν δὲ

171, 4 τὴν παρασκευὴν A. τὴν om. H. 5 λόγος ἔργου σκιή] „Conf. p. 200 d. Plutarch. Mor. p. 348 b. Lennep. ad Phalar. p. 260.“ Iacobsius. 14 καὶ ἐγὼ A. καὶ om. H. 22 καὶ αὐτὸς] καὶ οὗτος A.

σημεῖον τοῦ πάντα ἐπιτάττοντα τοῖς βαρβάροις τὰς σπονδὰς ποιεῖσθαι, ἅμα δὲ πρόνοια τοῦ κακουργοῦντας ἧττον λανθάνειν, ἀποκεκλεισμένης αὐτοῖς εἰς τὰ ὡρισμένα χωρία τῆς ἐπιμιξίας. γινώσκει γάρ, οἶμαι, σώζειν πρὸς βαρβάρους δυνάμεως ἔργον, τὴν φύσιν δὲ αὐτῶν ἀμείβειν οὐχ οἷός τε ὤν· ὥστε ἀφῄρητο αὐτῶν τὴν ῥᾳστώνην τῆς ἀπιστίας. διὰ τοῦτο γὰρ καὶ τῶν φρουρίων
136 a τὰ μὲν ᾠκοδόμησεν ἐκ καινῆς, τὰ δὲ ἀνέστησε κατατετριμμένα, τοῖς δὲ προσέθηκε τὸ ἐνδέον, ὕψους μὲν ᾗ χθαμαλώτερον ἦν, πάχους δὲ ὅπου τούτου προσέδει, ὕδατος δὲ ἀφθονίαν, ᾗ ταύτῃ πρότερον ἐπιέζετο, τροφῶν δὲ θησαυροὺς ἁπανταχοῦ καὶ λιμένας τῆς γειτνιώσης θαλάσσης, καὶ στρατιώτας ἐκ καταλόγου, καὶ φρουροὺς τὸν ἀριθμὸν οὐ ψευδομένους, καὶ ὅπλα καὶ βέλη καὶ μηχανήματα, ἅπαντα εἰς τὸ ἔσχατον ἐξητασμένα. τέως μὲν γὰρ ἐκ τῆς περὶ τὰς φρουρὰς ὀλιγωρήσεως ἐπεπιστεύκεισαν οἱ πολέμιοι ἐπ' αὐταῖς ἀτεχνῶς κεῖσθαι
b καὶ τὸν πόλεμον καὶ τὴν εἰρήνην, ὁρῶντες τοὺς μὲν στρατιώτας οὐ μόνον ἀνόπλους, ἀλλὰ καὶ ἀχίτωνας τοὺς πολλούς, καὶ ταῖς ψυχαῖς καὶ τοῖς σώμασι καταπεπτωκότας· φρουράρχας δὲ καὶ ταξιάρχας ἐμπόρους μᾶλλον καὶ τῶν ἀνδραπόδων καπήλους, οἷς τοῦτο μόνον ἔργον προσέκειτο, πλεῖστα μὲν ὠνήσασθαι, πλεῖστα δὲ καὶ ἀπεμπολῆσαι· τῶν φυλάκων δὲ ἐλαττοῦσθαι τὸν ἀριθμόν, ὅπως ἂν γίνοιτο κέρδος αὐτοῖς ἡ μισθοφορὰ τῶν ἐκλειπόντων· ταῦτα δὲ τὰ φρούρια κατερρυηκότα,
c γυμνὰ καὶ ἀνθρώπων καὶ ὅπλων. ταῦτ' οὖν ὁρῶντες οὐκ ἀπεικότως ἐφρόνουν ἑαυτοὺς εἶναι ἀμείνονας τῶν ἐκδρομῶν, κἂν ἄρα δοκῇ τὸν ἐκ τοῦ προφανοῦς πόλεμον τέως δυσωπεῖσθαι, ἀλλὰ τό γε κλωπεύειν αὐτοῖς ἐπ' ἀδείας καθεστηκέναι, διεσπείροντο οὖν ἁπανταχόσε τῆς ὄχθης οὐ καθ' ἕνα καὶ δύο μόνον, ἀλλ' ἤδη καὶ κατὰ λόχους καὶ οὐλαμούς, λῃσταὶ δῆθεν, οὐ στρατιῶ-

---

162, 1 τοῦ πάντα Monac. 113. τὰ πάντα H. 5 δυνάμεως] ἱκανῶς Petavius. δυνάμεως εὖ Iacobsius apud Goellerum p. 269. 28 ἀμείνονας τῶν A. ἀμείνους αὐτῶν H.

καὶ, φόρια τὰ λάφυρα ὀνομάζοντες. ἀλλ' οὐ νῦν, ἀλλ' ἄνωθεν μέχρι θαλάττης δόξαις ἂν τεῖχος ἀδαμάντινον ἐληλάσθαι· τοιούτῳ καταπεπύκνωται χαρακώματι φρουρίων, ὅπλων, στρατιωτῶν. d

Ἵνα γὰρ τἄλλα παρῶ, ἓν ἐξαρκεῖ τεκμήριον ἐκλογίσασθαι τῆς περὶ ταῦτα ἐπιμελείας. ἐρῶ δὲ οὐκ ἀκοὴν ἀλλοτρίαν, ἀλλ' ὧν αὐτὸς γέγονα θεατής. ἴστε δήπου τοῦτο ὅσοι γεγόνατε ἐπὶ τῆς χώρας ἐκείνης, ἣ καλλίστη μέν ἐστι τῆς Σκυθικῆς τῆς ὑπηκόου, ἥκιστα δὲ ἀσφαλὴς πρὸς τοὺς βαρβάρους, οὐ καθαροῦ διαρρέοντος αὐτὴν τοῦ ποταμοῦ, ἀλλ' ἀναπεφυρμένου τῇ γῇ, καὶ τενάγους κόλπον ποιοῦντος εἰσέχοντα ἐπιπολὺ τῆς ἠπείρου, 187 a οὔτε ναυσὶν ὄντα πλωτὸν οὔτε βατὸν πορευσίμοις. αὕτη τοίνυν ἡ χώρα τέως μὲν ὁρμητήριον καθειστήκει ταῖς ἐκδρομαῖς τῶν πολεμίων, στρατῷ μὲν ἀθρόῳ καὶ προφανεῖ μὴ θαρρούντων διὰ τὸ πρόσχημα τῆς εἰρήνης, κλωπείας δὲ καὶ κακουργίας ἐν τοῖς μονήρεσι πλοίοις ποιούμενοι καὶ ναυλοχοῦντες περὶ τὰς νησῖδας ἐνέπιπτον ἐξαίφνης τοῖς προσοικοῦσιν. εἶτα ἐν ὅσῳ συνησθάνοντο οἱ φρουροὶ πόρρωθεν ἀλλήλων ἀφεστηκότες, καταδραμόντες ὅσα οἷόν τε ἦν ἐγκατεδύοντο τῷ ποταμῷ, τοὐν- b τεῦθεν δὲ ἄπορον ἦν τὸ διώκειν, μήτε πλεῖν μήτε βαδίζειν συγχωροῦντος αὐτοῖς τοῦ τενάγους. καὶ τὸ πρᾶγμα οὐκ ἦν ἀνεκτὸν, ἐν ὀφθαλμοῖς λεηλατεῖσθαι ἀμηχανοῦντας πρὸς τὴν τιμωρίαν. ἀλλ' ὁ βασιλεὺς οὔτε πρὸς τὴν φύσιν τοῦ τόπου δυσμήχανος ἦν, ἀλλ' ἐξευρὼν τῆς γῆς ἐκείνης λεπτὴν ταινίαν ἐς τὸ τέναγος προσιοῦσαν καὶ τελευτῶσαν εἰς ὄχθον ὑψηλὸν, ἐξ οὗ πᾶν τὸ πέριξ ἄποπτον ἦν, ἐπετείχισε φρούριον ἐκ καινῆς, ἀμυδροῖς τείχεσιν ἀκολουθήσας, ἃ τῶν πρότερον τις αὐτοκρατό- c ρων διὰ μὲν τὸ χρήσιμον κατεβάλετο, πρὸς δὲ τὴν δυσχέρειαν ἀπεῖπεν. ὅπου γὰρ οὐ λίθος πλησίον, οὐ πλίν-

---

163, 1 φόρια τὰ] τὰ φόρια Iacobsius. 10 οὐ καθαροῦ Iacobsius ad Ach. Tat. p. 725. οὐκάθρου codex Monac. 113. Vulgo οὐκ ἄθρου. 21 οἷόν τε ἦν Harduinus. Vulgo τε ἦν οἷον.

X.

129a ΕΠΙ ΤΗΣ ΕΙΡΗΝΗΣ ΟΥΑΛΕΝΤΙ.

Ὤιμην ἐγὼ σοι κατακορὴς ἤδη καὶ πλήσμιος εἶναι, τοσαυτάκις ἔμπροσθεν διειλεγμένος. ὥστε διὰ τοῦτο ἀπώκνουν b *καὶ νῦν ποιήσασθαι πρόοδον ἐπὶ τοῖς λόγοις, μὴ δόξαιμι διοχλεῖν οὐδὲν δεομένῳ. ἀλλ᾽ ἐπειδὴ καὶ πάνυ προθυμούμενον ἠρεμεῖν οὐκ ἐᾷς, ἀλλ᾽ ὥσπερ εἰσφορὰν ἐνιαύσιον φοιτᾶν οἴει σοι δεῖν καὶ τὴν ἐκ τῶν λόγων συντέλειαν, εἴκειν μὲν ἀναγκαῖον, αὐτόθεν δὲ ἔστω μοι τὸ προοίμιον. οὐδὲ γὰρ ἄλλο τι πρότερον τῶν σῶν ἀγαθῶν ἀποδέχεσθαι προσήκει τοὺς λόγους ἢ περὶ ἑαυτοὺς προθυμίαν.*

Καὶ δῆτα ἐπαινῶ σου τοῦτο πρῶτον, ὦ βασιλεῦ, c *ὅτι τοῖς γεωργοῖς ἀνιέναι προθυμῇ τὰ λειτουργήματα, τοῖς φιλοσοφοῦσι δὲ οὐ συγχωρεῖς, ἀλλὰ τοὺς μὲν ἥδιστ᾽ ἂν ἴδοις καθ᾽ ἕκαστον ἔτος ἔλαττον εἰσφέροντας ὧν προσήνεγκαν, παρὰ τῶν λόγων δὲ ἀεί τι πλεῖον εἰσπράττῃ. καὶ τό γε ἔτι τούτου θαυμασιώτερον, ὅτι καὶ τῶν λόγων αὐτῶν προτιμοτέρους ἄγεις τοὺς ἡμετέρους τῶν ὁμογλώττων. αἴτιον δέ· οὐ γὰρ ἐκκρέμασαι τῶν ὀνομάτων, ἀλλὰ τὸν ἐνδεδυκότα αὐτοῖς νοῦν ἐρευνᾷς,* d *οὐδὲ τοῦ κάλλους τῶν ῥημάτων ἑάλωκας, ἀλλὰ τοῦ κόσμου τῆς διανοίας, καὶ διὰ τοῦτο, ὡς ἔοικεν, ἐντιμοτέραν ἔχει παρὰ σοὶ τάξιν φιλοσοφία ῥητορικῆς. ὃ γὰρ μάλιστα ἀγαπᾷς, τοῦτο μάλιστα ἐσπούδακεν αὕτη*

154, 4 *πρόοδον*] *πρόσοδον* Stephanus. 6 *εἰσφορὰν* Iacobsius. Vulgo *εἰς φορὰν*. Conf. p. 143b. 13 *ἀνιέναι* A. *ἐπανιέναι* H. *ἢ ἀφιέναι καὶ ἐπανιέναι* schol. A. 16 *πλεῖον* om. A.

ἡ τέχνη, τὸν νοῦν παρέχεσθαι χρηστόν, οὐχὶ τὰ ῥήματα, καὶ σκοπεῖν οὐχ ὅπως ἂν ἥδιστα εἴποι τις τοῖς ἀκούσασιν, ἀλλ' ὅπως ὠφελιμώτατα· ὃ σοὶ μάλιστα ἀρέσκον ὁρῶμεν. πρὸς γὰρ τοὺς κολακεύοντας ὕποπτος ὢν τοῖς νουθετοῦσιν εὔκολον σεαυτὸν παρέχεις καὶ χειροήθη. Καλλισθένην μὲν γὰρ Ἀλέξανδρος, ὅτι πα- 130 a
ρῄνει τοῖς νομίμοις ἐμμένειν τῶν Μακεδόνων, τὴν παρρησίαν οὐκ ἐνεγκὼν ἀπεσείσατο. σὺ δὲ προσκαλεῖς τοὺς φιλοσόφους, κἂν ἀποκνῶσι, καὶ ὁπόσον σὺ χρόνον τοῦ ἔτους ἐπὶ χώρας μένεις ἀνάγκῃ χειμερίζεις μετὰ τῶν λόγων. τοῖς στρατηγοῦσι δὲ οἱ φιλοσοφοῦντες ἐν ἴσῃ τῇ προεδρίᾳ, καὶ συμπλέκεται τὴν καλλίστην πλοκὴν ἡ περὶ σὲ δορυφορία γνώμης ἅμα καὶ δυνάμεώς σε θεραπευούσης. διὰ γὰρ τοῦτο καὶ τὴν Ἀθηνᾶν ἐκ τῆς κεφαλῆς γεννῶσιν οἱ ποιηταὶ τοῦ Διός, ἐνδεικνύμενοι καλῶς ὅτι προσήκει τῶν βασιλέων μήτε λόγον ἄπρακτον μήτε πρᾶξιν ἄλογον ἐκφοιτᾶν, ἀλλὰ καὶ τὸν νοῦν ἐνερ- b
γὸν εἶναι καὶ γέμειν νοῦ τὸ δραστήριον.

Πιστοῦται δὲ καὶ τοῦτο ὁ προλαβὼν χρόνος. εἴτε γὰρ τὸν Ἀλέξανδρον ἐννοήσεις εἴτε τὸν Σεβαστὸν εἴτε τὸν Μάρκον, δι' οὐδὲν ἄλλο εὑρήσεις εἰς τοσοῦτον δόξης προεληλυθότας ἢ ὅτι τῶν χλαμύδων οὐκ ἀπεσκήνου πολὺ τὰ τριβώνια, οὐδὲ Παρμενίωνος Ἀριστοτέλης ἀτιμότερος ἦν οὐδὲ Ἄρειος Ἀγρίππου. ὅσοι δὲ ἢ φιλόσοφοι γεγόνασι πλέον ἢ φιλοπόλεμοι, καὶ τὸ δοκοῦν ὑπ' αὐτῶν ἀξιοῦσθαι σπουδῆς μέρος τῷ παροφθέντι συνηφανίσθη. οὐ γὰρ οἷόν τε ἢ λόγους ἐνδόξους γενέ- c
σθαι μὴ τῶν ἔργων αὐτοὺς βεβαιούντων, ἢ τὰ ἔργα πρὸς τὸν χρόνον διαβῆναι τὸν ἐφεξῆς μὴ λόγου τὴν μνήμην αὐτῶν παραπέμποντος. οἱ μὲν τοίνυν τῶν ποιη-

155, 2 τις τοῖς] τοῖς A. τις H. 5 σεαυτὸν] ἑαυτὸν A. 10 χειμερίζεις] χειμερίζειν A. 11 ἴσῃ τῇ A. τῇ om. H. 12 προεδρίᾳ Monac. 113. Vulgo προεδρείᾳ. καὶ συμπλέκεται — δορυφορία add. A, et codex Ambrosianus alter apud Wyttenbach. ad Iulian. II. p. 15. καλλίστην] ἀρίστην Ambr. alter. 16 βασιλέων] Vulgo βασιλείων. 20 ἐννοήσεις A. ἐννοήσῃς H. 24 ἀτιμότερος ἦν om. A. 28 αὐτοὺς] αὐτῶν A.

τῶν λόγοι καὶ οἱ τῶν ῥητόρων ἴσως μὲν ἄλλο τι χρηστὸν ἔχοιεν ἄν, οὗ δὲ μάλιστα ἐχρῆν πεφροντικέναι, τοῦτο παρορῶσι. τὸ γὰρ μέγεθος ἐν ταῖς πράξεσιν, οὐ τὴν ἀρετὴν, ἐπιζητοῦσι, καὶ διὰ τοῦτο τὰς παρατάξεις καὶ τοὺς πολέμους καὶ τῶν νεκρῶν τὸν ἀριθμὸν
d διατριβὴν ποιοῦνται τοῖς λόγοις, καὶ τὸ πολὺ τῶν ἐγκωμίων αὐτοῖς οἱ φόνοι καὶ αἱ πορθήσεις· εἰρήνην δὲ ἐν καιρῷ γενομένην καὶ μετὰ τοῦ πρέποντος σχήματος οὐδεὶς πώποτε ὑπέλαβε πολλῶν τροπαίων τιμιωτέραν. τὸ δὲ οὐχ οὕτως ἔχει, ἀλλὰ τοῦ νικῆσαι πολλάκις τὸ τὴν νίκην ὑπεριδεῖν ἐντιμότερον.

Ἐμοὶ δὲ τοῦτο ἔσται κεφάλαιον τοῦ παρόντος λόγου. οὐ γὰρ οὕτως ἀνήκοός εἰμι Πλάτωνος τοῦ θεσπε-
131 a σίου ὥστε τὰ αὐτοῦ μὴ μανθάνειν, ὅτι κολοβὸς καὶ βασιλεὺς, καὶ νομοθέτης, ὃς πολεμεῖν μὲν ἱκανὸς, εἰρήνην δ' ἄγειν οὐχ οἷός τε. ταύτῃ γὰρ, οἶμαι, καὶ Λυκοῦργον εὐθύνει τὸν Σπαρτιάτην, ὡς συστησάμενον πολιτείαν στρατευομένοις μὲν ἐπιτήδειον, καταθεμένοις δὲ τὰ ὅπλα δυσμεταχείριστον. τοῦτο δέ ἐστι τὸ βέλτιον τοῖν μεροῖν παρεωρακότος καὶ οὗ χάριν θάτερον ἀναγκαῖον. πολέμου γὰρ ἆθλον εἰρήνη, καὶ στρατεύονται οἷς ἀνάγκη, οὐχ ἵνα διὰ τέλους στρατεύοιντο, ἀλλ' ἵνα
b ἀσφαλῶς ἡσυχάσωσιν. ὅστις οὖν πρὸς μὲν ἀσχολίαν παιδεύειν ἱκανὸς, σχολὴν δὲ οὐχ οἷός τε διατίθεσθαι, τῆς καλλίονος μοίρας ὀλιγωρεῖ.

Καὶ τοῦτο οὖν ἐγὼ Πλάτωνος θαυμάζω καὶ ἔτι μᾶλλον, ὅταν διδάσκῃ ὅτι πολέμου καὶ εἰρήνης σπέρματα ἐν ἑκάστῃ ψυχῇ πρῶτόν ἐστι, καὶ ὅστις οἷός τε πρὸς ἑαυτὸν ἄγειν εἰρήνην, οὗτος οἷός τε καὶ πρὸς τοὺς ἔξωθεν πολεμίους· ᾧ δὲ ἀδύνατος ἡ πρὸς ἑαυτὸν ἐκεχειρία, σχολῇ ποτ' ἂν οὗτος τὰς πρὸς ἀλλήλους σπονδὰς ἀγα-
c πήσειεν. εἶναι γάρ τι καὶ ἐν ἑκάστῳ βάρβαρον φῦλον, λίαν αὔθαδες καὶ δυσπειθὲς, τὸν θυμὸν λέγω καὶ τὰς

156, 10 οἷός τε] τοῦτον τὸν τρόπον addit A, glossema proximi vocabuli ταύτῃ. 17 εὐθύνει] ἢ κακίζει, αἰτιᾶται A. 30 πολεμίους A. πολέμους H.

ἀπλήστους ἐπιθυμίας, ἀντικαθήμενα γένη τῷ λογισμῷ, καθάπερ Ῥωμαίοις Σκύθαι καὶ Γερμανοί. ὥσπερ οὖν τὰ πάθη ταῦτα, ἡνίκα ἐπανίσταται τῷ βελτίονι, παντάπασι μὲν ἐξελεῖν οὔτε δυνατὸν οὔτε συμφέρον, ἃ χρείας ἕνεκεν ἡ φύσις ἐγκατέσπειρε τῇ ψυχῇ, ὑποκύπτοντα δὲ παρέχεσθαι καὶ εὐήκοα ταῖς ἐκ τοῦ νοῦ παραγγέλμασι τῆς ἀρετῆς ἔργον ἐστίν, οὕτω καὶ τῶν βασιλέων ἔργον, οἷς τοὔνομα τοῦτο ἐπαληθεύεται, ὅταν d παρακινήσαντας καταλάβωσι τοὺς βαρβάρους, τὸ μὴ πρόρριζον ἐκκόπτειν παντελῶς τὸ συμπλήρωμα τῆς φύσεως τῆς ἀνθρωπίνης, ἀλλ᾽ ἐπικόψαντας τὴν αὐθάδειαν σώζειν ἤδη καὶ περιστέλλειν, ὡς τῆς ἀρχῆς μοῖραν γεγενημένους.

Ἔχει γὰρ οὕτως· ὅστις μὲν ἀγρείως ἐπεξεισιν ἀπαυθαδιασαμένοις τοῖς βαρβάροις, οὗτος Ῥωμαίων μόνων ἑαυτὸν βασιλέα ποιεῖ, ὅστις δὲ κρατεῖ μέν, φείδεται 132 a δέ, οἶδεν ἑαυτὸν βασιλέα πάντων ἀνθρώπων, καὶ μᾶλλον ἐκείνων οὓς διετήρησε καὶ διέσωσεν, ἐξὸν ἀνελεῖν παντελῶς. ὡς ἔγωγε οὐδὲ τὸν κομψὸν Ἀγαμέμνονα φαίην ἂν λέγειν βασιλικῶς, ἐπιτιμῶντα τῷ ἀδελφῷ μαλαττομένῳ πρὸς τὸν ἱκέτην, καὶ πικρὰν οὕτως εὐχὴν καὶ ἀλλόκοτον προσευχόμενον, μηδένα τῶν Τρώων διαφυγεῖν, μηδ᾽ ὅντινα γαστέρι μήτηρ κοῦρον ἐόντα φέρει, μηδὲ τοῦτον διαφυγεῖν, ἀλλὰ καὶ τοὺς οὔπω τεχθέντας ἀπολέσθαι πρὸ τοῦ γενέσθαι. ἀλλ᾽, ὡς ἔοικεν, οὐκ ἦν εὐρυκρείων ἀληθινός, ἀλλ᾽ Ἀργείων μόνων βασιλεὺς καὶ Μυκηναίων, ἀνθρώπων δὲ οὔ. καίτοι γε Ὅμηρος b ὅταν αὐτὸς ὀνομάζῃ τὸν Δία πατέρα, οὐ τῶν Ἑλλήνων μὲν λέγει πατέρα, τοὺς βαρβάρους δὲ ἐξαιρεῖται, ἀλλ᾽ ἁπλῶς φησι πατέρα θεῶν καὶ ἀνθρώπων. ὅστις οὖν καὶ τῶν ἐπὶ γῆς βασιλέων οὐ Ῥωμαίοις μόνον ὡς πατὴρ

157, 9 παρακινήσαντας] τοὺς ἰδίους ὅρους ὑπερβάντας schol. A. 14 ἀγρείως A. ἀχρείων H. ἀγρίως Petavius. 15 τοῖς A.; τὰ τοῖς H. 23 μηδ᾽ ὅντινα — τοῦτον διαφυγεῖν add. A. Sunt Iliad. ζ, 58. Conf. orat. XXXIV. p. 64, ed. Mai. 28 αὐτὸς] αὐτοῖς A, sed correctum a m. rec. 30 θεῶν om. A.

προσενήνεκται, ἀλλ' ἤδη καὶ Σκύθαις, οὗτός ἐστιν ὁ τοῦ Διὸς ζηλωτὴς καὶ οὗτος ὁ φιλάνθρωπος ἀτεχνῶς. τῶν δὲ ἄλλων Κῦρον μὲν φιλοπέρσην καλῶ, ἀλλ' οὐ φιλάνθρωπον, φιλομακεδόνα δὲ Ἀλέξανδρον, ἀλλ' οὐ
c φιλέλληνα, τὸν δὲ Σεβαστὸν φιλορώμαιον, ἄλλον δὲ ἄλλου γένους ἐραστὴν ἢ ἔθνους οὗ καὶ βασιλεὺς ἐνομίσθη, φιλάνθρωπος δὲ καὶ βασιλεὺς ἁπλῶς, ὃς μηδένα ἀνθρώπων ὅλως ἀλλότριον τῆς ἑαυτοῦ προνοίας ποιεῖται.

Καλὸν μὲν οὖν καὶ τὸ περαιοῦσθαι τὸν Ἴστρον σὺν τῇ τοῦ πολέμου παρασκευῇ καὶ δὶς ἐφεξῆς ἀνάστατον ποιῆσθαι τὴν πολεμίαν, σταθμοὺς τόσους καὶ τόσους ὅσους οὐδὲ πρεσβεύοντες πώποτε προελθεῖν ἐθαρρήσαμεν. ἀλλ' εἰ καὶ σεμνὰ ταῦτα καὶ γενναῖα καὶ λίαν
d ὀλίγοις ὑπάρξαντα τῶν πώποτε αὐτοκρατόρων, ἀλλ' ἔγωγε ὅταν ἐννοήσω τὴν ἡμέραν ἐκείνην ἧς ἐγενόμην αὐτόπτης, τότε μοι τῆς τε Ξέρξου σχεδίας, ἐφ' ἧς διεβίβασε σὺν τῇ στρατιᾷ τὸν Ἑλλήσποντον, φαίνεται ἀμείνων ἡ μία ναῦς, ἐφ' ἧς ὁ βασιλεὺς τὰς σπονδὰς ἐποιήσατο, καὶ τῆς γεφύρας τῆς διακομιζούσης τὸν πόλεμον ἡ διαδιδοῦσα ὁλκὰς τὴν εἰρήνην. ἐγὼ παρατάξεις μὲν οὐ τεθέαμαι Σκυθικάς, ἐκκλησίαν δὲ φόβου καὶ συνέδριον καταπλήξεως καὶ στρατηγὸν Ῥωμαίων
133 a ἐπιτάττοντα Σκυθῶν βασιλεῦσι, καὶ ἀλαλαγμοῦ μὲν οὐκ ἀκήκοα βαρβαρικοῦ, θρήνων δὲ καὶ ὀδυρμῶν καὶ δεήσεων, καὶ φωνῆς αἰχμαλώτοις μᾶλλον ἢ σπενδομένοις πρεπούσης, ὑφ' ὧν ἐπεκλάσθη τις ἂν καὶ ἀδάμαντος στερεώτερος. ἀλλὰ βασιλεὺς τῶν μὲν βαρβάρων πολλὰς ἀπέπεμψεν εἰς τοὐπίσω πρεσβείας ἀπράκτους, τὴν δὲ ἡμετέραν κατῃδέσθη. καί, ὡς ἔοικεν, ὑπὲρ Σκυθῶν ὑμεῖς ἐχειροτονήσατε φιλοσοφίαν, τὴν μόνην θείαν τε οὖσαν καὶ δίκαιον θυμὸν καταπραΰνειν.

158, 3 Κῦρον μὲν A. μὲν om. H. 12 ποιεῖσθαι A. ποιῆσαι H. 15 ἀλλ' ἔγωγε ὅταν ἐννοήσω A. ἀλλ' ὅταν ἐννοήσωμεν H. 17 τότε μοι A. τότε σοι H. 29 ἀπέπεμψεν A. ἀπέστρεψεν H. 32 θείαν] οἵαν Roulezius p. 38. δίκαιον] δικαίων Stephanus, collato δίκαιος συνηῦσθαι p. 61 c.

Ὥστε μοι τότε μάλιστα ἔργον ἦν τοὺς ὑπὲρ φιλανθρωπίας λόγους ἐκμελετᾶν καὶ δεικνύναι τῷ βασιλεῖ ὅτι b
μᾶλλον θεῷ παραπλήσιοι τῶν ἀναιρούντων οἱ σώζοντες. μόλις μὲν οὖν καὶ χαλεπῶς, ἀλλὰ συνεπείσθη καὶ εἶξε καὶ προσωρμίσατο πλησίον σὺν εὐμενεστέρῳ τῷ σχήματι. ὁ μὲν οὖν Τρωικὸς ποταμὸς ἐκποδὼν καθίστατο Ἀχιλλεῖ κατὰ τῶν Τρώων παροξυνομένῳ, θορυβῶν τῷ ἀφρῷ καὶ τοῖς κύμασι τὸν νεανίαν· Ἴστρος δὲ ἐπὶ πολέμῳ μὲν βασιλέως περαιουμένου ἐζεύγνυτο ἄκων, σπένδεσθαι δὲ μέλλοντι συμπροεθυμεῖτο καὶ γαλήνην ἐθελοντὴς ὑπεστρώννυε ταῖς τὴν εἰρήνην πρυ- c
τανευούσαις τριήρεσιν. ἐσάλευον μὲν οὖν ὥσπερ ἐν ὅρμῳ τῷ ῥείθρῳ, καὶ ἔδοξας ἂν ὁρμίζεσθαι τὰς ναῦς ταῖς ἀγκύραις. εὐθὺς δὲ ἐκ προοιμίων ὅτι συνεχώρει τὰ σφέτερα αὐτοῖς καρποῦσθαι δῆλον ἐποίει, προσχὼν μὲν πλησίον, ἀποβῆναι δὲ μὴ θελήσας. οἱ δὲ ἐξεκέχυντο ἀγεληδὸν ἐπὶ τῆς ὄχθης ἥμεροι καὶ χειροήθεις, πλῆθος οὐ ῥητὸν ἀριθμῷ, τότε δὴ πρῶτον Ῥωμαίοις μυριάδες τοσαῦται Σκυθῶν ἄνευ φροντίδος ὁρώμεναι.

Ὦ μάκαρ Ἀτρείδη, μοιρηγενές, ὀλβιόδαιμον, d

εἴπεν ἄν τις ἀπιδὼν τηνικαῦτα εἰς ἄμφω τὰς ἠόνας τοῦ ποταμοῦ, τὴν μὲν ἀστράπτουσαν τοῖς στρατιώταις ἐν κόσμῳ τὰ δρώμενα θεωμένοις μετὰ φρονήματος καὶ ἡσυχίας, τὴν δὲ ὁμάδου γέμουσαν συμμιγοῦς ἐπὶ γῆς ἐρριμμένων τῶν ἱκετῶν. μᾶλλον δὲ εἶπεν ἄν σε καὶ τοῦ Ἀγαμέμνονος ὀλβιώτερον· ὁ μὲν γὰρ οἷς ἦγε μόνον ἐμακαρίζετο, σὺ δὲ καὶ οἷς εἶχες καὶ οἷς ξυνεχώρεις.

Ξέρξης μὲν οὖν τῆς πρὸς τοὺς Ἕλληνας ναυμα- 134 a
χίας οὔτε θεατὴς ἦν ἀνδρείας, ἀλλ' ἐκάθητο ὑπὸ σκηνῇ χρυσῷ σκιαζόμενος ὀρόφῳ, μαλακίας μᾶλλον ἢ πλούτου

139, 5 προσωρμίσατο Stephanus. Vulgo προσωρμήσατο. 18 Ῥωμαίοις A. ὅλοις H. 21 τηνικαῦτα om. A. 25 ἱκετῶν] οἰκετῶν A. 27 ξυνεχώρεις Monac. 113. συνεχώρεις H. 28 Ξέρξης A. Ἕτερος H. πρὸς τοὺς A. τοὺς om. H. 29 οὔτε in οὐδὲ mutandum, nisi aliquid excidit. 30 ἢ μαλακίας Iacobsius.

σημεῖον τοῦ πάντα ἐπιτάττοντα τοῖς βαρβάροις τὰς σπον-
δὰς ποιεῖσθαι, ἅμα δὲ τρόπαια τοῦ πανουργοῦντας ἥκι-
στα λανθάνειν, ἀποκεκλεισμένης αὐτοῖς εἰς τὰ ὡρισμένα
χωρία τῆς ἐπιμιξίας. γινώσκει γάρ, οἶμαι, σώζειν τοὺς
βαρβάρους δυνάμεως ἔχων, τὴν φύσιν δὲ αὐτῶν ἀμεί-
βειν οὐχ οἷός τε ὤν· ὥστε ἀφῄρητο αὐτῶν τὴν ῥᾳστώ-
νην τῆς ἀπιστίας. διὰ τοῦτο γὰρ καὶ τῶν φρουρίων
136 a τὰ μὲν ᾠκοδόμησεν ἐκ καινῆς, τὰ δὲ ἀνέστησε κατα-
τετριμμένα, τοῖς δὲ προσέθηκε τὸ ἐνδέον, ὕψους μὲν ᾗ
χθαμαλώτερον ἦν, πάχους δὲ ὅπου τούτου προσέδει,
ὕδατος δὲ ἀφθονίαν, ᾗ ταύτῃ πρότερον ἐπιέζετο, τρο-
φῶν δὲ θησαυροὺς ἁπανταχοῦ καὶ λιμένας τῆς γειτνιώ-
σης θαλάσσης, καὶ στρατιώτας ἐκ καταλόγου, καὶ
φρουροὺς τὸν ἀριθμὸν οὐ ψευδομένους, καὶ ὅπλα καὶ
βέλη καὶ μηχανήματα, ἅπαντα εἰς τὸ ἔσχατον ἐξητασμένα.
εἰκὸς μὲν γὰρ ἐκ τῆς περὶ τὰς φρουρὰς ὀλιγωρήσεως
ἐπεπιστεύκεισαν οἱ πολέμιοι ἐπ' αὐτοῖς ἀτεχνῶς κεῖσθαι
b καὶ τὸν πόλεμον καὶ τὴν εἰρήνην, ὁρῶντες τοὺς μὲν
στρατιώτας οὐ μόνον ἀνόπλους, ἀλλὰ καὶ ἀχίτωνας
τοὺς πολλούς, καὶ ταῖς ψυχαῖς καὶ τοῖς σώμασι κατα-
πεπτωκότας· φρουράρχας δὲ καὶ ταξιάρχας ἐμπόρους
μᾶλλον καὶ τῶν ἀνδραπόδων καπήλους, οἷς τοῦτο μόνον
ἔργον προσέκειτο, πλεῖστα μὲν ὠνήσασθαι, πλεῖστα δὲ
καὶ ἀπεμπολῆσαι· τῶν φυλάκων δὲ ἐλαττοῦσθαι τὸν
ἀριθμόν, ὅπως ἂν γίνοιτο κέρδος αὐτοῖς ἡ μισθοφορὰ
τῶν ἐκλιπόντων· ταῦτα δὲ τὰ φρούρια κατερρυηκότα,
c γυμνὰ καὶ ἀνθρώπων καὶ ὅπλων. ταῦτ' οὖν ὁρῶντες
οὐκ ἀπεικότως ἐφρόνουν ἑαυτοὺς εἶναι ἀμείνονας τῶν
ἐκδρομῶν, κἂν ἄρα δοκῇ τὸν ἐκ τοῦ προφανοῦς πόλε-
μον τέως δυσωπεῖσθαι, ἀλλὰ τό γε κλωπεύειν αὐτοῖς
ἐπ' ἀδείας καθεστηκέναι. διεσπείροντο οὖν ἁπανταχόσε
τῆς ὄχθης οὐ καθ' ἕνα καὶ δύο μόνον, ἀλλ' ἤδη καὶ
κατὰ λόχους καὶ οὐλαμούς, λῃσταὶ δῆθεν, οὐ στρατιῶ-

162, 1 τοῦ πάντα Monac. 113. τὰ πάντα H. 5 δυνάμεως] ἱκανῶς Petavius. δυνάμεως εὖ Iacobsius apud Goellerum p. 269. 28 ἀμείνονας τῶν A. ἀμείνους αὐτῶν H.

ται, φόρια τὰ λάφυρα ὀνομάζοντες. ἀλλ᾽ οὐ νῦν, ἀλλ᾽ ἄνωθεν μέχρι θαλάττης δόξαις ἂν τεῖχος ἀδαμάντινον ἐληλάσθαι· τοιούτῳ καταπεπύκνωται χαρακώματι φρουρίων, ὅπλων, στρατιωτῶν. d

Ἵνα γὰρ τἄλλα παρῶ, ἓν ἐξαρκεῖ τεκμήριον ἐκλογίσασθαι τῆς περὶ ταῦτα ἐπιμελείας. ἐρῶ δὲ οὐκ ἀκοὴν ἀλλοτρίαν, ἀλλ᾽ ὧν αὐτὸς γέγονα θεατής. ἴστε δήπου τοῦτο ὅσοι γεγόνατε ἐπὶ τῆς χώρας ἐκείνης, ἣ καλλίστη μέν ἐστι τῆς Σκυθικῆς τῆς ὑπηκόου, ἥκιστα δὲ ἀσφαλὴς πρὸς τοὺς βαρβάρους, οὐ καθαροῦ διαρρέοντος αὐτὴν τοῦ ποταμοῦ, ἀλλ᾽ ἀναπεφυρμένου τῇ γῇ, καὶ τενάγους κόλπους ποιοῦντος εἰσέχοντα ἐπιπολὺ τῆς ἠπείρου, 187 a οὔτε ναυσὶν ὄντα πλωτὸν οὔτε βατὸν πορευσίμοις. αὕτη τοίνυν ἡ χώρα τέως μὲν ὁρμητήριον καθειστήκει ταῖς ἐκδρομαῖς τῶν πολεμίων, στρατῷ μὲν ἀθρόῳ καὶ προφανεῖ μὴ θαρρούντων διὰ τὸ πρόσχημα τῆς εἰρήνης, κλωπείας δὲ καὶ κακουργίας ἐν τοῖς μονήρεσι πλοίοις ποιούμενοι καὶ ναυλοχοῦντες περὶ τὰς νησῖδας ἐνέπιπτον ἐξαίφνης τοῖς προσοικοῦσιν. εἶτα ἐν ὅσῳ συνῃσθάνοντο οἱ φρουροὶ πόρρωθεν ἀλλήλων ἀφεστηκότες, καταδραμόντες ὅσα οἷόν τε ἦν ἐγκατεδύοντο τῷ ποταμῷ, τοὐντεῦθεν δὲ ἄπορον ἦν τὸ διώκειν, μήτε πλεῖν μήτε βαδίζειν συγχωροῦντος αὐτοῖς τοῦ τενάγους. b καὶ τὸ πρᾶγμα οὐκ ἦν ἀνεκτὸν, ἐν ὀφθαλμοῖς λεηλατεῖσθαι ἀμηχανοῦντας πρὸς τὴν τιμωρίαν. ἀλλ᾽ ὁ βασιλεὺς οὔτε πρὸς τὴν φύσιν τοῦ τόπου δυσμήχανος ἦν, ἀλλ᾽ ἐξευρὼν τῆς γῆς ἐκείνης λεπτὴν ταινίαν ἐς τὸ τέναγος προσιοῦσαν καὶ τελευτῶσαν εἰς ὄχθον ὑψηλὸν, ἐξ οὗ πᾶν τὸ πέριξ ἄποπτον ἦν, ἐπετείχισε φρούριον ἐκ καινῆς, ἀμυδροῖς τείχεσιν ἀκολουθήσας, ἃ τῶν πρότερόν τις αὐτοκρατόρων διὰ μὲν τὸ χρήσιμον κατεβάλετο, πρὸς δὲ τὴν δυσχέρειαν ἀπεῖπεν. c ὅπου γὰρ οὐ λίθος πλησίον, οὐ πλίν-

---

163, 1 φόρια τὰ] τὰ φόρια Iacobsius. 10 οὐ καθαροῦ Iacobsius ad Ach. Tat. p. 725. οὐκάθρου codex Monac. 113. Vulgo οὐκ ἄθρου. 21 οἷόν τε ἦν Harduinus. Vulgo τε ἦν οἷον.

θὸς ὀπτή, οὐ κονία μετὰ ῥᾳστώνης, ἀλλὰ συναγαγεῖν ἅπαντα χρὴ σταδίους τόσους καὶ τόσους μυριάσιν ὑποζυγίων, τίς οὐκ ἂν συνέγνω τοῖς ἀποστᾶσιν ὡς ἀμηχάνου τῆς ἐπινοίας; βασιλεὺς δὲ ἐνίκα τὴν Ἀμφίονος μουσικήν, ἣν ἐκεῖνος εἰς τὸν τειχισμὸν τῶν Θηβῶν ἐνεδείξατο. εἶπες ἂν αὐτομάτους μὲν φέρεσθαι τοὺς λίθους, αὐτο-
d μάτην δὲ τὴν πλίνθον, τεκτόνων δὲ ἄνευ καὶ λιθολόγων ἀνιέναι τὸ ἐπιτείχισμα· τοσαύτη μὲν ἡ τῶν στρατιωτῶν εὐπείθεια, τοσαύτη δὲ ἡ τῶν χαλεπῶν εὐκολία. κατανείμας γὰρ εἰς ἅπαντας τὴν φροντίδα καὶ μηδὲν μέρος συγχωρήσας τῆς στρατιᾶς ὑπὲρ δύναμιν πιεσθῆναι, ἀλλ' ὥσπερ φορτίον τὸ ἔργον εἰς μικρὰ διελὼν οὐκ εἴασεν οὐδ' ὁντινοῦν αἰσθέσθαι τοῦ ἄχθους, τῷ
138a πάντας μερίτας ποιῆσαι, καὶ πρῶτόν γε ἑαυτὸν ἐκ τοῦ πλείονος. ἆρα πιστεύσαιτε ἄν μοι ὅτι μηδὲ τῶν κατευναστῶν ἀπέσχετο μηδὲ τῶν προχοΐτων, ἀλλὰ κἀκεῖνοι συνεισήνεγκαν μέτρον ὡρισμένον κεράμου συντετριμμένου; ἐγὼ δὲ τέως ἐθαύμαζον τὸν Ἀλκίφρονος Δημοσθένην τοῦ προτειχίσματος τῆς Σφακτηρίας, ὅτι τοῖς στρατιώταις οὕτως ἐχρήσατο εὐηκόοις ὥστε δι' ἀπορίαν σκευῶν τὸν πηλὸν φέρειν ἐπὶ τῶν νώτων ὀπίσω τὼ χεῖρε συμπλέκοντας, ἀνθρώπους οὐ πλείους ἢ χιλίους, καὶ τούτους ἐρέτας μᾶλλον ἢ ὁπλίτας, ὑπὸ χειμῶνος ἀπειλημ-
b μένους, θριγκίον, οὐ τεῖχος κατασκευάζοντας. ὅπου δὲ ταξίαρχοι καὶ στρατηγοὶ ἀχθοφορεῖν οὐ παρῃτοῦντο, πῶς ἄν τις ἀγάσαιτο πρὸς ἀξίαν ἢ τὸν παιδεύσαντα οὕτως ἢ τοὺς οὕτω πεπαιδευμένους;

Καὶ νῦν παρατέταται μὲν ἡ εἰρήνη διὰ πάντων σχεδὸν τῶν μεθορίων, παρατέταται δὲ ἡ τοῦ πολέμου παρασκευή. οἶδε γὰρ βασιλεὺς ὡς ἐκεῖνοι μάλιστα ἀληθεύουσιν ὅσοι μάλιστά εἰσι πρὸς τὸν πόλεμον ηὐτρεπισμένοι· γέμει δὲ ἡ μὲν ὄχθη φρουρίων, τὰ δὲ φρούρια

164, 15 πιστεύσαιτε] Vulgo πιστεύσητε. 16 τῶν προχοΐτων A. τῶν om. H. 18 Ἀλκίφρονος] Immo Ἀλκισθένους. 24 θριγκίον] θριγγίον Monac. 113. 31 μάλιστά εἰσι add. A.

στρατιωτῶν, οἱ στρατιῶται δὲ ὅπλων, τὰ δὲ ὅπλα κάλλους ἅμα καὶ ἀσφαλείας. καὶ τρυφὴ μὲν ἐξελήλαται τῶν καταλόγων, περιουσία δὲ ἀπαυσῆκται τῶν ἀναγ- c καίων, δι' ἣν οἱ φρουροῦντες οὐκ ἀναγκάζονται ἀντὶ τῶν βαρβάρων πολεμεῖν τοῖς ὑπηκόοις, κἀκείνων μὲν ἀπέχεσθαι διὰ τὰς σπονδάς, φέρειν δὲ καὶ ἄγειν τοὺς γεωργοῦντας διὰ τὴν ἔνδειαν, ἀλλ' ἀντέστραπται οὐκ οἶδ' ὅπως τοῖς στρατιώταις πρὸς τὴν εἰωθυῖαν τάξιν ὁ φόβος καὶ ἡ θρασύτης. καταφρονοῦσι μὲν γὰρ τῶν βαρβάρων, ὑποδεδοίκασι δὲ τοὺς γεωργούς. καὶ τὸ παρ' ἐκείνων μέμψιν ὑπομεῖναι φοβερώτερον αὐτοῖς ἢ μυριάδες Σκυθῶν ἐπιοῦσαι. οὕτω καὶ ἔξωθεν καὶ ἔν- d δοθεν ἡμᾶς εἰρήνη κατέχει, τοὺς πολεμίους μὲν ὁ τῶν ὅπλων φόβος, τοὺς στρατιώτας δὲ ὁ τῶν νόμων. διείργει δὲ Σκύθας Ῥωμαίων οὐ ποταμός, οὐ τέναγος, οὐ θριγκία· ταῦτα μὲν γὰρ ἄν τις καὶ διακόψειε καὶ διαπλεύσειε καὶ ὑπερβαίη· ἀλλὰ φόβος, ὃν οὐδεὶς πώποτε ὑπερέβη καταδεέστερον εἶναι πεπιστευκώς. καὶ τρόπαιον ἕστηκε ταύτης τῆς νίκης οὐκ ἐκ λίθου πεποιημένον οὐδὲ χαλκοῦν ἢ χρυσοῦν πεπηγὸς ἐφ' ἑνὸς χωρίου, ἀλλ' ἅπασι 139 a μὲν βαρβάροις, ἅπασι δὲ Ῥωμαίοις ἐνδιαιτώμενον· καὶ τοῦτο ἀνέστησε βασιλεὺς οὐ πλήθει φόνων καὶ τραυμάτων οὐδὲ σωροῖς νεκρῶν ἀδιηγήτων, ἀλλὰ μόνῃ τῇ προσεδρίᾳ καὶ τῇ καρτερίᾳ.

Ἦν τις ἐπὶ τῶν προγόνων τῶν ἡμετέρων πύκτης ἀνήρ, Μελαγκόμας ὄνομα αὐτῷ, κάλλιστός τε καὶ μέγιστος καὶ τὴν τέχνην εὐδοκιμώτατος, οὗ καὶ τὸν Τίτον φασὶν ἐραστὴν γενέσθαι τὸν αὐτοκράτορα. οὗτος οὐδένα πώποτε τρώσας οὐδὲ πατάξας μόνῃ τῇ στάσει καὶ τῇ τῶν χειρῶν ἀνατάσει πάντας ἀπέκναιε τοὺς ἀνταγω- b νιστάς. ἀπῆεσαν οὖν τῇ μὲν φειδοῖ χαίροντες, τῆς δὲ παρασκευῆς ἡττημένοι. ταῦτα καὶ πρὸς τὸν βασιλέα νῦν πεπόνθασιν οἱ πολέμιοι. νενίκηνται γὰρ ἄνευ τοῦ

165, 16 θριγκία] Vulgo θριγγία. Conf. p. 164, 24.
18 καταδεέστερον A, καταδεέστερα H, καταδεέστερος Stephanus.
26 Μελαγκόμας] „Conf. Dion. orat. de Melanc. XXVIII. et XXIX.“ Iacobsius. 33 ἄνευ τοῦ παρατάξασθαι A. ἄνευ παρατάξεως H.

παρατάξασθαι καὶ πεπτώκασιν ἄνευ τοῦ στῆναι. οὐ γὰρ τοῖς σώμασιν ἥττηνται οὐδὲ τοῖς ὅπλοις, ὑφ' ὧν καὶ οἱ βελτίους πολλάκις ἐλαττοῦνται τῶν φαυλοτέρων, ἀλλὰ τῇ γνώμῃ καὶ τῇ διανοίᾳ καὶ τῷ πολὺ χείρους εἶναι πεισθῆναι. οὔκουν περίεστιν αὐτοῖς ἢ κλέμμα στρατηγῶν αἰτιάσασθαι ἢ ἐνέδραν ἢ δυσχωρίαν ἢ τὸ
c *ἀδοκήτοις ἐπιπεσεῖν, ἃ δίδωσιν ἐλπίδα τοῖς ἡττημένοις τοῦ πάλιν ἐκ τῆς ἥσσης ἀναμαχέσασθαι, ἀλλὰ καὶ χρόνον προσλαβόντες εἰς παρασκευὴν καὶ πόλεμον νόμιμον καὶ προφανῆ πολεμούμενοι οὐκ ἤνεγκαν τὴν προβολὴν τοῦ βασιλέως, ἣν προβαλλόμενος ἐν τρισὶν ὅλοις ἐνιαυτοῖς ἀπειπεῖν ἠνάγκασε τοὺς δειλαίους, ἐν οἷς οὔτε χειμῶνος ἀντεπελθεῖν οὔτε θέρους ἀντιστῆναι τολμήσαντες δὶς καθ' ἕκαστον ἔτος ἡττῶντο.*

Καὶ νῦν περίεστιν ἡμῖν οὐ τοὺς νεκροὺς ἀριθμεῖν, ὅσων κρείττους γεγόναμεν, ἀλλὰ τοὺς ζῶντας, οὐδὲ
d *κεκρατηκέναι μέν, οὓς δὲ ἐκρατήσαμεν μὴ ἔχειν. οὕτω γίνονται κρείττους ἄνθρωποι ἀνθρώπων, ἐκείνως δὲ ἄρκτων καὶ συῶν καὶ παρδάλεων. καίτοι γε ἐκείνων σπέρμα κυνηγετοῦντες ὑπολιμπάνομεν, ὁ δ' ἐξαιρῶν παντελῶς ἀλιτήριος τῆς ἄγρας νομίζεται. εἶτα θηρίων μὲν τῶν ἀγριωτάτων, ἃ διείργει πρὸς ἡμᾶς οὐκ Ἴστρος οὐδὲ Ῥῆνος, ἀλλ' ἡ φύσις αὐτή, φειδὼ ποιούμεθα,*
140 a *ὅπως ἂν τῷ γένει σώζοιτο καὶ διαμένοι, καὶ δυσχεραίνομεν ἐξηρημένων ἐκ Λιβύης μὲν ἐλεφάντων, ἐκ Θετταλίας δὲ λεόντων, ἐκ δὲ τῶν ἑλῶν τῶν περὶ τὸν Νεῖλον τῶν ἵππων τῶν ποταμίων, ἔθνος δὲ ἀνθρώπων, καὶ εἰ πάνυ φαίη τις βαρβάρων, ἀλλὰ ἀνθρώπων, ἐπηχός, ὑποκῦπτον, ἐφ' ἡμῶν κεῖσθαι ὁμολογοῦν, οὐ θαυμασόμεθα τὸν μὴ παντελῶς ἐξελόντα, ἀλλὰ περιποιήσαντα καὶ φεισάμενον;*

Ἀναμιμνήσκομαι δὲ ὅτι τῶν παλαιῶν αὐτοκρατό-
b *ρων ὁ μέν τις Ἀχαϊκὸς ἐπεκλήθη, ὅτι τὴν Ἑλλάδα*

166, 8 *ἥσσης*] Vulgo *ἴσης*. „Codices Ambrosiani habent *ἥσσης*: alter in margine *γρ. ἴσης, ἤγουν μοίρας*." Wyttenbach. ad Iulian. II. p. 24. 10 *προβολήν*] *προσβολὴν* A.

ἀνάστατον ἐποίησε, Μακεδονικὸς δέ τις ἕτερος, ὅτι τὴν Μακεδονίαν ἔρημον καὶ ἀοίκητον, Σκηπίων δὲ ὁ μέγας ἐκεῖνος ὁ τοῦ πάνυ Σκηπίωνος υἱιδοῦς τὸν Ἀφρικανὸν ἐκτήσατο ἐπώνυμον παρὰ τοῦ δήμου καὶ τῆς γερουσίας, ὅτι Καρχηδόνα ἀπειποῦσαν καὶ παντελῶς ἐκτετρυχωμένην εἰς ἔδαφος κατήρραξε καὶ ἠφάνισεν. εἰ δὲ ἐξ ὧν ἀπώλλυον οὕτως τὰς ἐπικλήσεις ἐκομίζοντο δικαίως, πολλῷ σὺ δικαιότερον ἂν ἐξ ὧν περιεποίησας ὀνομάζοιο. οὕτω γὰρ καὶ τοὺς θεούς, οἶμαι, καλοῦμεν, τὸν μὲν Δία Πελασγικόν, Ἀμυκλαῖον δὲ τὸν Ἀπόλλωνα, Κυλ- c
λήνιον δὲ τὸν Ἑρμῆν, ἐξ ὧν μάλιστα ἀγαπῶσι χωρίων καὶ ἃ μάλιστα διασώζουσι. τίνα οὖν ἐπικαλεῖσθαι μάλιστα Γοτθικὸν προσήκει; δι' ὃν εἰσὶ Γότθοι καὶ σώζονται, ἢ δι' ὃν οὐκέτ' ἂν ἦσαν, εἰ προείλετο; Πύρρος ἦν Ἠπειρωτῶν βασιλεύς, πολλὰ μὲν Μακεδόσι, πολλὰ δὲ Ἕλλησιν ἐνοχλήσας, τὰ δὲ τελευταῖα καὶ Ῥωμαίοις παρασχὼν πράγματα· οὗτος πολλῶν κρατήσας πολλάκις οὐδεπώποτε ἠγάπησε τὰ παρόντα, ἀλλ' ὧν οὔπω κύριος ἦν μόνα ἑώρα. συνέβη τοίνυν αὐτῷ πολέμους d
ἐκ πολέμων ἀλλαττομένῳ ἐν τῷ νικᾶν ἀναλωθῆναι, καὶ οὐδὲν ὤνησε Κινέας πόρρωθεν αὐτοῦ τὴν ἀπληστίαν ἐπιρραπίζων, ὅτι τῶν πολλῶν καὶ ἀνηνύτων κινδύνων ἐκείνων τὸ πέρας ὁ κώθων ἐστίν, ὅταν εὐπραγήσῃ, οὗ καὶ νῦν ἔξεστιν οἴκοι καθημένῳ καὶ ἣν παρέλαβεν ἀρχὴν διασώζοντι ἀπολαύειν μετὰ ἀσφαλείας.

Ἀλλ' οὐχ ἵστησι τοὺς ἀεὶ τοῦ πλείονος ὀρεγομένους πέρας οὐδέν, οὐδὲ ὅρος οὐδείς, οὐδ' ἂν πέλαγος 141 a
εἴπῃς Ἀτλαντικόν. οἷς γὰρ οὐ πέπηγεν ὅρος ἐν τῇ ψυχῇ, οὐδὲ ἐν τῇ γῇ. πολεμοῦσι δὲ τὴν ἑαυτῶν ἐμπιπλάντες ἐπιθυμίαν, οὐ τοῦ κοινῇ συμφέροντος προνοούμενοι. ἀλλ' οὐ βασιλεύς, ἀλλ' ἄχρι τούτου χαλεπὸς καὶ ἀπαραίτητος ἄχρι ἂν τὸ κοινὸν ὕποπτον ᾖ, τούτου δὲ αὐτῷ εὖ τιθεμένου τὰ λοιπὰ εἶναι δοκεῖ περιττὴ

167, 23 ὁ κώθων A et Monac. 113. οἴκοθεν H. „Vide Plutarchi Vit. Pyrrhi c. 14.“ Iacobsius. 32 ἄχρι ἂν] Vulgo ἄχρις ἄν.

φιλοτιμία. ἀλλὰ τὰ μὲν πρὸς τοὺς βαρβάρους εὖ ἔχει
b καὶ ἕξει, σὺ δέ μοι τὴν εἰρήνην τοῖς ὑπηκόοις ἔγκαρπον ποίει καὶ ἐνεργόν, καὶ χωρείτω διὰ πάσης, ὡς ἔπος εἰπεῖν, τῆς ἀρχῆς. ἄκουε γὰρ Πλάτωνος τοῦ θεσπεσίου, ὅτι μήτε Κῦρος μήτε Δαρεῖος βασιλεὺς ἦν· πολλῷ δὲ μᾶλλον τὸν Ἀλέξανδρον οὐκ ἂν ἔφη. ἐοίκασι γὰρ ἅπαντες οὗτοι καθάπερ σώματος τῆς ἀρχῆς ὅπως μὲν τοῖς ἔξωθεν καλὸν φανήσεται προϊδεῖν, ὅπως δὲ καὶ ἔνδοθεν ὑγιαίνοι μὴ φροντίσαι. καὶ δῆτα συμβέβηκεν αὐτοῖς στρατηγοῖς μὲν γενέσθαι, βασιλεῦσι δὲ
c μή. ἔστι δὲ στρατηγίας μὲν ἔπαινος ἡ τῶν πολεμίων καταστροφή, βασιλείας δὲ ἡ τῶν ὑπηκόων εὐδαιμονία.

168, 3 χωρείτω A. πορείτω H. 8 τοῖς ἔξωθεν A. τὸ ἔξωθεν H. καλὸν add. A.

XI.

ΔΕΚΕΤΗΡΙΚΟΣ Η ΠΕΡΙ ΤΩΝ ΠΡΕΠΟΝΤΩΝ ΤΩΙ ΒΑΣΙΛΕΙ.

Ἄρα ὥσπερ στέφανοι καὶ ὑφάσματα ἐξῄρηται ὑπὸ τῶν d ἀνθρώπων ἃ βασιλεῖ μόνῳ δορυφορεῖν τάττει ὁ νόμος, ἰδιώτῃ δὲ οὐ θέμις, ἀλλὰ χαλεπαίνει ἡ πολιτεία, εἴ τις ἐγχειροίη ἢ χλαῖναν καθ' Ὅμηρον πορφυρέην, ἢ λιθοκολλήτους ζωστῆρας ἄλλῳ τινὶ καὶ μὴ ἐκείνῳ μόνῳ ἐργάζεσθαι,

Ὡι λαοί τ' ἐπιτετράφαται καὶ τόσσα μέμηλε,

καὶ τέτακται αὐτοῦ ὥσπερ σύμβολα ἱερὰ καὶ κόσμος 142 a ἄθικτος καὶ ἀνέπαφος τοῖς ἀρχομένοις, οὕτω δὲ ἄρα καὶ λόγοι τινές εἰσιν ἐκ τῶν λόγων, οὓς μόνῳ βασιλεῖ προσοιστέον καὶ μόνῳ ἀπαρκτέον καὶ μόνῳ ἀποθυτέον, ὥσπερ ἱερῶν τῷ Διί, ἐξ ὧν οὐ θέμις ἄλλῳ θεῷ ἱερουργῆσαι; ἢ τὸ μὲν σῶμα αὐτοῦ κόσμον ἕξει ἀποκρινόμενον καὶ τέχνας τὸν κόσμον τοῦτον ἐργαζομένας, καὶ παρακολουθοῦσιν αὐτῷ ὑφάνται καὶ χρυσοχόοι καὶ σκυτοτόμοι καὶ ἀκεσταί, ὧν οὐκ ἄν τις ἀξιώσειεν ἄλλῳ ἐπιτάττοντι ὑποργήσειν, ἀλλ' ἄκοινος αὐτοῖς καὶ ἀπόρρητος b πρὸς τοὺς πολλοὺς ἡ τῶν ἔργων παρασκευή, ἡ ψυχὴ δὲ οὐχ ἕξει κόσμον οἰκεῖον οὐδ' ἐπιστήμην τοῦ κόσμου τούτου ὑψοῦ ὁρῶσαν, ἀλλὰ θεραπεύσουσιν αὐτὴν αἱ χαμαὶ ἐρχόμεναι καὶ ἐν τῷ πάτῳ τῶν πολλῶν ἀνθρώπων καὶ προτείνουσαι τὰ ἔργα τὰ αὐτῶν ὁμοίως πᾶσι τοῖς δεομένοις, ὥσπερ αἱ τὰ σιτία τε καὶ τὰ ποτὰ

169, 16 ἐργαζομένας A. ἀπεργαζομένας H. 19 ἐπιτάττοντι ὑπουργήσειν A: ἐπιτάττειν ὑπουργεῖν H. Sic [illegible] ἐπιτρέψειν p. 210 a.

ἀλλαττόμεναι παντὶ τῷ διδόντι ἀργύριον ἐν τοῖς δημοσίοις πωλητηρίοις;

Εἰ μὲν δὴ ἅπασαι αἱ τέχναι τῶν λόγων βάναυσοί
c τέ εἰσι καὶ φιλοψευδεῖς καὶ φορτικαὶ, οὐκ ἂν εἴη τῇ ψυχῇ τῇ βασιλίδι κόσμος οἰκεῖος, ἀλλὰ πάντες ὑποδεεῖς καὶ ἀνάρμοστοι. εἰ δέ τις καὶ λόγων τέχνη ἐστὶν ἀρχική τε καὶ ἐλευθέρα καὶ ἕπονται αὐτῇ αἱ λοιπαὶ ὥσπερ βασιλίδι, αἱ μὲν ἐγγυτέρω δορυφοροῦσαι, αἱ δὲ πορρωτέρω, ταύτης ἂν εἴη τοῦτο ἔργον, λέγω δ' ὁ κόσμος τῆς βασιλίδος ψυχῆς καὶ θεραπεία. μόνῃ γὰρ αὐτῇ οἷόν τε καὶ ἰδεῖν τὴν ψυχὴν ταύτην καὶ ἐρευνῆσαι καὶ μὴ στῆναι ἄχρι τῶν προθύρων καὶ παραπετασμάτων, ἀλλ' ἐνδῦναι εἰς τὸ βάθος καὶ ἐφικέσθαι τῆς καταγωγῆς, ἐν ᾗ κατασκηνοῖ ὁ ἀληθινὸς βασιλεὺς, καὶ
d οὐκ ἐκπλήττουσιν αὐτὴν οἱ ἔξω δορυφόροι καὶ ῥαβδοφόροι οὐδὲ ἡ πολλὴ περὶ τὰ βασίλεια ἡσυχία, ἀλλὰ τὸν εἴσω θρόνον ἐπιζητεῖ καὶ τὰ ἐν τῇ γνώμῃ βασίλεια, καὶ εἰ ἐκεῖ ἔνεστιν ἡσυχία καὶ εἰ ἐκεῖ ἐφεστήκασι δορυφόροι, μὴ ἐῶντες εἰσφοιτᾶν τὸν πολὺν συρφετόν. γένος γὰρ τῇ ἐπιστήμῃ ταύτῃ ἔνεστιν, οὐκ ἔνθεν ποθὲν ἀπὸ
143a τῆς γῆς, ἀλλ' ἄνωθεν ἐκ τοῦ οὐρανοῦ καὶ τῆς τοῦ Διὸς ἀρχῆς τοῦ πάντων πατέρος καὶ βασιλέως· οὗ γέννημα ἱερὸν καὶ εἰκὼν ἡ ἐπὶ τῆς γῆς βασιλεία. ἅτε οὖν ἀεὶ περὶ τὸ ἀρχέτυπον τεταμένη αὕτη ἡ τέχνη καὶ τὴν εἰκόνα οὐ χαλεπῶς γνωρίζει καὶ ἐξετάζει. εἰκὼν δὲ ἐκείνου τοῦ ἀρχετύπου οὐχ ὁ τῷ μεγέθει ὑπερφέρων οὐδὲ ὁ τῷ κάλλει τοῦ σώματος, ἀλλ' οὐδὲ ὅστις ποδωκέστατος, οὐδὲ ὅστις βάλλειν ἐπισκοπώτατος· ταῦτα γὰρ καὶ Καμβύσῃ ὑπῆρχε τῷ μαινομένῳ καὶ Ξέρξῃ τῷ ἀλαζόνι· ἀλλ' ὅστις τὴν γνώμην θεοειδὴς καὶ διοτρεφὴς καὶ Διὶ
b μῆτιν ἀτάλαντος. ὁ γὰρ τοιοῦτος ὑπὸ θάρσους καὶ τοῦ εἰδέναι ὅτι κόσμος ἀποχρῶν αὐτῷ ἡ ἀλήθεια ἀγαπᾷ μὲν καὶ τὰς ἄλλας τέχνας τῶν λόγων, προσκαλεῖται δὲ ἐκείνην μόνην, ἧς ἐπίσταται τὸ ψεῦδος πορρωτάτω

170, 10 βασιλίδος] βασιλέως A. 19 εἰσφοιτῶν A. εἴσω φοιτᾶν H. 23 ἅτε οὖν ἀεὶ A. ἀεὶ οὖν H.

ἀπῳκισμένου, καὶ ταύτην μόνην οὐκ ἀποκνεῖ εἰσπράττεσθαι, οἷόν τινα ἐτήσιον τοῦ ἔργου εἰσφοράν. ἀλλὰ καὶ μελλούσης οὐ καρτερεῖ καὶ εὐλαβουμένης οὐ ξυγχωρεῖ καὶ χρόνον αἰτούσης εἰς τὴν παρασκευὴν οὐκ ἀνέχεται. καὶ ἔστι μὲν δὴ ἀτεχνῶς λόγος ἔργου σκιή· ὁ δὲ καὶ μᾶλλον αὐτὸν ποιεῖ σκιάν, ἐπείγων τε καὶ ἐπαναγκάζων. c

Καὶ μὴ δυσχεράνητε πρὸς τῶν Μουσῶν, ὦ φίλοι ἑταῖροι, εἰ φαινοίμην ἐγὼ ἐπιγαυρούμενος τῇ εἰσπράξει τοῦ βασιλέως, ἥν με ἐφ' ἁπάντων ὑμῶν εὐθύς τε ἰδὼν εἰσεπράττετο καὶ οὐκ ἀνῆκεν ἐφεξῆς, ἕως ἧκον αὐτῷ συσκευασάμενος τὰ δῶρα, ἅττα ἐν ὀλίγῳ δεδύνημαι. εἰ δ' ἵππων ὑπόχρεως ἦν ἢ χρυσίου ἢ ἱματίων, πάντως ἄν με ἀφῆκεν, εὖ οἶδα, καὶ ἀπωνάμην ἂν καὶ ἐγὼ τοῦ κύκλου τῆς δεκάδος τῶν εὐδαιμόνων ἐνιαυτῶν, ὥσπερ οἱ γεωργοί. νῦν δὲ ἐκείνοις μέν που ἀφήσει οὐκ d *εἰς μακρὰν τὰ ἐλλείμματα, ἀφήσει δὲ καὶ ἑτέροις πολλοῖς βαρύτερα ὀφλήματα τῶν χρημάτων· τοῖς λόγοις δὲ οὐκ ἀφήσει τὸ ὄφλημα οὐδὲ χαριεῖται, ἀλλὰ καὶ φιλονεικήσει καὶ φιλοτιμήσεται τῇ φιλονεικίᾳ, καὶ οὐκ ἐπιστήσει ἀρχὴν τῇ εἰσπράξει ταύτῃ οὐδὲ στρατιώτην, ἀλλὰ αὐτὸς εἰσπράξεται δι' ἑαυτοῦ καὶ αὐτὸς ἀποδέξεται, μᾶλλον δὲ αὐτὸς ἔσται τὸ ταμιεῖον καὶ οὐκ ἀπαναλώσει τοῦδε τοῦ θησαυροῦ οὐδὲ προήσεται, ἀλλὰ* 144a *τὸ χρυσίον μὲν δαπανήσει καὶ τὸ ἀργύριον καὶ τὰς χλαμύδας καὶ τοὺς χιτῶνας, τὰ δὲ ἐμὰ δῶρα κατασημανεῖται καὶ περιοίσει σὺν ἑαυτῷ καὶ ᾗ ἂν μένῃ καὶ ᾗ ἂν βαδίζῃ. καίτοι ᾤμην αὐτῷ κατακορής τε ἤδη καὶ πλήσμιος εἶναι τοσαῦτα μὲν ἐν τῇ βασιλίδι πόλει, τοσαῦτα δὲ ἐπὶ τῷ Ἴστρῳ διειλεγμένος· ἀλλὰ γὰρ ἔοικεν ὁ ἀνὴρ νίκης μὲν οὐκ εἶναι ἀκόρητος, ἀλλὰ καὶ ἑκὼν κατατίθεσθαι, τῶν δὲ*

171, 4 *τὴν παρασκευὴν* A. *τὴν* om. H. 5 *λόγος ἔργου σκιή*] „Conf. p. 200 d. Plutarch. Mor. p. 348 b. Lennep. ad Phalar. p. 260.“ Iacobsius. 14 *καὶ ἐγὼ* A. *καὶ* om. H. 22 *καὶ αὐτὸς*] *καὶ οὗτος* A.

φιλοσοφίας λόγων ἀκόρεστος εἶναι καὶ ῥᾷον συγχωρήσειν b ἀργίαν στρατευομένῳ ἢ φιλοσοφοῦντι σιωπήν.

Ὥρα οὖν μοι ἐκτίνειν, ὅπως ἂν δυναίμην, ἄνευ θωπείας καὶ κολακείας· ἄλλως γὰρ ποιοῦντι οὐ συγχωρήσει τὰ παιδικά, ἀλλὰ δυσχερανεῖ καὶ ἀχθεσθήσεται, εἰ μὴ ἐμμάρτυρα φθεγγοίμην ὁπόσα φθεγγοίμην. προκάθηται δέ, ὡς ὁρᾶτε, ἐπ' αὐτῷ τούτῳ καὶ ἕτοιμος εἰς τὴν ψυχὴν καταδέχεσθαι ἃ ἐγγράφοιμι μᾶλλον ἢ τὸ c κήρινον ἐκμαγεῖον τὰ γράμματα τοῦ σιδηρίου. τῷ τοι ἐκεῖνο μὲν ἐξαλήλιπταί μοι πολλάκις, τῇ δὲ βασιλέως ψυχῇ ἐγκεκολαμμένοι εἰσὶν οἱ τύποι καὶ παραγγέλσεις τῆς φιλοσοφίας, καὶ οὔτ' ἂν ἡδονὴ αὐτοὺς ἀϊστώσειεν οὔτ' ἂν θυμὸς ἐπαχλύσειεν, ἀλλ' ἀκραιφνεῖς ἐνεστήκασι καὶ ἀεὶ ἐν ἀκμῇ πρὸς τὰ ἔργα ἃ παρηγγέλθησαν παρωξυμμένοι. καίτοι οὐδὲ αὐτοπροσώπως ἐπαφῶνται, ἀλλὰ δι' ἑτέρων ὀνομάτων οἷον πορθμείων. ἀλλ' d ὅμως ὑπὸ φιλολογίας τε καὶ φιληκοΐας οὐ τὰ ῥήματα ἐπιζητεῖς τὰ ὁμοήθη, ἀλλὰ τὸν νοῦν ἀγαπᾷς, ὃν τὰ ῥήματά σοι ἐξαγγέλλει, καὶ ἀπρὶξ ἔχῃ τῆς γνώμης τῶν ὀνομάτων καὶ οὐ μεθίεσαι, ὥσπερ οἱ τῶν καλῶν σωμάτων ἐρῶντες πρὸς μὲν τὰ ἀμφιέσματα οὐ διαφέρονται, εἴτε Ἑλληνικὰ εἴη εἴτε χλαμύδες, τὰ σώματα δὲ αὐτὰ ἐξετάζουσιν ὧν ἐρῶσι.

Καὶ ἔγωγε ἐνεθυμήθην πολλάκις ὅτι οὐκ ἄλλο τί 145a σοι αἴτιον τῆς πολυυμνήτου φιλανθρωπίας ἢ ἡ φιλολογία τε καὶ φιληκοΐα. τὸν γὰρ λόγων ἐρῶντα ἀνάγκη καὶ ἀνθρώπων ἐρᾶν, ὥσπερ εἴ τις ποδώκειαν θαυμάζοι, τούτῳ ἀνάγκη ἵππους θαυμάζειν· καὶ ὅστις ἀλκήν, τούτῳ λέοντας· καὶ ὅστις εὐφωνίαν, τούτῳ τὰ ᾠδικώτατα τῶν ὀρνέων. καὶ οὖν ὁ σοφίαν τεθαυμακὼς καὶ ὕψου ἐξαίρων ἀεὶ καὶ σύνθακον ἑαυτῷ παραλαμβάνων δῆλός ἐστιν ὅτι εἰκότως τὸ ζῷον τοῦτο ἀγαπᾷ καὶ περὶ

172, 9 τῷ τοι] Vulgo τῷ τοίνυν: τῷ γραφείῳ τοίνυν ἐκεῖνο F. A. Wolfius. 10 ἐκεῖνο] ἐκεῖνα Iacobsius. 25 τῆς πολυυμνήτου A. τῆς om. H.

πλείστου ποιεῖται, ᾧ μόνῳ σοφίας ἐνέσταξε σπέρματα ὁ θεός.

Καλὰ μὲν δὴ καὶ τὰ Φιλίσκου εἰς Ἀριστοτέλην, b καὶ τὰ Ἀλεξάνδρου εἰς Ξενοκράτην καὶ τὰ τοῦ Σεβαστοῦ εἰς Ἄρειον, καὶ ὅσα Τραϊανὸς εἰς Δίωνα ἐπεδείξατο, καὶ ὅσα Τιβέριος εἰς Θρασύλον, καὶ ὁπόσα Μάρκος εἰς Σέξτον· ἐνταῦθα δὲ δεῖ καὶ τὰ τοῦ ἐμοῦ αὐτοκράτορος πρὸς τὸν τηνικαῦτα φιλοσοφοῦντα ἐν Βυζαντίῳ, ἀλλὰ πρὸς τὸν οὐκ ἐραστὴν, ὦ μακάριε, ὃν φιλοσοφίας ἐρᾷς, τί ἂν εἴη σύμπαντα ἐκεῖνα ἀπαριθμοῦντι, μὴ σὺν νεμεσήσαιμι πρὸς τῶν θεῶν, εἰ μικρὸν τῷ λόγῳ τούτῳ ἐνδιατρίψαιμι. τί γὰρ ἂν καὶ ἕτερον λόγος καλλί- c γώτερον ἐπαινοίη φιλολογίας;

Ἔστι μὲν οὖν, οἶμαι, ἐν ἑκάστῃ τέχνῃ καὶ ἐπιστήμῃ τὸ μέν τι ἐπαληθεῦον τῇ τέχνῃ, τὸ δὲ ἐξαπατῶν τῷ ὀνόματι καὶ ψευδόμενον, καὶ ἐπιὼν ἑκάστην οὐ χαλεπῶς ἐξευρήσεις· οἷον ἰατροὺς τοὺς μὲν ὄντας, τοὺς δὲ δοκοῦντας, καὶ γραμματιστὰς τοὺς μὲν ὄντας, τοὺς δὲ οἰομένους, καὶ ῥήτορας τοὺς μὲν ἱκανοὺς, τοὺς δὲ ἄχρι τοῦ ὀνόματος. τίς οὖν ἐπαινέτης ἰατρικῆς; ἆρ' ὁ μετ' ἴσης σπουδῆς ἅπαντας ἄγων τοὺς ἰατροὺς * * * εἶναι ἐνομίσθη; ἢ ὁ τοὺς μὲν ἐπιστήμονας εἰσκαλῶν, τοὺς δὲ d ἀμαθεῖς ἀποκλείων; ταὐτὸ δὲ τοῦτο καὶ ἐπὶ τῶν γραμματιστῶν καὶ τῶν ῥητόρων. ὁ μὲν τὸν ἐξαμαρτάνοντα ἐν τῇ τέχνῃ οὐδέν τι μεῖον περιέπων τε καὶ σπουδάζων οὐ τὴν τέχνην ἀγαπᾷ, ἀλλὰ τὸν ἄνθρωπον, ὁ δὲ μόνους τοὺς εὐδοκίμους καὶ κορυφαίους, οὗτός ἐστιν ὁ τῆς τέχνης ἐκείνης ἐραστής. οὐδὲ γὰρ φίλιππον ἄν τις καλοίη δικαίως ὅστις ἅπαντας ἵππους ἀσπάζεται παρα- 146 a πλησίως, ἀλλ' ὅστις τοὺς γαύρους καὶ εὐηνίους καὶ ποδώκεις ἅμα καὶ διαρκεῖς, οὕτω δὴ καὶ φιλόλογον καὶ φιλόσοφον τὸν συναύξοντα τοὺς ἀρίστους τῶν λόγων

173, 6 Θρασύλον] Θράσυλον A. Θράσυλλον H. 8 φιλοσοφοῦντα] τὸν ζήνωνα, ῥῆμα, λέγει schol. A. 14 Ἔστι μὲν [οὖν] ἔστιν οὖν A, sed ν in ἔστιν a m. rec. 21 Post ἰατροὺς indicavi lacunam. 27 μόνους A. μόνον H.

θὸς ὀπτή, οὐ κονία μετὰ ῥᾳστώνης, ἀλλὰ σκευαγωγεῖν ἅπαντα χρῆ σταδίους τόσους καὶ τόσους μυριάσιν ὑποζυγίων, τίς οὐκ ἂν συνέγνω τοῖς ἀποστᾶσιν ὡς ἀμηχάνου τῆς ἐπινοίας; βασιλεὺς δὲ ἐνίκα τὴν Ἀμφίονος μουσικήν, ἣν ἐκεῖνος εἰς τὸν τειχισμὸν τῶν Θηβῶν ἐνεδείξατο. εἶπες ἂν αὐτομάτους μὲν φέρεσθαι τοὺς λίθους, αὐτομάτην δὲ τὴν πλίνθον, τεκτόνων δὲ ἄνευ καὶ λιθολόγων ἀνιέναι τὸ ἐπιτείχισμα· τοσαύτη μὲν ἡ τῶν στρατιωτῶν εὐπείθεια, τοσαύτη δὲ ἡ τῶν χαλεπῶν εὐκολία.

d καταγνείμας γὰρ εἰς ἅπαντας τὴν φροντίδα καὶ μηδὲν μέρος συγχωρήσας τῆς στρατιᾶς ὑπὲρ δύναμιν πιεσθῆναι, ἀλλ' ὥσπερ φορτίον τὸ ἔργον εἰς μικρὰ διελών, οὐκ εἴασεν οὐδ' ὁντιναοῦν αἰσθέσθαι τοῦ ἄχθους, τῷ

138 a πάντας μερίτας ποιῆσαι, καὶ πρῶτόν γε ἑαυτὸν ἐκ τοῦ πλείονος. ἆρα πιστεύσαιτε ἄν μοι ὅτι μηδὲ τῶν κατευναστῶν ἀπέσχετο μηδὲ τῶν προκοίτων, ἀλλὰ κἀκεῖνοι συνεισήνεγκαν μέτρον ὡρισμένον κεράμου συντετριμμένου; ἐγὼ δὲ τέως ἐθαύμαζον τὸν Ἀλκίφρονος Δημοσθένην τοῦ προτειχίσματος τῆς Σφακτηρίας, ὅτι τοῖς στρατιώταις οὕτως ἐχρήσατο εὐηκόοις ὥστε δι' ἀπορίαν σκευῶν τὸν πηλὸν φέρειν ἐπὶ τῶν νώτων ὀπίσω τὼ χεῖρε συμπλέκοντας, ἀνθρώπους οὐ πλείους ἢ χιλίους, καὶ τούτους ἐρέτας μᾶλλον ἢ ὁπλίτας, ὑπὸ χειμῶνος ἀπειλημ-

b μένους, θριγκίον, οὐ τεῖχος κατασκευάζοντας. ὅπου δὲ ταξίαρχοι καὶ στρατηγοὶ ἀχθοφορεῖν οὐ παρῃτοῦντο, πῶς ἄν τις ἀγάσαιτο πρὸς ἀξίαν ἢ τὸν παιδεύσαντα οὕτως ἢ τοὺς οὕτω πεπαιδευμένους;

Καὶ νῦν παρατέταται μὲν ἡ εἰρήνη διὰ πάντων σχεδὸν τῶν μεθορίων, παρατέταται δὲ ἡ τοῦ πολέμου παρασκευή. οἶδε γὰρ βασιλεὺς ὡς ἐκεῖνοι μάλιστα ἀληθεύουσιν ὅσοι μάλιστά εἰσι πρὸς τὸν πόλεμον ηὐτρεπισμένοι· γέμει δὲ ἡ μὲν ὄχθη φρουρίων, τὰ δὲ φρούρια

164, 15 πιστεύσαιτε] Vulgo πιστεύσητε. 16 τῶν προκοίτων A. τῶν om. H. 18 Ἀλκίφρονος] Immo Ἀλκισθένους. 24 θριγκίον] θριγγίον Monac. 113. 31 μάλιστά εἰσι add. A.

στρατιωτῶν, οἱ στρατιῶται δὲ ὅπλων, τὰ δὲ ὅπλα κάλλους ἅμα καὶ ἀσφαλείας. καὶ τρυφὴ μὲν ἐξελήλαται τῶν καταλόγων, περιουσία δὲ ἀπεσμῆκται τῶν ἀναγ- c
καίων, δι' ἣν οἱ φρουροῦντες οὐκ ἀναγκάζονται ἀντὶ τῶν βαρβάρων πολεμεῖν τοῖς ὑπηκόοις, κἀκείνων μὲν ἀπέχεσθαι διὰ τὰς σπονδάς, φέρειν δὲ καὶ ἄγειν τοὺς γεωργοῦντας διὰ τὴν ἔνδειαν, ἀλλ' ἀντέστραπται οὐκ οἶδ' ὅπως τοῖς στρατιώταις πρὸς τὴν εἰωθυῖαν τάξιν ὁ φόβος καὶ ἡ θρασύτης. καταφρονοῦσι μὲν γὰρ τῶν βαρβάρων, ὑπερδεδοίκασι δὲ τοὺς γεωργούς. καὶ τὸ παρ' ἐκείνων μέμψιν ὑπομεῖναι φοβερώτερον αὐτοῖς ἢ μυριάδες Σκυθῶν ἐπιοῦσαι. οὕτω καὶ ἔξωθεν καὶ ἔν- d
δοθεν ἡμᾶς εἰρήνη κατέχει, τοὺς πολεμίους μὲν ὁ τῶν ὅπλων φόβος, τοὺς στρατιώτας δὲ ὁ τῶν νόμων. διείργει δὲ Σκύθας Ῥωμαίων οὐ ποταμός, οὐ τέναγος, οὐ θριγκία· ταῦτα μὲν γὰρ ἄν τις καὶ διακόψειε καὶ διαπλεύσειε καὶ ὑπερβαίη· ἀλλὰ φόβος, ὃν οὐδεὶς πώποτε ὑπερέβη καταδεέστερον εἶναι πεπιστευκώς. καὶ τρόπαιον ἕστηκε ταύτης τῆς νίκης οὐκ ἐκ λίθου πεποιημένον οὐδὲ χαλκοῦν ἢ χρυσοῦν πεπηγὸς ἐφ' ἑνὸς χωρίου, ἀλλ' ἅπασι 139 a
μὲν βαρβάροις, ἅπασι δὲ Ῥωμαίοις ἐνδιαιτώμενον. καὶ τοῦτο ἀνέστησε βασιλεὺς οὐ πλήθει φόνων καὶ τραυμάτων οὐδὲ σωροῖς νεκρῶν ἀδιηγήτων, ἀλλὰ μόνῃ τῇ προσεδρίᾳ καὶ τῇ καρτερίᾳ.

Ἦν τις ἐπὶ τῶν προγόνων τῶν ἡμετέρων πύκτης ἀνήρ, Μελαγκόμας ὄνομα αὐτῷ, κάλλιστός τε καὶ μέγιστος καὶ τὴν τέχνην εὐδοκιμώτατος, οὗ καὶ τὸν Τίτον φασὶν ἐραστὴν γενέσθαι τὸν αὐτοκράτορα. οὗτος οὐδένα πώποτε τρώσας οὐδὲ πατάξας μόνῃ τῇ στάσει καὶ τῇ τῶν χειρῶν ἀνατάσει πάντας ἀπέκναιε τοὺς ἀντιπά- b
λους. ἀπῄεσαν οὖν τῇ μὲν φειδοῖ χαίροντες, τῆς δὲ παρασκευῆς ἡττημένοι. ταὐτὸ καὶ πρὸς τὸν βασιλέα νῦν πεπόνθασιν οἱ πολέμιοι. νενίκηνται γὰρ ἄνευ τοῦ

165, 16 θριγκία] Vulgo θριγγία. Conf. p. 164, 24.
18 καταδεέστερον A: καταδεέστερα H: καταδεέστερος Stephanus.
26 Μελαγκόμας] „Conf. Dion. orat. de Melanc. XXVIII. et XXIX." Iacobsius. 33 ἄνευ τοῦ παρατάξασθαι A. ἄνευ παρατάξεως H.

παρατάξασθαι καὶ πεπτώκασιν ἄνευ τοῦ στῆναι. οὐ γὰρ τοῖς σώμασιν ἥττηνται οὐδὲ τοῖς ὅπλοις, ὑφ' ὧν καὶ οἱ βελτίους πολλάκις ἐλαττοῦνται τῶν φαυλοτέρων, ἀλλὰ τῇ γνώμῃ καὶ τῇ διανοίᾳ καὶ τῷ πολὺ χείρους εἶναι πεισθῆναι. οὔκουν περίεστιν αὐτοῖς ἢ κλέμμα στρατηγῶν αἰτιάσασθαι ἢ ἐνέδραν ἢ δυσχωρίαν ἢ τὸ
c ἀδοκήτοις ἐπιπεσεῖν, ἃ δίδωσιν ἐλπίδα τοῖς ἡττημένοις τοῦ πάλιν ἐκ τῆς ἥσσης ἀναμαχέσασθαι, ἀλλὰ καὶ χρόνον προσλαβόντες εἰς παρασκευὴν καὶ πόλεμον νόμιμον καὶ προφανῆ πολεμούμενοι οὐκ ἤνεγκαν τὴν προβολὴν τοῦ βασιλέως, ἣν προβαλλόμενος ἐν τρισὶν ὅλοις ἐνιαυτοῖς ἀπειπεῖν ἠνάγκασε τοὺς δειλαίους, ἐν οἷς οὔτε χειμῶνος ἀντεπελθεῖν οὔτε θέρους ἀντιστῆναι τολμήσαντες δὶς καθ' ἕκαστον ἔτος ἡττῶντο.

Καὶ νῦν περίεστιν ἡμῖν οὐ τοὺς νεκροὺς ἀριθμεῖν, ὅσων κρείττους γεγόναμεν, ἀλλὰ τοὺς ζῶντας, οὐδὲ
d κεκρατηκέναι μέν, οὓς δὲ ἐκρατήσαμεν μὴ ἔχειν. οὕτω γίνονται κρείττους ἄνθρωποι ἀνθρώπων, ἐκείνως δὲ ἄρκτων καὶ συῶν καὶ παρδάλεων. καίτοι γε ἐκείνων σπέρμα κυνηγετοῦντες ὑπολιμπάνομεν, ὁ δ' ἐξαιρῶν παντελῶς ἀλιτήριος τῆς ἄγρας νομίζεται. εἶτα θηρίων μὲν τῶν ἀγριωτάτων, ἃ διείργει πρὸς ἡμᾶς οὐκ Ἴστρος οὐδὲ Ῥῆνος, ἀλλ' ἡ φύσις αὐτή, φειδὼ ποιούμεθα,
140a ὅπως ἂν τῷ γένει σώζοιτο καὶ διαμένοι, καὶ δυσχεραίνομεν ἐξηρημένων ἐκ Λιβύης μὲν ἐλεφάντων, ἐκ Θετταλίας δὲ λεόντων, ἐκ δὲ τῶν ἑλῶν τῶν περὶ τὸν Νεῖλον τῶν ἵππων τῶν ποταμίων, ἔθνος δὲ ἀνθρώπων, καὶ εἰ πάνυ φαίη τις βαρβάρων, ἀλλὰ ἀνθρώπων, ἐπτηχός, ὑποκῦπτον, ἐφ' ἡμῶν κεῖσθαι ὁμολογοῦν, οὐ θαυμασόμεθα τὸν μὴ παντελῶς ἐξελόντα, ἀλλὰ περιποιήσαντα καὶ φεισάμενον;

Ἀναμιμνήσκομαι δὲ ὅτι τῶν παλαιῶν αὐτοκρατό-
b ρων ὁ μέν τις Ἀχαϊκὸς ἐπεκλήθη, ὅτι τὴν Ἑλλάδα

166, 8 ἥσσης] Vulgo ἴσης. „Codices Ambrosiani habent ἥσσης: alter in margine γρ. ἴσης, ἤγουν μείζους." Wyttenbach. ad Iulian. II. p. 24. 10 προβολὴν] προσβολὴν A.

ἀνάστατον ἐποίησε, Μακεδονικὸς δέ τις ἕτερος, ὅτι τὴν Μακεδονίαν ἔρημον καὶ ἀοίκητον, Σκηπίων δὲ ὁ μέγας ἐκεῖνος ὁ τοῦ πάνυ Σκηπίωνος υἱϊδοῦς τὸν Ἀφρικανὸν ἐκτήσατο ἐπώνυμον παρὰ τοῦ δήμου καὶ τῆς γερουσίας, ὅτι Καρχηδόνα ἀπαιτοῦσαν καὶ παντελῶς ἐκτετρυχωμένην εἰς ἔδαφος κατήρραξε καὶ ἠφάνισεν. εἰ δὲ ἐξ ὧν ἀπώλλυον οὗτοι τὰς ἐπικλήσεις ἐκομίζοντο δικαίως, πολλῷ σὺ δικαιότερον ἂν ἐξ ὧν περιεποίησας ὀνομάζοιο. οὕτω γὰρ καὶ τοὺς θεούς, οἶμαι, καλοῦμεν, τὸν μὲν Δία Πελασγικόν, Ἀμυκλαῖον δὲ τὸν Ἀπόλλωνα, Κυλ- c
λήνιον δὲ τὸν Ἑρμῆν, ἐξ ὧν μάλιστα ἀγαπῶσι χωρίων καὶ ἃ μάλιστα διασώζουσι. τίνα οὖν ἐπικαλεῖσθαι μάλιστα Γοτθικὸν προσήκει; δι' ὃν εἰσὶ Γότθοι καὶ σώζονται, ἢ δι' ὃν οὐκέτ' ἂν ἦσαν, εἰ προείλετο; Πύρρος ἦν Ἠπειρωτῶν βασιλεύς, πολλὰ μὲν Μακεδόσι, πολλὰ δὲ Ἕλλησιν ἐνοχλήσας, τὰ δὲ τελευταῖα καὶ Ῥωμαίοις παρασχὼν πράγματα· οὗτος πολλῶν κρατήσας πολλάκις οὐδεπώποτε ἠγάπησε τὰ παρόντα, ἀλλ' ὧν οὔπω κύριος ἦν μόνα ἑώρα. συνέβη τοίνυν αὐτῷ πολέμους d
ἐκ πολέμων ἀλλαττομένῳ ἐν τῷ νικᾶν ἀναλωθῆναι, καὶ οὐδὲν ὤνησε Κινέας πόρρωθεν αὐτοῦ τὴν ἀπληστίαν ἐπιρραπίζων, ὅτι τῶν πολλῶν καὶ ἀνηνύτων κινδύνων ἐκείνων τὸ πέρας ὁ κώθων ἐστίν, ὅταν εὐπραγήσῃ, οὗ καὶ νῦν ἔξεστιν οἴκοι καθημένῳ καὶ ἣν παρέλαβεν ἀρχὴν διασώζοντι ἀπολαύειν μετὰ ἀσφαλείας.

Ἀλλ' οὐχ ἵστησι τοὺς ἀεὶ τοῦ πλείονος ὀρεγομένους πέρας οὐδέν, οὐδὲ ὅρος οὐδείς, οὐδ' ἂν πέλαγος 141 a
εἴπῃς Ἀτλαντικόν. οἷς γὰρ οὐ πέπηγεν ὅρος ἐν τῇ ψυχῇ, οὐδὲ ἐν τῇ γῇ. πολεμοῦσι δὲ τὴν ἑαυτῶν ἐμπιπλάντες ἐπιθυμίαν, οὐ τοῦ κοινῇ συμφέροντος προνοούμενοι. ἀλλ' οὐ βασιλεύς, ἀλλ' ἄχρι τούτου χαλεπὸς καὶ ἀπαραίτητος ἄχρι ἂν τὸ κοινὸν ὕποπτον ᾖ, τούτου δὲ αὐτῷ εὖ τιθεμένου τὰ λοιπὰ εἶναι δοκεῖ περιττὴ

167, 23 ὁ κώθων A et Monac. 113. οἴκοθεν H. „Vide Plutarchi Vit. Pyrrhi c. 14." Iacobsius. 32 ἄχρι ἂν] Vulgo ἄχρις ἄν.

φιλοτιμία. ἀλλὰ τὰ μὲν πρὸς τοὺς βαρβάρους εὖ ἔχει
b καὶ ἕξει, σὺ δέ μοι τὴν εἰρήνην τοῖς ὑπηκόοις ἔγκαρπον
ποίει καὶ ἐνεργὸν, καὶ χωρείτω διὰ πάσης, ὡς ἔπος
εἰπεῖν, τῆς ἀρχῆς. ἄκουε γὰρ Πλάτωνος τοῦ θεσπεσίου, ὅτι μήτε Κῦρος μήτε Δαρεῖος βασιλεὺς ἦν· πολλῷ δὲ μᾶλλον τὸν Ἀλέξανδρον οὐκ ἂν ἔφη. ἐοίκασι
γὰρ ἅπαντες οὗτοι καθάπερ σώματος τῆς ἀρχῆς ὅπως
μὲν τοῖς ἔξωθεν καλὸν φανήσεται προϊδεῖν, ὅπως δὲ
καὶ ἔνδοθεν ὑγιαίνοι μὴ φροντίσαι. καὶ δῆτα συμβέβηκεν αὐτοῖς στρατηγοῖς μὲν γενέσθαι, βασιλεῦσι δὲ
c μή. ἔστι δὲ στρατηγίας μὲν ἔπαινος ἡ τῶν πολεμίων
καταστροφὴ, βασιλείας δὲ ἡ τῶν ὑπηκόων εὐδαιμονία.

168, 3 χωρείτω A. πορείτω H. 8 τοῖς ἔξωθεν A. τὸ ἔξωθεν H. καλὸν add. A.

XI.

ΔΕΚΕΤΗΡΙΚΟΣ Η ΠΕΡΙ ΤΩΝ ΠΡΕΠΟΝΤΩΝ ΤΩΙ ΒΑΣΙΛΕΙ.

Ἆρα ὥσπερ στέφανοι καὶ ὑφάσματα ἐξῄρηται ὑπὸ τῶν d ἀνθρώπων ἃ βασιλεῖ μόνῳ δορυφορεῖν τάττει ὁ νόμος, ἰδιώτῃ δὲ οὐ θέμις, ἀλλὰ χαλεπαίνει ἡ πολιτεία, εἴ τις ἐγχειροίη ἢ χλαῖναν καθ' Ὅμηρον πορφυρέην, ἢ λιθοκολλήτους ζωστῆρας ἄλλῳ τινὶ καὶ μὴ ἐκείνῳ μόνῳ ἐργάζεσθαι,

Ὧι λαοί τ' ἐπιτετράφαται καὶ τόσσα μέμηλε,

καὶ τέτακται αὐτοῦ ὥσπερ σύμβολα ἱερὰ καὶ κόσμος 142 a ἄθικτος καὶ ἀνέπαφος τοῖς ἀρχομένοις, οὕτω δὲ ἄρα καὶ λόγοι τινές εἰσιν ἐκ τῶν λόγων, οὓς μόνῳ βασιλεῖ προσοιστέον καὶ μόνῳ ἀπαρκτέον καὶ μόνῳ ἀποθυτέον, ὥσπερ ἱερῶν τῷ Διί, ἐξ ὧν οὐ θέμις ἄλλῳ θεῷ ἱερουργῆσαι; ἢ τὸ μὲν σῶμα αὐτοῦ κόσμον ἕξει ἀποκρινόμενον καὶ τέχνας τὸν κόσμον τοῦτον ἐργαζομένας, καὶ παρακολουθοῦσιν αὐτῷ ὑφάνται καὶ χρυσοχόοι καὶ σκυτοτόμοι καὶ ἀκεσταί, ὧν οὐκ ἄν τις ἀξιώσειεν ἄλλῳ ἐπιτάττοντι ὑποργήσειν, ἀλλ' ἄκοινος αὐτοῖς καὶ ἀπόρρητος b πρὸς τοὺς πολλοὺς ἡ τῶν ἔργων παρασκευή, ἡ ψυχὴ δὲ οὐχ ἕξει κόσμον οἰκεῖον οὐδ' ἐπιστήμην τοῦ κόσμου τούτου ὑψοῦ ὁρῶσαν, ἀλλὰ θεραπεύσουσιν αὐτὴν αἱ χαμαὶ ἐρχόμεναι καὶ ἐν τῷ πάτῳ τῶν πολλῶν ἀνθρώπων καὶ προτείνουσαι τὰ ἔργα τὰ αὐτῶν ὁμοίως πᾶσι τοῖς δεομένοις, ὥσπερ αἱ τὰ σιτία τε καὶ τὰ ποτὰ

169, 16 ἐργαζομένας A. ὑπεργαζομένας H. 19 ἐπιτάττοντι ὑπουργήσειν A: ἐπιτάττων ὑπουργεῖν H. Sic [illegible] ἐπιτρέψειν p. 210 a.

ἀλλαττόμεναι παντὶ τῷ διδόντι ἀργύριον ἐν τοῖς δημοσίοις πωλητηρίοις;

Εἰ μὲν δὴ ἅπασαι αἱ τέχναι τῶν λόγων βάναυσοί
c τέ εἰσι καὶ φιλοψευδεῖς καὶ φορτικαί, οὐκ ἂν εἴη τῇ ψυχῇ τῇ βασιλίδι κόσμος οἰκεῖος, ἀλλὰ πάντες ὑποδεεῖς καὶ ἀνάρμοστοι. εἰ δέ τις καὶ λόγων τέχνη ἐστὶν ἀρχική τε καὶ ἐλευθέρα καὶ ἕπονται αὐτῇ αἱ λοιπαὶ ὥσπερ βασιλίδι, αἱ μὲν ἐγγυτέρω δορυφοροῦσαι, αἱ δὲ πορρωτέρω, ταύτης ἂν εἴη τοῦτο ἔργον, λέγω δ' ὁ κόσμος τῆς βασιλίδος ψυχῆς καὶ θεραπεία. μόνῃ γὰρ αὐτῇ οἷόν τε καὶ ἰδεῖν τὴν ψυχὴν ταύτην καὶ ἐρευνῆσαι καὶ μὴ στῆναι ἄχρι τῶν προθύρων καὶ παραπετασμάτων, ἀλλ' ἐνδῦναι εἰς τὸ βάθος καὶ ἐφικέσθαι τῆς καταγωγῆς, ἐν ᾗ κατασκηνοῖ ὁ ἀληθινὸς βασιλεύς, καὶ
d οὐκ ἐκπλήττουσιν αὐτὴν οἱ ἔξω δορυφόροι καὶ ῥαβδοφόροι οὐδὲ ἡ πολλὴ περὶ τὰ βασίλεια ἡσυχία, ἀλλὰ τὸν εἴσω θρόνον ἐπιζητεῖ καὶ τὰ ἐν τῇ γνώμῃ βασίλεια, καὶ εἰ ἐκεῖ ἔνεστιν ἡσυχία καὶ εἰ ἐκεῖ ἐφεστήκασι δορυφόροι, μὴ ἐῶντες εἰσφοιτᾶν τὸν πολὺν συρφετόν. γένος γὰρ τῇ ἐπιστήμῃ ταύτῃ ἔνεστιν, οὐκ ἔνθεν ποθὲν ἀπὸ
143a τῆς γῆς, ἀλλ' ἄνωθεν ἐκ τοῦ οὐρανοῦ καὶ τῆς τοῦ Διὸς ἀρχῆς τοῦ πάντων πατέρος καὶ βασιλέως· οὗ γέννημα ἱερὸν καὶ εἰκὼν ἡ ἐπὶ τῆς γῆς βασιλεία. ἅτε οὖν ἀεὶ περὶ τὸ ἀρχέτυπον τεταμένη αὕτη ἡ τέχνη καὶ τὴν εἰκόνα οὐ χαλεπῶς γνωρίζει καὶ ἐξετάζει. εἰκὼν δὲ ἐκείνου τοῦ ἀρχετύπου οὐχ ὁ τῷ μεγέθει ὑπερφέρων οὐδὲ ὁ τῷ κάλλει τοῦ σώματος, ἀλλ' οὐδὲ ὅστις ποδωκέστατος, οὐδὲ ὅστις βάλλειν ἐπισκοπώτατος· ταῦτα γὰρ καὶ Καμβύσῃ ὑπῆρχε τῷ μαινομένῳ καὶ Ξέρξῃ τῷ ἀλαζόνι· ἀλλ' ὅστις τὴν γνώμην θεοειδὴς καὶ διοτρεφὴς καὶ Διὶ
b μῆτιν ἀτάλαντος. ὁ γὰρ τοιοῦτος ὑπὸ θάρσους καὶ τοῦ εἰδέναι ὅτι κόσμος ἀποχρῶν αὐτῷ ἡ ἀλήθεια ἀγαπᾷ μὲν καὶ τὰς ἄλλας τέχνας τῶν λόγων, προσκαλεῖται δὲ ἐκείνην μόνην, ἧς ἐπίσταται τὸ ψεῦδος πορρωτάτω

170, 10 βασιλίδος] βασιλέως A. 19 εἰσφοιτῶν A. ἐσφοιτᾶν H. 23 ἅτε οὖν ἀεὶ A. ἀεὶ οὖν H.

ἀπῳκισμένον, καὶ ταύτην μόνην οὐκ ἀποκνεῖ εἰσπράττεσθαι, οἷόν τινα ἐτήσιον τοῦ ἔργου εἰσφοράν. ἀλλὰ καὶ μελλούσης οὐ καρτερεῖ καὶ εὐλαβουμένης οὐ ξυγχωρεῖ καὶ χρόνον αἰτούσης εἰς τὴν παρασκευὴν οὐκ ἀνέχεται. καὶ ἔστι μὲν δὴ ἀτεχνῶς λόγος ἔργου σκιή· ὁ δὲ καὶ μᾶλλον αὐτὸν ποιεῖ σκιάν, ἐπείγων τε καὶ ἐπαναγκάζων. c

Καὶ μὴ δυσχεράνητε πρὸς τῶν Μουσῶν, ὦ φίλοι ἑταῖροι, εἰ φαινοίμην ἐγὼ ἐπιγαυρούμενος τῇ εἰσπράξει τοῦ βασιλέως, ἥν με ἐφ' ἁπάντων ὑμῶν εὐθύς τε ἰδὼν εἰσεπράττετο καὶ οὐκ ἀνῆκεν ἐφεξῆς, ἕως ἧκον αὐτῷ συσκευασάμενος τὰ δῶρα, ἅττα ἐν ὀλίγῳ δεδύνημαι. εἰ δ' ἵππων ὑπόχρεως ἦν ἢ χρυσίου ἢ ἱματίων, πάντως ἄν με ἀφῆκεν, εὖ οἶδα, καὶ ἀπωνάμην ἂν καὶ ἐγὼ τοῦ κύκλου τῆς δεκάδος τῶν εὐδαιμόνων ἐνιαυτῶν, ὥσπερ οἱ γεωργοί. νῦν δὲ ἐκείνοις μέν που ἀφήσει οὐκ d εἰς μακρὰν τὰ ἐλλείμματα, ἀφήσει δὲ καὶ ἑτέροις πολλοῖς βαρύτερα ὀφλήματα τῶν χρημάτων· τοῖς λόγοις δὲ οὐκ ἀφήσει τὸ ὄφλημα οὐδὲ χαριεῖται, ἀλλὰ καὶ φιλονεικήσει καὶ φιλοτιμήσεται τῇ φιλονεικίᾳ, καὶ οὐκ ἐπιστήσει ἀρχὴν τῇ εἰσπράξει ταύτῃ οὐδὲ στρατιώτην, ἀλλὰ αὐτὸς εἰσπράξεται δι' ἑαυτοῦ καὶ αὐτὸς ἀποδέξεται, μᾶλλον δὲ αὐτὸς ἔσται τὸ ταμιεῖον καὶ οὐκ ἀπαναλώσει τοῦδε τοῦ θησαυροῦ οὐδὲ προήσεται, ἀλλὰ 144a τὸ χρυσίον μὲν δαπανήσει καὶ τὸ ἀργύριον καὶ τὰς χλαμύδας καὶ τοὺς χιτῶνας, τὰ δὲ ἐμὰ δῶρα κατασημανεῖται καὶ περιοίσει σὺν ἑαυτῷ καὶ ᾗ ἂν μένῃ καὶ ᾗ ἂν βαδίζῃ. καίτοι ᾤμην αὐτῷ κατακορής τε ἤδη καὶ πλήσμιος εἶναι τοσαῦτα μὲν ἐν τῇ βασιλίδι πόλει, τοσαῦτα δὲ ἐπὶ τῷ Ἴστρῳ διειλεγμένος· ἀλλὰ γὰρ ἔοικεν ὁ ἀνὴρ νίκης μὲν οὐκ εἶναι ἀκόρητος, ἀλλὰ καὶ ἑκὼν κατατίθεσθαι, τῶν δὲ

171, 4 τὴν παρασκευὴν A. τὴν om. H. 5 λόγος ἔργου σκιή] „Conf. p. 200 d. Plutarch. Mor. p. 348b. Lennep. ad Phalar. p. 260.“ Iacobsius. 14 καὶ ἐγὼ A. καὶ om. H. 22 καὶ αὐτὸς] καὶ οὗτος A.

φιλοσοφίας λόγων ἀκόρητος εἶναι καὶ ῥᾷον συγχωρήσειν
b ἀργίαν στρατευομένῳ ἢ φιλοσοφοῦντι σιωπήν.

Ὥρα οὖν μοι ἐκτίνειν, ὅπως ἂν δυναίμην, ἄνευ
θωπείας καὶ κολακείας. ἄλλως γὰρ ποιοῦντι οὐ συγ-
χωρήσει τὰ παιδικά, ἀλλὰ δυσχερανεῖ καὶ ἀχθεσθήσε-
ται, εἰ μὴ ἐμμάρτυρα φθεγγοίμην ὁπόσα φθεγγοίμην.
προκάθηται δέ, ὡς ὁρᾶτε, ἐπ' αὐτῷ τούτῳ καὶ ἕτοιμος
εἰς τὴν ψυχὴν καταδέχεσθαι ἃ ἐγγράφοιμι μᾶλλον ἢ τὸ
c κήρινον ἐκμαγεῖον τὰ γράμματα τοῦ σιδηρίου. τῷ τοι
ἐκεῖνο μὲν ἐξαλήλιπταί μοι πολλάκις, τῇ δὲ βασι-
λέως ψυχῇ ἐγκεκολαμμένοι εἰσὶν οἱ τύποι καὶ παραγγέλ-
σεις τῆς φιλοσοφίας, καὶ οὔτ' ἂν ἡδονὴ αὐτοὺς ἀϊστώ-
σειεν οὔτ' ἂν θυμὸς ἐπαχλύσειεν, ἀλλ' ἀκραιφνεῖς ἐνε-
στήκασι καὶ ἀεὶ ἐν ἀκμῇ πρὸς τὰ ἔργα ἃ παρηγγέλθη-
σαν παρωξυμμένοι. καίτοι οὐδὲ αὐτοπροσώπως ἐπαφῶν-
ται, ἀλλὰ δι' ἑτέρων ὀνομάτων οἷον πορθμείων. ἀλλ'
d ὅμως ὑπὸ φιλολογίας τε καὶ φιληκοΐας οὐ τὰ ῥήματα
ἐπιζητεῖς τὰ ὁμοήθη, ἀλλὰ τὸν νοῦν ἀγαπᾷς, ὃν τὰ
ῥήματά σοι ἐξαγγέλλει, καὶ ἀπρὶξ ἔχῃ τῆς γνώμης τῶν
ὀνομάτων καὶ οὐ μεθίεσαι, ὥσπερ οἱ τῶν καλῶν σωμά-
των ἐρῶντες πρὸς μὲν τὰ ἀμφιέσματα οὐ διαφέρονται,
εἴτε Ἑλληνικὰ εἴη εἴτε χλαμύδες, τὰ σώματα δὲ αὐτὰ
ἐξετάζουσιν ὧν ἐρῶσι.

Καὶ ἔγωγε ἐνεθυμήθην πολλάκις ὅτι οὐκ ἄλλο τί
145a σοι αἴτιον τῆς πολυυμνήτου φιλανθρωπίας ἢ ἡ φιλο-
λογία τε καὶ φιληκοΐα. τὸν γὰρ λόγων ἐρῶντα ἀνάγκη
καὶ ἀνθρώπων ἐρᾶν, ὥσπερ εἴ τις ποδώκειαν θαυμάζοι,
τούτῳ ἀνάγκη ἵππους θαυμάζειν· καὶ ὅστις ἀλκήν,
τούτῳ λέοντας· καὶ ὅστις εὐφωνίαν, τούτῳ τὰ ᾠδικώ-
τατα τῶν ὀρνέων. καὶ οὖν ὁ σοφίαν τεθαυμακὼς καὶ
ὕψου ἐξαίρων ἀεὶ καὶ σύνθακον ἑαυτῷ παραλαμβάνων
δῆλός ἐστιν ὅτι εἰκότως τὸ ζῷον τοῦτο ἀγαπᾷ καὶ περὶ

172, 9 τῷ τοι] Vulgo τῷ τοίνυν: τῷ γραφείῳ τοίνυν ἐκεῖνα F. A. Wolfius. 10 ἐκεῖνο] ἐκεῖνα Iacobsius. 25 τῆς πολυυμνήτου A. τῆς om. H.

πλείστου ποιεῖται, ᾧ μόνῳ σοφίας ἐνέσταξε σπέρματα ὁ θεός.

Καλὰ μὲν δὴ καὶ τὰ Φιλίππου εἰς Ἀριστοτέλην b καὶ τὰ Ἀλεξάνδρου εἰς Ξενοκράτην καὶ τὰ τοῦ Σεβαστοῦ εἰς Ἄρειον, καὶ ὅσα Τραϊανὸς εἰς Δίωνα ἐπεδείξατο, καὶ ὅσα Τιβέριος εἰς Θρασύλον, καὶ ὁπόσα Μάρκος εἰς Σέξτον· ἐκεῖνα δὲ δεῖ καὶ τὰ τοῦ Διὸς ἐπωνύμου πρὸς τὸν τηνικαῦτα φιλοσοφοῦντα ἐν Βυζαντίῳ, ἀλλὰ πρὸς τὸν σὸν ἐραστήν, ὦ μακάριε, ὃν φιλοσοφίας ἐρᾷς, τὸ ἴσον εἴη σύμπαντα ἐκεῖνα ἀπαριθμοῦντι, μὴ σὺ νεμεσήσειας πρὸς τῶν θεῶν, εἰ μικρὸν τῷ λόγῳ τούτῳ ἐνδιατρίψαιμι. τί γὰρ ἂν καὶ ἕτερον λόγος εὐλο- c γώτερον ἐπαινοίη φιλολογίας;

Ἔστι μὲν οὖν, οἶμαι, ἐν ἑκάστῃ τέχνῃ καὶ ἐπιστήμῃ τὸ μέν τι ἀληθεῦον τῆς τέχνης, τὸ δὲ ἐξ ἀντίας τῷ ὀνόματι καὶ ψευδόμενον, καὶ ἐπιὼν ἑκάστην οὐ χαλεπῶς ἐξευρήσεις· οἷον ἰατροὺς τοὺς μὲν ὄντας, τοὺς δὲ δοκοῦντας, καὶ γραμματιστὰς τοὺς μὲν ὄντας, τοὺς δὲ οἰομένους, καὶ ῥήτορας τοὺς μὲν ἱκανούς, τοὺς δὲ ἄχρι τοῦ ὀνόματος. τίς οὖν ἐπαινέτης ἰατρικῆς; ἆρ' ὁ δι' ἴσης σπουδῆς ἅπαντας ἄγων τοὺς ἰατροὺς *** εἶναι ἐνομίσθη; ἢ ὁ τὸν μὲν ἐπιστήμονα εἰσκαλῶν, τὸν δὲ d ἀμαθῆ ἀποκλείων; ταὐτὸ δὲ τοῦτο καὶ ἐπὶ τῶν γραμματιστῶν καὶ τῶν ῥητόρων. ὁ μὲν τὸν ἐξαμαρτάνοντα ἐν τῇ τέχνῃ οὐδέν τι μεῖον περιέπων τε καὶ σπουδάζων οὐ τὴν τέχνην ἀγαπᾷ, ἀλλὰ τὸν ἄνθρωπον, ὁ δὲ μόνους τοὺς εὐδοκίμους καὶ κορυφαίους, οὗτός ἐστιν ὁ τῆς τέχνης ἐκείνης ἐραστής. οὐδὲ γὰρ φίλιππον ἄν τις καλοίη δικαίως ὅστις ἅπαντας ἵππους ἀσπάζεται παρα- 146 a πλησίως, ἀλλ' ὅστις τοὺς γαύρους καὶ εὐηνίους καὶ ποδώκεις ἅμα καὶ διαρκεῖς, οὕτω δὴ καὶ φιλόλογον καὶ φιλόσοφον τὸν συναύξοντα τοὺς ἀρίστους τῶν λόγων.

173, 6 Θρασύλον] Θράσυλον A. Θράσυλλον H. 8 φιλοσοφοῦντα] τὸν ζήνωνα, οἶμαι, λέγει schol. A. 14 Ἔστι μὲν [οὖν] ἔστιν οὖν A, sed ν in ἔστιν a m. rec. 21 Post ἰατροὺς indicavi lacunam. 27 μόνους A. μόνον H.

καὶ προτιμῶντα. ἢ ἔχοι τις ἂν εἰπεῖν ἐφ' ὅτου μᾶλλον ἤνθησάν τε καὶ ἐξέλαμψαν οὗτοι οἱ λόγοι, οἵ γε συμπερινοστοῦσι τῷ βασιλεῖ καθάπερ συστρατιῶται, καὶ τίμιοι δι' αὐτὸν καὶ αἰδέσιμοι οὐ Ῥωμαίοις μόνον καὶ Ἕλλησιν, ἀλλὰ καὶ βαρβάροις. ὁ γοῦν Σκύθης ἢ Γέτης b ἐκεῖνος δυνάστης, ὃν σὺ παρακινήσαντα κατεπλήξω καὶ καταπτήξαντα ἀνεκαλέσω, σὺν σοὶ παρεπομένην φιλοσοφίαν καὶ συνδιαιτῶσαν αὐτῷ τὰς σπονδὰς καὶ τὴν εἰρήνην * * καὶ χαλκαῖ μὲν αὐταὶ εἰκόνες ἐπὶ * στέατος τοῦ μεγάλου, προεδρίαι δὲ ἁπανταχοῦ, ἀποικίαι δὲ εἴς τε πόλεις τὰς δεομένας, καὶ διδασκαλείων προφάσεις ἐκλελοιπότων, καὶ τιμαὶ διωλύγιοι εἰς τοὺς κριθέντας ἐπιτηδείους. μόνη δὲ ἄρα φιλοσοφία εὐκλεεστέρους ποιεῖ τοὺς τιμῶντας τῶν τῆς τιμῆς ἀξιουμένων. σημεῖον γὰρ εὐθὺς ἀρετῆς τὸ ἔντιμον ποιεῖν ἀρετήν. καὶ κυβερνή- c της μὲν οὐ πάντως ὁ ἐπαινῶν τοὺς κυβερνήτας οὐδὲ ἡνίοχος ὁ ἐπαινῶν τοὺς ἡνιόχους, ἀγαθὸν δὲ εὐθὺς ἀνάγκη εἶναι τὸν περὶ πολλοῦ ποιούμενον τοὺς ἀγαθούς.

Ἀλλ' ἐπανιτέον ἐπὶ τὸν λόγον τὸν ἐξ ἀρχῆς, ὅτι συνέπεται ἀτεχνῶς τῇ φιλολογίᾳ τοῦ βασιλέως ἡ φιλανθρωπία. φιλανθρωπία δὲ καλὸν μέν που κτῆμα καὶ ἰδιώτῃ, βασιλέως δὲ ἴδιος κόσμος καὶ ἐμπρέπων ὑπὲρ τὰς ἀρετὰς τὰς λοιπάς, εἰς ἣν συνδεῖσθαι ἁπάσας ἐστὶν d ἀναγκαῖον, ἢ μηδὲν αὐτῶν ὄφελος εἶναι, εἰ καὶ ὑπάρχοιεν. θέα γὰρ ἑκάστην καθ' ἑαυτὴν ἀκριβῶς οἷον νόμισμα μεταστρέφων εἰ ἐμφαίνεται αὐτῇ ὁ βασιλικὸς χαρακτήρ, οἷον τὴν καλουμένην ἀνδρείαν. στρατιώτου γὰρ μᾶλλον ὁ ἔπαινος οὗτος ἢ στρατηγοῦ ἢ ταξιάρχου. φημὶ δὲ ἐγὼ καὶ τὴν δικαιοσύνην καὶ τὴν σωφροσύνην, αἷς ἀγάλλεται βασιλεὺς ὑπὲρ ἅπαντας τοὺς ἰδιώτας, 147 a διὰ τοῦτο ἀγαπητάς τε ἐπ' αὐτοῦ εἶναι καὶ ἐκφανεῖς, ὅτι σύμπασαι αὗται συννεύουσιν αὐτῷ εἰς φιλανθρωπίαν. ἄνευ δὲ ἐκείνης τὸν λοιπὸν χορὸν τῶν ἀρετῶν

174, 9 εἰρήνην * *] ἔγνω aut ἐθαύμασε supplet Iacobsius. ἐπὶ στέατος A. ἐπὶ * στέαυτος H. 10 εἴς τε A. εἰς τὰς H. 11 καὶ διδασκαλείων — ἐκλελοιπότων add. A.

ἀνθρώπου μὲν κόσμιον ἡγεῖται βασιλεύς, ἑαυτοῦ δὲ οὔπω ἀξιοῖ. οὐδὲ γάρ που καὶ τὸν τοῦ ξύμπαντος ἡγεμόνα, ὅτι προσευχόμενοι αὐτῷ ἅπαντες ἄνθρωποι τὴν μὲν σωφροσύνην αὐτοῦ οὐχ ὑμνοῦμεν οὐδὲ τὴν καρτερίαν οὐδὲ τὴν ἀνδρείαν, ἀλλ' ἐνδεεστέρους ἡγούμεθα τοὺς ἐπαίνους τούτους καὶ ἀνθρωπικούς, οἷον φάρμακα ἀλεξητήρια φύσεως ἀσθενοῦς πρὸς πόνους τε καὶ ἡδο- b
νάς, καὶ ἐπιθυμίας, καὶ ὅσα ἄλλα ἐλλείμματα κατερρίζωται ἐν τοῖς ἀνθρώποις. φιλάνθρωπον δὲ αὐτὸν καλεῖν οὐκ ὀκνοῦμεν, οὐδὲ εὐλαβούμεθα τὸ ῥῆμα ὡς οὐχ ἱκανὸν, οὐδὲ ἀποχρῶν ἅψασθαι καὶ θιγεῖν τῆς μακαρίας φύσεως τοῦ θεοῦ. ᾧ γὰρ συγχρῆται αὐτὸς ὀνόματι θαρραλέως πρὸς τὸν ἑαυτοῦ βασιλέα, τούτῳ ἐπίσταται εὐθαρσῶς χρωμένους καὶ πρὸς αὐτὸν τοὺς ἀνθρώπους.

Καὶ δῆτα ἐγώ, ὦ φίλοι ἑταῖροι· ἀλλ' ὅπως μή μου κατερεῖτε πρὸς τοὺς λίαν σοφούς· ἄλλα τε ἠγάσθην πολλάκις τῶν Ἀσσυρίων γραμμάτων, ἀτὰρ οὖν καὶ c
τοῦτο θαυμαστῶς ἄγαμαι καὶ ἐπαινῶ· λέγει γάρ που ἐκεῖνα τὰ γράμματα τὴν τοῦ βασιλέως καρδίαν ἐν τῇ τοῦ θεοῦ παλάμῃ δορυφορεῖσθαι. πολλαχῇ οὖν ἐμοὶ δοκεῖ λέγειν καλῶς καὶ μάλιστα ὅτι ἀνάγκη τὴν γνώμην αὐτοῦ ἐπ' ἐκεῖνα ὁρμᾶν, ἐφ' ἃ καὶ ἡ τοῦ θεοῦ παλάμη ἀκολουθήσει. ταῦτα οὐκ ἄλλα ἐστὶν ἢ τὰ καλὰ ἔργα καὶ τὰ δίκαια καὶ τὰ φιλάνθρωπα καὶ τὰ θεοειδῆ, ἃ ἐκεῖνος οὐ λήγει ποτὲ ἐργαζόμενος· οὐκοῦν οὐδὲ ὅστις τῇ χειρὶ ἐκείνου ἐνδιαιτᾶται, εἰ μὴ μέλλοι ἀπορρυήσεσθαι τοῦ φυλακτηρίου.

Λέγει δέ που καὶ Ὅμηρος ταὐτὸ τοῦτο ἐν βρα- d
χεῖ καὶ σαφῶς ἐν οἷς λέγει αὐτῷ ὁ τῶν Κεφαλλήνων βασιλεὺς πρός τινα τῶν θεῶν „Οὐδέ σε λήθω κινύμενος“, καὶ οὐκ ἐλάνθανεν ἄρα αὐτὸν ἅτε σοφώτατον ὄντα ὡς ἄρα ὁ ἀγαθὸς βασιλεὺς σύνοικός τέ ἐστι καὶ ὁμοδίαιτος τῷ θεῷ, καὶ ὅσα ἐκείνῳ ἐνθύμια, ταῦτα

175, 17 κατερεῖτε A. κατερῆτε H. 31 Οὐδέ] Iliad. κ, 279. 34 ἐνθύμια A. εὐθύμια H.

ἐννοεῖ, καὶ ὅσα ἐκείνῳ πρόσφορα, ταῦτα ἐργάζεται, ἄλλα δὲ οὐ περαίνει οὐδὲ ἀποτελεῖ. διὰ τοῦτο οὖν φησιν ὁ αὐτὸς βασιλεὺς τῷ αὐτῷ θεῷ ὅτι γε

148 a Ἐν πάντεσσι πόνοισι παρίστασαι καί με φυλάσσεις.

ταῦτα οὖν Ὁμήρου πάλαι ἀκούοντες νῦν πειθόμεθα ἀληθῆ εἶναι καὶ οὐ πλάσματα οὐδὲ κομψεύματα ἐξουσίας ποιητικῆς. οὐ γὰρ ὅπωσοῦν κινούμενος λανθάνεις τὸν θεόν, ἀλλ' οὐδὲ οἱ ἄλλοι ἄνθρωποι, ὅπως ἂν περὶ σὲ κινῶνται, ἀποδιδράσκουσιν αὐτὸν καὶ ἐκφεύγουσι. καὶ οὐδὲ τὰ βουλεύματα αὐτῶν, οὐδὲ τὰ ἐγχειρήματα, οὐδὲ ὅσα νοητά, οὐδὲ ὅσα μειρακιώδη. ὥστε οὐδέν σου πραγματευομένου οὐδὲ προορῶντος, ἅτε περιφέρων
b σου τὴν γνώμην τῇ παλάμῃ, αἰσθάνεται. ὀξὺ ὁ ἀκοίμητος τοῦ θεοῦ ὀφθαλμός, οὐ τῆς διανοίας μόνον ἑκάστου, οὐδέν τι μεῖον καὶ τῆς ἀνοίας. καὶ δῆτα ἐπ' ἄλλα μὲν ἡ ὁρμὴ τοῦ δικαστηρίου καὶ τῶν ἐλέγχων· τὰ δὲ αὐτόματα ἀθρόα ἐξερράγη καὶ λίαν καταγέλαστα. ἃ μὲν οὖν ἄνθρωποι ἐξευρίσκουσιν, ἄνθρωποι καὶ τιμωρείσθων, ὧν δὲ ὁ θεὸς κατήγορός τε καὶ μηνυτής, τούτων καὶ τὴν δίκην ἐκείνῳ ἐπιτρεπτέον. πάντως δὲ οὐκ ἀγνοήσει τὸ μέτρον. οὐκοῦν οὐδὲ πάλαι ἠγνόησεν
c ἐπὶ τῶν συναραμένων τῷ παλαμναίῳ, ἀλλ' ἀμφὼ σοι διεσώσατο, καίτοι δοκοῦντα ἄκρατα εἶναι, φιλανθρωπίαν καὶ τιμωρίαν· οὐ γάρ, οἶμαι, ἅπαντα δὴ ἴσης τὰ ἀδικήματα δίκης ἄξια ἐποιήσω, ἀλλὰ πάμπολυ διαφέρειν ὑπέλαβες τὸ κακοῦργον τοῦ ἀνοήτου καὶ τὸ δολερὸν τοῦ εὐπαραγώγου, καὶ τὸ μὲν δεῖσθαι καύσεως καὶ τομῆς, τὸ δὲ οἴκτου καὶ νουθετήσεως, καὶ διακρίνας καὶ διαστήσω πονηρίαν γνώμης καὶ εὐκολίαν, τῆς μὲν τὸ ἐπίβουλον ἀπεχθαίρων, τῆς δὲ τῷ εὐεξαπατήτῳ ἐπικαμπτόμενος.

d Καὶ τὴν περὶ ταῦτα διάκρισιν οὐχ ἐπὶ τῶν ἰδίων μόνον ὁρῶμεν, ἀλλὰ καὶ ἐπὶ τῶν κοινῶν ἐπιδεικνύμενον

276, 4 Ἐν — παρίστασο] Iliad. κ, 245. 291. 10 αὐτῶν, οὐδὲ — νοητά add. A. 16 καὶ τῶν ἐλέγχων A, καὶ om. H. 24 δὴ A. δι' H. 29 διαστήσω] διεστρόφθω H.

τὸν βασιλέα. ἐπεὶ διὰ τί Σκύθαις μὲν ξυγχωρεῖ τὴν εἰρήνην, Περσῶν δὲ ἀφαιρεῖται; βάρβαρα μὲν γὰρ τὰ φῦλα ἄμφω καὶ οὐκ εὐμενῆ τῇ Ῥωμαίων ἀρχῇ· ἀλλὰ τὸ μὲν θυμῶδές τε καὶ ἀνόητον, τὸ δὲ ἐπίβουλόν τε καὶ δολερόν· ὥστε τὸ μὲν καταπλήξας καὶ νουθετήσας ἔχει ἀκολουθοῦν ἑαυτῷ, ὥσπερ τὸν θυμόν φησιν ὁ 149 a
Πλάτων λόγῳ νουθετήσαντι ἕπεσθαι σύμμαχον, τὸ δὲ ἀνάγκη ἐκτεμεῖν ἢ ἐπικόψαι, εἰ μέλλοι μὴ διενοχλήσειν. καὶ διὰ τοῦτο ὥσπερ ἀγαθὸς κυνηγέτης οὐκ εὐθὺς ὁρμᾷ ἐπὶ τὸ θηρίον, ἀλλ' ἰχνηλατήσας ἔνθεν καὶ ἔνθεν καὶ τὰς κύνας παρορμήσας καὶ τοὺς θηρευτὰς διεγείρας καὶ τὰς στάλικας εὐτρεπίσας καὶ τὰ δίκτυα, ὡς ἂν μὴ ἐν τῇ θήρᾳ αὐτῇ εἰς τὴν παρασκευὴν τῆς θήρας ταλαιπωροῖτο.

Καὶ οἱ μὲν στρατηγοὶ οὕτω χωρὶς περιστάντες ὁ b
μὲν τοῦ Καυκάσου ἀποπειρᾶται, ὁ δὲ Ἀλβανῶν καὶ Ἰβήρων, ὁ δὲ ἀνασώζεται Ἀρμενίους, αὐτὸς δὲ τῷ Εὐφράτῃ ἐφορμᾷ καὶ τῷ Τίγρητι. καὶ ἡ φλὸξ αὐτὸν ἡ ἄνωθεν οὐκ ἀνιᾷ, οὐδὲ ὁ χαμόθεν κονιορτός, οὐδὲ καταγωγαὶ πνιγώδεις, οὐδὲ ἄνεμοι χαλεποὶ μὲν πνέοντες, χαλεπώτεροι δὲ ἐμπνέοντες ἅμα ταῖς ψάμμοις. καὶ οὐχ ὅπως αὐτὸς εἴκει οὐδὲ ἐνδίδωσι τοσούτῳ ἀριθμῷ δυσχερείας, ἀλλὰ καὶ τὸν ἀρρωστήσαντα ἰᾶται καὶ τὸν πεσόντα ἀνίστησι· καὶ μεστὴ αὐτοῦ τῆς προνοίας πᾶσα μὲν ὁπλιτῶν φάλαγξ, πᾶς δὲ ἱππέων οὐλαμός, πᾶσα δὲ ἄγυρις τοξοτῶν. τῷ δὲ τὰ δεύτερα ἄρχοντι, καίτοι c
ἀμαχωτάτῳ ὄντι πάντων ἀνθρώπων καῦμά τε διενεγκεῖν καὶ πρὸς δίψος ἀπισχυρίσασθαι καὶ πόνου ὀλιγωρῆσαι, καὶ τὸ ἄτρυτον τὸ ἐκ τούτων πάλαι ἠσκημένῳ, ὅμως ἁλόντι ὑφ' ὧν βασιλεὺς οὐχ ἑάλω, ὅπως μὲν προσελιπάρησεν, ὅπως δὲ προσεκαρτέρησεν, αὐτοῦ ἀκήκοα ἐγώ, αὐτοῦ δὲ καὶ τοῦτο ἀκήκοα ὅτι οὐδὲν θαυμαστόν, εἰ ἀνδρὸς οὕτω προεῖδεν, οὗ μέγα τὸ ὄφελος οἴεται εἶναι τοῖς ὑπηκόοις.

177, 8 ἐπικόψαι] ἐκκόψαι Pierson. ad Moer. p. 232. 23 δυσχερείας A. δυσχερειῶν H. 24 πᾶσα μὲν — οὐλαμὸς add. A.

Ἀλλὰ δὴ καὶ τῶν ὑπηκόων τινὰς καὶ τῶν ῥαβδοφόρων ἀνατετραμμένους τε καὶ ἀπαυδῶντας οὐ πρότερον παρήλλαξεν ἢ ἀναστῆσαι, καὶ γέγονεν αὐτῷ οὐχ ἧττον ὠφέλιμος τῶν ὅπλων ἡ καρτερία. οὔκουν ἀψάμενος τοῦ σιδήρου, μόνῳ δὲ τῷ φερεπόνῳ τῆς ψυχῆς οὐκ ὀλίγην μοῖραν τῶν προσοικούντων βαρβάρων δυσπειθῆ καὶ δυσήνιον παρεστήσατο, καὶ κατεδήσατο ἔθνους τὴν γνώμην ἀπιστοτέρου ὄντος τῶν πάλαι 150 Θεσσαλῶν. ὥστε ἀλλήλοις μὲν ἔτι καὶ νῦν διαφέρονται, Ῥωμαίοις δὲ συμφέρονται καὶ συμπνέουσι, καὶ τῇ μὲν φύσει χρῶνται πρὸς ἑαυτούς, τῇ δὲ ἀνάγκῃ πρὸς βασιλέα· ἥττηνται δὲ οὐ δόρασιν οὐδὲ τόξοις οὐδὲ σφενδόναις, ἀλλ' ὃ καὶ θαυμάσειεν ἄν τις ἀκούσας, τῇ ὑπαίθρῳ καρτερίᾳ, ᾗ ἐνδιαιτῶνται.

Τῆς δὲ τοιαύτης τοῦ βασιλικοῦ νοῦ προμηθείας καὶ περιωπῆς οὐ τὰ μὲν μείζω μέρη αἰσθάνεται, τὰ δὲ ἥττω οὔ, οὐδὲ τὰ μὲν ἐντιμότερα ἀπολαύει, τὰ δὲ b φαυλότερα οὐκ ἀξιοῦται, ἀλλ' ὥσπερ ὁ πάμμεγας ἥλιος ἢ ὁ τοῦ ἡλίου δημιουργὸς ἐμπνεῖ μὲν τοῖς ζῴοις τὴν ψυχήν, ἐμπνεῖ δὲ τοῖς φυτοῖς, ἐξῆπται δὲ αὐτοῦ καὶ τὰ ἄψυχα τῶν σωμάτων, οὕτω καὶ ὁ μέγας βασιλεὺς ἀνίστησι μὲν τὰς μείζους πόλεις, ἀνίστησι δὲ καὶ τὰς ἐλάττους, τὰς δὲ μετάγει εἰς κάλλος, τὰς δὲ ἐξάγει εἰς μέγεθος, τὰς δὲ καὶ ἄρχειν ποιεῖ οὐ πρόσθεν ἀρχούσας. καὶ ἴδοις ἂν ὥσπερ ὕφασμα τὴν ἀρχὴν ἅπασαν ἅμα ἐπιδιδοῦσαν. καὶ ὥσπερ διὰ τῶν πολυπλόκων στημόνων c μιᾶς κρόκης διαφοιτώσης ἅπαντα ὁμοῦ τὰ ποικίλματα ἐπιδίδωσι, καὶ ὁ κύων καὶ ὁ λαγωὸς καὶ ὁ κυνηγέτης καὶ ὁ ποιμὴν καὶ τὸ πρόβατον καὶ ὁ θάμνος καὶ ἡ βοτάνη, οὕτω καὶ τῆς βασιλέως γνώμης μιᾶς, τῆς γῆς διὰ πάσης τεταμένης, ἐνθαδὶ μὲν ἄστυ ὀρθοῦται, ἐνθαδὶ δὲ σταθμός, ἐνθαδὶ δὲ καὶ ἐπαύλιον. καὶ οὗ μὲν λιμὴν ἀναστομοῦται, οὗ δὲ θάλαττα ἀποκλείεται, οὗ

178, 9 μὲν ἔτι A. μὲν om. H. 18 ὁ πάμμεγας A. ὁ om. H. 20 ὁ θάμνος] ἡ θάμνος A, fortasse recte. 33 οὗ δὲ θάλαττα — γεφυροῦται add. A.

οὗ ποταμὸς γεφυροῦται, οὗ δὲ μεταβάλλει ὁδὸς ἐκ χα-
λεπότητος εἰς ῥᾳστώνην, τῶν πόλεων δὲ ἑκάστη ἢ ἐκ
καινῆς τι πρόσεισιν ἢ ἐπάνεισιν ἢ συναυξάνεται. διάκει-
ται δὲ καὶ τὰ τῆς φύσεως πάθη, καὶ τὰς κατασεισθεί- d
σας ἤδη ὄψει ἐγηγερμένας, καὶ τὰς ἐπικλυσθείσας ἤδη
ἀθαλάττους, καὶ ὅσαι λιμῷ ἐπόνησαν, ταύτας μέν που
ὁρᾷς καὶ τρυφώσας. εἶτα ἐγὼ τοσαῦτα καταλέγων καὶ
ἀριθμῶν ἐπιλήσομαι τῆς πόλεως τῆς βασιλίδος, καὶ οὐ
γέλωτα ὀφλήσω δικαίως, καθάπερ οἰκίας δεσπότην, ὅτι
μὲν ταῖς θεραπαίναις εὖ χρῆται ἐπαινῶν, ὅτι δὲ καὶ
τῇ ὁμόζυγι, μὴ προσποιούμενος;

Ὦ μάκαρ, ὦ εὔδαιμον Κωνσταντῖνε, ἆρα αἰσθάνῃ 151 a
ὅτι σοι τὴν ἐρωμένην ὁ βασιλεὺς ἀντὶ ἀψύχου ἔμπνουν
ἐποίησε, καὶ τῷ καλῷ σώματι ἐκείνῳ καὶ ἐρασμίῳ, ὀλι-
γοδρανέοντι ἤδη καθ' Ὅμηρον, ἐνέπνευσε ζωὴν οὐ
προσδοκῶντι, καὶ ἡ πόλις σοι ἀληθινῶς ἤδη πόλις καὶ
οὐκέτι σκιαγραφία; σὺ δὲ ἄρα καὶ ὁ σὸς υἱὸς σοφὼ
ἤστον, ζώνας καὶ περιδέραια καὶ στρεπτοὺς καὶ ὅρμους
πολλοὺς καὶ ποικίλους ἐξευρίσκειν τε αὐτῇ καὶ δωρεῖ-
σθαι· ὅπως δὲ ἡ πολύχρυσος αὕτη καὶ πολυτελὴς οὐ
μᾶλλον διψήσει τῶν τὰ ῥάκια ἠμφιεσμένων ὠνήσασθε b
μὲν ἂν πολλοῦ καὶ ὑμεῖς, ἄλλῳ δὲ ἄρα τὸ γέρας τοῦτο
ἐφυλάττετο καὶ ἀπέκειτο, προμηθουμένου τοῦ θεοῦ
ὅπως ἂν τὸ χαριστήριον τῷ βασιλεῖ μὴ δεύτερον φανείη
τῆς ἁλουργίδος, ἣν πρώτη αὐτῷ ἡ καλλίπολις ἐπιερονή-
σατο. νῦν δὲ ἐφάμιλλα ἀλλήλοιν ἀντεσηνέγκαντο καὶ
οὐ χρύσεια χαλκείων, ἀλλ' ἰσοστάσια ἀτεχνῶς, καὶ δύσ-
κριτον ἀποφήνασθαι ὅ τί ποτε αὐτοῖν ἐντιμότερον.
ποιηταὶ γὰρ ἑκατέρῳ ὑμῶν συνᾴδουσι πάνυ ἔνδοξοι καὶ
περιβόητοι, ὁ μὲν ἰσοδαίμονα τὴν βασιλείαν, ὁ δὲ ἀρι- c

179, 3 διάκειται] ἀντὶ θεραπεύονται δὲ καὶ τὰ ἐκ τῆς φύσεως πάθη. schol. A. διακεῖται Iacobsius apud Goellerum p. 263. 13 ὅτι σοι A. σοι om. H. 18 περιδέραια] περιδέρραια A. 19 δωρεῖσθαι A. δωρήσασθαι H. 30 ἰσοδαίμονα τὴν βασιλείαν] Videtur ad Ariphronis Sicyonii seu Licymnii paeanem spectare, de quo dixi ad Athenaeum XV. p. 702 a.

στον ὕδωρ ἀποφηνάμενος. τῇ δὲ ὁμιλίᾳ ταύτῃ γέγηθέ
τε καὶ ἐπαγάλλεται ὁ ἀμφοτέρων ὑμῶν ἀρχηγέτης.

Πυνθάνομαι γοῦν αὐτὸν πολυπραγμονεῖν μεθ' ἡδο-
νῆς τὸν ἀριθμὸν τῶν νυμφῶν καὶ τὴν πορείαν, ὅπως σοῦ
ἐξηγουμένου καὶ ὁδηγετοῦντος αἱ μὲν ἔνθεν, αἱ δὲ ἔνθεν
ἐξαναστᾶσαι ξεναγῶνται ἐπὶ τὸν Βόσπορον. καὶ τὰ μὲν
ὀνόματα Θρᾴκια καὶ ἀρρενωπά, τὸ κάλλος δὲ οἷον ἁβρό-
τατον καὶ ἡ ἀγλαΐα. καὶ λῆρον μὲν εἴποις ἂν τὴν
d Πειρήνην, λῆρον δὲ τὴν Θίσβην, εἰκῇ δὲ πράγματα
ἔχειν τὸν Ἀλφειὸν ἐρῶντα τῆς Ἀρεθούσης.

Καὶ δὴ ἐγὼ Νίκας μὲν καὶ Ἔρωτας ἐπτερωμένους
οὔτε ἐν χαλκῷ οὔτε ἐν λίθῳ οὔτε ἐν χρώμασιν εἶδον,
μόναις δὲ ἀρεταῖς βασιλέως καὶ πτερὰ ἐνέφυσεν ὁ θεός.
ὠκύτερον γοῦν καὶ νοήματος ἡμῖν ἀφικνοῦνται, καὶ
οὔτε πέτραι αὐτὰς ἀνείργουσιν οὔτε συνάγκη οὔτε ὀρῶν
κορυφαὶ ἠλιβάτων οὔτε κρημνοὶ ἀπορρῶγες οὔτε φά-
152 a ραγγες ἀφεγγεῖς, ἀλλὰ τὰ μὲν ὑποδραμοῦσαι, τὰ δὲ
περιδραμοῦσαι, τὰ δὲ καὶ μετέωροι διαπτᾶσαι συνεφοί-
τησάν τε εἰς ἕνα χῶρον καὶ ἠσπάσαντο ἀλλήλας, καὶ
ἔθεντο ὁμολογίαν συμπορεύεσθαι εἰς τὸν νεὼν τὸν τῷ
ὀνόματι μὲν Κωνσταντίνου, τῷ δὲ ἔργῳ Οὐάλεντος ἤδη·
τὴν γὰρ αἰτίαν ἑκάστου ἐνδίκως οὐχ ὁ ἀπαρξάμενος
ἀναφέρεται, ἀλλ' ὁ τελειώσας. σὺ δὲ καὶ ἀπήρξω τοῦ
κεφαλαίου τῆς εὐδαιμονίας αὐτῇ καὶ ἐτελείωσας. τὸ
πρότερον δέ, ὡς ἔοικε, ψευδώνυμος ἦν, καὶ ἐχρώμεθα
b τῇ τοῦ ὄλβου ἐπηγορίᾳ κουφολογοῦντες. ἐξ οὗ δὲ ἡ
σὴ χορηγία καὶ ἡ σὴ φιλοτιμία τὰς νύμφας ἡμῖν εἰσκα-
λεῖ καὶ εἰσοικίζει, οὐκ ὄλβιοι μόνον, ἀλλὰ καὶ τρισόλ-
βιοι ἤδη. καὶ δοκεῖς μὲν ἄρα Σύροις καὶ Ἀσσυρίοις
ἐπιπολεῖσθαι, τρέπεις δὲ ἐπὶ τὴν Θρᾴκην τὼ ὀφθαλμὼ
συνεχῶς, καίτοι πορρωτέρω οὖσαν ἢ τῷ Ὁμήρου Διὶ
τὰ ἐπὶ τῆς Τροίας· καὶ τὰ ἐκεῖ ἔργα οὐ προσήκει σοι
ἧττον ἢ ὧν ἅπτῃ καὶ ὧν θιγγάνεις. ἀλλὰ σοὶ μὲν

180, 5 ὁδηγετοῦντος] ὁδηγοῦντος H. 6 ξεναγῶνται] ξεναγοῦνται A. 12 οὔτε ἐν [illegible] εἶδον ἐν [illegible] H. 21 ὀνόματι μὲν A. μὲν om. H. 30 ἐπιπολεῖσθαι] Vide ad p. 75.

λιθοτομεῖ ὁ λιθοτόμος, σοὶ δὲ μεταλλεύει ὁ μεταλλεὺς c
καὶ ὀρύττει ὁ φρεωρύχος καὶ ἐπιστατεῖ ὁ ἐπιστάτης, ὥσπερ, οἶμαι, καὶ ἐν τοῖς πολέμοις σοὶ μὲν ὁ ἀκοντιστὴς ἀκοντίζει, σοὶ δὲ ὁ σφενδονιστὴς σφενδονᾷ, σοὶ δὲ τοξάζεται ὁ τοξότης. καὶ οὐ μόνους φημί σοι στρατεύεσθαι τοὺς στρατιώτας, ἀλλὰ καὶ τὸν ἵππαρχόν σοι ἱππαρχεῖν καὶ τὸν πέζαρχόν σοι πεζαρχεῖν, καὶ ὅστις τούτων ἐστὶν ὑπερτέρω, σοὶ διατάττειν καὶ σοὶ ἐπάρχειν· τοῦ γὰρ σοῦ νεύματος οἱ λοιποὶ ὥσπερ ὄργανα εἰσὶν ἐξημμένα.

Εἶεν· τὸ δὲ δὴ περὶ φιλίαν πιστὸν τίς ἂν ἀγά- d
σαιτο ἐπαξίως καὶ οὐκ ἐπ' ἴσης βασιλέα θαυμάσειε καὶ Ἀλεξάνδρου τοῦ Φιλίππου; Ἀλεξάνδρου γὰρ τοῦ Φιλίππου πρὸς τοῖς ἄλλοις οἷς ἐπεφύκει καλοῖς καὶ τοῦτο τῶν πάντων τὸ κάλλιστον ἦν ἡ περὶ τοὺς φίλους πίστις καὶ βεβαιότης, καὶ ὅτι μᾶλλον εἵλετο ἂν πολεμίῳ φανῆναι δειλὸς ἢ φίλῳ ἄπιστος καὶ ἀβέβαιος. καὶ δὴ ἠρρώστει μὲν περὶ Κιλικίαν, γραμματίων δὲ αὐτῷ εἰσπεμφθέντων φυλάττεσθαι ἐκ Φιλίππου ἐπιβουλῆς τοῦ 153 a
ἰατροῦ τοῦ Ἀκαρνᾶνος, συμπεπεισμένου μυρίοις ταλάντοις διαφθεῖραι φαρμάκῳ Ἀλέξανδρον, εἰσκαλεῖται εὐθὺς τὸν Φίλιππον καὶ ὀρέξαντι τὴν κύλικα τοῦ φαρμάκου ἀντώρεξε τὴν ἐπιστολήν. ἔπειτα ἄμφω θαρραλέως, ὁ μὲν εἷλκε τοῦ ἐκπώματος, ὁ δ' ἐπέλεγε τὰ γεγραμμένα. ἆρά σοι δοκεῖ τὸν τοιοῦτον σκοτίσαι ῥᾳδίως σάλπιγγος ἠχὴ καὶ ἀλαλαγμὸς ἀνδρῶν πολλάκις μυρίων καὶ ὀξὺ χρεμετίζοντες ἵπποι, ὃν διαβολὴ ἐπιθεμένη ἐν καιρῷ οὕτω σφαλερῷ καὶ παρὰ ἀνδρὸς εὔνου δοκοῦντος b
οὐκ ἐξέστησεν οὐδ' ἐξέπληξεν, ἀλλὰ διέμενεν ἄτρωτος μᾶλλον ὑπὸ κολακείας ἢ ὑπὸ σιδήρου; καὶ τραύματα μὲν ἐπὶ τοῦ σώματος εἶχεν ἂν σοι ἐπιδεῖξαι Ἀλέξανδρος, ὥσπερ καὶ ὁ πατὴρ αὐτοῦ τὴν κλεῖν κατεαγυῖαν καὶ πεπηρωμένον τὸ σκέλος, τὴν πίστιν δὲ πρὸς τοὺς

181, 3 τοῖς πολέμοις A. τοῖς om. H. 19 ἐπιβουλῆς τοῦ ἰατροῦ A. ἐπιβουλὴν ἰατροῦ H. 26 πολλάκις μυρίων] Vulgo πολλακισμυρίων.

ἅπαξ νομισθέντας ἐπιτηδείους οὔτε Φίλιππος ἂν σοι ἐπέδειξε τρωθεῖσαν οὔτε Ἀλέξανδρος, ὥσπερ οὐδὲ Οὐάλης ναὶ μὰ Δία, καὶ ἔχοιμ' ἂν ἐγὼ καὶ ὀνομαστὶ ἐξει- c πεῖν οὔτε ἄνδρα Φιλίππου φαυλότερον οὔτε μὴν τέχνης φαυλοτέρας, ὃν τοῦ μώμου ὑλακτήσαντος ἑτέρῳ οὐκ εἶδεν ὀφθαλμῷ· εἶδε μὲν οὖν εὐμενεστέρῳ καὶ δεξιωτέρῳ καὶ μᾶλλον ἢ πρόσθεν ἐκύδηνε καὶ μᾶλλον ἐπῆρεν.

Ἀλλ', ὦ βασιλεῦ καὶ ὕπατε καὶ πάτερ ἀνθρώπων, συναύξαις μὲν τὴν φιλανθρωπίαν τῷ βασιλεῖ, συναύξαις δὲ τῇ φιλανθρωπίᾳ τὸν χρόνον, ποιήσαις δὲ ἅμα καὶ τῶν ἐτῶν πολλάκις τοσαύτην, παραστήσαις δὲ αὐ- d τῷ καὶ παῖδας συνάρχοντας ἤδη ἐγγενεῖς καὶ αὐτοὺς ἀμφιθαλεῖς, ἀμφιδεξίους, θρέμματα ἐσόμενα Πλάτωνος καὶ Ἀριστοτέλους, πατρῷα παραδείγματα ἕξοντας εὐηθείας καὶ εὐμενείας. πρὸς οὓς οὐκέτι μυθολογήσομεν οὔτε Φίλιππον οὔτε Ἀλέξανδρον, ἀλλὰ τὰ σὰ ἔργα αὐτοῖς ἀποχρήσει καὶ οἱ σοὶ λόγοι καὶ ὁπόσοις σὺ ἀφῆκας ὀργὴν καὶ ὁπόσοις οὐκ ἐλπίζουσι συνεχώρησας, καὶ τῷ μειρακίῳ, ὅτι μειράκιον ἦν, καὶ τῷ ἀνοήτῳ, ὅτι ἀνόητος ἦν, καὶ τῷ εὐχερεῖ, ὅτι οὐδὲ τούτου ἡ γνώμη 154 a εἱστήκει. καὶ ὄψονται αὐτοὺς τοὺς ἄνδρας καὶ ἀκούσονται αὐτῶν ἐκείνων ὅτι τὸ μὲν ἐφ' ἑαυτοῖς καὶ τοῖς νόμοις φροῦδοι ἂν ἦσαν, τὸ δὲ ἐπὶ βασιλεῖ διεσώθησαν καὶ ἐφυλάχθησαν. δικαστοῦ μὲν γάρ, οἶμαι, ἔργον ἐστὶ πάντως τῷ νόμῳ ἀκολουθῆσαι, τὸν δὲ ἀληθινὸν βασιλέα καὶ τοῦ νόμου ἄρχειν προσήκει καὶ πραΰνειν αὐτοῦ τὸν θυμόν ἐστιν, ὥσπερ κυνὸς γενναίου νομέα, οἵους τοὺς Ἰνδοὺς κύνας φασί. κύων Ἰνδὸς λέοντι μὲν b ἐπέξεισι καὶ παρδάλει, λύκους δὲ παρορᾷ καὶ ἀλώπεκας.

182, 2 Οὐάλης A. ὁ Οὐάλης H. 3 ναὶ A. καὶ H. ἔχοιμ' A. ἔχοιμι H. 4 τέχνης] τέχνας A. 10 τῇ φιλανθρωπίᾳ A. τῆς φιλανθρωπίας H. ἅμα add. A. 11 τοσαύτην] περίοδον supplet Harduinus. 12 ἐγγενεῖς] εὐγενεῖς F. A. Wolfius. 14 ἕξοντας A. ἔχοντας H. 17 καὶ οἱ σοὶ — ὀργὴν add. A. 22 ἐκείνων add. A. 27 αὐτοῦ] αὐτοῦ A. om. H.

LECTORI DION. PETAVIVS.

En tibi auctarium Themistianae editionis damus, et mantissam, sed quae non, vt ille aiebat, obsonia vincat: orationem videlicet Latine olim ab Andrea Duditio publicatam, sub Themistii nomine, ad Valentem Imperatorem. Quam vtinam Graece item repraesentare tibi potuissemus. Sed neque a me hactenus reperta est, neque eam vidisse se Georgius Rhemus Augustanus, in VI. Augustalium editione fatetur. Quare ne praeter caeterarum rationem Graeca hic penitus desiderares, eam nos orationem Graece reddidimus, Themistii, quoad facere potuimus, stilum imitati. Et quoniam plurima in ea ex Oratione V. quae eiusdem plane argumenti est, repetita sunt: nos aeque indidem quod in rem erat transtulimus. Id vt latere non posset, hisce notis [ ] ab reliquis, quae pura puta nostra sunt, seiunximus. Tu hoc Catone interim contentus eris, dum pro alieno ac supposititio, germanus tibi Themistii foetus a me, aut alio quopiam, qui aequiorem habuerit Mercurium, restituatur.

XII.

AD VALENTEM DE RELIGIONIBVS.

d Nemo est, sapientissime imperator, qui iudicium tuum in eo non vehementer probet, quod, vt quisque optimus vir est, ita maxime ad familiaritatem eum studes attrahere. Recte enim sentis, firmandi regni certissimam viam esse consuetudinem eorum, qui praeter iustitiam et
155 a omne genus laudis, nihil magnopere bonum et expetendum ducunt. Nam et talis quisque habetur, quales sunt ii quorum coniunotione delectatur, et ad colligendam hominum beneuolentiam nihil est opinione probitatis accommodatius. In caritate autem ciuium vel imprimis

ΙΒ.

ΠΡΟΣ ΟΥΑΛΕΝΤΑ ΠΕΡΙ ΤΩΝ ΘΡΗΣΚΕΙΩΝ.

Ὑπὸ Διονυσίου Πεταβίου ἐξελληνισθείς.

Οὐδείς ἐστιν, ὦ σοφώτατε βασιλεῦ, ὅστις οὐ κατὰ τοῦτο πλεῖστα τὴν σὴν γνώμην ἐπαινεῖ, ὅτι ὅπως ἂν ἕκαστος τυγχάνῃ βέλτιστος ὤν, οὕτω δὴ μάλιστα ἑαυτῷ προσάγειν ἀξιοῖς. καλῶς γὰρ καὶ τοῦτο νομίζεις, ὅτι τῷ βασιλεῖ ἀσφαλεστάτη εἰς σωτηρίαν ὁδὸς ἡ τῶν τοιούτων ἐστὶ συνήθεια, οἳ παρὰ τὴν δικαιοσύνην, καὶ παντοῖον ἔπαινον, μηδὲν οὕτω μέγα οἴονται ἀγαθὸν εἶναι, καὶ σπουδῆς ἄξιον. καὶ γὰρ τοιοῦτος ἄν τις εἶναι δόξειεν, οἷοί περ ἂν ὦσιν, οἷς χαίρει συνών, καὶ εἰς τὴν παρὰ τῶν ἀνθρώπων εὔνοιαν ἐπιτηδειότερον οὐδὲν τοῦ ἐπιεικῆ εἶναι δοκεῖν. ἐν δὲ τῷ παρὰ τῶν ἀρχομέ-

regni fundamenta sunt posita. Quare quod magna cum voluptate omnes gentes et sentiunt, et praedicant, hoc iam consecutus es, vt remoto barbarorum et conuenarum satellitio, quibus feri et immanes tyranni corporis sui custodiam committunt, ab omnibus insidiis et coniura- b
tione ciuium tutissimam vitam agas; et omnes qui vbique sunt mortales, quos tua virtus et deorum benignitas tuae ditioni et imperio subiugauit, iuris aequabilitate sociati inter se atque deuincti sibi gratulentur, quod eorum b
aetas in imperii tui tempus incurrerit. Non potest in familiaritatem tuam malis artibus adulator irrepere, non sicarius, non qui vllo vel facinore se obstrinxerit, vel flagitio obligarit. Omnibus perditis et consceleratis hominibus diuina animi tui sapientia ad amicitiam tuam aditum obstruxisti; aperuisti autem iis, qui sanctitate mo- c
rum, et rerum maximarum contemplatione in corporibus humanis deorum vitam imitantur. Septi sint alii arma-

νων ἀγαπᾶσθαι οὐχ ἥκιστα τίθενται τῆς βασιλείας τὰ θεμέλια. τοιγαροῦν, ὃ δὴ πάντα τὰ ἔθνη ἥδιστα γινώσκει τε, καὶ ἀνακηρύττει, τοῦτο ἤδη περίεστί σοι, τὸ πάσης ἀπαλλαγέντα τῆς τῶν βαρβάρων καὶ συγκλύδων δορυφορίας, οἷς οἱ ἄγριοι καὶ ἀπάνθρωποι τῶν τυράννων τὴν τοῦ σώματος φυλακὴν ἐγχειρίζουσιν, ἀσφαλέστατα διάγειν ἀπὸ πάσης τῆς ἐκ τῶν ἀρχομένων ἐπιβουλῆς, καὶ συστάσεως· τοὺς δὲ ἁπανταχοῦ ἀνθρώπους, οὓς ἡ σὴ ἀρετή, καὶ τῶν θεῶν εὐμένεια τῇ ἐπικρατείᾳ σου, καὶ ἀρχῇ ὑπέταξεν, οἰκειωθέντας τῇ ἰσονομίᾳ, καὶ συναφθέντας ἀλλήλοις, χαίρειν ὅτι ἡ σφῶν ἡλικία εἰς τὸν χρόνον τῆς σῆς βασιλείας ἀπήντησεν. οὐκ ἔχει εἰς τὴν φιλίαν σου τῇ ἑαυτοῦ κακοτεχνίᾳ πάροδον ὁ κόλαξ, οὔτε ὁ μιαιφόνος, οὔτε ὁ ἀδικῶν τι, ἢ κακουργῶν. πᾶσι τοῖς πονηροῖς, καὶ ἀλιτηρίοις ἀνδράσι θείᾳ τινὶ σοφίᾳ ψυχῆς τὴν σαυτοῦ φιλίαν ἀπέκλεισας· ἀνέῳξας δὲ τοῖς τῇ τε τοῦ ἤθους σεμνότητι, καὶ τῶν μεγίστων θεωρίᾳ μιμουμένοις τὸν ἄνω βίον ἐν ἀνθρωπίνοις σώμασι. οἱ μὲν οὖν ἄλλοι τῷ πλήθει τῶν

torum gregibus ad salutem suam et terrorem ciuium: tu in innocentia tua et omnium nationum summo amore tui conquiescis. Stipat regiam tuam Nestoris prudentia, Diomedis libertas.

Itaque vnde vel maxime regni commendationem ducere oportuit, initio principatus tui nihil prius tibi agendum aut cogitandum duxisti, quam vt de colenda religione, hominum generi iam attrito opinionum varie-
d tate, leges salutares statueres. Quo bene prouiso et diligenter explorato principio posito, reliquam tui muneris functionem et operis quasi extructionem non sane difficilem tibi fore existimasti. Ergo sanxisti vt in colenda religione suo quisque iudicio vteretur: neve vel authoritate cuiusquam, vel minis ad aliam sententiam quam non probaret, quispiam traduceretur. Intelligis enim non esse in principum potestate, subditos sibi po-
156 a pulos ad omnia, quae velint, cogere: sed esse quaedam ad quae inuiti nulla ratione compelli possint. Quo

ὡπλισμένων περιβεβλήσθωσαν πρὸς τὴν ἑαυτῶν σωτηρίαν τε, καὶ ἀρχομένων ἔκπληξιν· σὺ δὲ ἄρα ἐπὶ τῇ ἐπιεικείᾳ σου, καὶ πάντων ἔρωτι τῶν φύλων ἀτρεμεῖς. [καὶ δορυφορεῖ σοι νῦν τὰ βασίλεια, Νέστορος μὲν εὐβουλία, Διομήδους δὲ ἐλευθερία.]

Καὶ τοίνυν ὅθεν ἔδει μάλιστά σοι εὐδοκιμεῖν τῆς βασιλείας τὰ προοίμια, οὐδὲν ἐν ἀρχῇ ποιεῖν, ἢ διανοεῖσθαι πρότερον ἠξίωσας, ἢ περὶ τοῦ θείου νόμους τίθεσθαι σωτηρίους ἀνθρωπίνῳ γένει τεταλαιπωρημένῳ ἤδη ὑπὸ τῆς τῶν δογμάτων ποικιλίας. ταύτης γοῦν προνενοημένης καὶ ἐσκεμμένης τῆς ἀρχῆς, ἐνταῦθεν ἐπὶ τὸ λοιπὸν τῆς ἐπιμελείας, καὶ οἱονεὶ τὴν τοῦ ἔργου ἐποικοδόμησιν οὐκ ἂν πολλοῦ σοι δεήσειν ἐνόμισας. [οὐκοῦν τὰ τῆς ἁγιστείας μέρος ἅπαντος εἶναι νομοθετεῖς·] ὥστε μηδένα μήτε ἐξουσίᾳ τινὸς, μήτε ἀπειλῇ εἰς ἄλλο τι μεταφέρεσθαι τῶν ἐγνωσμένων. [οὐ γὰρ ἀγνοεῖς ὅτι μὴ πάντα ἔνεστι τῷ βασιλεῖ βιάσασθαι τοὺς ὑπηκόους· ἀλλ᾽ ἔστιν ἃ τὴν ἀνάγκην ἐκπέφευγε.

in genere eius omnis virtus est; tum vero de cultu deo-rum sensus atque iudicium. Nam neque bonum virum per vim queas efficere: est enim virtus habitus voluntarius: neque cogere possis, vt id velis de te sentiam, quod sentire nolo. Quae labore vel ministerio corporis geruntur, ea imperari et per vim administrari possunt: mentis agitatio, quaeque ex ea pendent notiones et habitus animi, libera et soluta sunt. Ac corpore quidem ipso vt faciam aliquid quod non probem, potes me fortasse co- b
gere: vt libenter faciam, nulla vis est tanta, nullae minae tam atroces, nulla tam acerba supplicia, quae me possint impellere. Quod si in corpore verum est, b
quanto minus ad animum vis poterit accedere, vt compelli quispiam possit ad libenter credendum, quod non probet?

Nemo est, Imperator, in terris te maior, nemo potentior: nemo contra tam humilis, tamque infirmus, quem imperio et cruciatu corporis ad te diligendum pos-

καὶ ἀπειλῆς ἐστι κρείττω καὶ ἐπιτάγματος, ὥσπερ ἥ τε ἄλλη ξύμπασα ἀρετὴ, καὶ μάλιστα ἡ περὶ τὸ θεῖον εὐλάβεια.] οὐ γὰρ οἷός τε εἶ καλόν τινα καὶ σπουδαῖον εἶναι βιάσασθαι, ἐπεὶ ἡ ἀρετὴ προαιρετική τις ἕξις ἐστὶν, οὐδ' ὃ μὴ βούλομαι περὶ ὁτουοῦν πράγματος ἀναγκάζειν φρονεῖν. τὰ μὲν γὰρ διὰ τῆς τοῦ σώματος ὑπηρεσίας γινόμενα προστάττεσθαι, καὶ μετὰ βίας ὑπουργεῖσθαι δυνατόν· ἡ δὲ ὁρμὴ τοῦ νοῦ, αἵ τε ἐξ αὐτοῦ νοήσεις καὶ ἕξεις, ἐλεύθερά τε ἐστὶ, καὶ κατὰ μὲν τὸ σῶμα πράττειν, ἅπερ οὐκ ἐθέλω, ἐμὲ ἂν ἴσως ἀναγκάζοις· τὸ δὲ καὶ προαιρούμενον πράττειν οὐδεμία ἀνάγκη τοσαύτη, οὔτε βαρεῖαι οὕτως ἀπειλαὶ, οὔτε δεινὰ ἐπὶ τοσοῦτον κολαστήρια, ὥστε ἐμὲ βιάζεσθαι. εἰ δὲ ἐν τῷ σώματι οὕτω πως ἔχει· πόσῳ μᾶλλον ἀδύνατον τὴν βίαν προσάγειν τῇ ψυχῇ, ὥστε ἐθελοντὴν τινὰ, ὧν οὐκ ἀποδέχεται, πιστεύειν ἀναγκάζεσθαι;

Οὐδεὶς, ὦ βασιλεῦ, ἐπὶ τῆς γῆς μείζων ἐστί σου, οὐδὲ δυνατώτερος. ἀλλὰ τοὐναντίον οὐδεὶς οὕτω ταπει-

sic adducere, nisi sua ipse voluntate ad te amandum in-
c ducatur. An censes cum ad studium tui praesentis, et in conspectu orbis terrarum positi, neminem invitum possis pertrahere, te pietatem, quam velis, et cultum Dei ab aspectu nostro semper oblitescentis, decretis iussisque tuis in omnium animis posse imprimere? Non defuere patrum memoria importuni principes, qui hanc vim afferre hominum animis conati sunt, ut quam ipsi religio-
d nem accepissent, eam caeteris ingratiis tentarent obtrudere: sed hoc unum effecerunt, ut praesentis poenae metu multos cogerent tegere quod sentirent; neminem ad suam
d sententiam traduxerent. [Ita non deum, quem illi volebant, sed purpuram venerabantur imperatoriam: neque tum unus, ut quondam Athenis, sed omnes Theramenes existebant.] Itaque apparuit postea, quid sentirent: et veluti suppressa aliquandiu flamma repente reluctata prorumpit

ὡς, οὔτε ἀσθενής, ὅν τινα σύ γε δι' ἐπιτάγματος, ἢ τῆς τοῦ σώματος κολάσεως, εὔνουν εἶναί σοι παρασκευάζοιο [τὸν μὴ ἔνδοθεν προαιρούμενον], ἆρα γ' ἂν νομίζοις, εἰ μηδένα πρὸς τὸ σπουδάζειν σοι νῦν παρόντι, καὶ ἐπ' ὄψει κειμένῳ τῆς οἰκουμένης, ἄκοντας ἡμᾶς ἐπισπάσασθαι, τὴν εὐσέβειαν ἣν ἂν ἐθελήσῃς, καὶ τοῦ θεοῦ θεραπείαν τοῦ ἡμᾶς ἀεὶ διαλανθάνοντος, κατὰ διάγραμμά σου καὶ ἐπίταγμα ἐμποιεῖν δύνασθαι ταῖς ἁπάντων ψυχαῖς; καὶ πρὶν μὲν ἄτοποί τινες ἦσαν αὐτοκράτορες, οἳ τοῦτο βιάζεσθαι τοὺς ἀνθρώπους πειρώμενοι, ὥστε ἣν ἂν αὐτοὶ δέξαιντο τὴν θρησκείαν, ταύτην καὶ τοῖς λοιποῖς προσέχειν μὴ βουλομένοις. ἀλλ' ἐκεῖνοι τοῦτο μόνον διεπράξαντο, τὸ δέει τῆς παρούσης κολάσεως κρύπτειν ἀναγκάζειν, ἃ ἐφρόνουν, μηδένα δὲ εἰς τὸ ἑαυτῶν δόγμα μετήγαγον. [εἶτα ἐλέγοντο οὐ θεὸν θεραπεύοντες, ὃν αὐτοὶ ἤθελον, ἀλλὰ τὴν ἁλουργίδα τοῦ αὐτοκράτορος. οὐδὲ εἷς τότε Θηραμένης, ὥσπερ πάλαι ἐν ταῖς Ἀθήναις, ἀλλ' ἅπαντες ἐγίνοντο κόθορνοι.], καὶ δῆτα δῆλον ἐγένετο ὕστερον, ἃ ἐφρόνουν· καὶ καθάπερ ἡ φλὸξ κατεχομένη χρόνον

et emicat: ita, cum ad tempus simulassent ad praescriptum imperatoris colere se religionem, libere postea 457 a
cum metus abscessisset, opiniones suas de diuino numine protulere. Nihil enim diuturnum esse potest, quod simulatum est: simulatum est autem, quod metu, non ex animo suscipitur.

Sapienter igitur a te decretum est, ut quam quisque religionem probabilem duceret, ad eam se adiungeret, in eaque animi sui tranquillitati seruiret. Neque haec a te primum lex excogitata est: sed aequalis est vitae hominum, et iam inde ex omnium saeculorum aeternitate a Deo sancita. Informauit enim Deus omnium mentes, quamuis agrestium et barbarorum, notione sui: studium- b
que pietatis ita omnibus insculpsit, vt neque persuadendo, neque cogendo, ex animis exui possit. Rationem vero et viam, qua coli velit, non praescripsit, sed cuiusque iudicio et voluntati permisit. Quocirca qui vim adhibet, pugnat cum Dei et naturae lege: qui quam poteste

τινά, εἶτα ἀθρόως ἐπιστήσασα βιάζεται, καὶ διελάμψε· οὕτω κατὰ τὸ τοῦ βασιλέως διάγραμμα εὐσεβεῖν πρὸς καιρὸν πλαττόμενοι, μετὰ ταῦτα φόβου παραλλάξαντος τὰ περὶ τοῦ θείου δόγματα ἑαυτῶν ἐξήνεγκαν. χρόνιον γὰρ οὐδὲν τὸ ἐπίπλαστον· ἐπίπλαστον δέ ἐστιν ἅπαν τὸ διὰ τὸν φόβον, ἀλλ' οὐκ ἐκ προαιρέσεως γινόμενον.

Σοφῶς ἄρα τοῦτο νομοθετήσας, ἀπολελύσθαι τὴν ἑκάστου ψυχὴν πρὸς ἣν οἴεται ὁδὸν εὐσεβείας, ἐνταῦθα γαλήνην ἑαυτῷ καὶ ἡσυχίαν παρεσκεύασας. ἀλλ' οὐδ' ὑπό σου πρώτου οὗτος ἐτέθη ὁ νόμος· ἀλλ' ἰσοχρόνιός ἐστι τῷ τῶν ἀνθρώπων βίῳ, καὶ ἀπὸ παντὸς ἤδη τοῦ αἰῶνος ὑπὸ τοῦ θεοῦ κεκυρωμένος. τῇ γὰρ ἑαυτοῦ φύσει ὁ θεὸς τὰς ἁπάντων διανοίας ἐπαίδευσε, κἂν ἀγρίων καὶ βαρβάρων [καὶ τὸ ἔχειν πρὸς εὐσέβειαν ἐπιτηδείως, ὥσπερ κοινὸν ἐποίησεν ἁπάντων, ὡς μήτε πειθοῖ, μήτ' αὖ βίᾳ δύνασθαι ἐνθένδε ἀφανίζεσθαι] τὸν τρόπον δὲ τῆς θεραπείας ἐξῆψε τῆς ἐν ἑκάστῳ βουλήσεως. ὁ δὲ προσάγων ἀνάγκην, μάχεται τῷ θεῷ καὶ

statem hominibus Deus tribuit, eam tentet adimere:
B Quamquam frustra omnis labor suscipitur. Stabile enim et ratum nihil esse potest, quod sit naturae aduersarium; ad exiguumque tempus eiusmodi leges, si modo legis
c nomen attingunt, durare possunt, suaque sponte extabescunt. Quod Cambysae et aliorum quorundam legibus accidisse legimus, quae quod Dei legem conarentur perrumpere, vix ad cuiusque aetatem, a quo erant latae, viguere. At Dei lex, quae eadem tua est, abrogari hominum iussis non potest: et orta iam inde ex aeternitate, per omnesque nationes aequabiliter fusa, deinceps ad infinitam venientis temporis aetatem sancta et inuiolata propagabitur. Est autem Dei lex, vt nulla necessitate voluntates nostrae deuinciantur, quo minus solutae
d ac liberae quam velint viam ingrediantur, aeternam illam et praestantissimam mentem auguste sancteque venerandi. Hanc neque multatio bonorum ex intimis animorum sensibus eripere, neque equulei palique perfringere, neque

τῇ φύσει, [ἀφαιρούμενος τὴν ἐξουσίαν ἣν ὁ θεὸς συνεχώρησεν] καίτοι μάταιος ἅπας οὗτος ὁ πόνος. βέβαιον γὰρ οὐδὲν τὸ μαχόμενον τῇ φύσει. καὶ πρὸς ὀλίγον αἱ τοιοῦτοι νόμοι, εἰ δὴ τούτῳ προσήκουσι τῷ ὀνόματι, κρατεῖν δύνανται, ὑφ' ἑαυτῶν μαραινόμενοι. ὅπερ οἱ τοῦ Καμβύσου, καὶ ἑτέρων τινῶν νόμοι πεπόνθασιν, οἳ διὰ τὸ βιάζεσθαι τὸν τοῦ θεοῦ θεσμὸν ἐπιχειρεῖν, μόγις τοῖς θεμένοις αὐτοὺς συνδιήρκεσαν. ὁ δὲ τοῦ θεοῦ, καὶ ὁ σὸς νόμος, ἀθετεῖσθαι τοῖς τῶν ἀνθρώπων ἐπιτάγμασιν οὐ δύναται, καὶ ἀπ' αἰῶνος ἤδη γενόμενος, καὶ διὰ πάντων ὁμοίως τῶν φύλων διαδιδόμενος, τοὐντεῦθεν εἰς ἄπειρον τὸν μέλλοντα χρόνον μένει καθαρὸς καὶ ἀκίνητος. ἔστι δὲ ὁ τοῦ θεοῦ νόμος τὸ μηδεμιᾷ ἀνάγκῃ δεδέσθαι τὰς ἡμετέρας γνώμας· ὥστε μὴ ἣν ἂν ἐθέλωσιν ὁδὸν ἀπολύτους τεμεῖν, καὶ τὸν πρῶτον νοῦν ἐκεῖνον σεμνῶς, καὶ ὁσίως τιμᾶν. τοῦτον δὲ οὐδ' ἡ χρημάτων ζημία ἐνδοθεν ἀφεῖλεν, οὐδὲ τὰ στρεβλωτήρια καὶ οἱ σκόλοπες ἐξεβιάσαντο, οὐδὲ τὰ

enses ignesque profligare, neque vetustas ipsa, quae cae-
tera conficit omnia, delere potest. Corpus quidem ipsum
rapi a te ad supplicium et interimi potest: at animus, qui
vel Deus est, vel Dei satu generatus, neque vinculis ver-
beribusve coërceri, neque vita multari potest: sed solu-
tus a te compage corporis, et veluti magno beneficio 158 a
affectus, laetus et alacer, cum Dei lege libertatem suam
circumferens, ad caelestem oram subuolabit, vbi neque
tyrannorum diritas, neque carnificum gladii terrere pote-
runt, quominus se in optatissima quiete iactet, etiamsi
lingua sensum explanare suum non poterit.

Arbitror autem, Imperator, te pro tua sapientia
etiam caussam huius diuinae legis perspexisse, eamque
ob caussam diligenter eius vestigiis institisse. Vidisti
enim profecto, iacere solere ea quae non sunt hominum b
studiis et contentionibus excitata. Artes quidem quarum
magnus in vita vsus et delectatio est, nunquam ad tantam

ξίφη καὶ τὸ πῦρ διέφθειρεν, οὐδὲ ὑφ᾽ οὗ τἄλλα πάντα καταναλίσκεται, τὸ γῆρας ἠφάνισεν, [ἀλλὰ, τὸ μὲν σῶμα ἄξεις, καὶ ἀποκτενεῖς, ἂν οὕτω τύχῃ,] ψυχὴ δὲ εἴτε θεὸς οὖσα, εἴτε γέννημα τοῦ θεοῦ, μήτε δεδέσθαι, μήτε αἰκίζεσθαι οἵα τε οὖσα, μήτε τὸν βίον ἀποστερεῖσθαι: ἀλλ᾽ ὑπό σου τῆς τοῦ σώματος ἀπολελυμένη συναφείας, καὶ ὥσπερ τὰ μέγιστα εὐεργετουμένη, γεγηθυῖα καὶ πρόθυμος, [ἐλευθέραν μετὰ τοῦ νόμου συμπεριφέρουσα τὴν γνώμην, εἰς οὐρανὸν οἰχήσεται·] ὅπου μηδὲ ἡ τῶν τυράννων ὠμότης, μηδὲ τὰ τῶν δημίων ξίφη ἐκφοβεῖ, τοῦ μὴ ἐν ποθεινοτάτῃ ἡσυχίᾳ διάγειν, κἂν μὴ ἡ γλῶττα τὴν αὐτῆς διάνοιαν ἐξηγήσαιτο.

[Ἐγὼ δέ σε, ὦ βασιλεῦ, πέπειθα ὑπὸ τῆς σαυτοῦ σοφίας τὴν αἰτίαν καταμαθόντα τῆς θείας ταύτης νομοθεσίας οὕτως αὐτῇ κατ᾽ ἴχνος ἀκολουθῆσαι.] εἶδες γὰρ ὅτι κεῖται ἅπαντα, τὰ μὴ ταῖς τῶν ἀνθρώπων ἁμίλλαις καὶ φιλονεικίαις ἐκριπιζόμενα. καὶ αἱ μὲν τέχναι, ὧν πλείστη τῷ βίῳ χρεία, καὶ ῥᾳστώνη, οὐκ ἂν ποτε

sublimitatem et elegantiam peruenissent, nisi artificum
inter ipsos discrepantia iudiciorum, et certamen quoddam
extitisset. Quippe ipsa philosophia mater omnium lau-
dandarum artium ab exiguis orta principiis, nonne doctis-
simorum hominum dissensione ita creuit, vt ad eius ab-
solutionem nihil desiderari videatur? Denique sic res
habet: industriam acuit et studium incendit hominum in-
c ter se aemulatio atque contentio; contraque languorem
et ignauiam animi affert, omnia omnibus assentiri, nul-
laque de re contrariis rationibus confligere. Atque haec
est illa contentio, quam vtilissimam hominum vitae ele-
gantissimis versibus scripsit Hesiodus. Habet igitur ean-
dem rationem religio, quam omnes artes, omnes scien-
tiae, omnia quae digna sunt in quibus parandis vel ornan-
dis studium ponatur. Iamdudum vix aut ne vix quidem
vmbram vllam haberemus religionis, si omnium morta-
lium idem semper ritus sacrorum, eadem fuisset haben-
d darum ceremoniarum ratio. Nunc varietate opinionum,
et ad hanc diem altum auctumque est studium religionis,
et a posteritate ad sempiternum tempus studiose retinebi-

τοσοῦτον εἰς ὕψος, καὶ κάλλος ἐχώρησαν, εἰ μὴ διαφορά τις πρὸς ἀλλήλους ἐγένετο κατὰ τὰς κρίσεις, καὶ ἅμιλλα τῶν τεχνιτῶν. καὶ γὰρ αὐτὴ ἡ φιλοσοφία, ἁπασῶν μήτηρ τῶν ἀξιεπαίνων τεχνῶν ἀπ᾽ ἐλαχίστων ὁρμωμένη, οὐκ ἄρα τῇ σοφωτάτων ἀνδρῶν διαφωνίᾳ τοσοῦτον ἐπιδέδωκεν, ὡς μηδενὸς ἐνδεῖν ἔτι δοκεῖν πρὸς τὴν τελείωσιν; τοὐναντίον δὲ [χάσμης ἐμπίπλησιν ἡμᾶς καὶ ἀργίας, τὸ παντάπασιν ἀνανταγώνιστον.] αὕτη δὴ ἡ ἔρις ἐστὶν, ἣν ἐν τοῖς καλλίστοις ἔπεσί φησιν ὁ Ἡσίοδος πλεῖστα τὸν βίον ὠφελεῖν τὸν ἀνθρώπινον. ἔχει χρῦν τὸν αὐτὸν λόγον ἡ εὐσέβεια, ὃν καὶ πᾶσαι αἱ τέχναι, καὶ ἐπιστῆμαι, καὶ πάντα δὴ τὰ διακοσμήσεως ἄξια καὶ σπουδῆς. πάλαι μὲν οὐδ᾽ ἂν σκιὰν εἴχομεν ἔτι τῆς ἁγιστείας εἰ πᾶσιν ἀνθρώποις τὰ αὐτὰ ἦσαν ἱερὰ, καὶ τελεταὶ αἱ αὐταί. νῦν δὲ τῇ διαφορᾷ τῶν δογμάτων ἐτράφη τε ἡ εὐσέβεια καὶ ἐπηυξήθη· καὶ

tur. Qui currunt stadium, contendunt illi quidem omnes omnibus neruis ad eundem peruenire iudicem, a quo praemio afficiantur: non tamen eadem omnes insistunt via; sed alius hinc, illinc alius, cursum intendunt. Ita tu vnum esse magnum quendam et verum vitae quasi certaminis praefectum et moderatorem arbitraris: pergi autem ad eum non vna via, sed alia asperiore; alia pla- 159 a
niore; alia flexuosa, alia directa; omnibus tamen ad vnum eundemque terminum, veluti diuersorium, perueniri: alacritatem autem et voluntatem properandi, non aliunde innasci, quam quod non eodem omnes vtuntur itinere, sed cuique integrum est qua velit via proficisci. Sin vnam viam reliqueris, caeteris obseptis et interclusis: nimirum contracto spatio vrgebis eos angustiis, et omne currendi studium restinxeris.

Haec hominum non recens sed perantiqua natura est, et qui illum fecit versum, b

Atque alius alii faciebat sacra Deorum,

Homerum aetate antecedit. Nam si verum dicimus, Deo ipsi grata esse non potest haec opinionum consensio,

ὑπὸ τῶν ὕστερον εἰς ἀΐδιόν τινα χρόνον μετὰ σπουδῆς διαφυλαχθήσεται. [ὥσπερ δὲ ἐπὶ τὸν αὐτὸν ἀθλοθέτην ἵενται μὲν ἅπαντες οἱ σταδιεῖς, οὐ μὴν ἅπαντες αὐτὸν δρόμον, ἀλλ' οἱ μὲν ἔνθεν, οἱ δὲ ἔνθεν· οὕτως ἕνα μὲν ὑπολαμβάνεις τὸν μέγαν καὶ ἀληθινὸν ἀγωνοθέτην, ὁδὸν δὲ ἐπ' αὐτὸν οὐ μίαν φέρειν, ἀλλὰ τὴν μὲν δυσπορωτέραν, τὴν δὲ εὐθυτέραν· καὶ τὴν μὲν τραχεῖαν, τὴν δὲ ὁμαλήν· συντετάσθαι δὲ ὅμως ἁπάσας πρὸς τὴν μίαν ἐκείνην καταγωγήν· καὶ τὴν ἅμιλλαν ἡμῖν, καὶ προθυμίαν οὐκ ἀλλαχόθεν ὑπάρχειν, ἀλλ' ἐκ τοῦ μὴ τὴν αὐτὴν πάντας βαδίζειν. εἰ δὲ μίαν μὲν ἀτραπὸν ἐάσεις, ἀποικοδομήσεις δὲ τὰς λοιπάς, ἐμφράξεις τὴν εὐρυχωρίαν τοῦ ἀγωνίσματος.

[Αὕτη παλαιὰ φύσις ἀνθρώπων, καὶ τὸ,

Ἄλλος δ' ἄλλῳ ἔρεξε θεῶν,

Ὁμήρου παλαιότερον ἦν] εἰ γὰρ δεῖ τἀληθὲς εἰπεῖν, [οὐκ ἀρεστὸν τῷ θεῷ ταύτην γίνεσθαί ποτε τὴν ὁμο-

quam imperiti homines moliuntur: quin eam ipsi distinere, neque velle coalescere videtur. Nam natura, vt ait Heraclitus, occultari vult: multoque magis naturae dominus et fabricator Deus. Quocirca quod a cognitione nostra se longissime remouit, neque ad captum ingeniorum nostrorum se demittit, satis argumenti habet, non
c postulare eum ab omnibus vnum idemque ius religionis; sed cuique de se, sua non aliena sponte opinandi facultatem relinquere. Ex quo etiam euenit, vt maior quaedam in hominum animis admiratio diuini numinis, et religiosior aeternae illius maiestatis veneratio ingeneretur. Fit enim vt quae in promptu sunt, et ad eandem intelligentiam abiecta, fastidiamus, et pro nihilo ducamus: contra magni aestimemus et admirationi habeamus ea quae sublata sunt altius, quam vt eo vis intelligentiae nostrae possit peruadere.

Sed vt a te ipso non discedam, Imperator, in exer-
d citu tuo ordines, muneraque militiae diuersa sunt. Sunt praetoriani milites, sunt legionarii, sunt qui ex equo depugnent, sunt qui pedestres rem gerunt, sunt qui funda

φωνίαν] ἣν οἱ ἄπειροι τῶν ἀνθρώπων μηχανῶνται· ἀλλὰ καὶ κωλύειν αὐτὸς δοκεῖ, καὶ συμφύεσθαι οὐκ ἐπιτρέπειν. [φύσις δὲ, καθ' Ἡράκλειτον, κρύπτεσθαι φιλεῖ, καὶ πρὸ τῆς φύσεως ὁ τῆς φύσεως δημιουργός.] αὐτὸς γοῦν ἐπειδὴ μακρὰν ἀπέστη τῆς ἡμετέρας γνώσεως, οὐδὲ πρὸς ἡμᾶς καταβέβληται, ἱκανὸν ἔχει τεκμήριον τοῦ μὴ μίαν παρὰ πάντων τὴν θρησκείαν ἀπαιτεῖν, ἀλλ' ἕκαστον ἐᾶν ἀφ' ἑαυτοῦ, οὐδ' ἀπὸ τῆς ἑτέρου προαιρέσεως, περὶ αὐτοῦ δοξάζειν· ὅθεν μᾶλλον τεθήπασιν οἱ ἄνθρωποι καὶ σέβουσι τὸ θεῖον. τὰ γὰρ [πάντα] πρόχειρα καὶ ἐπιπολῆς, καὶ ἐρριμμένα] καταφρονοῦμεν, καὶ ἀμελοῦμεν· τὰ δὲ ὑπὲρ τὴν ἡμετέραν διάνοιαν περὶ πλείστου ποιούμεθα καὶ θαυμάζομεν.

Ἀλλ' ἵνα μὴ πόῤῥω μακρὰν ἀποσπάσωμαι, ὦ βασιλεῦ, [οὐδὲ ἡ σὴ στρατιὰ συνέστηκε πᾶσα ἐκ μιᾶς ἰδέας καὶ τῆς αὐτῆς· ἀλλ' οἱ μὲν δορυφοροῦσιν, οἱ δὲ ὁπλιτεύουσιν, οἱ δὲ ἱππεύουσιν, οἱ δὲ πεζεύουσιν, οἱ δὲ

vel sagittis hostem feriant. Habes qui intima familiaritate tibi coniuncti sint, quibus consilia tua concredas omnia: absunt alii a tua cognitione longius, alii beatos se ducunt, si modo vlli e satellitibus tuis noti sint, aliis de facie vix notus es; aliis ne hoc quidem contigit, sed auditione tantum et fama nomen tuum accepere: et ho- 160 a
rum longe maxima subiectorum ditioni tuae hominum pars est. Omnes tamen in tam dispari munere et statu ex te pendent, tuum nutum respiciunt, te sibi regem diuinitus datum agnoscunt et gloriantur. Hac varietate etiam delectari existimare debes principem et moderatorem huius vniuersitatis. Aliam formam religionis vult esse apud Aegyptios, aliam apud Graecos, aliam apud Syros. Neque tamen apud Syros ipsos vna omnium est, sed alius alia vel religione tenetur vel superstitione conflictatur.

In amplis familiis liberi sunt, et serui; et horum in vtroque genere mirabilem reperire licet appetitionum, b
iudiciorum, et ingeniorum varietatem: quae tantum abest, vt domum dedecoret, vel dominum offendat, vt

ἀνδροφονοῦσιν, οἱ δὲ τοξεύουσιν.] καὶ οἱ μὲν οἰκειότατοί σοι ὑπάρχουσιν, οὓς κοινωνοὺς παραλαμβάνεις ἁπάντων· [οἱ δὲ καὶ ἄποθεν λίαν· τοῖς δὲ ἀγαπητόν, εἰ γνωρίζοιντο τοῖς δορυφόροις·] τοῖς δὲ μόλις ἐκ προσώπου γνώριμος εἶ· [οἱ δὲ καὶ τοῦτ' ἀδυνατοῦσιν,] ἀλλ' ἀκοῇ μόνον καὶ φήμῃ τὸ σὸν ὄνομα διεδέξαντο· καὶ τούτων τὸ πλεῖστόν ἐστι μέρος τῶν ὑπηκόων. [εἰς δέ σε ὅμως πάντες ἐν τοσαύτῃ διαφωνίᾳ ἀνήρτηνται τὴν γνώμην,] καὶ θεόδοτον βασιλέα γινώσκουσί τε, καὶ καυχῶνται. [ταύτῃ νόμιζε γάννυσθαι τῇ ποικιλίᾳ καὶ τὸν τοῦ παντὸς ἀρχηγέτην· ἄλλως Αἰγυπτίους ἐθέλει θρησκεύειν, ἄλλως Ἕλληνας, ἄλλως Σύρους· καὶ οὐδ' αὐτοὺς Σύρους ὁμοίως·] ἀλλ' ὁ μὲν τῇδε, ὁ δ' αὖ τῇδε ὑπὸ δεισιδαιμονίας πρόσκειται.

Ἐν ταῖς μεγάλαις οἰκίαις ἐλεύθεροι ὁμοῦ εἰσι καὶ δοῦλοι, καὶ θαυμαστὴν εἶναι ἂν εὕροις ἐν ἑκατέρῳ τῷ γένει ὀρέξεών τε, καὶ γνωμῶν διαφοράν· ἣ τοσοῦτον ἄπεστι τοῦ καταισχύνειν τὸν οἶκον, ἢ τὸν δεσπότην λυπ-

etiam mirum in modum familiam exornet? et non mediocrem dominus ex ea capiat voluptatem. Tota haec machina, quae vltimi caeli complexu continetur, quem mundum dicimus, magna quaedam domus est, cui praeest praestantissima natura, et ab omni contagio materiae segregata, quem notissimo nomine Deum appellamus. Hic ab vniuerso hominum genere, velut familia sua,
c sibi vt domino sanctissime deseruiri vult: sic tamen vt nemini libertatem eripiat, quominus suo quisque vtatur ingenio, immo gratissimum et iucundissimum ipsi sit, videre infinitam hominum multitudinem, toto terrarum orbe sparsam, certatim in sub quemque et dispari genere ad sui cultum concurrere: et hoc sibi ad gloriam et magnificum decus mirabiliter aptum putet.

Quae igitur dementia est, id agere, vt omnes homines iisdem opinionibus inuiti imbuantur? quod neque
d fieri potest, neque si possit, debet. Tua sapientior ratio est, Imperator, qui nemini opinionem extorques tuam, sed iudicia reliquis libera; cum eo tamen, vt

πεῖν, ὥστε ὑπερφυῆ τινα κόσμον ἔχειν τῇ οἰκίᾳ, καὶ οὐ μετρίαν τὸν δεσπότην ἐντεῦθεν λαβεῖν τὴν ἡδονήν. ἡ δὲ ὅλη αὕτη κατασκευή, ἣν ὁ ἔσχατος περιέχει τῶν οὐρανῶν, ὃν καὶ κόσμον καλοῦμεν, μέγας τις οἶκός ἐστιν, οὗ προστατεῖ ἡ ἀρίστη φύσις, καὶ τῆς ὕλης κεχωρισμένη, ἣν γνωριμωτάτῳ τῷ ὀνόματι Θεὸν προσαγορεύομεν. οὗτος ὑπὸ παντὸς τοῦ ἀνθρωπίνου γένους, οἷον οἰκετῶν τινων, ὡς δὴ δεσπότης τις θεραπεύεσθαι φιλεῖ· ἀλλ' ὥστε μηδένα τὴν ἐξουσίαν ἀφελεῖν χρῆσθαι τῇ ἑαυτοῦ φύσει· ἥδιστα δὲ ὁρᾷν ἄπειρόν τι πλῆθος ἀνθρώπων κατὰ γῆν διεσπαρμένον, φιλοτιμουμένων κατὰ τὸ ἴδιον γένος ἑκάστων πρὸς τὴν αὐτοῦ θεραπείαν· καὶ τοῦτο σεμνόν τε ἡγεῖσθαι, καὶ μεγαλοπρεπές.

Ποία γοῦν αὕτη ἡ ἄνοια, βιάζεσθαι πάντας ἀνθρώπους τὰ αὐτὰ δοξάζειν ἄκοντας, ὃ οὔτε δυνατὸν, οὔτε, κἂν μάλιστα δυνατὸν ᾖ, προσῆκόν ἐστι; σὺ δ' ἄρα σοφώτερον ἐσκέψω, ὦ βασιλεῦ, ὃς μηδένα τὴν ἑαυτοῦ δόξαν ἀφαιρεῖς, ἀλλ' ἐλευθέρας ἀφίης τὰς γνώμας·

per nomen et speciem religionis, vel caussae perturbandae reip. vel latebrae peccatis quaerantur. Hanc ego legem commodiorem etiam iudico, et vtiliorem summae reipubl. quam foedus quod cum barbaris nuper est ictum. Foedere enim isto assequimur, vt cum barbaris et alienigenis ne belligeremus: tua lege omnes seditiones et pugnae intestinae, quibus laborabamus, sublatae sunt. 161 a
Nam superiore tempore, quod probe nosti, graviores eramus ipsi nobis, quam omnis equitatus et peditatus hostium externorum: magisque remp. afflixerunt delationes, quibus vna religio aduersus alteram grassabatur, quam in prouincias nostras incursiones omnium barbarorum. Quamobrem, Imperator, sine paribus pendere libram examinatam ponderibus; neque committe vt alteram lancem impellas: vt paribus et concordibus votis omnes homines, quaecumque religione vtantur, incolumitatem a Deo et diuturnitatem imperio tuo precentur. b

μόνον ὅπως μηδεὶς τοῦ ταράττειν τὴν πολιτείαν, ἢ λαθεῖν κακουργοῦντα, πρόσχημα λαμβάνῃ τὴν εὐσέβειαν. τοῦτον ἐγὼ τὸν νόμον χρησιμώτερον νομίζω τῶν πρὸς τοὺς βαρβάρους γενομένων συνθηκῶν. διὰ ταύτας μὲν γὰρ τὸ μηκέτι πολεμεῖν πρὸς τοὺς βαρβάρους εὕρομεν, τῷ δὲ σῷ νόμῳ πᾶσαι αἱ στάσεις, καὶ ἐμφύλιοι μάχαι, ὑφ' ὧν πρότερον ἐταλαιπωρούμεθα, παντελῶς ἀνῃρέθησαν· προτοῦ μὲν γὰρ, ὥσπερ καλῶς οἶσθα σὺ, βαρύτεροι ἀλλήλοις ἦμεν ἱππέων τε, καὶ πεζῶν ἁπάντων πολεμίων τῶν ἔξω· καὶ χαλεπώτεραι τῇ πολιτείᾳ ἦσαν αἱ γραφαὶ ἐξ ἑκατέρας θρησκείας, τῶν ἐπιδρομῶν, ἃς ἐπὶ τὰς ἡμετέρας ἐπαρχίας ἐποίουν ἅπαντες οἱ βάρβαροι· οὐκοῦν, αὐτοκράτορ, [ἔα μένειν τὴν τρυτάνην ἐφ' ἑαυτῆς· μὴ καθελκύσῃς ἐπὶ θάτερα τὴν ῥοπήν·] ἵνα ἀπὸ μιᾶς γνώμης πάντες οἱ ἐξ ὁποίας δήποτ' οὖν θρησκείας ὑπὲρ τῆς τῶν σου σκήπτρων εὐτυχίας, καὶ διαμονῆς, τὸν θεὸν ἱκετεύωσι.

XIII.

ΕΡΩΤΙΚΟΣ Η ΠΕΡΙ ΚΑΛΛΟΥΣ ΒΑΣΙΛΙΚΟΥ.

Σωκράτης ὁ Σωφρονίσκου τὴν μὲν ἄλλην σοφίαν σχε- c δόν τι πᾶσαν ἔξαρνος ἦν καὶ οὔτε μέγα οὔτε μικρὸν μάθημα ἐπίστασθαι ὡμολόγει, πλὴν τοῦτο αὐτὸ μόνον, τὸ μήτε οἴεσθαι εἰδέναι ἃ μὴ ᾔδει· καὶ ὡς ἐπὶ ταύτῃ τῇ ὁμολογίᾳ τῆς ἀμαθίας σοφὸς ἀνῃρῆσθαι ἐνόμιζεν ὑπὸ τοῦ Πυθίου θεοῦ καὶ σοφώτατος τῶν ἀνθρώπων. ὁ δὲ οὕτως ἀτέχνως πρὸς τὰ λοιπὰ μαθήματα διακείμενος καὶ οὕτως ἀπισχυριζόμενος πρὸς τὸ κεκτῆσθαί τινα ἐπιστήμην ὅμως τὴν ἐρωτικὴν τέχνην αὐτὸς ὁμολογεῖ. οὐ μὲν γὰρ τεύξασθαι μόνον οὐδὲ ζητεῖν οὐδὲ διώκειν, ἀλλ' ἤδη καὶ ᾑρηκέναι καὶ ἔχειν, ὡς καὶ ἄλ- d λους διδάσκειν οἷός τε εἶναι. φησὶ γοῦν ἐν τοῖς Ἀγάθωνος ἐπινικίοις μετὰ τὸν πότον αὐτός τε ἀγαγόμενος εἰς τὸν ἔπαινον τοῦ ἔρωτος καὶ τοὺς συμπότας παρασκευάζων οὑτωσὶ ἀπαρακαλύπτως καὶ ἐκφανῶς, οὐδὲ ἄλλο φημὶ ἐπίστασθαι ἢ τὰ ἐρωτικά. βαβαί, ὦ φίλε Σώκρατες, ὡς λίαν αὐθαδῶς καὶ πόρρω τῆς εἰωθυίας σοι εὐλαβείας, καὶ ἐγγύς τι Προδίκου τοῦ Κείου καὶ Πρωταγόρου τοῦ Ἀβδηρίτου καὶ Γοργίου τοῦ Λεοντίνου, 162a καὶ ὅσοι γυμναῖς ταῖς κεφαλαῖς ἀνεκήρυττον ἑαυτοὺς ἐν τοῖς Ἕλλησιν ἐπὶ τῇ σοφίᾳ. καὶ δῆτα Ἀρχέλαον μὲν

198, 5 το μήτε A. τὸ om. H. 7 ἀνθρώπων Roulezius p. 34. Vulgo ἄλλων. 11 τεύξασθαι] εὔξασθαι Harduinus. τευτάζειν vel τευτάζεσθαι Ruhnkenius ad Timaeum p. 255. τευτάζεσθαι Bastius Ep. Crit. p. 152. 16 οὑτωσὶ] Vulgo οὑτωσίν. 21 γυμναῖς] „Plato Phaedr. p. 243 b.“ Iacobsius.

τὸν σεαυτοῦ διδάσκαλον ἀποκρύπτεις καὶ οὐδεπώποτε ἐν λόγῳ τινὶ ἐποιήσω τὸν κληρονόμον τῆς ἀνωτάτω σοφίας, ὅτι σμικρόν γε τὸ μάθημα καὶ ἀνθρωπικὸν ἐδόκει εἶναι, σάρκα καὶ ὀστοῦν καὶ μυελόν, εἰ δὲ βούλει, γῆν καὶ ὕδωρ καὶ ἔτι τὰ τούτων ἀρχεγονώτερα, ὅπῃ τε καὶ ὅπως γεννᾶται, μηδὲ φθειρόμενα, ἀλλὰ συνιόντα καὶ ἀπιόντα ἀπ' ἀλλήλων. τὴν δὲ Μαντινικὴν ξένην ὑμνεῖς καὶ διδάσκαλον σεαυτοῦ ἀποφαίνεις ἐρωτικῶν, καὶ ἀποτείνεις μακρὸν καὶ πάγκαλον λόγον γενέ- b
σθαι, τά τε Ἀφροδίτης διεξιὼν κατὰ δεῖπνον καὶ Πόρου μέθην καὶ ὕπνον καὶ ἐπιβουλὴν τῆς Πενίας καὶ κατακοίμησιν παρὰ τῷ Πόρῳ καὶ ἐντεῦθεν γένεσιν Ἔρωτος, ὃν θεὸν μὲν ὀνομάζεις, δαίμονα δὲ μέγαν καὶ μέγιστον τῶν ἄλλων δαιμόνων. τὰ μὲν δὴ ἄλλα οὐκ ὀνόματα ὅ τι νοεῖ τε καὶ ὅ τι βούλεται ἡ Ἀφροδίτη καὶ ὅ τι ἡ Πενία καὶ ὅ τι ὁ Πόρος καὶ ὅ τι ἡ μέθη τοῦ Πόρου, καὶ ὅσα ἐφεξῆς καταλέγεις, δῆλος εἶ ὅτι οὐ ταῦτα λέγεις ἃ οἱ πολλοὶ νῦν ἴσασιν ἐκ τῶν ὀνομάτων οἷς κέχρηνται, ἀλλ' ἕτερα δύσφραστα καὶ δυσάρεστα c
καὶ τῷ μύθῳ ἐνδεδυκότα ὥσπερ χιτωνίῳ, ὡς μὴ ἐπίδρομα εἶναι τοῖς παντάπασιν ἀμυήτοις.

Τὰ μὲν δὴ ἄλλα, ὥσπερ ἔφην, καθ' ἑαυτοὺς ἐπὶ σχολῆς σοι ἐπανερησόμεθα, ἃ δὲ τοῦ λόγου μάλιστα θαυμάσας ἔχω, ταῦτα καὶ νῦν σοι ἐν τῷ συλλόγῳ οὐκ ἀποκρύψομαι, ὡς ἀκριβῶς ἄρα ἐξήτασας καὶ ἐπεσκέψω τὴν μορφὴν καὶ τὴν φύσιν τοῦ Ἔρωτος, ὅτι οὐχ οἷος τοῖς πολλοῖς δοκεῖ τοιοῦτος καὶ τῷ ὄντι ἐστί, νέος καὶ ἁπαλὸς καὶ ἁβρός, ἀλλὰ τοὐναντίον σκληρὸς καὶ αὐχ- d

---

199, 6 γεννᾶται Harduinus. Vulgo γεννᾶσθαι. 7 Μαντινικὴν] Vulgo μαντικήν. Correxit Davisius ad Maximum Tyr. vol. I. p. 460. ed. Reisk. 8 σεαυτοῦ A, σεαυτὸν H. ἐρωτικῶν] ἐρωτικὸν A. 9 γενέσθαι post ἐρωτικῶν transponit F. A. Wolfius, post Ἀφροδίτης, in γενέθλια mutatum Wernsdorfius ad Himer. p. 358. 10 κατὰ δεῖπνον Harduinus. Vulgo καὶ δεῖπνον διεξιών. Πόρου] χόρου A et similiter infra ter. Vide Platonis Sympos. p. 203 b. 13 θεὸν μὲν] Adde οὐκ ex Platone. 15 νοεῖ τε] Vulgo ποιεῖται. 20 ὡς μὴ] ὡς om. A.

μητρὸς καὶ θυραυλῶν ἐπὶ θύραις καὶ ἐν ὑπαίθρῳ τὰ πολλὰ καὶ ἐν ὁδοῖς διαιτώμενος καὶ ἐπιθυμητὴς ἀεὶ τοῦ καλοῦ καὶ ἀγαθοῦ, καὶ ἴτης ἐπὶ τούτοις, σύντονος, θηρευτής, δεινῶς πλέκων μηχανὰς ἐπὶ τῇ θήρᾳ, καὶ ἔτι φρόνιμος καὶ ἀεὶ φιλοσοφῶν. ὧν τὰ μὲν ἐκ τοῦ πατρὸς τοῦ Πόρου αὐτοῦ παραγίνεται, τὰ δὲ ἐκ τῆς μητρὸς Πενίας. ταῦτα δή σου ἀκούων ἐκ μειρακίου μοι ἐπᾴδοντος καὶ παιδεύοντος, καὶ ὅτι ἄλλο μὲν τὸ
163 a ἐραστόν, ἄλλο δὲ ὁ ἔρως, καὶ ἐκεῖ μὲν δεῖ ζητεῖν τὴν νεότητα καὶ τὴν καλλονὴν καὶ τὸ ἀνενδεὲς καὶ τὸ πλῆρες, τὸν δὲ ἔρωτα γινώσκειν ὅτι ἁπάντων τούτων ἐπιδεής· οὐ γὰρ ἂν ἐφίετο αὐτῶν, εἴπερ εἶχε· ταῦτά σου ἀκούων τὸν ἄλλον ἅπαντα χρόνον ἀντεμαντευόμην ὡς θαυμαστὰ εἴη καὶ μᾶλλον ἀκόλουθα τὰ ἐκ τοῦ σοῦ λόγου, ὧν πείθουσιν ἡμᾶς οἱ ποιηταὶ καὶ οἱ ζωγράφοι, καὶ προσφυέστερα τῷ ἔρωτι καὶ τῶν ἐρώντων, ἐμαυτῷ
b δὲ συμπεσόντα οὐδεπώποτε ἐνεώρων, ἀλλὰ παρήλλαξε τοσούτων ἐνιαυτῶν ἀριθμὸς ἐπαινέτην μὲν τῶν λεγομένων, ἀπείρατον δὲ ὧν ἐπῄνουν. οὔτε γὰρ ὁδὸν ἐμαυτῷ συνῄδειν μακρὰν οὔτε πορείαν σύντονον οὔτε ὕπαιθρον δίαιταν οὔτε θυραυλίαν οὔτε σκληρόν τι καὶ αὐχμηρὸν ὑπομείνας οὔτε μηχανὰς ἐπὶ τῇ θήρᾳ πεπλεγμένας τοῦ κάλλους, ἀλλ' ἐπιθυμητὴν μὲν τῆς ἐρωτικῆς μελέτης οὐ φαῦλον ἐμαυτὸν ἠπιστάμην, ἀγωνιστὴν δὲ οὐκέτι καὶ ἀθλοφόρον.

c Νῦν δέ, ὦ μεγάλε, ἀθρόον μοι ἀπήντηκεν ἅπαντα ἃ σὺ καταλέγεις, καὶ πλείονα ὧν καταλέγεις, δρόμος ἰσόδρομος σχεδὸν τῷ ἡλίῳ ἀπὸ Τίγρητος εἰς Ὠκεανόν, πόρος σύντονος, πτῆσις χαμαιπετής, καὶ οἷόν ποτε θεῶν τὸν Ἔρωτα φῄς, ἡμέραι ἐπὶ ταῖς νυξὶν ἀκοίμητοι. χαμευνίας καὶ θυραυλίας διήγαγον ἐν ταῖς ὁδοῖς καὶ ἐν τοῖς ὑπαίθροις ἄστρωτος, καὶ ἀνυπόδετος, οὔτε ζῆν ἔχων ποτὲ ἀπεπλήσθην οὔτε ἀπεῖπον, ὡς ἀπορῶν καρτερ-
d ρύην, καὶ ἀνεβίων πολλάκις τῇ ἐνδείᾳ καὶ τῇ ἐλπίδι.

200, 2 καὶ ἐν ὁδοῖς — τοῦ καλοῦ add. A. 3 ἴτης] εἴ τις A. 20 μακρὰν] μακροῦ A.

σύμπαντα ἔνι ἁπλῶς ἐν τῷ ἐμῷ ἔρωτι ὅσα κατάλληλας καὶ τῇ μορφῇ ἁπάσῃ, καὶ ἡ φύσις τοῦ δαίμονος τούτου οὐκ οἶδα εἴ ποτε ἐν ἄλλῳ ἀνθρώπῳ οὕτως ἐξέλαμψε καὶ ἐξεφάνη. αἱ πολιαὶ δὲ ἔφυσαν οὐ προσδοκῶντι ἐν πείρᾳ ἔσεσθαι ὧν παρὰ σοῦ μεμάθηκα. αἴτιον δὲ οὐ τοσοῦτον ἡ ἐμὴ νωθρεία καὶ ἀνεραστία, ἀλλ' ἡ πρώτη ἐπίβασις τοῦ ἐραστοῦ ἄπορός μοι τέως ἦν καὶ ἀνεύ- 164 a ρετος, καλὴ ψυχὴ ἐν καλῷ σώματι, νέα ἐν νέῳ, ἀνθοῦσα ἐν ἀνθοῦντι, τὴν μὲν ἔχουσα ἀγλαΐαν ἤδη, τὴν δὲ ὑποφαίνουσα ἐπιδώσουσαν ἅμα τῷ χρόνῳ.

Τοιαῦτα παιδικὰ ἐγὼ ζητῶν καὶ διώκων πανταχοῦ ἰχνηλατῶν θαυμαστὰ ἔπασχον οἷα τὸν πρὸ τοῦ χρόνον, καὶ πράγματα εἶχον καὶ παρεῖχον τοῖς γυμνασίοις καὶ ταῖς παλαίστραις, ὅτῳ ἐντύχοιμι νέῳ ἀναπειρώμενος· καὶ μάλιστα ὅσοι πένητες καὶ ἰδιῶται πατέρων ἰδιωτῶν, ἀπραγμόνων, μικρὰ ἐν ταῖς πόλεσι δυναμένων. ἤκουον b γὰρ παρὰ τῶν ποιητῶν ὅτι πενίη σοφίαν ἔλαχε καὶ τίκτει κόρος ὕβριν καὶ πλησμονή τοι Κύπριν, καὶ τοιαῦτα πολλὰ ᾀδόντων, ἡμᾶς πείθοντα τῇ τύχῃ τῇ πολλῇ μὴ συμπεριφέρεσθαι τὴν ἀρετήν. ἀλλ' ὅμως καὶ τούτων τῶν νέων οἱ πολλοὶ ἐφαίνοντό μοι αὐτῷ μόνῳ ἐπικλύζεσθαι τῷ θορύβῳ τῆς ἡλικίας. εἰ δέ τῳ ἢ σκύτος παρῆν, ἢ δύναμις πατέρων, ἢ συγγενῶν, πόρρω ἐχρῆν τοὺς πολλοὺς τοῦτον ἀσπάζεσθαι, ὡς μακράν c που ἀποσκηνοῦντας κάλλους ἀληθινοῦ καὶ ἀξιεράστου. τὰς ψυχὰς γὰρ αὐτῶν διαλαμβάνουσαι ἡ τρυφὴ καὶ ἡ κολακεία λώβης ἐμπιπλᾶσιν ἀδιηγήτου· ὥστε καὶ εἴ τι ἐνῆν ἄνθος αὐτοῖς ἀμυδρὸν ἀρετῆς, μαραίνεσθαι ἅπαν τοῦτο καὶ ἀπορρεῖν ὑπὸ τοῦ κλύδωνος τῶν παθημάτων. ταῦτα γοῦν ἐν χρόνῳ μακρῷ ἀνατλὰς καὶ ὠδίνων μὲν τὸν ἔρωτα ἐκείνου τοῦ κάλλους, ὃν φιλοσοφία μοι ὑπε-

---

201, 2 τούτου add. A. 5 παρὰ σοῦ τοῦτο H. τοῦτο delet Harduinus, in τότε mutat Iacobsius ad Athenaeum p. 37. 8 ψυχὴ ἐν καλῷ] ἐν ψυχῇ καλῷ A. 9 ἔχουσα] ἔχουσαν A. 23 σκύτος] πλοῦτος Harduinus. 26 διαλαμβάνουσαι] διαλαμβάνουσα A.

γράψαιτο, νέου καλοῦ καὶ ἐρασμίου, τὰ κάλλη ἄμφω d κεκρασμένου, τῆς τε ψυχῆς καὶ τοῦ σώματος, λάμποντος φιλοφροσύνῃ καὶ εὐσταθείᾳ ἐν ἀνδρείᾳ ἡδυπαθείας;

Πρῶτον ὑπηνήτῃ, τοῦ περ χαριεστάτη ἥβη, τοιούτου κάλλους ὠδίνων ἔρωτα καὶ ἀνερευνῶν μὲν καὶ ἐπιζητῶν, εὑρίσκων δὲ οὐδαμοῦ οὔτε ἐν γῇ οὔτε ἐν θαλάσσῃ, θαυμαστὰ ἔπασχον, ὥσπερ ἔφην, καὶ ᾤμην 165 ᾄδειν τὸν περὶ τοῦ κάλλους λόγον τοιοῦτον εἶναι, οἷοι πολλοὶ καὶ ἄλλοι φιλοσοφίας, οὓς τῷ νῷ μὲν οἷόν τε ἐννοῆσαι, ἑλεῖν δὲ αἰσθήσει ἀμήχανον, οἷον αὐτόκυκλον καὶ αὐτοτρίγωνον, ὁποῖον οὔτε ἐν ξύλῳ οὔτε ἐν λίθῳ οὔτε ἐν γράμματι.

Οὐκ ἔχων δὲ οὔτε ἀποθέσθαι τὴν ὠδῖνα οὔτε ἀποπλῆσαι, κάλλους δὲ οὐχ οἷόν τε ἐκλαθέσθαι ἀρτίου d καὶ ὁλοκλήρου τοὺς φιλοκάλους καὶ εὐφυεῖς, ὀψὲ ἀνεγρόμενος μόλις ὥσπερ ἐξ ὕπνου βαθέος, θεοῦ τινος, ὡς ἔοικε, ποδηγοῦντος, ἐνεθυμήθην τὰ ἐν τῷ Πλάτωνος b Φαίδωνι. καὶ γὰρ ἐν ἐκείνοις τοῖς λόγοις ὁ αὐτὸς διδάσκαλος τῶν ἐρωτικῶν οὔ φησιν ὁμοίως τὸ αὐτὸ καὶ ἓν κάλλος διωκτὸν εἶναι, ἀλλὰ τοῖς μὲν Ἄρεος θεραπευταῖς ἀρεϊκόν τε καὶ φιλοπόλεμον, τοῖς δὲ Ἀπόλλωνος θιασώταις εὔμουσον καὶ τῷ θεῷ τούτῳ οἰκεῖον, μόνοις δὲ τοῖς φιλολόγοις τὸ Διός τε καὶ βασιλικόν· Διὸς γὰρ εἶναι τοὺς φιλολόγους συμπεριπόλους. οὕτω δὴ καταλιπὼν τὰ φροντιστήρια καὶ τὰς παλαίστρας σπουδῇ ἁπάσῃ ἐπὶ τὰ βασίλεια ᾖα, ὡς ἐκεῖ μάλιστα τοὺς δειλοὺς καὶ ἡγεμονικοὺς ἐξευρήσων. καὶ δῆτα ἐν- c τυγχάνω πρῶτα μὲν τῷ παιδὶ τῷ Κωνσταντίνου, ἔπειτα τῷ ἐκείνου ἀδελφῷ, ἀμφοῖν ἀγαθοῖν μὲν καὶ ἀτεχνῶς δύοιν, ἀλλ' ὑπέρωρόν γε ἤδη τὸ κάλλος αὐτῶν, καὶ τὸ

202, 5 Πρῶτον] Iliad. ω, 348. 10 οὓς τῷ νῷ μὲν οἷόν τε] σὺν τῷ νῷ μὲν οἴονται A. 13 γράμματι] γράμμασι A. 15 κάλλους] κάλλος A. 24 τὸ Διός] τὸ δῖον Hier. ad Macr. p. 186. 28 δειλοὺς] δεινούς? ἐξευρήσων F. A. Wolfius. ἐξευρήσκων H. ἐξευρίσκων A. 31 δύοιν] δυοῖν A. ὑπέρωρον] ὑπεώρων A.

μὴν οὐχ οἷός τε ἀγνοηθῆναι ἔτι τοῦ ἔρωτος, τὸ δὲ [illegible]φων εὐθὺς καὶ ἀπέστη. ἀλλ' ἐχρῆν, ὡς ἔοικε, τὸν μυσταγωγόν μοι γενέσθαι τῆς ἐρωτικῆς τελετῆς οὐ πόρρωθεν τῶν παιδικῶν οὐδὲ ὀθνεῖον, ἀλλ' ἐγγύθεν καὶ ἀφ' ἑστίας.

Ὥστε οὐ καρτερεῖ ἔτι ὁ λόγος κύκλῳ περιιέναι, ἀλλὰ μεθέμενος ἤδη τῶν προπετασμάτων αὐτοπρόσωπος σοι διαλέξεται, ὦ παῖ βασιλεῦ, ὦ παῖ πατρός, ὦ παῖ d
νικῶν πολιὰν ἀρετῇ, ὦ μακάριον θήραμα τῆς ἐμῆς ἰχνηλασίας. οὐ γὰρ οἷός τε πρὸ ὀμμάτων ἔχειν τὸ κάλλος, οὗ ἕνεκα ἐκ περάτων εἰς πέρατα γῆς ἐπορεύθην, πάντα ἐκεῖνα ὑπομείνας ὅσα κατέλεξεν ὁ Σωκράτης ἡμῖν καὶ Διοτίμα, μὴ οὐχὶ πρὸς σὲ ἀτενίζειν καὶ ἐπιστηρίζειν τὼ ὀφθαλμώ. καὶ δῆτα αἰσθάνομαι ἐμαυτοῦ ἐμπνεομένου ἤδη καὶ ἐνθουσιῶντος· ὥστε εἴ τι φιλο- 166 a
τιμοίμην σφοδρότερόν τε ἤδη καὶ ἐμπυρώτερον, ταῖς νύμφαις μὲν τοῦ Ἰλισσοῦ οὐ λογιστέον, τῷ δὲ Ἔρωτι καὶ τῇ τοῦ φιλονείκου θεοῦ ἐπιπνοίᾳ. ἐπεὶ οὖν ἡψάμην ἐλπίδος, ἣν πάλαι τρέφων καὶ ὠδίνων οὐκ εἶχον ἐξάμμαι ὅπως αὐτῆς ἐπιλαβοίμην, οὐ μεθίεμαι ἤδη τοῦ ἴχνους τῆς ἄγρας, ὡς ἄξοντός με ἐπὶ τὴν ἄγραν οὐ χαλεπῶς, ἣν ἐσπουδάκειν, ἀλλὰ προσεκαρτέρουν καὶ προσελιπάρουν τῷ σῷ πατραδέλφῳ, Ἴστρον τε πραΰνοντι ἐπισπόμενος καὶ Τίγρητα ἀναστέλλοντι ἀκολουθῶν καὶ ὀχυρωμένῳ Εὐφράτην. καὶ διὰ ταύτην τὴν προσεδρείαν b
εἶδον ἐκεῖ ἄνθρωποι θέαμα τοῖς νῦν ἄπιστον καὶ ἀδό-

203, 2 ἀπέστη] ἀπέσβη Ruhnkenius ad Timaeum p. 40. εὐθὺς ἀπέσβη καὶ ἀπέστη Pierson. ad Moer. p. 50. 10 ἔχειν] „Leg. ἔχων. Ab οἷός τε pendent infinitivi ἀτενίζειν καὶ ἐπιστ." Iacobsius. 11 ἐπορεύθην] ἐπορεύθης A. 13 Διοτίμα] διοτίμας A. οὐχὶ] ἔχων Wakefildus Silvae crit. IV. p. 242. 17 et 18 οὐ et τῇ addidit Iacobsius apud Goellerum p. 274. οὐ etiam Wakefildus. 18 ἐπιπνοίᾳ Iacobsius. Vulgo ἐπινοίᾳ. 19 ἣν] Vulgo καὶ ἥν. καὶ aut deleri aut ἣν καὶ scribi vult Iacobsius apud Goellerum p. 273. 20 ἴχνους] Vulgo τείχους. 21 ἄξοντος] Vulgo ἄξαντος. 25 ὀχυρωμένῳ] ὀχυρωμένος A. 26 εἶδον Harduinus. Vulgo εἴδους.

κτῆμα καὶ διήγημα ἀμυδρὸν ἤδη τῆς παλαιᾶς εὐδαιμονίας, βασιλείαν συνεθακῶσαν φιλοσοφίᾳ καὶ τριβώνιον ἁλουργίδι συνδιαιτώμενον καὶ ἐπαινοῦντα κόσμον εἰς τὰ βασίλεια, ᾧ Τραϊανὸς ἐκοσμεῖτο καὶ Μάρκος καὶ Ἀντωνῖνος, ὃν Ἀλέξανδρος ὁ μέγας οὐκ ἐκοσμήθη, οὐδὲ Κῦρος ὁ Μῆδος, οὐδὲ Ξέρξης ὁ ἀλαζών. ἀλλὰ χρυσῆν μὲν πλάτανον περιφέρεται καὶ χρυσοῦν οὐρανόν, φιλοσοφίᾳ δὲ ἀκόσμητος ἦν καὶ τὸν οὐρανὸν οὐχ ἑώρα τὸν
c ἀληθινὸν ἀμύητος ὢν καὶ ἀνοργίαστος τούτων τῶν ἱερῶν. τῶν ἐμῶν δὲ παιδικῶν ὁ ἐξηγητὴς καὶ προφήτης, τοσοῦτον ἄρα αὐτῷ κάλλος περιέστιν ὥστε καὶ βάρβαρον ποιεῖν καλόν, καὶ τὸν Γέτην ἥμερον καὶ τὸν Πέρσην ἐπιεικῆ καὶ τὸν Ἀρμένιον ἤδη Ῥωμαῖον καὶ τὸν Ἴβηρα Ἕλληνα, καὶ τὸν σκηνητὴν οἰκουρόν· καὶ ἕκαστον ἐκ τοῦ πρόσθεν αἴσχους εἰς τὸ ἐναντίον κάλλος μεταμορφοῦν.

Ἐγὼ δὲ εἰμὶ μὲν καὶ τῆς ζώνης καὶ τῶν βασιλέων ἐπαινέτης καὶ ἐραστής, καὶ μάλιστα εἰ καὶ ξὺν δίκῃ ζωννυμένην αὐτὴν καθορῴην, πολὺ δὲ μᾶλλον ἐπαινοίην ἂν καὶ ἐρῴην τῆς κεφαλῆς καὶ τῶν ὀμμάτων, ἵνα τὸ
d τῆς γνώμης καὶ νοῦ χωρίον καὶ οἰκητήριον. ἔνθεν καὶ αὐτοῦ τοῦ Διὸς ἐξέθορεν ἡ πρόμαχος Ἀθηνᾶ καὶ τῆς φύσεως πρόνοια αὐτῇ σκευῇ καὶ αὐτοῖς ὅπλοις, ἐνδεικνυμένης τῆς ἀρχαίας φιλοσοφίας ὅτι μόνη ἡ μῆτις καὶ τὰ βουλεύματα καὶ αἱ γνῶμαι ὁλόκληρα τὰ γεννήματα καὶ ἀρτιμελῆ τῶν βασιλέων, καὶ πρὸς ταῦτα ἀποχρῶσιν ἑαυτοῖς καὶ γεννῆσαι καὶ ἐγγεννῆσαι, δι' ὧν ῥύονται τὴν ἀρχὴν καὶ σώζουσι τὰς πατρίδας τὰς ἀνθρωπί-
167 νας. ὥσπερ οὖν ἡ Ἀθηνᾶ ἐκθοροῦσα τῆς τοῦ πατρὸς κεφαλῆς κατέπλησε μὲν οὐρανὸν τοῦ πρώτου κάλλους, κατέπλησε δὲ ἥλιον καὶ σελήνην καὶ τὰ λοιπὰ

204, 3 καὶ ἐπαινοῦντα — βασίλεια add. A. 7 περιφέρεται] περιέφερέ τε Harduinus. 11 κάλλος] κάλλους Roulezius p. 40. 12 καὶ τὸν Πέρσην — Ῥωμαῖον add. A. 19 ζωννυμένην] ζωννύμενον A. 20 ἐρῴην Iacobsius ad Athenaeum p. 100. Vulgo ῥώμην.

ἀστέρας, ἔταξε δὲ γῆν καὶ ὕδωρ καὶ ἀέρα καὶ πῦρ, καὶ ἐποίησε καὶ ταῦτα σώματα ὄντα διὰ τὴν τάξιν καλὰ καὶ ἐραστά· οὕτω καὶ ἡ μῆτις τῶν ἀγαθῶν βασιλέων, ὅπου ἂν ἐφάψηται καὶ ᾧ ἂν πελάσῃ, οὐ θέμις τοῦτο μὴ οὐ καλὸν εὐθὺς εἶναι καὶ ἐραστὸν καὶ ἐγχώριον 168 αὐτῶν, ὅσον μὴ καλὸν περιῄρηκεν, ὥσπερ τῷ ἡλίῳ τὸν ζόφον. καὶ τὰ μὲν ἄλλα κάλλη οὔ μοι καιρὸς b ἐπεξιέναι, οὔτε ὅσων αἱ πόλεις ἀπέλαυσαν, οὔτε ὅσων αἱ χῶραι οὔτε ὅσων ἤδη καὶ τὰ ἐπ' αὐτῶν· μεστοὶ γάρ ἐστε καὶ ἀκούοντες καὶ ὁρῶντες μεγέθη τε οἰκοδομημάτων ἐκπρεπῆ [illegible] καὶ εὐμορφίας ἀμηχάνους καὶ θαλάσσης τέρψεις τε καὶ Ἰωνικῆς ἐπικλάσεις καὶ ἀποκλάσεις, καὶ ποταμῶν ἀνομάλων γεφυρουμένων, καὶ c γῆρας ἑκάστῃ πόλει ἀποξυόμενον καὶ νεότητα ἐπανθοῦσαν. ἃ δὲ μὴ οἷός τέ εἰμι κατασχεῖν, μηδὲ θέμις ἄρρητα παρελθεῖν, καὶ ταῦτα πρὸς σέ, ὦ μακάριε, φίλον οἰκεῖος ὁ λόγος καὶ οὐκ οἶδα εἰ τῷ ἄλλῳ οὕτως ἀφ' ἑστίας. c

Ἡ γάρ τοι πόλις τοῦ Κωνσταντίνου καὶ τοῦ υἱέος τοῦ Κωνσταντίνου, οἷς σὺ καὶ τῷ αἵματι ἀνεμίχθης, καὶ τὸ γένος ἡμῖν τῶν οἰκιστῶν ἀθάνατον ἤδη καὶ ἀσφαλὲς τῇ σῇ κοινωνίᾳ, αὕτη ἡ πόλις καλὴ μέν που καὶ πρόσθεν καὶ τῶν οἰκιστῶν τὸν ἔρωτα οὐκ αἰσχύνουσα, ἀτὰρ ὑπὸ σπουδῆς καὶ προθυμίας ἄμφω τὼ ἐραστὰ μᾶλλον ἐγενέσθην τοῦ ἰδεῖν καλλίω ταύτην ἢ τοῦ ποιῆσαι, ὥσπερ ἂν εἴ τις γυναικὸς ἐρασθεὶς καλῆς καὶ γενναίας φυκίων μὲν ἐπιμεληθείη καὶ ἀγχούσης καὶ ἐντριμμάτων καὶ τῶν**, ὡς πλεῖστα αὐτῇ παρεῖναι, καὶ d ναὶ μὰ Δία στρεπτῶν πολυτιμήτων καὶ ἐλλοβίων καὶ πέπλων ἁλουργῶν καὶ πολυχρύσων, καὶ τούτοις ἄλλοτε ἄλλως ἀμφιεννύοι, ἐπικομμῴη, ἀγείρων ἐξ ἁπάσης γῆς

205, 8 ἀπέλαυσαν] Vulgo ἀπήλαυσαν. 12 ἐπικλάσεις καὶ ἀποκλάσεις] ἐπικλύσεις καὶ ἀποκλύσεις A. 13 καὶ ποταμῶν] καὶ πλῆθος ποταμῶν Fr. A. Wolfius. ἀνομάλων] ἀνόμαλα τῶν Iacobsius in append. ad Porsoni Adv. p. 318. 24 τὼ Harduinus. Vulgo τὰ. 27 ἐπιμεληθείη A. ἐπιμεληθείη M.

καὶ θαλάσσης, δίψει δὲ αὐχμηρᾷ καὶ εὐχρῷ ὀργῇ πιεζομένην καὶ ὀλίγον ἀπολιμπάνουσαν τοῦ ἀποπτῆναι, αὐτῷ φανεῖ καὶ αὐτῇ παρρησίᾳ. τοῦ γὰρ τοιούτου ἔρωτος μέγα ὄφελος ἡ ἐρωμένη.

168 a Ὁ δὲ σὸς πάτρως, ὅτε, οἶμαι, προμαντευόμενος ἄστει τῇ πόλει τὸ κῆδος συνάψειν, ἀντὶ σκιαγραφίας ἐφι-
d λοτίμησε τὸ ὄνομα τὸ Κωνσταντίνου ἐγχαράξαι στήλῃ ἀδαμαντίνῃ, καὶ πηγῆς τε [illegible] ποιεῖται μητέρα καὶ δωρεῖται οὐκ εἰς μακρὰν παρὰ τοῦ Διὸς λαβὼν ἐκ τοῦ οὐρανοῦ τὰς νεφέλας τῇ πόλει, οἷον [illegible] ἁλίσας εἰς ἕνα χῶρον ἔνθεν καὶ ἔνθεν πόρρω τε καὶ ἀλλήλων ἀπῳκισμένας καὶ ἐν μυχοῖς κατασκηνούσας ἀηδέσι τε καὶ ἀχρείοις.
b αἱ δὲ, ὠκύτεραι πτεροῦ καὶ νοήματος, αἱ μὲν τὸν αἰθέρα ὑψοῦ διαπτᾶσαι, αἱ δὲ ὑποδραμοῦσαι ἠλιβάτους κρημνοὺς ἐγγειὰς καὶ ἐναέριοι, σκαφύλη τὰ νῶτα ἐπεικασάμεναι, πλεῖν ἢ σταδίους χιλίους ἄναντα καὶ κάταντα, οὔτε ἄνοδον οὔτε κατάντην διαδραμοῦσαι καὶ οὔτε ὑπο-
b σχεθεῖσαι οὔτε ἐνσχεθεῖσαι συνεφοίτησαν [illegible], καὶ ἥκουσιν ἤδη πρὸ τῶν πυλῶν καὶ θυραυλοῦσι περιμένουσαι τὸν ἀρχηγέτην, ὅπως ἂν ἐκείνου ξενίζοντος εἰς τὸν νεὼν σφῶν κατασκηνώσειαν, ἐν ᾧπερ αὐτῷ καὶ
c Ἥφαιστος συγχορεύει καὶ ὁ σωτὴρ καὶ ἡ Πανάκεια. οὕτω καλὰ τὰ προτέλεια τῶν ἐμῶν παιδικῶν καὶ οὕτω πλούσια καλλονῆς.

Καὶ ὅσον μὲν ἐπὶ τῇ δεξιότητι τοῦ προφήτου οὐδὲν ἂν με ἐκώλυσεν ἔτι προσλιπαρεῖν καὶ προσκαθῆσθαι τῷ Τίγρητι καὶ τῷ Εὐφράτῃ. ἀλλ' ἐπιτίθησιν εὐθὺς ὁ τῆς ἕω προστάτης ἰδίαν ἀνάγκην μὴ ἀμβλυώτ-
b τειν πρὸς τὴν ἑσπέραν, πρὸς δὲ καὶ οἱ Σωκράτους ἀναβασμοὶ οὐκ εἴων ἀτρέμα ἔχειν. ἀλλὰ τί γάρ φησιν ὁ τῆς πορείας τῆς ἐρωτικῆς ἐπιστήμων; ἄρχεσθαι μὲν

206, 1 ὀργῇ] „Fort. ὑπερορφῇ." Iacobsius. 2 ἀποπτῆναι] ἀποσπᾶσθαι Piersoп. ad Moer. p. 49. 4 μέγα] οὐ μέγα Iacobsius apud Goellerum p. 282. Alii aliter; de qua dixit Bernhardius p. 41. 5 πάτρως] πάτρως Hardtius. 15 σκαφύλη] Vulgo σκαφύλῃ. [illegible] 23 καλλονῆς] κάλλους. [illegible] 29 [illegible] A.

ἀφ' ἑνὸς [illegible] ἐγχειρῶν, καὶ ἐντίκτειν λόγους καλούς· ἔπειτα καὶ αὐτὸν κατανοῆσαι [illegible] c
ὅτι τὸ [illegible] ἀδελφόν ἐστι καὶ συγ- d
γενές· καὶ φήμι αὖθις, ὦ φίλε Σώκρατες, καὶ [illegible] [illegible] ἐμοῦ πάθος [illegible] γὰρ [illegible] τὰ [illegible] χρήσιμα [illegible] ἐγὼ γάρ τοι, ὦ [illegible], [illegible] τοῦ κάλλους [illegible] τε [illegible] κατανοῆσαι, ἀδελφοῦ δὲ [illegible] φύσιν [illegible] τος [illegible] καὶ [illegible] καὶ ἰδὼν [illegible] καλλίας [illegible] ἄμεινον οὐδὲ [illegible] ἐγὼ [illegible] ἀπὸ γῆς [illegible] a
οὐδ' ἀπὸ τοῦ [illegible] τοκέως, ἀλλ' [illegible] καὶ τῆς σπορᾶς τῆς [illegible] καὶ φυτουργίας [illegible] Θῦ γὰρ [illegible]

ἀνδρός γε θνητοῦ παῖς [illegible] ἀλλὰ [illegible] φησὶν ὁ Ηρίαμος παρ' Ἕκτορος, [illegible] βαίνει μεῖζον ἢ κατὰ ἀνθρωπίνην γενήν [illegible] Φίλιππον [illegible] οὐκ, [illegible] σθαι τῇ Ἀλεξάνδρου γενέσει καὶ Ἀμφιτρύωνα [illegible] 170
κλέους· τὸν δὲ [illegible] τὸν ἀληθινὸν πατέρα, [illegible] b
ἄλλος ἦν, ῥυομένου ἀνθρώπους ἐκ θανάτου καὶ [illegible] τῶν τοῦ Ἅιδου πυλῶν εἰς τὴν γῆν [illegible] καὶ [illegible] τὰς πατρῴας [illegible] καὶ ἀπολυομένου [illegible] τοῦ [illegible] καὶ τὰ ἔργα αὐτοῦ, εἰ μὴ [illegible] γενήν, [illegible] μὲν ὁ παῖς καὶ αὐτοκράτης οὐχ ἑαυτοῦ μόνον, ἀλλὰ καὶ σχεδὸν [illegible] γῆς καὶ θαλάσσης, [illegible] ἄρχει [illegible] συνάρχων τῷ [illegible] d
[illegible]

207, 2 καλοὺς] Vulgo κάλλους. Emendatum ex Platonis Sympos. p. [illegible] H. [illegible] Jacobsius apud [illegible] p. 278 [illegible] Vulgo [illegible] γὰρ] Iliad. [illegible] 22 [illegible] Jacobsius [illegible] p. [illegible] Vulgo [illegible] 23 [illegible] ζοντος [illegible] 24 [illegible] Jacobsius [illegible] ἀπολυόμενος H. [illegible] 25 [illegible] Jacobsius [illegible]

ἔστιν ἀμφοῖν νεότητος, ἀλλὰ καὶ ἐξουσίας· καὶ ἂν τί
c ἂν γένοιτο δυσμαχώτερον, ὅταν πορεύωνται σὺν ἀλλή-
b λοιν, ἡ μὲν κινοῦσα ἀλήκτους ὁρμάς, ἡ δὲ πορίζουσα αὐταῖς τὴν ῥᾳστώνην; ἔνθ' ἔνι μὲν λέων, ἔνι δὲ κάπρος· ἔνθ' ἔνι δὲ ἄλλος ὅμαδος πολλῶν καὶ πολυκεφάλων θρεμμάτων, νικώντων ἅπασαν θηρίων φύσιν, ὅταν μὴ νοῦς αὐτοῖς ἐφεστήκῃ. ὅταν οὖν Γρατιανὸς νεότητα μὲν γήρως ἐπιδεικνύῃ στασιμωτέραν, τὴν δὲ ἐξουσίαν παρέχηται χαλινὰ ἔχουσαν καὶ τῷ ὀρθῷ λόγῳ καὶ τῷ νόμῳ συνεπομένην, ἆρ' ἐξελέγχει με κολακεύσαντα ἢ θωπεύσαντα ἢ ψευδόμενον τὴν ποίησιν; ἀλλ' ἐγώ φημι
B καὶ τὸν Ἀλκμήνας, οὐχ ὅτι θηρίων ἐκράτει, παῖδα τοῦ Διὸς νομισθῆναι, ἀλλ' ὅτι κρείττων ἦν θυμοῦ καὶ ἐπιθυμίας καὶ θράσους καὶ ἀγεννείας καὶ τῶν κούφων καὶ ἀνέδρων ἐγχειρημάτων. καὶ εἰ μὴ ἔμελλον ὑμῖν φορτικώτερος φαίνεσθαι, χρώμενος ἀγροίκῳ σοφίᾳ, προσήρμοσα ἂν οὐ χαλεπῶς ἕκαστον ὧν κατέλεξα παθημάτων ἑκάστῳ ὧν ὁ μῦθος λέγει θηρίων· ἐπειδὴ καὶ οἱ δοιὼ δράκοντε, δι' ὧν πρότερον καλλίνικος ἐξεφάνη
170 a ἄνωθεν ἡμῖν, οὐκ ἄλλα τι ἐγὼ ὑπολαμβάνω ἢ νεο-
d τείαν καὶ αὐτάρκειαν· ἄμφω γὰρ ὀλισθηρότατα καὶ παρ[illegible]τατα, καὶ μάλιστά γε ἡ ἐξουσία, ἣν εἴ τις ἀκρατῶς χρῷτο καὶ ἄνευ λόγου, μεθίσταται ἀντ' εὐτυχήματος εἰς δυσποτμίαν, ὥσπερ γε εἴ τις σώματος εὐτυχήσας μεγάλου καὶ ῥωμαλέου χρῷτο αὐτῷ ἄνευ ἀπείρως· καὶ γὰρ οὕτως ἡ δύναμις ἀθλιωτέρα πάσης ἀδυναμίας. ὁ θεὸς δὲ δυνάμει διὰ τοῦτο πάντων ὑπερφέρει καὶ ἀρετῇ, καὶ ὅστις ἐκείνῳ παραπλήσιος ἐν τῇ γῇ, οὗτος
b φυτὸν οὐκ ἔγγειον, ἀλλ' οὐράνιον. μαρτυρεῖ δὲ τούτῳ τῷ λόγῳ καὶ ὁ Βοιώτιος ποιητής. λέγει γὰρ

208, 1 καὶ ἂν] καὶ delendum, nisi aliquid excidit. 7 ἐφεστήκῃ] Vulgo ἐφειστήκῃ. 15 ἀνέδρων] ἀνεδράστων Lobeckius ad Phrynich. p. 283. ἐγχειρημάτων] „Fort. [illegible]" Iacobsius. 20 νεοτείαν καὶ αὐτάρκειαν] νεότητα καὶ αὐτ[illegible] ([illegible] Iacobsius) Harduinus. 24 ὥσπερ γε] Vulgo ὥσπερ γάρ. 27 καὶ ἀρετῇ] [illegible] καὶ ἀρετῇ Iacobsius ad Antholog. Palat. vol. III. p. 645. 30 λέγει] Theogon. v. 94.

Ἐκ μὲν Μουσάων καὶ Ἀπόλλωνος ἑκάτοιο
ποιητάς τε εἶναι καὶ κιθαριστάς, ἐκ δὲ Διὸς βασιλῆας.

Ἀλλ' Ἡσίοδος μὲν οὐκ οἶδε βασιλεῖς γῆς καὶ θαλάσσης οὐδ' ὠνειροπόλησε μίαν τῆς γῆς ἀρχήν. διόπερ αὐτῷ καὶ ἐπάξιος κατεφαίνετο τῆς γονῆς τοῦ Διός, εἰ μιᾶς πόλεως προστατεύων, Φωκίδος ἢ Βοιωτίας, χρηστὸς καὶ ἥμερος καὶ κρίνοι τὰς δίκας μὴ σκολιῶς. τὰ c
δὲ ἡμέτερα τί ἂν εἴποι ὁ αὐτοδίδακτος ποιητής; ποῦ δὲ ἀνάξει ἡμῖν τὴν ῥίζαν, ἐξ ἧς ὁ νεανίας ἐβλάστησεν, ὁρῶν παῖδα ἄρτι πρωθήβην, ἄρτι κατασπείροντα ἴουλον, ἐπιτάττοντα μὲν σχεδόν τι ἁπάσῃ τῇ γῇ, ὑποκύπτοντα δὲ τῷ νόμῳ, ἔνθα καὶ ὁ νόμος μὴ ἀτελής. καίτοι ἤνεγκεν ἡ Ῥωμαίων ἀρχὴ πολλοὺς μὲν νέους καὶ ἐπὶ τῆς αὐτῆς τύχης καὶ ἡλικίας, ἀλλὰ τῶν πολλῶν ἀπόκρυπτά ἐστι τὰ ὀνόματα. ἡ δὲ σὴ νεότης τῷ Κύρου γήρᾳ συναριθμηθήσεται καὶ τῇ Μάρκου ἀκμῇ ἡ σὴ ἐφηβία. οὐκ ἄρα τυφλὸς ὁ ἐμὸς ἔρως, ἀλλὰ καὶ λίαν d
ὀξυδερκής, ἕτοιμος ὢν λέγει ὑπέχειν εὐθύνας. φιλόσοφος γὰρ καὶ ὁ Σωκράτης * * * * εἶναι ποιεῖ, καὶ τὸ καλὸν δὲ αὐτὸ σὺν τῇ ἀληθείᾳ καλόν ἐστι, ψεῦδος δὲ οὐδὲν καλόν, οὔτε θωπεία οὔτε κολακεία. Σαπφοῖ μὲν γὰρ καὶ Ἀνακρέοντι συγχωροῦμεν ἀμέτρους εἶναι καὶ ὑπερμέτρους ἐν ταῖς ἐπαίνοις τῶν παιδικῶν· σωμάτων γὰρ ἦρων ἰδιωτικῶν ἰδιῶται καὶ οὐδεὶς κίνδυνος ἐπῆν, εἰ 171 a
χαυνωθεῖεν ὑπὸ τοῦ ἐπαίνου αὐτοῖς οἱ ἐρώμενοι. ἐνταῦθα δὲ βασιλικὸς μὲν ὁ ἔρως, βασιλικὸς δὲ ὁ ἐρώμενος, καὶ ἀποβλέπουσιν ἅπαντες ἄνθρωποι σχεδόν τι εἰς ἀμφότερα, ὅπως ἀλλήλοις ξυμμίξετον καὶ προσοίσεσθον, καὶ εἰ ἑκάτερος σὺν τῷ προσήκοντι κόσμῳ ὁ μὲν λέξει, ὁ δὲ ἀκούσεται.

209, 8 αὐτοδίδακτος] μουσοδίδακτος Iacobsius ad Antholog. Palat. vol. III. p. 465. 9 ἀνάξει] Vulgo ἀνάξοι. 10 πρωθήβην] πρωθήβη A. 11 μὲν σχεδόν A. μὲν om. H. 18 λέγει] λέγων A. 19 Σωκράτης] σωκρατικὸς (sic) A. φιλόσοφον καὶ ὁ σωκράτης τὸν Ἔρωτα ποιεῖ Iacobsius ex Platonis Sympos. p. 204 b. 22 συγχωροῦμεν A. συγχωροῦσιν H. 26 βασιλικὸς μὲν] Aberat μέν.

Δεινὰ μὲν ἂν πάθοιμι, ὦ παῖ καλὲ, εἰ σοὶ μὲν ὁ κόσμος ὁ ἐκ τῶν ἔργων περίκειται ἤδη καὶ περικείσεται, καὶ προκάθησαι σύμπαντα αὐτὸν προβεβλημένος, λάμ-
b πων τε καὶ ἀστράπτων τοῖς ἀγαθοῖς ἔργοις μᾶλλον ἢ τῇ πορφύρᾳ, ἐγὼ δὲ ἐκ περάτων εἰς πέρατα γῆς ὁρμηθεὶς καὶ τοσαῦτα πράγματα παρασχὼν ἵπποις τε καὶ ἡμιόνοις πολλὰ μὲν ὄρη διαδραμὼν, πολλὰ δὲ δάπεδα διαπτὰς, πολλαῖς δὲ πόλεσιν ὁμιλήσας, ἔπειτα φανείην σοι ἐπὶ θύραις ἀντὶ φιλοσόφου ῥητορικός τις ἢ ποιητικὸς ἐραστὴς καὶ τῶν σῶν μόνων καὶ σὺ μόνου σοῦ ἐπαινέτης. μόνου δὲ σοῦ ἐστιν ἐπαινέτης ὁ ἐκεῖνα τεθαυμακὼς, ἃ μόνῃ τῇ γνώμῃ ἐργάζῃ. Ὅμηρος γὰρ λέγων

Σῇ δ' ἥλω βουλῇ Πριάμου πόλις εὐρυάγυια

c ξεναγοῦ λέγει βουλὴν ἢ στρατιάρχου· ἐγὼ δὲ ὅτε λέγω τῇ σῇ βουλῇ τὸν δεῖνα εἰς τὴν ἑαυτοῦ ἐπανήκειν καὶ τὸν δεῖνα κεκομίσθαι τὸν πατρῷον οἶκον καὶ τὸν δεῖνα λελύσθαι δεσμῶν καὶ τοιούτους ἐφεξῆς ὁρμαθοὺς καὶ καταλόγους, βασιλέως λέγω βουλὴν, ἧς ἔργον τὸ σώζειν τοὺς ὑπηκόους, ὥσπερ καὶ ἑκάστης ἀρχῆς τὸ σώζειν ὅτου ἄρχει· ποιμένος μὲν τὸ σώζειν τὴν ποίμνην, βουκόλου δὲ τὸ ῥύεσθαι τὴν ἀγέλην, καὶ μὴ τοὺς μὲν λύκους ἀποσοβεῖν, αὐτὸν δὲ τῶν λύκων γίνεσθαι χαλεπώτερον κόπτοντα καὶ δαιτρεύοντα ἀεὶ τὰ πιότερα τῶν
d προβάτων ὥσπερ μάγειρον, ἀλλ' οὐ ποιμένα. καὶ ταύτης τῆς βουλῆς ἀγαθὸν μὲν καὶ αὐτογνώμονα εἶναι καὶ αὐτουργὸν, ἀγαθὸν δὲ καὶ τὸ πείθεσθαι τοῖς ὑφηγουμένοις. ὀρθῶς γὰρ ὑπελάμβανε Ζήνων ὁ Κιτιεὺς βασιλικωτέραν εἶναι τῆς ἀγχινοίας τὴν εὐπείθειαν. ἰσχυροτέρα γὰρ ἡ ἀγαθὴ γνώμη ψηφίσμασι πλείοσι βεβαιουμένη.

Μοῦνος δ' εἴπερ τι νοήσῃ,
ἀλλά τε οἱ βράσσων τε νόος, λεπτὴ δέ τε μῆτις·

210, 3 προκάθησαι Iacobsius. Vulgo προκάθῃ. 13 Σῇ δ' ἥλω] Vulgo σῇ δέ τε. Correctum ex Odyss. χ, 230. 22 αὐτὸν Harduinus. Vulgo αὑτῶν. 27 Κιτιεὺς] Vulgo Κιττιεύς. 31 Μοῦνος] Iliad. κ, 225.

συνιδὸν δὲ λέγει καὶ ἑτέρως Ὅμηρος πρότερον Ζήνωνος 172 a

Πολλῶν δ' ἀγρομένων τῷ πείσεαι ὅς κεν ἀρίστην
βουλὴν βουλεύσῃ.

καὶ πρὸς τοῦτο αὐτὸ παρεσκευασμένος βασιλεὺς εὔχεται τῷ Διὶ τὴν βασιλικωτέραν εὐχὴν

Αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
τοιοῦτοι δέκα μοι συμφράδμονες εἶεν Ἀχαιῶν.

οὐ γὰρ δέκα Αἴαντας αἰτεῖ οὐδὲ Διομήδεις, ἀλλ' οὐδὲ αὐτὸν δέκατον ὑπολαμβάνει τὸν Ἀχιλλέα ἐξαρκέσειν b αὐτῷ πρὸς τὴν αἵρεσιν τῆς Ἰλίου, γέροντα δὲ ἀσθενῆ Πύλιον, μόλις ἐκταμόντα ἐν τῷ θορύβῳ τῆς μάχης τὰς παρηορίας τοῦ ἵππου. διὰ τί γοῦν, ὦ χρηστὲ Ἀγάμεμνον, ταύτην εὐξάμενος τὴν εὐχὴν ἐλάθου αὐτῆς ἐν τῇ ἐκκλησίᾳ καὶ πρὸς τὸν Πηλέως ἠγρίαινες καὶ παρήκουσας τοῦ πρεσβύτου, ὃν πολλαπλοῦν σοι ηὔξω γενέσθαι καὶ ἀνακαλουμένου σε ἐκ τῆς ὀργῆς καὶ πραΰνοντος καὶ μαλθάσσοντος; τοιγαροῦν οὐκ εἰς μακρὰν αὐτὸ ὁμολογῶν,

Ἀασάμην, οὐδ' αὐτὸς ἀναίνομαι. c

ἀλλ', ὦ βέλτιστε, ἰδιώτῃ μὲν ὄντι σοι τὸ ἀασάμην τοῦτο δεινὸν ἦν· εἰς γάρ σε περιῆκε μόνον ἡ ἀνηκουστία, νῦν δὲ ὅλου ἥψατο τοῦ στρατοπέδου καὶ

Πολλὰς ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψε
ἡρώων.

ὥστε ἀμείνων ἦσθα ἂν τῷ ἑνὶ προσέχων πρεσβύτῃ ἢ τοὺς δέκα αἰτῶν. καὶ δῆτα οἷα ἀπέλαυσας τοῦ θυμοῦ καὶ τῆς δυσθυμίας. καὶ οὐ λέγω τὸν μετὰ ταῦτα τοσοῦτον ὄλεθρον τῶν Ἑλλήνων καὶ ἐκ τοῦ λοιμοῦ καὶ ἐκ τοῦ πολέμου. ἀλλὰ καὶ αὐτοῦ ἐν τῇ ἐκκλησίᾳ ὡς d διετέθη χαλεπῶς καὶ μαινομένου οὐδὲν ἀπεῴκει, οὗ ἀνέῳξε μὲν ἡ καρδία, πῦρ δὲ ἐξέλαμπε τοῖν ὀφθαλμοῖν ἐκείνοιν, οἳ ἡνίκα ἦσαν καθεστηκότες, τοῖς τοῦ Διὸς

211, 2 Πολλῶν] Iliad. ι, 74. 4 αὐτὸ add. A. 6 Αἲ γάρ] Iliad. β, 371. 10 γέροντα —] Conf. p. 308 c. 13 αὐτῆς A. αὐτοῦ H. 14 καὶ πρὸς A. πρὸς om. H. 15 σοι add. A. 19 Ἀασάμην] Iliad. ι, 116. 26 δέκα αἰτῶν] γδαιτῶν A. ἀπέλαυσας] Vulgo ἀπήλαυσας.

ἴκελοι ἐνομίζοντο, ἐμπεσόντες δὲ εἰς τὴν ὀργὴν οὐκέτι Διός, ἀλλὰ κυνός, οὐδὲ τοῦ μεγίστου τῶν θεῶν, ἀλλ' ἀτιμοτάτου τῶν θηρῶν.

Γρατιανοῦ δὲ οἱ μὲν ὀφθαλμοὶ ἀεὶ μεστοὶ εὐθυ-
173 a μίας, μέλαινα δὲ οὔτι πώποτε οὔτε φρὴν οὔτε ἡ ψῆφος. τὼ Νέστορε δὲ * * οὔτι ῥίπτει τὰς συμβουλάς, ὅτι αὐτὸν ἐτιθηνήσαντό τε καὶ ἐθρέψαντο, οὐκ ὀψία ἀποτέμνοντες καὶ οἴνου ἐπιχέοντες, οἵας ὁ Φοῖνιξ τροφῆς ὑπομιμνήσκει τὸν Ἀχιλλέα, ἀλλὰ καὶ διδάγμασι καὶ ἀκούσμασι βασιλικοῖς, τῆς παλαιᾶς Ῥωμαίων σοφίας, ἧς ὁ πάνσοφος Τούλλιος ἡγεμὼν καὶ ἡ Μοῦσα.

Καί σε τοσοῦτον ἔθηκα θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ.

οὐδὲ γὰρ ὅσα ἐγὼ λέγω μόνῳ ἐμαυτῷ ἅπαντα λέγω,
b ἀλλ' ὁρᾷς ὅτι τὰ μὲν Σωκράτους εἶναί φημι, τὰ δὲ Πλάτωνος, τὰ δὲ Ὁμήρου, καὶ ὅσα ἂν ἐμοὶ πείθῃ ἐκείνοις πεισθήσῃ, μᾶλλον δὲ οὔτε ἐμοὶ οὔτε ἐκείνοις, ἀλλὰ σαυτῷ· σὴ γὰρ ἤδη γνώμη ἐστίν, ἣν καταδέξῃ καὶ ἀσμενίσεις. καὶ γὰρ καὶ ἵππου καὶ ἱματίου καὶ παντὸς κτήματος οὐχ ὁ δοὺς κύριος, ἀλλ' ὁ κεχρημένος. ἐπεὶ καὶ Νέρων Σενέκᾳ οὐ συνῆν, ἀλλὰ Πυλάδῃ συνῆν καὶ Μητροβίῳ. τοιγαροῦν τῆς ἀρχῆς ἐξέπεσεν ἀθλιώτερον ἢ τῶν ἁρμάτων. ὁ Σεβαστὸς Ἀρείῳ συνῆν
c τῷ Αἰγυπτίῳ καὶ Τίτος Μουσωνίῳ τῷ Τυρρηνῷ καὶ Τραϊανὸς Δίωνι τῷ ἐκ Βιθυνίας καὶ Μάρκος Ῥουστίκῳ, καὶ ὅ γε Σεβαστὸς ἀποδιδοὺς τὴν πόλιν Ἀλεξανδρεῦσιν οὐ τοσοῦτον τῷ ἔργῳ ὅσον τῷ συμβούλῳ ἐκαλλωπίσατο.

212, 2 ἀλλ' ἀτιμοτάτου] ἀλλὰ τοῦ ἀτιμοτάτου Iacobsius ad Achillem Tat. p. 439. 4 εὐθυμίας] εὐθυμίας κυδοῖ H. εὐθυμίας πειθεὶ (πειθεὶ superscr.) A, hoc est εὐθυμίας. Conf. p. 174 a. 6 τὼ Νέστορε Harduinus. Vulgo τῷ Νέστορι. δὲ * *] „Fort. δὲ τιμᾷ." Iacobsius. 8 τροφῆς A. τρυφῆς H. 11 ἧς addidit Iacobsius ad Antholog. vol. XII. p. 150. 12 Καί σε] Iliad. ι, 485. 13 μόνῳ ἐμαυτῷ] μόνον ἐμαυτοῦ F. A, Wolfius et Roulezius p. 42. 17 ἐστὶν] „Fort. ἔσται." Iacobsius. καταδέξῃ] καταδόξῃ A. 18 ἀσμενίσεις] ἀσμενίσῃς A. 20 Σενέκᾳ Harduinus. Vulgo Σεραπίων. 22 ἢ τῶν F. A. Wolfius. Vulgo τι τῶν.

ἀποδίδωμι γάρ, ἔφη, τὴν πόλιν ὑμῖν, ὦ Ἀλεξανδρεῖς, Ἀρείου μὲν συμβουλῇ, ἐμοῦ δὲ εὐπειθείᾳ. ἆρα δοκεῖ μὲν οὗτος ὁ αὐτοκράτωρ φαυλότερόν τι τῆς συμβουλῆς ὑπολαμβάνειν τὴν εὐπείθειαν, καὶ οὐχὶ τὸ ἄμεινον μᾶλλον ἑαυτοῦ ποιεῖσθαι;

Καὶ ὁ μὲν Φοῖνιξ ἐκεῖνος ἐκαλλωπίζετο, ὡς ἔοικε, d παιδευτὴν ἑαυτὸν ὀνομάζων τοῦ Ἀχιλλέως. οὐ γὰρ ὡμολόγει τὰ πράγματα αὐτῆς τῆς παιδείας, οὐδὲ οἷός τε ἦν μαλθάσσειν τὴν μνήμην τοῦ νεανίου, οὐ μόνον λέγων τοὺς παλαιοὺς ἐκείνους καὶ καλοὺς λόγους, ἀλλὰ καὶ ἐπιδακρύων τοῖς λόγοις, μᾶλλον δὲ καὶ φροιμιαζόμενος τοῖς δάκρυσιν, ἀλλὰ περιῆν αὐτοῦ σοφίας καὶ τῶν ἀρχαίων ἐκείνων νουθετημάτων δύο παθήματα σπαδάζοντα ἐν τῷ τροφίμῳ, θυμὸς καὶ ἔρως, ἃ ἐπήγλυε τοῦ πρεσβύτου τὴν συμβουλίαν· ὥστε περιορᾶν 174 a
ἀπολλυμένους τοὺς Ἀχαιοὺς καὶ τὰς ναῦς ἐμπιπραμένας καὶ τὸν Ἕκτορα λυττῶντα κατὰ τῶν κορυφαίων τοῦ Ἑλληνικοῦ στρατοπέδου.

Βέβληται μὲν ὁ Τυδείδης κρατερὸς Διομήδης,
οὔτασται δ' Ὀδυσεὺς δουρικλυτὸς ἠδ' Ἀγαμέμνων.

Γρατιανὸς δὲ ὅλης ἐπιβὰς τῆς νεὼς καὶ ὅλων κατασχὼν τῶν οἰάκων μείζω ἐπιδείκνυται τὴν εὐπείθειαν τοῖς διδασκάλοις ἢ ὁπηνίκα μετὰ τῶν βιβλίων αὐτοῖς προσεφοίτα, καὶ παύει μὲν τὴν Ἕκτορος λύτταν, ἀκεῖται δὲ καὶ βεβλημένους, δυσχεραίνει δὲ ὅτι μὴ οἷός τε ἀνα- b
στῆσαι τοὺς τεθνεῶτας. καίτοι τοῦτό γε ὅσον ἐπ' αὐτῷ προσφιλονεικεῖ καὶ προσμηχανᾶται. ὁ γὰρ τοῖς γένεσιν ἀποσῴζων τὰς πατρῴας ἑστίας σχεδόν τι ἐκείνους αὐτοὺς ἀνεγείρει· καὶ δῆτα ἄπιστον θέαμα καὶ οὐδεπώποτε νομισθὲν παρὰ τοῖς πάλαι Ῥωμαίοις οἱ νῦν ἄνθρωποι

213, 6 ἐκαλλωπίζετο] οὐκ εἰκότως ἐκαλλωπίζετο Harduinus, quod deleto ἐκεῖνος probat Iacobsius. 9 νεανίου, οὐ] νεανίσκου H. νεανίου A. οὐ addidit Iacobsius ad Ach. Tat. p. 872 qui μνήμην in μῆνιν mutat. , μόνον add. A. 14 ἃ addidit Iacobsius. 19 Βέβληται] Iliad. λ, 660.

ὁρῶσιν, ὁσημέραι καὶ ὅσαι ὧραι χρυσὸν ἐκ τῶν ταμιείων τὴν αὐτὴν ὁδὸν ἐπανιόντα. πάλαι δὲ ἀμηχανώτερον τοῦτο ἦν ἢ ἐξ Ἅιδου ἀναβιῶναι. ἀλλ' εἴτε ἐν δίκῃ εἴτε μὴ σὺν δίκῃ ξυνεφοίτησεν εἰς τὰ βασίλεια, αὐτοῦ κατα-
c γηράσκειν ἔδει ἢ ἄλλῃ πῃ ἀποχωρῆσαι, ἐπανελθεῖν δὲ ὅθεν ὥρμησεν οὐκ ἐνομίζετο, ὥσπερ τὸν λέοντα, ὃν ἐποίησεν Αἴσωπος, ἀρρωστοῦντα ἐν τῷ σπηλαίῳ ἡ κερδὼ ἐρεσχελεῖ εἰσιόντων τὰ ἴχνη δεικνῦσα τῶν ζῴων, ἐξιόντων δὲ οὔ. νῦν δὲ τηλαυγέστερον καὶ δικαιότερον τὰ ἴχνη ἐξιόντος τοῦ χρυσοῦ ἢ εἰσιόντος. Τίτου μὲν γὰρ δὴ ὁ λόγος οὗτος ἀοίδιμος, ὅτι τήμερον οὐκ ἐβασίλευσα· οὐδένα γὰρ τήμερον εὖ ἐποίησα· Γρατιανὸς δὲ ἐπαινεῖ μὲν τὴν γνώμην, οὐκ ἐξαιρεῖ δὲ ἡμέραν. βασιλεῖ γὰρ οὐδεπώποτε ἐπιλιπεῖν ἀφορμὴν εὐεργεσίας,
d ἀλλ' εἰ βούλοιντο, καὶ ἐν νυκτὶ καὶ ἡμέρᾳ καὶ ὥρᾳ ἄφθονον αὐτοῖς παρεστάναι τὸν πίθον καὶ ἐπιχειλῆ τῶν ἀγαθῶν καὶ τοὺς διψῶντας οὐκ ἐνδεήσειν· ἅπαντες γὰρ ἄνθρωποι διψῶσιν εὐδαιμονίας. ὅταν οὖν μήτε οἱ δεόμενοι ἐπιλίπωσι μήτε ἃ διδῴη τῷ οὕτω θέλοντι, ἀβασίλευτος οὐκ ἔστιν ἡμέρα· οὐκοῦν Γρατιανῷ οὐδὲ ὥρα. ἀλλ' εἰ τοσαυτάκις βασιλεύει, ὁσάκις εὖ ποιεῖ, τοῦ Σεβαστοῦ ἂν εἴη Γρατιανὸς μακροβιώτερος. εἶτα οὐδὲ ἐπιλέγει αὑτοῦ εἰς τὸν ὕπνον ἰὼν .

175a Ποῖ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;

ἀλλὰ προλέγει εἰς τὸ φροντιστήριον εἰσιών, τίνα τήμερον ἐξαιρετέον θανάτου; τίνι συγχωρητέον; τίνι φυλακτέον πατρῷον οἶκον; καὶ οὐδὲ αἱ νύκτες αὐτῷ σκοτειναὶ καὶ ἀφεγγεῖς τοῖς ἀνθρώποις, ἀλλὰ καὶ αὗται φωτὸς πλήρεις καὶ διαυγείας, ἐν αἷς καθεύδειν ἑκάστῳ

214, 1 ὁσημέραι] Infra p. 178b. 192d. ὅσαι ἡμέραι, sed ὁσημέραι et ὅσαι ὧραι p. 219d. orat. XXXIV. p. 68. ed. Mai.
15 καὶ ἡμέρᾳ A: καὶ ἐν ἡμέρᾳ H. ὥρᾳ] πάσῃ addit Iacobsius.
21 βασιλεύει, ὁσάκις ex p. 193a. addidit Iacobsius. 24 Ποῖ] Pythagorae versus, apud Gaisford. P. M. vol. I. p. 484.
26 ἐξαιρετέον] ἐξῄρετο A. 28 τοῖς ἀνθρώποις] ὡς τοῖς ἄλλοις ἀνθρώποις Roulezius p. 34.

ἔοικε καὶ κατέχεσθαι ὕπνῳ ἀληθεῖ, δειμάτων ἐκλελησμένῳ.

Ἅπασα ἀρχὴ μείζων τε καὶ μικροτέρα πρὸς τὸ b
ἀγαθὸν τέταται. ὁρᾷ γὰρ πρὸς τὸν ζῆλον τῶν βασιλέων, ὥσπερ ἐν χορῷ πρὸς τὸ ἐνδόσιμον τοῦ κορυφαίου καὶ ὁ πρωτοστάτης καὶ ὁ δευτεροστάτης καὶ οὕτω μέτεστιν ἐφεξῆς τῆς τοῦ χοροῦ ἡγεμονίας. Ἀλεξάνδρου μὲν γὰρ τοῦ Μακεδόνος μιμεῖσθαι ἐπετήδευον οἱ σατράπαι ἀτρέμα ἐπινεύοντος τὸν αὐχένα ἐπὶ τὸν εὐώνυμον ὦμον, καὶ ἑτέρου κουράν, ἑτέρου δὲ ἀμπεχόνην, ἑτέρου τὴν βαρύτητα τῆς φωνῆς· Σεβήρου δὲ ἄρχοντος Ῥωμαίων τὸ κομᾶν τὴν γενειάδα ἀξιοζηλότατον ἐνομίσθη, τοῖς Γρατιανοῦ δὲ ὑπάρχοις καὶ τοῖς ἀγχοῦ καὶ πορρωτέρω c
τὸ βασιλικὸν γνώρισμα ἔπεστιν· ἡ πρὸς τὸ καλὸν εὐαγωγία. οἰμωγὴ δὲ ἐξελήλαται τῶν ἀρχείων καὶ τὰ βασανιστήρια δὲ πλέω εὐρῶτος. λογισταὶ δὲ ἀλιτήριοι καὶ παλαμναῖοι πρακτῆρες ἐξώρων ἐλλειμμάτων καὶ ἐξιτήλων φροῦδοι καὶ ἀνώνυμοι ἤδη, καὶ πῦρ ἅπαντα αὐτῶν τὰ ζώπυρα ἐπενείματο.

Ὡς εὐποτμότερος ἔχω τὰ Ῥωμαϊκὰ μακρῷ τῶν ἐμῶν διδασκάλων, καὶ ἡ ὁδός, ἣν ἐγὼ ἔναγχος ἐπορεύθην, μακαριωτέρα τοῦ πλοῦ, ὃν τρὶς Πλάτων ἐπεραιώθη. καὶ Διονυσίου μὲν οὐ θέμις ἐν τῷ παρόντι μνη- d
σθῆναι. πολὺς καὶ ὁ γέλως παραβάλλειν τοῖς ἐμοῖς παιδικοῖς καὶ τὸν Κλεινίου καὶ τὸν Ἱππαρίνου. ὀκνῶ, δὲ ἐγὼ φάναι δι' Ἀριστοτέλους ὅτι οὐδ' ἂν αὐτῷ τῷ Ἀλεξάνδρῳ ὑφείμην. ἀλλ' ἐν μὲν στρατηγῶν ἐξετάσει τὸν Φιλίππου ἂν θείμην ἐν λόγῳ, ἐν δὲ βασιλέων βασιλικώτερόν φημι εἶναι τὸν πλείους εὖ ποιοῦντα τοῦ πλείους νικῶντος, ὅσῳπερ, οἶμαι, καὶ τὸ σώζειν ἀνθρώπους 176 a
τοῦ διαφθείρειν. καί μοι εὔστομα κείσθω τὰ ἀμφὶ Κλεῖτον καὶ Παρμενίωνα καὶ Καλλισθένην. ὡς ἐκεῖνά γε ἐννοοῦντι Ἀλέξανδρος οὐκέτι μέγας, ἀλλ' οὐδὲ Ἄμμωνος παῖς, ἀλλ' οὐδὲ Φιλίππου, ἀλλὰ δαίμονός τινος

215, 1 ἀληθεῖ] μάλα (immo μάλ') ἤδη Iacobsius.

γηγενοῦς καὶ χαίροντος φόνῳ ἀνθρώπων καὶ οὐδέν τι μεῖον τῷ ξυγγενεῖ ἢ τῷ ὀθνείῳ.

Γρατιανῷ δὲ βασιλικώτερον φαίνεται ὄνομα τοῦ τροπαιούχου ὁ πολιοῦχος καὶ ξυγγενέστερον τῷ Διί· δῆλον δέ· τὸ μὲν γὰρ κύριον ὀνομαζόμενος, καὶ ἔστιν ἐν ταῖς ἐπικλήσεσι τοῦ Διὸς ὁ πολιεὺς καὶ πολιοῦχος·
b *τῷ δὲ Ἄρει οὐ προσήκειν οἴεται μᾶλλον καὶ ταῖς τοῦ Ἄρεος ἐπωνυμίαις. Ἄρης γὰρ ἀγαθῷ βασιλεῖ θεὸς οὐχ αἱρετός, ἀλλ' ἀναγκαῖος. καὶ εὐδαίμων ὅτῳ μὴ ἔξείη μηδὲ τοὺς βαρβάρους σιδήρῳ εὐηνίους ποιεῖν, ἀλλὰ τῇ τῆς ψυχῆς καλλονῇ καὶ εὐμουσίᾳ. τῆς δὲ Γρατιανοῦ ἀγλαΐας οὐχ οἱ φιλόσοφοι μόνον, ὡς ἔοικεν, ἀλλὰ καὶ οἱ βάρβαροι ἤδη ἐρῶσι καὶ ἑκόντες εἴκουσι καὶ ὑποκύπτουσι, τῇ γνώμῃ αὐτοῦ ἡττώμενοι, καὶ οὔτε ἀσπίδων δοῦπος οὔτε ὁπλιτῶν ἀλαλαγμὸς οὔτε ἵππος σιδήρῳ ἠμφιεσμένος αὐτῷ ἀναβάτῃ πρὸς τοὺς βαρβάρους τούτους τοσοῦτόν ποτε ἠδυνήθη Ῥωμαίοις ὅσον τὸ Γρατιανοῦ*
c *κάλλος καὶ ἡ τῆς ψυχῆς εὐμορφία, καὶ πλείους τὸν Ῥῆνον περαιοῦσι νῦν τῶν πάλαι ληιζομένων. πολλὰ ἔπη Ὁμήρου ἐπαινοῦντες, ἀλλὰ τοῦτο οὐκ ἐπαινεσόμεθα, ὅτε λέγει ἐπαινῶν τὸν Ἀγαμέμνονα*

Ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμητής.

τῷ γὰρ ἀγαθῷ βασιλεῖ οὐ προσδεῖ οὐδὲ τῆς αἰχμῆς, ἀλλ' ἱκανὴ αὐτῷ ἡ ἀρετὴ καταμαχέσασθαι τὰ ἀγριώτατα φῦλα καὶ ὑπαγαγέσθαι κρείττω ὑπαγωγὴν τὴν ἑκούσιον τοῦ βιαίου. ἀντὶ γοῦν τοῦ λῃστεύειν οἱ βάρ-
d *βαροι δωροφοροῦσι, καὶ ὁ θυμὸς αὐτῶν ἐκεῖνος φροῦδος, ἐκτακεὶς ὑπὸ τῶν ἰύγγων, αἷς καταπολεμεῖ αὐτοὺς ὁ νεανίας.*

216, 1 *οὐδέν τι μεῖον*] *οὐδὲν τίμιον* A. 5 *δῆλον δέ — καὶ ἔστιν* add. A. 10 *μηδὲ*] Vulgo *μήτε*. 14 *οὔτε ἀσπίδων — ἀλαλαγμὸς* add. A. 16 *τούτους* add. A. 17 *τοσοῦτον* A. *τοιοῦτον* H. 19 *περαιοῦσι νῦν*] *περαιοῦσιν* H. *περαιοῦν νῦν* A. 26 *τοῦ βιαίου*] *τῆς βιαίου* F. A. Wolfius.

Ἔστιν ἐν τῷ ἄστει τοῦ Κωνσταντίνου τῆς μάχης τῆς πρὸς τοὺς θεοὺς τῶν γιγάντων εἰκὼν ἐν χαλκῷ πεποιημένη ἀντὶ κρηπῖδος τοῦ βουλευτηρίου. ἐν οὖν τῇ εἰκόνι ταύτῃ πρὸς μὲν τοὺς ἄλλους θεοὺς οἱ γίγαντες ἀνταίρουσι καὶ ἐξορμῶσιν οἱ μὲν πέτρας, οἱ δὲ δρῦς, οἱ δὲ ἄλλο ἕκαστοι ὅπλον ὡπλισμένοι παρὰ τῆς τέχνης· b μόνος δὲ ὁ ἀντιτεταγμένος τῷ Ἔρωτι· συστρατεύουσι 177 a γὰρ τοῖς θεοῖς καὶ ὁ Ἔρως καὶ ἡ Ἀφροδίτη. οὗτος δὲ μόνος ὁ γίγας θυμοῦ μὲν οὐ γέμει οὐδὲ ἴχνος αὐτῷ, ἀλλὰ καὶ τὰ ὅπλα αὐτοῦ χαμαὶ ἐκπεπτωκότα τοῖν χεροῖν, παρειμένος δὲ καὶ γεγανυμένος αὐτὸς καὶ οἱ δράκοντες κατέχονται ἥττῃ ἐθελουσίῳ. ὀρθῶς δὲ ἄρα ὁ Λυκοῦργος ὁπλίζων ἐν τῇ Σπάρτῃ καὶ τὰ Ἀφροδίτης καὶ τὸν Ἀφροδίτης στρατὸν, τὰς Χάριτας καὶ τὸν Ἔρωτα, ὅτι μᾶλλον ἀμείνω καὶ ἐγγυτέρω τὰ τῶν θεῶν τούτων τρόπαια ἢ τὰ τῆς Ἐνυοῦς *** μὴ καὶ γένηται b περιπετὴς, ὃ λίαν ἐκεῖνος εὐλαβεῖται, πρὸς ἕν που ἢ δύο κάλλη ἐπτοημένος, καὶ ἐθέλων αὐτοῦ καταμένειν καὶ μηκέτι προσωτέρω πορεύεσθαι, ὥσπερ οἱ τοῦ λωτοῦ γεγευμένοι.

Μετὰ γὰρ τοὺς καλοὺς νέους ἀναβατέον σοι, φησὶν, ἐπὶ τὰ καλὰ ἐπιτηδεύματα καὶ τοὺς καλοὺς νόμους, ὦ λῷστε παῖ Σωφρονίσκου καὶ Φαιναρέτης. σοὶ μὲν τοῦτο ἀναγκαῖον ἦν ποιητέον, Ἀλκιβιάδου γὰρ ἤρας καὶ Χαρμίδου, πενιχρὸν ἔρωτα καὶ ἰδιώτην, ὁ δὲ ἐμὸς ἔρως δυοῖν βασιλέοιν ἐστὶν, ἰθυδίκοιν τε καὶ ξυγγενοῖν, καὶ c οὐ δεῖ με αὐτοὺς ὑπερβάντα ἄλλοθεν ζητεῖν τὰ καλὰ ἐπιτηδεύματα καὶ τοὺς καλοὺς νόμους· αὐτὸ γὰρ τοῦτό ἐστι τὸ βασιλικὸν κάλλος, οἱ καλοὶ νόμοι καὶ αἱ καλαὶ

217, 6 ἄλλο] ἄλλοι A. 8 οὗτος δὲ] οὗτος δὴ Iacobsius apud Goellerum p. 279. Idem οὐ οὐδὲ ἴχνος. 10 ἀλλὰ καὶ] ἀλλὰ κεῖται Iacobsius ad Antholog. Pal. vol. III. p. 194. 11 γεγανυμένος] γεγαννυμένος A. γανύμενος H. 13 καὶ τὰ Ἀφροδίτης] Vide Iacobsium l. c. p. 531. Delebat haec verba F. A. Wolfius. 23 Φαιναρέτης] φραναρέτης A. 20 αἱ καλαὶ] Aberat al.

ἐπισκοπεύσεις· ὥστε ἐν τῷ πρώτῳ ἀναβαθμῷ ἅπαντα ἔχει ὅσα σὺ καὶ ἐν τῷ δευτέρῳ καὶ ἐν τῷ τρίτῳ, τυχὸν δὲ καὶ ἅπασαν τὴν πορείαν τὴν ἐρωτικὴν ἀπονωτέραν. μετὰ γὰρ τοὺς νόμους πέλαγος φὴς ἀναφαίνεσθαι τοῦ κάλλους. τοῦτο γοῦν τὸ πέλαγος σὺ μὲν ἄλλοθέν πού
d καθήμενος λέγεις ἐν χώρῳ ἀπῳκισμένῳ τῆς ἡμετέρας ἐνόψεως, ἐμοὶ δὲ, ἅτε σμικρὼ ὄντε τὼ ὀφθαλμὼ, τοῦ πελάγους τέως ἐκείνου οὐκ ἐφικνεῖσθον. ἀλλὰ καὶ τοῦτο ὁρᾶν δανεῖζον ἐγγὺς σοῦ λίαν παντελῶς τε ἅπτεσθαι αὐτοῦ καὶ θιγγάνειν.

Τί ὑμῖν δοκεῖ πρὸς φιλίου; τυχὸν γὰρ καὶ οἱ ὑμέτεροι ὀφθαλμοὶ οὕτως ὁρῶσιν, ἡ κλεινὴ καὶ ἀοίδιμος Ῥώμη πέλαγος εἶναι κάλλους ἀφράστου καὶ ἀνεξηγήτου, ἧς ἥκω θεατὴς μετὰ τοὺς καλοὺς νέους καὶ τοὺς καλοὺς νόμους. ὥστε μοι ἐκ βαλβῖδος εἰς τέρμα βασιλι-
178 a κὸν εἶναι τὴν ἐρωτικὴν πρόοδον καὶ τὴν πορείαν, καὶ οὐκ ἀπολελοιπότα τοὺς καλοὺς νόμους, εἰς τὸ πέλαγος τοῦ καλοῦ μεταβὰς, ἀλλὰ καὶ ἐνταῦθα ἑτέρους ὁρῶ ἁγιωτέρους καὶ θειοτέρους, οἷς Νουμᾶς ἡμῖν τὸ ἄστυ ἐξ οὐρανοῦ ἀνεδήσατο. δι' ὑμᾶς τοι, ὦ μακάριοι, οἱ θεοὶ τὴν γῆν οὔπω ἀπολελοίπασι, καὶ ὑμεῖς ἐστὲ οἱ μέχρι τέως ἀπομαχόμενοι μὴ παντάπασι τὴν θνητὴν φύσιν τῆς ἀθανάτου ἀπορραγῆναι, μηδὲ Ἐμπεδοκλεῖ συγχωροῦντες ἀληθῆ λέγειν δυσφημοῦντι τὸν ἔγγειον τόπον καὶ Ἄτης λειμῶνα ἐπονομάζοντι. πῶς γὰρ ἂν εἴη
b λειμὼν Ἄτης, ὃν Ῥώμη ἐπιτροπεύει καὶ σύγκλητος ἀγορὰ θεῶν καὶ δῆμος ἡρώων καὶ φυλὴ ἑστιούχων δαιμόνων ὀλβοδοτήρων καὶ τοῦ ὅλου ὄντος ὑμῖν καλοῦ τοῦ πελάγους τὸ κάλλιστον καὶ μακαριώτατον καὶ ἁβρότατον

218, 4 πέλαγος — κάλλους] Locutio Platonica: vide Heusdii Spec. p. 31. 6 καθήμενον A. καθήμενος H. 7 ἐνόψεως] ἐπόψεως Plato de Rep. VI. p. 499 d. σμικρὼ] ἀμυδρὼ Iacobsius ad Antholog. vol. XII. p. 270. 23 μηδὲ] Vulgo μήτε. 28 ὀλβοδοτήρων vel ὄλβου δοτήρων Pierson. ad Moer. p. 117. ὄλβου δοξοτέρων A. ὄλβον H.

ἐνταῦθά ποι καί ἐστιν, ἵνα τῆς χειμερινῆς ἡ σύστασις τῆς ἡμετέρας ὁρμῆς ἐξημμένης, πνευμάτων ἀκινήτων καὶ ἀσαλεύτων. καὶ ἡ πανηγυρὶς καὶ ἱερὰ πολιτεία, ἣν μετὰ τοῦ θεοῦ πολιτεύεσθε, ὅσαι ἡμέραι καὶ ὅσαι ὧραι, ὑπὲρ τοῦ ἀνθρωπίνου φύλου, οὐ προστάται ἐλάχιστα εἶναι τὸν ἅπαντα χρόνον, πάλαι μὲν τοῖς ὅπλοις, νῦν δὲ ἀμείνονι φυλακτηρίῳ τῇ ἁγιστείᾳ. οὔκουν οὐδὲ ἐμοὶ ἀπ' ἐλπίδος εὔπλοια γεγενῆσθαι ὑμῖν καὶ συμπόρους οὕτω γε ἀξίους οἷοι καὶ Διομήδει καὶ προκαλουμένοις με φανερώτερον ἢ πάλαι ἐκ Θρᾴκης ἐπὶ τὴν Ἀρκτῷ παρεκάλουν οἱ τῶν θεῶν παῖδες τὸν Καλλιόπης Ὀρφέα καὶ μάλιστα ἀπήντηκα ὑμῖν. ὁ πλοῦς ἄκλυστός ἐστι καὶ ἀκύμαντος. d c c

Ὡς δὲ θεὸς ναύτῃσιν ἐελδομένοισιν ἔδωκεν
οὖρον, ἐπήν γε κάμωσιν εὐξέστης ἐλάτῃσι
πόντον ἐλαύνοντες,

οὕτως δὲ καὶ ἡμῖν ὁ θεόπεμπτος νεανίας, ὡς ὅτι ἥκοι ἀφειμένους τῶν πόνων καὶ τῶν φροντίδων πλείω ψυχῇ τῶν ἱστίων ἀναπεπλησμένων πνεύματος ἀγαπητοῦ καὶ ἀθορύβου καὶ διαρκοῦς, ἐστεφανωμένους καὶ ὑμνοῦντας τὸν ἀστέρα θεὸν τῆς εὐπαθείας. μετένδυνε οὖν ἤδη, ὦ πολυτίμητον θρέμμα Ῥωμύλου, τὴν λευκὴν ἐσθῆτα ἐπὶ λευκῇ βασιλείᾳ καὶ λευκαῖς ἡμέραις, καὶ χορεύειν καὶ κλισιάζειν καὶ κνισᾶν ἀγυιὰς προτρεπομένας καὶ εὐφημούσας τὰ ἐμὰ παιδικά. εἰ μὲν οὖν τοίνυν ἡμῖν ἀνώρθωσεν ὁ νεανίας Φρυγίας ἢ Παντελαΐδης ἢ Αἰγύπτιος, ἐν δίκῃ ἂν αὐτὸν ἐπῃνοῦμεν· ἐπεὶ δὲ ἀνώρθωσεν ἡμῖν τοὺς ἐμψύχους κίονας καὶ ἐμψύχους, τοὺς μὲν χαμαὶ ἐρριμμένους, τοὺς δὲ καὶ πόρρω ἀφειλκυσμένους, οὐ μᾶλλον θαρροῦντες αὐτὸν ἐπαινεσόμεθα καὶ ὑμνήσομεν, καταγελῶντες ὅστις ἄρα ὑπὸ σοφίας πυκνὰ τῶν d b 179 a

219, 14 Ὡς] Iliad. η 4. 18 πλείω [illegible] add. A. 21 θρέμμα] [illegible] A. Conf. p. 179, c. 24 κλισιάζειν] ἐκκλησιάζειν Harduinus. κνισᾶν] Vulgo κνισσᾶν

αὐχμῶν ἔνδειαν [illegible] νομίζει τὴν μαρτυρίαν τῆς
b ἀρετῆς; καίτοι Σκιπίων Τερέντιον [illegible] ἐκ τῶν δεσμῶν ἐκ Καρχηδόνος ἀσμενέστερος ὤφθη τοῖς πάλαι Ῥωμαίοις, καὶ τοῦτο ἦν πανηγυρικώτατον τοῦ θριάμβου, ἀνὴρ Ῥωμαῖος ἐπιφανὴς παρακολουθῶν Σκιπίωνι ἐν πίλῳ ἐλευθερίας. Γρατιανῷ δὲ [illegible] ὅλος
c δῆμος ἠκολούθησε τῶν δεσμῶν [illegible] λελυμένος ἄνευ πίλου καὶ ἄνευ συμβόλου. ἐγὼ οὖν τοῦτον ὑπολαμβάνω τὸν θρίαμβον λαμπρότερον, ὃν πέμψει διὰ τῶν σωθέντων καὶ φυλαχθέντων, ἢ τὰ λάφυρα ἄγων πολεμίων.
c Οὐκοῦν τοῦ πολυτιμήτου θρέμμα Ῥωμύλου Γρατιανὸν ἀποζευκτέον Ῥωμύλου, δι' ὃν ἀνέβη καὶ ἀνέδραμε καὶ ἐπανήκει τῇ μεγάλῃ βουλῇ τὰ σεμνὰ ἐκεῖνα ὀνόματα καὶ αἱ περικλεεῖς ἐπωνυμίαι. εἶτα εἰ Κάμιλλος ἀναστείλας τὴν ἐπιδρομὴν Γαλατῶν δεύτερος οἰκιστὴς ἐνομίσθη, τί ἄν τις τώδε ἐπονομάζοι τὼ αὐτοκράτορε,
b καὶ καταστέλλοντε μὲν Γερμανοὺς, φοβεῖτον δὲ Ἀχαιμενίδας, Γέτας δὲ ἐξαιρεῖτον καὶ Σαυρομάτας, λαμπρὰν
d δὲ εἰρήνην παράγοντε ἐξ ἄκρας εἰς ἄκραν διὰ πάντων τῶν μεταξὺ κεκραμένων;

Τοί ῥ' ἔσχατοι νῆας ἐΐσας
εἴρυσαν ἠνορέῃ πίσυνοι καὶ κάρτεϊ χειρῶν,

αὐτὼ μὲν ὁπλοφοροῦντε καὶ πονοῦντε καὶ στρατευομένω, ἡμᾶς δὲ ἀφέντε πανηγυρίζειν. δεῦρ' ἴτε οὖν, ὦ φιλόσοφοι, παρακαλέσωμεν τοὺς νεανίας ἐπιδημεῖν ὥστε ἤδη καὶ ἀπὸ [illegible] τῶν [illegible] καὶ ἐκ τῶν [illegible] τῇ πόλει τῆς βασιλείας. Ῥῆνος δὲ οὐ κωλύει, οὐδὲ
180 Τίγρης, οὐδὲ Εὐφράτης, ἀλλὰ πέμπουσιν ἀπαντῶντας εἰς τὴν μητέρα στεφανώσαντες, καὶ [illegible].

220, 12 Ῥωμύλου] ῥωμύλε A. 18 τὼ] ὦ Iacobsius. Γερμανοὺς φοβεῖτον καὶ Ἀ. Iacobsius. 22 Τοί] Iliad. Θ, 225. 24 καὶ πονοῦντε add. A. 30 στεφανώσαντες] στεφανώσαντας F. A. Wolfius. [illegible] Ruhnkenius ad Timaeum p. 247. Vulgo [illegible] στεφανώσοντας F. A. Wolfius.

ἡ δὲ χαίρει δεξαμένη παῖδας ἀγαπητοὺς καὶ πολυεύκτους, φέροντας μὲν καὶ βροτόεντα ἔναρα, φέροντας δὲ καὶ ἁγιώτερα τρόπαια πρᾳότητος καὶ φιλανθρωπίας, ἄσυλα καὶ ἱερὰ καὶ ἀναίμακτα καὶ πρέποντα ἀτεχνῶς τοῖς Διὸς ἀναθήμασι· σὺ δέ, ὦ πάτερ μὲν θεῶν, πάτερ δὲ ἀνθρώπων, Ζεῦ Ῥώμης κτῆτορ καὶ πολιοῦχε, καὶ πρόμαχε Ἀθηνᾶ, καὶ Κυρῖνε δαῖμον ἐπίτροπε Ῥωμαίων ἡγεμονίας, διδοίητε τοῖς ἐμοῖς παιδικοῖς ἐρᾶν μὲν Ῥώμης, ἀντερᾶσθαι δὲ ὑπὸ Ῥώμης. b

---

221, 1 ἡ δὲ χαίρει F. A. Wolfius. Vulgo αἱ δὲ χαίρουσι, ἡ δὲ χαιρήσει Harduinus.

XIV.

ΠΡΕΣΒΕΥΤΙΚΟΣ ΕΙΣ ΘΕΟΔΟΣΙΟΝ ΑΥΤΟΚΡΑΤΟΡΑ.

Τέως μέν, ὦ θεοειδέστατε βασιλεῦ, ἐδυσχέραινον ἐγὼ
c *πρὸς τὴν ἀρρωστίαν, ὅτι τῶν κοινωνούντων μοι τῆς πρεσβείας ὑστερίζειν κατηναγκάσθην, νῦν δὲ ᾐσθόμην ὁπόσον ἄρα περίεστιν ἡ τῆς ψυχῆς εὐφροσύνη τῆς τοῦ σώματος ἀδυναμίας· ποιεῖ γοῦν μοι καὶ τὴν νόσον ῥαστώνην καὶ τὸ γῆρας ἀκμήν· καὶ μόλις προσδοκηθεὶς διαφεύξεσθαι τὴν περιέχουσαν τουτὶ τὸ σῶμα νεφέλην ἰσχυρότερος μὲν θαλάττης ἐφάνην, ἰσχυρότερος δὲ κλύδωνος καὶ τρικυμίας. ἡβᾶν δὲ αὖθις ὑπέλαβον, ἡνίκα ἐπυθόμην ἐν γράμμασι παρὰ τοῦ κρατίστου τῶν ἡμετέρων ζακόρων ὄψεσθαι τὴν χρυσῆν γενεὰν*
d *ἐπανήκουσαν, ὄψεσθαι ἡμᾶς βασιλείαν ὁλόκληρον καὶ ἀρτίπουν, λάμπουσαν τοῖς κάλλεσιν ἀμφοτέροις, τοῖς τε ψυχῆς καὶ τοῦ σώματος. καὶ ταῦτα οὐκ ἦν ἄρα κόμπος διὰ κενῆς, ἀλλὰ πάρεστιν ὁρᾶν αὐτοκράτορα, ἐφ' οὗ τῆς Ὁμήρου ἐδεόμην φωνῆς,*

Καλὸν δ' οὕτω ἐγὼν οὔπω ἴδον ὀφθαλμοῖσιν,
181 a *οὐδ' οὕτω γεραρόν· βασιλῆι γὰρ ἀνδρὶ ἔοικας·*

καὶ δῆτα ἥκω συνεορτάσων τὰ προοίμια τῆς παλιρροίας, εἰς ἣν ἐπανάγει Ῥωμαίους ὁ τῆς δίκης ὀφθαλμὸς καὶ μεθίστησι τὴν ἐπὶ τὰ ἀμείνω ῥοπήν. ἀνθ' ἁπάντων ἡμῖν γέγονας εἷς ἀνήρ, ἀντὶ πάντων εἰς σὲ ὁρῶμεν,

---

222, 13 ἡμετέρων] ὑμετέρων A. 14 ἡμᾶς] ὑμᾶς A. 15 τοῖς τε] Aut τῆς τε aut τοῖς τε τῆς. 17 διακενῆς A. διάκενος H. 18 Ὁμήρου] Iliad. γ, 169.

ἀντὶ Δακῶν, ἀντὶ Θρᾳκῶν, ἀντὶ Ἰλλυριῶν, ἀνθ' ὁπλιτῶν, ἀντὶ τῆς ἄλλης παρασκευῆς, ὁπόση σκιᾶς ἀθροώτερον ἠφανίσθη, καὶ προτροπάδην ἐλαυνόμενοι τέως καὶ διωκόμενοι. διὰ τὰς περὶ σοῦ λειπομένας ἡμῖν ἐλπίδας ἑστήκαμεν, ἀναπνέομεν, τὸν δρόμον τῆς ἀπραγίας ἐφέξειν ἤδη Σκύθαις πιστεύομεν καὶ σβέσειν b τὴν νεμομένην τὰ πάντα πυρκαϊάν, ἣν οὐκ ἔστησεν Αἷμος, οὐ Θρᾳκῶν ὅρια, καὶ Ἰλλυριῶν, δυσπόρευτα καὶ ὁδοιπόρῳ· ἀλλὰ νῦν ἐπανήκει μὲν τοῖς ἱππεῦσιν, ἐπανήκει δὲ τοῖς ὁπλίταις τὰ φρονήματα. ποιεῖς δὲ ἤδη καὶ τοὺς γεωργοὺς φοβεροὺς τοῖς βαρβάροις, καὶ τοὺς μεταλλέας, καὶ τὸν χρυσὸν ἀφέντας κελεύεις τὸν σίδηρον μεταλλεύειν. καὶ στρατὸς οὗτος ἄγευστος ἡδυπαθείας ἤδη συνερρύηκεν ἐθελοντὴς ἐκ πόνων κτήσασθαι τὰ ἀγαθὰ πεπαιδευμένος. c οὐχ ἦν μῦθος ποιητικός, τάραχον ἐμβαλεῖν τὸν Ἀχιλλέα καὶ ἐμβοήσαντα μόνον τοῖς βαρβάροις τέως νικῶσιν. εἰ γὰρ οὔπω πρὸς τοὺς ἀλιτηρίους παραταξάμενος τῷ πλησίον αὐλίζεσθαι μόνον καὶ ἐφορμεῖν ἐνέκοψας αὐτῶν τὴν αὐθάδειαν, τί παθεῖν εἰκὸς τοὺς κάκιστα ἀπολουμένους, ὅταν ἴδωσι πάλλοντα τὸ δόρυ καὶ τὴν ἀσπίδα νωμῶντα καὶ τῆς κόρυθος τὴν ἀστραπὴν ἐγγύθι λαμπομένην;

Δύο δὲ ὀφειλούσης σοι τῆς πόλεως τῆς Κωνσταντίνου στεφάνους, τόν τε ἀπὸ τοῦ χρυσοῦ καὶ τὸν ἀπὸ d τῆς εὐνοίας, τὸν μὲν ἀπὸ τοῦ πλούτου στέφανον εἰς τὴν ἡμέραν ἐκείνην ἡ καλλίπολις εὐτρεπίζεται, καθ' ἣν ἀναδήσει λαμπρῶς ἐπανήκοντα τροπαιοφόρον ἀπὸ τῶν δυσωνύμων βαρβάρων· τὸν δὲ ἀπὸ τῆς εὐνοίας, ὃν προσήκει φιλοσοφίᾳ διακονεῖν, οἴκοι τε ἀκέραιον διαφυλάττει καὶ προὔπεμψεν ὅμως ἐνθάδε καὶ τοῖς διδοῦ-

---

223, 2 ἄλλης om. A. 4 καὶ διωκόμενοι] aut delendum καὶ aut κατεδιωκόμενοι scribendum. 5 τὸν δρόμον τῆς ἀπραγίας hoc loco A, post πιστεύομεν H. 7 νεμομένην A: ἐπινεμομένην H. 9 ἐπανήκει] ἐπανήει A his et infra. 12 μεταλλεύειν] μεταλλεύσειν A. καταλαμβάνειν H. 14 κτήσασθαι A: κτᾶσθαι H. 19 ἐφορμεῖν] ἐφορμᾶν A.

σίν. ἀληθινῶς καὶ τῷ λαμβάνοντι κεχαρισμένως. χρυ-
182 a σίον μὲν γὰρ ἄν τις λειτουργήσειε καὶ δεδιώς, εὔνουν δὲ οὐκ ἔνεστιν εἶναι μὴ προαιρούμενον. προὔκρινε δὲ ὁ θεὸς τοὺς θυμιῶντας πολλάκις τῶν τοὺς τρίποδας ἀνατιθέντων.

Πρόσεισι δὲ οὐκ αἰτήσουσα μόνον ὧν δεῖται, ἀλλὰ βεβαιοῦσα πρώτη τὴν ψῆφον τῆς ἀναρρήσεως. προσήκει γὰρ δήπου τῷ βασιλεῖ τῶν πόλεων συνᾴδειν τοὺς βασιλεύσαντας τῶν ἀνθρώπων. καὶ τῶν γε δυοῖν μητροπόλεων τῆς οἰκουμένης — λέγω δὲ τῆς Ῥωμύλου καὶ τῆς Κωνσταντίνου — μᾶλλον ἄν σοι φαίην ἁρμότ-
b τειν τὴν ἡμετέραν. καὶ γὰρ ἐκείνη μηδ' ὁτιοῦν τῷ γένει τῶν κρατούντων προσήκουσα κοινωνὸς γέγονε τῇ μεγάλῃ πόλει τῆς βασιλείας δι' ἀρετήν· προήγαγε δέ σε εἰς τὴν ἁλουργίδα οὐκ ἀγχιστεία γένους, ἀλλ' ἀρετῆς ὑπεροχή, οὐδὲ οἰκειότητος ἐγγύτης, ἀλλὰ ῥώμης ἀπόδειξις καὶ ἀνδρίας. καὶ σοφῶς Γρατιανὸς καὶ πολιᾶς, οὐ νεότητος ἐπαξίως, ὅτι μὴ τὸν οἰκειότατον ἄριστον, ἀλλὰ τὸν ἄριστον ὑπέλαβεν οἰκειότατον. καὶ καλῶς ἑαυτοῦ πε-
c ποίηται ψῆφον, ἣν προλαβὼν ὁ καιρὸς ἐπεψηφίζετο. οὕτω καὶ τὸν Θηβαῖον Ἐπαμινώνδαν στρατευόμενον ἐν τοῖς ὁπλίταις ἐκάλεσεν ὁ κίνδυνος εἰς στρατηγίαν. ἐξ ἐκείνου δὲ καὶ σὲ ἐκάλουν ἐπὶ τὴν βασιλείαν Ῥωμαῖοι, ἐξότου Σαυρομάτας λυττῶντας καὶ τὴν πρὸς τῷ ποταμῷ γῆν ἅπασαν ἐπιδραμόντας μόνος ἀνέστειλας, ὑποστὰς σὺν ὀλίγῃ δυνάμει καὶ οὐδὲ ταύτῃ ἐξειλεγμένῃ.

Καὶ νῦν ἐπὶ τοιαύτῃ πίστει παρακεκλημένος εἰς τὴν βασιλείαν δίκαιος εἶ μηδὲν ἄλλο ὁρᾶν, ἀλλ' ἐπιδει-
d κνύναι πᾶσιν ἀνθρώποις ὅτι ἡ μὲν ἀρετή σε ἐποίησεν αὐτοκράτορα, Γρατιανὸς δὲ ἐκήρυξε. καὶ γὰρ ἐν τοῖς ἀγῶσι τοὺς στεφανηφόρους ποιεῖ μὲν ἡ ῥώμη τοῦ σώμα-

---

224, 1 κεχαρισμένως] κεχαρισμένον A. 8 τῷ βασιλεῖ] τῇ βασιλίδι F. A. Wolfius. 14 πόλει] ῥώμῃ A. 16 ἀνδρείας] Vulgo ἀνδρίας. 18 ἄριστον om. A. ὑπέλαβεν οἰκειότατον A. οἰκειότατον ὑπέλαβε H. Conf. p. 204 a. 21 Ἐπαμινώνδαν] Vulgo Ἐπαμεινώνδαν. 22 κίνδυνος A. δῆμος H. στρατηγίαν A. στρατηγὸν H.

τος, ἀναδοῦσι δὲ οἱ κήρυκες. ἀλλ' ἐκεῖ μὲν οὐ μέτοχός ἐστιν ὁ κῆρυξ τοῦ στεφάνου· ὥστε δίδωσιν ὃ μὴ κέκτηται· βασιλέα δὲ βασιλεὺς ἀναδεῖ καὶ οὐκ ἐλαττοῦται διδούς, ἀλλὰ προσλαμβάνει. διδοὺς γὰρ τιμὴν προσλαμβάνει κοινωνίαν φροντίδων. διὰ τοῦτό τοι Γρατια- 183 a νὸς τὴν ἀρετὴν ὁρῶν οὐχ ὑπείδετο ἡλικίαν, οὐδὲ ὅτι νεώτερος πρεσβύτερον ἀναδήσει λελόγισται, ἀλλ' ὅτι καλλίων ἐστὶ πατὴρ τοῦ τῇ φύσει γεννῶντος ὁ τῇ γνώμῃ προαιρούμενος. καὶ ἀμφοῖν ἴσος ὁ ἔπαινος, τοῦ μέν, ὅτι πρεσβύτερον ἀνεῖπε, τοῦ δέ, ὅτι πρεσβύτερος ὢν παιδὸς εὔνοιαν ἕξειν ἐπιστεύθη.

Δεῖται δὲ ἀμφοτέρων ἡ μεγαλόπολις, σοῦ μὲν ὡς κυρίου διδόναι, τοῦ δὲ ὡς σὲ κύριον πεποιηκότος, πρῶτον μὲν ὑποδέξασθαι ὡς τάχιστα τὸν προστάτην καὶ τῆς ἑῴας ἁπάσης προαπαντῆσαι, δεύτερον δὲ βεβαίας b αὐτῇ μένειν τὰς δωρεὰς πάσας, ἃς οἱ σοὶ προπάτορες ἐψηφίσαντο· προπάτορας δὲ σοὺς ὀνομάζω οὐχ ἅπαντας ἁπλῶς τοὺς πρότερον αὐτοκράτορας, ἀλλὰ τοὺς εὐδοκίμους ἐπὶ πρᾳότητι καὶ φιλανθρωπίᾳ, ὧν δὴ γνήσιον κληρονόμον σαυτὸν ἀποφαίνεις· τρίτον συναυξηθῆναι τιμαῖς τὴν γερουσίαν, βασιλικωτάτην ἁπασῶν ταύτην τὴν χάριν αἰτοῦσα. μόνος γὰρ οὗτος ὁ θησαυρὸς δαπανώμενος οὐκ ἐλαττοῦται οὐδὲ δεῖσθε πρὸς αὐτὸν εἰσφορᾶς, ἀλλ' ὅσῳπερ ἂν δαψιλεστέρᾳ χρῆσθε c ταύτῃ τῇ δαπάνῃ, τοσούτῳ πλέων καὶ μείζων ὑμῖν περιγίνεται. κιόνων μὲν γὰρ πλῆθος καὶ ἀνδριάντων καὶ ὕδατος περιουσίαν οἱ πρότερον βασιλεῖς ἡμῖν ἐδωρήσαντο, τιμαῖς δὲ καὶ ἀξιώμασι σὺ καταπύκνωσον ἡμῖν τὴν γερουσίαν καὶ τὴν ἔνδειαν ἴασαι ταύτην οὐχ ἧττον ἀνιῶσαν ἡμᾶς ἢ πρότερον ἡ τῶν ναμάτων. καὶ οὓς πατέρας ὠνόμασας συγγεγραμμένους, ποίησον ἀξίους τῆς ἐπικλήσεως. οὕτοι φανήσῃ Κωνσταντίνου καταδεέ-

225, 2 κῆρυξ A. κηρύξας H. 7 ἀναδήσει A. ἀναδεῖ H. 20 σαυτὸν] Vulgo ἑαυτόν. αὐτὸν A. 22 τὴν χάριν] τὴν om. A. 27 βασιλεῖς ἡμῖν A. εἶδρον βασιλεῖς καὶ ἡμῖν H. 29 ταύτην A. τὴν H.

στερος, ὅποι στήσῃ, εἰ τιμαῖς τὴν πόλιν ὑψηλοτέραν
d ποιήσειας ἢ Κωνσταντῖνος οἰκοδομήμασιν. οὕτω καὶ
τῇ μεγάλῃ Ῥώμῃ θέατρα μὲν καὶ ἀγοραὶ καὶ γυμνάσια
χθές που καὶ πρώην προσγέγονε, τιμαὶ δὲ καὶ τὸ ἄρ-
χειν ἀεὶ καὶ τὸ διαλαγχάνειν τὰς τῶν ἐθνῶν ἐπιτρο-
πείας ἐξ ἀρχῆς οἰκιζομένῃ τῇ πόλει συνερριζώθησαν.
νῦν δὲ ἐπὶ μὲν τοῖς τῶν ἀνδριάντων μεγέθεσι σεμνυνό-
μεθα, ἐπὶ δὲ τοῖς τῶν ἀνδρῶν ἀξιώμασιν οὐ θαρροῦμεν,
ἀλλ' εἰ σὺ τοιαῦτα ἀναθείης, ὦ θεία κεφαλή, τῇ με-
184a γάλῃ βουλῇ νικητήρια, τότε ἀληθινῶς ἔσται δευτέρα
Ῥώμη σὴ πόλις, εἴ γε ἄνδρες ἡ πόλις· ὡς νῦν γε οὐ
λίαν οἰκείως τῇ ἐπικλήσει ταύτῃ φιλοτιμούμεθα.

226, 1 ὅποι στήσῃ, εἰ τιμαῖς τὴν πόλιν — ποιήσειας A. ὅπου στήσεις τὴν πόλιν — πολιτείᾳ H. 11 σὴ] ἡ σὴ Reulesius p. 43.

XV.

ΕΙΣ ΘΕΟΔΟΣΙΟΝ ΤΙΣ Η ΒΑΣΙΛΙΚΩΤΑΤΗ ΤΩΝ ΑΡΕΤΩΝ.

Ἆρα εἴ τις Ὁμήρῳ τῷ γενναίῳ καὶ Θουκυδίδῃ τῷ b Ἀθηναίῳ μὴ ἱκανὸς ἐξαγγέλλειν παραπλησίως πολέμους καὶ μάχας ἀνθρώπων, σιγῇ τῷ τοιούτῳ ἀνδρὶ παριτέον εἰς τὰ βασίλεια; ὧν ὁ μὲν εὐθὺς ἐν προοιμίοις τὴν μῆνιν τὴν Ἀχιλλέως παραγγείλας ᾄδειν τὴν Καλλιόπην, ἔπειτα ἐφεξῆς καταλέγει ὁπόσα ἡ μῆνις αὕτη κακὰ ἐφύτευσε τοῖς Ἀχαιοῖς, καὶ ὅσα ἀνέτλη δι' αὐτὴν τὸ Ἑλληνικὸν στρατόπεδον κτεινόμενον ὑπὸ τῶν Τρώων, ἅτερος δὲ θαρραλεώτερον καὶ μεγαλειότερον ἐναρχόμενος c τοῦ λόγου προαγγέλλειν οὐκ ὀκνεῖ τοῖς ἐντευξομένοις ὡς ἐφολκόν τι καὶ ἐπαγωγὸν, ὅτι τὸν πόλεμον ἐξηγήσεται τῶν Πελοποννησίων καὶ Ἀθηναίων, μέγιστόν τε καὶ βαρυσυμφορώτατον ἁπάντων κρίνας τῶν πρὸ αὐτοῦ γεγενημένων, καὶ ἐκλογίζεται ἐφεξῆς ὁπόσῳ μείζω καὶ ἀξιολογώτερα τὰ κατὰ τὴν ἑαυτοῦ συγγραφὴν τῆς Ὁμήρου ποιήσεως· καὶ τούτοιν μὲν δὴ ἀμφοῖν οὗτος ὁ τρόπος. Ἡσιόδῳ δὲ τῷ Ἀσκραίῳ δόρατα μὲν φρίττοντα καὶ ἀσπίδας συνερειδούσας καὶ ὀλλύντας τε καὶ ὀλλυμένους καὶ αἵματι ῥεομένην τὴν γῆν οὐκ ἐδόκει εἰσενεγκεῖν εἰς τὴν ποίησιν, τὰ δὲ χαμαίζηλα ταῦτα καὶ εἰρηναῖα καὶ ἀσπαστότερα τοῖς ἀνθρώποις, ὁπηνίκα μὲν d χρὴ ἀροῦν, ὁπηνίκα δὲ σπείρειν, ὁπηνίκα δὲ κλᾶν τὰς

227, 5 ἀνδρὶ add. A. 13 τὸν πόλεμον A. τὸν om. H. 17 συγγραφὴν] ἢ addit A. 23 ὁπηνίκα μὲν — σπείρειν add. A. 24 δὲ κλᾶν A. δεῖ κλᾶν H.

ἀμπέλους καὶ ἡλίκον τὸν ἄξονα τέμνειν καὶ ἡλίκην σφῦραν. καὶ ταῦτα ᾄδοντι αὐτῷ ἐκ τοῦ Ἑλικῶνος τὰ ὦτα ὑπεῖχον οἱ Ἕλληνες καὶ ἐκηλοῦντο καὶ ᾤοντο ὠφελίμους οὐχ ἧττον εἶναι τὰς Ἡσιόδου νουθεσίας ἢ τὰς Ὁμήρου ἀνδροκτασίας.

Εἴπερ οὖν ἦν τις λογοποιὸς, ἐν σπουδῇ κἀμοὶ ἦν
185a *ἕτερος τούτων τῶν τρόπων καὶ ἔργον τῆς τέχνης.*
ἐπειδὴ δὲ ἔχω λόγους εἰσφέρειν τῶν Ὁμήρου εἰρηνικωτέρους, τῶν δὲ Ἡσιόδου βασιλικωτέρους, διὰ τί μοι τῆς αὐλῆς ἡ γλῶττα ἀποκεκλείσεται καὶ οὐκ ἐπιτρέψει, καθάπερ μοι ἔθος, ἐκ τῶν Πλάτωνος καὶ Ἀριστοτέλους λειμώνων δρεψαμένῳ ἄνθη ἀκήρατα καὶ ὧν σίδηρος οὐ θιγγάνει, στεφάνους πλέξαι τῷ βασιλεῖ ἀνθρωπίνης εὐδαιμονίας; καίτοι οὐδὲ τὸ θέατρον ὑμῶν, οὗ εἴσειμι δωροφορήσων, ἧττον ἀγαπητὸν οὐδ' ἀμουσότερόν τε καὶ
b *ἀσοφώτερον τοῦ πάλαι δὴ κεχαρισμένου, ἀλλὰ προκάθηται μὲν ἀνὴρ, εἰ μὴ λέληθα βουκολούμενος,*

Ἀμφότερον, θεράπων Ἐνυαλίοιο θεοῖο
καὶ Μουσέων ἐρατὸν δῶρον ἐπιστάμενος,

παρεστήκασι δὲ ἐν κύκλῳ καὶ περικάθηνται οἱ συγχορευταὶ καὶ συνθιασῶται, κυδρούμενοι ἅπαντες μᾶλλον ταῖς Μούσαις ἢ ταῖς δυνάμεσιν.

Ἕως οὖν οὔπω καιρὸς ἀναστήσαντι τὴν φάλαγγα καὶ τοὺς οὐλαμοὺς βοηδρομεῖν ἐπὶ Σκύθας τοὺς ἀλιτηρίους, καὶ ἡνίκα ὁ Δεῖμός τε καὶ ὁ Φόβος σχολὴν ἄγετον διὰ τὴν ὥραν καὶ μέλπεσθαι τῷ Ἄρει τέως οὐκ
c *εὐμαρὲς, αἱ Μοῦσαι εἰσαγέτωσαν τῷ βασιλεῖ τὸν χορὸν, συμπαραλαβοῦσαι εἰς τὴν χορείαν τὸν ἡγεμόνα αὐτῶν τὸν Ἀπόλλω. καὶ γὰρ ἐκεῖνος ὁ θεὸς τοξοφόρος τε ἅμα καὶ μουσηγέτης, καὶ διπλῆ αὐτῷ ἡ σκευὴ, πρὸς εἰρήνην τε καὶ πολέμους, καὶ ἀμφότερα βασιλεῖ ἐπιτήδειος. δεῖται γὰρ βασιλεὺς τῶν βελῶν μὲν πρὸς τοὺς πολεμίους, τῆς κιθάρας δὲ πρὸς τοὺς ὑπηκόους, ᾗ ἁρμόσει*

228, 6 ἦν add. A. 18 *Ἀμφότερον*] Archilochi versus, fragm. II. p. 286. ed. Gaisf. 19 *Μουσέων*] Vulgo *Μουσάων*. 21 καὶ συνθιασῶται A. καὶ om. H.

φυσικοὺς καὶ συμφώνους ἀπεργάσεται καὶ παρασκευάσει ἑτοίμους πρὸς τὸν ἀγῶνα, ὥσπερ οἱ παιδοτρίβαι τοῖς ἀθληταῖς οὐκ ἐν τῇ κονίστρᾳ μόνον ἐμβοῶσιν, οὐδ' d
ὅταν πυκτεύωσιν οὐδ' ὅταν παγκρατιάζωσιν, ἀλλὰ καὶ ὅταν οἴκοι διατρίβωσιν ἐπὶ σχολῆς, καὶ μᾶλλόν γε ἐν τῷ καιρῷ τούτῳ· ἐν γὰρ τῇ σχολῇ τοῖς σωφρονοῦσιν ἡ παρασκευὴ πρὸς τὴν ἀσχολίαν, καὶ οἱ τῷ ὄντι ἀγωνισταὶ οὔπω τῆς σάλπιγγος ὀξὺ βοώσης οὐδὲ καλούσης εἰς Πίσαν ἢ Ἰσθμὸν ἢ εἰς Δελφοὺς ἐν ταῖς παλαίστραις διαπονοῦνται τῶν ἀθλημάτων καὶ τῆς ἀναγκοφαγίας καὶ τῶν ἀκροχειρισμῶν καὶ τῶν ἁλτήρων σὺν 186 a
πολλῷ τῷ ἑκουσίῳ ἱδρῶτι πρὸ τοῦ ἀναγκαίου. καὶ ταῦτα ἅπαντα ὑπομένουσιν οὔτε πρὸ παίδων οὔτε πρὸ γυναικῶν οὔτε ὅπως ἂν αὐτοῖς ἀπόρθητοι μένωσιν αἱ πατρίδες, ἀλλὰ πρὸς τὸν κότινον ὁρῶντες ἢ τὸ σέλινον ἢ τὴν πίτυν, ἄλλο δὲ οὐδὲν προὔργου αὐτοῖς οὔτε δίδαγμα οὔτε ἄσκημα ἢ ὅσα φέρει εἰς τὸν στέφανον καὶ τὸ κήρυγμα. ἀνδρὶ δὲ ἄρχοντι πολλῆς μὲν γῆς, πολλῆς δὲ θαλάττης, ὑπηκόους δὲ ἔχοντι καὶ πόλεις ἀναριθμήτους καὶ δήμους ἀδιηγήτους, οὐ τοῦτο ἄρα b
μόνον φροντιστέον ἐστίν, ὅπως ἂν ἐκείνης τῆς μοίρας ἐξελάσειε τοὺς βαρβάρους εἰς ὅσην ἤδη πρὸ τῆς ἑαυτοῦ ἐπιτροπείας παρῴνησαν καὶ ἐξύβρισαν, ἀλλὰ καὶ ὁπόσην τῆς ὑπηκόου διετήρησαν ἀπαθῆ καὶ ἀλώβητον πολυπλασίω οὖσαν καὶ ἐκ τοῦ Βοσπόρου εἰς Τίγρητα, ὅπως ταύτην ἁρμόσηται καὶ εἰς τέλος διαφυλάξῃ ἄθικτον καὶ ἀκέραιον οὐ τῶν ἔξωθεν μόνον, ἀλλὰ καὶ τῶν ἔνδοθεν ἀρρωστημάτων· καθάπερ, οἶμαι, τοῖς ποιμέσι καὶ τοῖς d
βουκόλοις ἀναγκαῖον μέν που καὶ κυνῶν φροντίζειν καὶ ἀκοντίων πρὸς τὰ θηρία, οὐχ ἧττον δέ, εἰ μὴ καὶ μᾶλλον, πόας ὑγιεινῆς καὶ ναμάτων ὀνησιφόρων, καὶ

229, 3 τῇ κονίστρᾳ A. τῇ om. H. οὐδ' ὅταν πυκτεύωσι A. ὅταν συμπαλαίωσι H, omisso οὐδ'. 9 Πίσαν] Vulgo Πίσσαν. 10 ἀναγκοφαγίας] ἀναγκοφαγήσεως A. 25 τοῦ βοσπόρου A. τοῦ om. H. 27 οὐ τῶν Roulezius p. 78. Vulgo καὶ οὐ τῶν. 28 καὶ τοῖς ποιμέσι A. ἐν τοῖς ποιμέσι H.

τοῦ ἐν καιρῷ μὲν βδάλλειν, ἐν καιρῷ δὲ ἀποκείρειν· ὡς ἡ περὶ ταῦτα ὀλιγωρία καὶ τοῦ συμμέτρου ἀφροντιστία πολὺ χαλεπωτέρα τῶν λύκων τοῖς βουσὶ καὶ τοῖς προβάτοις. τοῖς μὲν γὰρ λύκοις ἀγαπητὸν ἁρπάσασιν ἐκ τοῦ ποιμνίου διαφυγεῖν τοὺς κύνας καὶ τοὺς ἀλτῆ-
d ρας, ποιμένα δὲ ὀλίγωρον ἢ κακοῦργον οὔτε ἐκφυγεῖν δυνατὸν τοῖς βοσκήμασιν οὔτε ἀλέξασθαι. καίτοι οὐκ ἴση ἡ φροντὶς ποιμένι τε προβάτων καὶ ποιμένι λαῶν, ἀλλ' ἡ ἀνθρωποκομικὴ αὕτη τέχνη, ἣν βασιλικήν τε καὶ πολιτικὴν χρεὼν ὀνομάζειν, ζῴου ἐπιμέλειαν ἔχει ποικιλωτέρου τε καὶ πολυπλοκωτέρου ἢ τὰ θρέμματα. θρέμμασι μὲν γὰρ πρὸς ἄλληλα οὔτε δίκαι εἰσὶν οὔτε νόμοι
187 a οὔτε ἐγκλήματα, οὔτε δέονται δικαστηρίων ἢ ψηφισμάτων, ἀνθρώποις δὲ ὁ πλείων ἀγὼν πρὸς τοὺς συμφύλους ἢ τοὺς πολεμίους, καὶ τῷ ἐπιστατήσοντι αὐτῶν κατὰ δίκην ἀγρύπνῳ μὲν εἶναι δι' ἄμφω προσήκει, φυλακτέον δὲ οὐχ ἧττον τὰ εἴσω τοῦ τείχους θηρία, πλείω ὄντα καὶ ἐπιβουλότερα καὶ δυσμαχώτερα τῶν θυραίων. ὁ γάρ τοι πρόεδρος καὶ σύνθακος τῆς βασιλείας ὁ νόμος, συγκατελθὼν αὐτῇ ἐκ τοῦ οὐρανοῦ πρὸς σωτηρίαν
b ἀνθρώπων, εἴσω τὴν δύναμιν ἔχει πρὸς τοὺς ὑπηκόους καὶ ἐν τοῖς ὁρίοις τῆς ἀρχῆς, καὶ ἡ δίκη τε καὶ θέμις πρὸς τούτους συνεργοὶ τῷ βασιλεῖ, οὐ πρὸς τοὺς θύραθεν πολεμίους.

Δοκεῖ δέ μοι καὶ ὁ θεσπέσιος Ὅμηρος εἰ καὶ πρὸς τὸν Ἄρην μᾶλλον ἐπικλινής ἐστιν, ἀλλὰ γινώσκων γε ὥσπερ ἡμεῖς ὅτι μᾶλλον μεταποιητέον τῷ βασιλεῖ ᾗ βασιλεὺς τῆς Θέμιδος ἢ τῆς Ἐνυοῦς. καὶ τοῦτο μὲν αὐτοῦ τὸ ἔργον οἰκεῖον καὶ ἐφ' ᾧ βασιλεὺς ὀνομάζεται ὑπὸ τῶν ἀνθρώπων, ἐκεῖνο δὲ οὐκ εὐκτόν, ἀλλὰ ἀναγ-
c καῖον· ἐπαινῶν γὰρ τὸν Ἀγαμέμνονά φησιν ὅτι κατ' ἄμφω εὐδόκιμος, βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμη-

230, 2 ἀφροντιστία A. ἀφροντισία H. 5 ἀλτῆρας Roulezius p. 53. Vulgo ἀλκτῆρας. 19 πρόεδρος] πάρεδρος Arnaldus de diis παρέδροις p. 189. quocum Roulezius p. 32. comparat VI. p. 79 c. 31 φησιν add. A. 32 βασιλεύς τ'] τ' om. A.

τῆς, οὕτω δὴ λέγων, διαιρεῖν ἔοικε τὴν βασιλικὴν τέχνην τῆς πολεμικῆς καὶ μὴ ἐν τῷ ἀγαθῷ βασιλεῖ συλλαμβάνειν καὶ ἐὰν κρατερὸν αἰχμητήν. τὸ γὰρ ἀμφότερον οὐχ ἥρμοττεν αὐτῷ, εἰ μὴ ὡς ἄλλο καὶ ἄλλο τό τε ἄρχειν εὖ καὶ τὸ διαφέρειν ἐν τῇ αἰχμῇ. ἀλλ' οὐ γὰρ θάτερον θατέρῳ, ἀλλ' ἄρχειν μὲν τῷ βασιλεῖ προσήκει καὶ τῶν ὁπλιτῶν καὶ τῶν ἱππέων καὶ τῶν στρατηγῶν d καὶ τῶν ταξιαρχῶν, καὶ αὐτοῦ δέ, ἂν οὕτω τύχῃ, καὶ ὁπλιτεύειν καλῶς καὶ ἱππεύειν καὶ τοξεύειν ἐπίσκοπα καὶ ἀκοντίζειν, ὥσπερ σὺ καὶ ὁ σὸς ἀρχηγέτης ἄμφω μὲν ἱππικωτάτω καὶ εὐστοχωτάτω,

Ἄμφω δ' αἰχμητά· τά γε δὴ καὶ ἴδμεν ἅπαντες.

ἀλλὰ ταῦτα σφῷν μὲν ἴσως ἐν περιουσίᾳ.

Τὸ μέντοι γε ἔργον τοῦ βασιλέως ἢ βασιλεὺς 188 a ἄλλο τι, ὡς ἔοικεν, Ὅμηρος ᾤετο. αὐτίκα ὅταν μέν τινα τῶν στρατηγῶν ἐγκωμιάζῃ, ὥσπερ σημεῖόν τι αὐτῷ ἐπιτίθησιν ἐκ τῶν ὅπλων ἢ τῆς βοῆς ἢ τοῦ σώματος, τὸν μὲν Ἕκτορα κορυθαίολον, τὸν δὲ Διομήδην βοὴν ἀγαθὸν καὶ τὸν Ἀχιλλέα ποδάρκην καὶ τὸν Αἴαντα ὅτι πάμμεγάς τις ἦν, πελώριον ἕρκος Ἀχαιῶν· ἀρκεῖ δὲ αὐτῷ πρὸς ἔπαινον στρατηγοῦ καὶ ἱππηλασία, φιλοπονία γε σὺ καὶ τλημοσύνη· ὁ γὰρ Ὀδυσσεὺς αὐτῷ καὶ b ὁ Νέστωρ ἐκ τούτων τῶν ἐπαίνων ὀνομαστοί. ὅταν δὲ ὡς βασιλέα θαυμάζῃ τινὰ καὶ ἐπαινῇ καὶ τάττῃ τὸ ὄνομα αὐτοῦ ἐν τῇ ποιήσει, οὔτε κόρυς αὐτῷ ἐνταῦθα ἐν μνήμῃ οὔτε δόρυ οὔτε ὠκύτης, ἀλλ' ὅτι διοτρεφὴς καὶ διογενὴς καὶ Διὶ μῆτιν ἀτάλαντος, καὶ τὸ ἔργον αὐτοῦ ἢ βασιλεὺς τοῦτό ἐστι, τὸ Διὶ ὁμοιωθῆναι. ἐκείνου γὰρ ὑποδρηστὴρ καὶ ὑποφήτης, καὶ τῆς ἐκείνου ἀρχῆς οὐ φαύλην ἐπιτέτραπται μοῖραν τὴν ἀνθρωπίνην ἀγέλην. c

Καὶ σύ, φίλος· μάλα γάρ σ' ὁρόω καλόν τε
μέγαν τε

231, 12 Ἄμφω] Iliad. η, 281. 32 Καὶ σὺ] Odyss. α, 301. σ' ὁρόω A. σε ὁρῶ H.

καὶ οὐ παραλύσομαι ...

ἄλκιμος ἔσσο.

οὐ γὰρ ἀμφισβητήσαιμι τὰ τεκμήρια, δι' ὧν ἤδη ἐπεδείξω. καὶ γὰρ τὴν ἀρχὴν ἐφεξῆς ταξιαρχοῦντα καὶ στρατηγοῦντα τῷ τῆς βασιλείας στεφάνῳ Γρατιανὸς ἀνεκήρυξεν. ἀλλ' εὖ τοι γίνωσκε, ὦ χρηστέ, ὡς οὔτε κάλλος οὔτε μέγεθος οὔτε ὠκύτης οὔτε ἀλκὴ τὸν ἀγαθὸν ποιεῖ βασιλέα, εἰ μή τι ἴνδαλμα φέροι ἐν τῇ ψυχῇ
d τῆς πρὸς τὸν θεὸν ὁμοιώσεως. κἀντεῦθεν οὖν καὶ αὐτοὶ ζητῶμεν καὶ τὸν ποιητὴν παρακαλῶμεν διδάσκειν ἡμᾶς ὅπως ἄν τις χαμαὶ βαδίζων καὶ σάρκα ἠμφιεσμένος ἔχειν τὸ ἴνδαλμα νομισθείη τοῦ ὑπὲρ τῆς ἄκρας ἀψῖδος καὶ ὑπὲρ ἅπαν τὸ ὂν ἱδρυμένου. ἀκούωμεν τοίνυν αὐτοῦ· οὐ γὰρ εἰς μακρὰν ἡμᾶς ἀνακαλεῖται, ὁπόθεν οἴεται γνωματεύειν τὸν θεοειδῆ βασιλέα·

189 a Ὥστε τευ, φησί, βασιλῆος ἀμύμονος, ὅστε θεουδὴς
εὐδικίας ἀνέχῃσι· φέρῃσι δὲ γαῖα μέλαινα
πυροὺς καὶ κριθάς, βρίθῃσι δὲ δένδρεα καρπῷ,
τίκτει δ' ἔμπεδα πάντα, θάλασσα δὲ παρέχει ἰχθῦς
ἐξ εὐηγεσίης· ἀρετῶσι δὲ λαοὶ ὑπ' αὐτοῦ.

ἡ δίκη οὖν καὶ ἡ εὐδικία τὸ ἔργον τῆς τέχνης ταύτης ἐστί, καὶ ἐντεῦθεν τὸ θεοείκελον καὶ θεοειδές.

Καὶ κινδυνεύει ὁ θεῖος Πλάτων παρ' Ὁμήρου αὐτὸ μεμαθηκέναι· καὶ γὰρ ἐκεῖνος τὴν δικαιοσύνην μετὰ
b φρονήσεως ὁμοίωσιν λέγει πρὸς τὸν θεόν. τῷ οὖν τὴν δίκην ταύτην ἀνέχοντι καὶ ἀνορθοῦντι ἰοὺ ἰοὺ ὁπόσα λέγει ἀγαθὰ ἀκολουθεῖν ἡ Καλλιόπη· εὐθηνεῖσθαι μὲν αὐτῷ τὰ λήια, εὐθηνεῖσθαι δὲ τὰ δένδρα καὶ τὰς ἀμπέλους, τίκτεσθαι δὲ πολλὰ μὲν ζῷα, πολλοὺς δὲ ἀνθρώπους, ἅπαντα ἔμπεδα καὶ βιώσιμα· δωροφορεῖν δὲ οὐ μόνον τὴν γῆν τοὺς καρπούς, ἀλλὰ καὶ τὴν θάλασ-

---

232, 13 ἅπαν τὸ ὂν] ἁπάντων Iacobsius. ἀκούωμεν] ἀκούομεν A. 16 Ὥστε τευ] Vulgo ὡς σύ. Correctum ex Odyss. τ, 109.

σαν τοὺς ἰχθύας. βαβαί, ἅπασα δύναμις τῆς εὐδικίας, ἧς διικνεῖται τὸ κέρδος οὐ μόνον εἰς τὰ ἀρχεῖα καὶ τὰ δικαστήρια, ἀλλὰ καὶ εἰς τὰ ζῷα καὶ εἰς τὰ φυτὰ καὶ τὰ σπέρματα καὶ τὰ ἔμβρυα. ὡς μακάριος, ᾧ αὕτη ὑπάρχει ἡ εὐδικία καὶ τὰ αὐτὰ δύναται τῷ Διὶ καὶ c κύριός ἐστιν οὐ μόνον τῶν ἀνθρώπων, ἀλλὰ δὴ καὶ τῶν στοιχείων, ὥστε καὶ ταῦτα ποιεῖν ἐγκαρπότερα καὶ γονιμώτερα καὶ πολυωφελέστερα τοῖς ἀνθρώποις.

Ταύτης οὖν, ὦ φίλε, πρὸς αὐτοῦ τοῦ Διὸς ἐχώμεθα ἀπρὶξ τῆς θεοῦ, ἵνα ἡμῖν ὁ ὁρμαθὸς οὗτος τῶν ἀγαθῶν ἀνεπίληπτος χορηγῆται καὶ μὴ συγχωρῶμεν ἀπομισήσασαν τὰ ἀνθρώπινα ἀναπτάσθαι εἰς τὸν οὐρανόν, ἀλλὰ φιλοχωρεῖν καὶ συμπαρακαθίζειν ἁγνὴν ἐν ἁγνῷ θρόνῳ, συνδιοικοῦσάν σοι τὰ ἀνθρώπινα. πρὸς ταύτης δέ σοι τὴν φυλακὴν οὐδὲν οἱ ὁπλῖται, οὐδὲ μὰ d Δία οἱ σφενδονῆται καὶ οἱ τοξόται οὐδὲ Ἀρμενίων ἶλαι οὐδὲ Ἰβήρων οὐδὲ τῶν ὑπασπιστῶν οὐδὲ τῶν δορυφόρων δεήσει, ἀλλ' αὐτάρκης σὺ σεαυτῷ· μόνη γὰρ ἡ γνώμη τούτου τοῦ ἔργου κυρία. οὐδέ ἐστιν ἀποφυγὴ οὐδεμία βασιλεῖ ἀμελοῦντι τῆς δίκης, οὐκ εἰς δειλίαν στρατιωτῶν, οὐκ εἰς ῥαθυμίαν στρατηγῶν, ἀλλ' οὕτως ἄρα ἴδιον σοῦ καὶ μόνου τὸ ἔργον ἐστίν, ὥστε καὶ καθημένου σοῦ ἐπὶ θρόνου καὶ ῥήμασι σμικροῖς καὶ νεύμασι ψιλοῖς ἔνεστι φυλάττειν τὴν δίκην καὶ τῇ φυλακῇ 190a ταύτῃ ἀνέχειν ἅπασι τὴν ἀρχήν. ἄθρει γάρ, ὦ σοφώτατε, ὡς ἐγὼ εἰσελήλυθα τήμερον οὐ κολακεύσων οὐδὲ θωπεύσων. οὐ γὰρ ἂν πρέποι ἀνδρὶ τηλικῷδε καὶ ὁμιλήσαντι ἤδη πρὸς τοσούτους αὐτοκράτορας νέους τε καὶ πρεσβυτέρους, ὃν πάντων ἠπίστατο ἠπιώτατον καὶ ἀνεξικακώτατον καὶ πρᾳότατον, τοῦτον καὶ ὑποτρέχειν καὶ θωπεύειν· καὶ ὅτε μάλιστα ἀνεπισφαλὴς ἡ παρρησία, τότε τὴν κακοῦργόν τε καὶ ἀνελεύθερον φωνὴν ἀν- b θαιρεῖσθαι, ὥσπερ πῶλον εὐγενῆ ἀγριαίνοντα μὲν ἡμεροῦν προσήκει, ἥμερον δὲ φύντα ἐξ ἀρχῆς γελοῖος ὁ

233, 23 καὶ ῥήμασι A. καὶ om. M.

καταψήχειν ἐπιχειρῶν καὶ μὴ τῷ φύσει ἀγαθῷ ἀποχρώμενος.

Ἤδη οὖν τρίτος οὗτος ἐνιαυτὸς καὶ ἄγευστός σοι ὁ κάλαμος γραμμάτων θανατηφόρων· ὥστε εἴσεισι μὲν παρὰ τοῦ νόμου πολλάκις ἡ μέλαινα ψῆφος, ἔξεισι δὲ ἀεὶ μεταβάλλουσα εἰς λευκὴν ἐκ τῶν βασιλείων. ὢν γὰρ τἆλλα νομιμώτατος αὐτοκρατόρων οἶσθα ὅπου βασιλι-
c κώτερον παραρρῆξαι τὸν νόμον ἢ ἐμπεδῶσαι. εἰσφοιτᾷ δὲ εἰς τὰ βασίλεια πατάσσων οὐδεὶς τὴν καρδίαν οὐδὲ τοὺς ὀδόντας ἀράσσων οὐδὲ χλωρὸς ὑπὸ δέους, ἀλλ' εὐέλπιδι τῇ γνώμῃ καὶ ἀνεστηκυίᾳ ὥσπερ εἰς τὰ ἄσυλα τῶν ἱερῶν· οὕτω σοι ἵλεω μὲν τὰ ὄμματα, ἀθόρυβος δὲ ἡ φωνή, γαλήνη δὲ ἐπικέχυται παντὶ τῷ προσώπῳ. οὐδ' ἂν προσιδών σέ τις μὴ ἅπαν ἐκβάλῃ τὸ δεῖμα ἐκ τῆς ψυχῆς· ὥστε καὶ τῶν πολεμίων ὁ τέως τὰς σπονδὰς ὑφορώμενος καὶ μηδὲ τραπέζης ῥᾳδίως κοινωνῆσαι θαρρήσας δι' ὑποψίαν νῦν πράσεισιν ἄνοπλος καὶ ἄνευ
d σιδήρου, διδοὺς ἑαυτὸν χρῆσθαι ὅ τι ἂν ἐθέλῃς, εἰδὼς ὅτι οὐχ ὡς ἐχθρῷ ἐθελήσεις, ἀλλ' ὡς Ἀλέξανδρος Πώρῳ τῷ Ἰνδῷ καὶ Ἀρταξέρξης Θεμιστοκλεῖ τῷ Ἀθηναίῳ καὶ Ῥωμαῖοι τῷ Λίβυϊ Μασσανάσσῃ. τοιγαροῦν ὧν τοῖς ὅπλοις οὐκ ἐκρατήσαμεν, τούτους τῇ σῇ πίστει προσηγαγόμεθα αὐτοκλήτους, καὶ ὥσπερ ἡ μαγνῆτις λίθος ἡσυχῇ ἐφέλκεται τὰ σιδήρια, οὕτω καὶ αὐτὸς ἀκονιτὶ ἐφειλκύσω τὸν Γέτην δυνάστην, καὶ ἥκει σοι ἐθελοντὴς ὁ πάλαι σεμνὸς καὶ ὑψηλογνώμων ἱκέτης εἰς
191 a τὴν πόλιν τὴν βασιλίδα, οὗ τὸν πατέρα ὁ παμμεγέθης Κωνσταντῖνος εἰκόνι ἀπεμειλίσσετο τῇ νῦν ἔτι ἀνακειμένῃ πρὸς τῷ ὀπισθοδόμῳ τοῦ βουλευτηρίου. οὕτω δόξα ἀγαθὴ βασιλεῖ πολλῶν ἀσπίδων δυνατωτέρα καὶ ὑπάγεται ἐθελουσίους τοὺς τῆς ἀνάγκης καταφρονοῦντας, καὶ οὐχ οὕτω σοφὸν βούλευμα τὰς πολλὰς χεῖρας

234, 1 καταψήχειν Iacobsius ad Antholog. Palat. vol. III. p. 715. Vulgo καταψύχειν. 14 τὸ δεῖμα] τὸ om. A. 21 Μασσανάσσῃ] μασσανάσῃ A. Μασανίσσῃ H. 32 σοφὸν βούλευμα] Ex Eurip. Antiopae fragm. 31. ubi σοφὸν ἓν βούλευμα.

νικᾷ ὡς εὐσέβεια καὶ φιλανθρωπία οὐ μόνον νικᾷ τὰς πολλὰς χεῖρας, ἀλλὰ καὶ σώζει.

Μέμνημαι τόδε ἔργον ἐγὼ πάλαι, οὔτι νέον γε.

Ἀντωνίνῳ τῷ Ῥωμαίων αὐτοκράτορι, ᾧ τοῦτο αὐτὸ b ἐπώνυμον ὁ εὐσεβὴς ἦν, τοῦ στρατεύματος ὑπὸ δίψους αὐτῷ πιεζομένου, ἀνασχὼν τὼ χεῖρε ὁ βασιλεὺς πρὸς τὸν οὐρανόν, ταύτῃ, ἔφη, τῇ χειρὶ προυτρεψάμην σε καὶ ἱκέτευσα τὸν ζωῆς δοτῆρα, ᾗ ζωὴν οὐκ ἀφειλόμην. καὶ οὕτω κατῄδεσε τὸν θεὸν τῇ εὐχῇ ὥστε ἐξ αἰθρίας ἦκον νεφέλαι ὑδροφοροῦσαι τοῖς στρατιώταις. καὶ εἶδον ἐγὼ ἐν γραφῇ εἰκόνα τοῦ ἔργου, τὸν μὲν αὐτοκράτορα προσευχόμενον ἐν τῇ φάλαγγι, τοὺς στρατιώτας δὲ τὰ κράνη τῷ ὄμβρῳ ὑποτιθέντας καὶ ἐμπιπλαμένους τοῦ c νάματος τοῦ θεοδότου. τοσοῦτόν ἐστιν ἀγαθὸν τοῖς ὑπηκόοις ὁσιότης τοῦ ἡγεμόνος, ὥσπερ αὖ πάλιν τοῦ μὴ ἀρεστοῦ τῷ θεῷ, μηδὲ ἀρεστὰ ἐργαζομένου ἄρχεται ἡ δίκη οὐκ ἀπ' αὐτοῦ εὐθύς, ἀλλὰ ἀπὸ τῶν ἀρχομένων.

Ἐννῆμαρ μὲν ἀνὰ στρατὸν ᾤχετο κῆλα θεοῖο,

καίτοι ὁ στρατὸς αὐτὸς οὐ συνηγρίαινε πρὸς τὸν Χρύσην τῷ Ἀγαμέμνονι, ἀλλὰ τοὐναντίον.

καὶ ἐπευφήμησαν ἅπαντες

αἰδεῖσθαί θ' ἱερῆα καὶ ἀγλαὰ δέχθαι ἄποινα. d

εἰ δ' αὖ καὶ ὁ στρατὸς ξυνηδίκει, ὅτι συνεχώρει, ἀλλὰ τούς γε οὐρῆας καὶ τοὺς κύνας τί τοὺς ἀθῴους ὁ οἰστὸς ἐν τοῖς πρώτοις ἐπεπορεύετο; ἀλλὰ διδάσκει, ὡς ἔοικεν, Ὅμηρος ἡμᾶς τὰ μὲν τῶν ἰδιωτῶν πλημμελήματα εἰς αὐτοὺς ἵστασθαι τοὺς πλημμελοῦντας, ταῖς δὲ τῶν βασιλέων ἀγνωμοσύναις ὑπεύθυνον γίνεσθαι καὶ τὸ ὑπήκοον, εἶτα ὥσπερ φῶς ἐκχεόμενον ἀκήρατον ἐξ ἀκηράτου λαμ- 192 a πτῆρος ἡ τῆς σῆς γνώμης ἀγαθοεργία ἅπαντας μὲν καταυγάζει καὶ τοὺς πόρρω καὶ τοὺς πλησίον, ἐκδηλότερον δὲ τοὺς ἀγχοῦ ἑστῶτας.

235, 3 πάλαι] Vulgo παλαιόν. Correctum ex Iliad. ι, 527. 10 ἦκον A. ἦλθον H. 22 καὶ ἐπευφήμησαν A. καὶ om. H. 25 τί τοὺς ἀθῴους] γρ. καὶ τί μαθὼν margo A.

Οὐκοῦν οὐδὲ ὁ περιεστώς σε οὗτος χορὸς οὐδὲ οἱ τοῦ χοροῦ κορυφαῖοι δυσπρόσιτοί τε καὶ συννεφεῖς καὶ οὐ ῥᾳότεροι ἀτεχνῶς, ὥσπερ τοὺς δράκοντάς φασιν ἐν ταῖς χειαῖς κακὰ φάρμακα βεβρωκότας ζητεῖν ὅτῳ ἂν ἐγχρίμψαιντο τὴν τοῦ ὀλέθρου παρασκευήν, ἀλλὰ ἅπασιν αὐτοῖς ὥσπερ νομίσμασιν ἡ σὴ εἰκὼν σεσήμανται
b *καὶ εἰς ἓν λάμπει ὁ σὸς χαρακτὴρ τῇ πρὸς τὸ καλὸν εὐαγωγίᾳ, καὶ μεμίμηται ἕκαστος ᾗ δύναται τὸν ἀρχηγέτην ὥσπερ ὁ ἀρχηγέτης αὐτὸς τὸν θεόν. ἣν γὰρ ἔφη Πυθαγόρας ὁ Σάμιος εἰκόνα πρὸς θεὸν εἶναι ἀνθρώποις, μόνη, ὡς ἔοικεν, ἐστὶν εὐποιία, πρὸς ἣν ἀνεπίφοιτός σοι αὐτοφυὴς καὶ αὐτοκέλευστος ἡ ψυχή, καὶ θᾶττον ἄν τις ἀπείπαι ἀπαιτῶν ἢ σὺ διδοὺς καὶ ἐπινεύων. ἀλλ' ὅμως χρυσίον μὲν οἶσθα καὶ δωρεῖσθαι τοῖς ὑπηκόοις καὶ ἀφιέναι τοῖς ὑπευθύνοις, γλυκὺ δέ*
c *σοι καὶ τὰ ἐλλείμματα ἀπολύειν χαλκοῦ καὶ σιδήρου καὶ ἵππων καὶ ὑφασμάτων, μόνα δὲ τὰ τῶν λόγων ἐλλείμματα οὐκ ἀνέχῃ οὔτε συγχωρεῖν οὔτε εἰς χρόνον τινὰ ἀνατίθεσθαι, ἀλλ' ἐπὶ ταύτης μόνης τῆς εἰσφορᾶς δυσίατος ἄρα ἦσθα καὶ ἀπαραίτητος, καὶ οὐκ ἐπιτρέπεις τὴν εἴσπραξιν ταύτην ἀρχῇ τινι οὐδὲ στρατιώτῃ, ἀλλ' αὐτὸς στρατηγός, αὐτὸς ἀποδοχεὺς τῶν ὀφλημάτων τούτων, αὐτὸς ταμίας· οὐδὲ παραδίδως ἑτέροις φυλάττειν αὐτὰ ἃ ἂν εἰσπράξῃ, ἀλλ' ἐν τῇ ψυχῇ τῇ σεαυτοῦ*
d *κατασημαίνῃ καὶ θησαυρίζεις· καὶ διὰ τοῦτο ἄρα τοῦ εὖ ποιεῖν ἄπληστός σοι καὶ ἀκόρεστος ἐντέτηκεν ἐπιθυμία, ὅτι καλοῦ εὐποιία δίδωσιν ἀφορμὰς τοῖς ἀθωπεύτοις ἐπαίνοις καὶ ἐλευθέροις, ἢ σὺ καταναλοῖς τὴν βασιλείαν ὅσαι ἡμέραι καὶ ὅσαι ὧραι. ὥστε εἴ τις ἀπαριθμήσειεν ὅσους μὲν ἐρρύσω ἀειφυγίας, ὅσους δὲ ἐξείλου θανάτου, ὅσοις δὲ ἐπανῆρας τοὺς πατρῴους οἴκους, ὅσοις δὲ ἐχορήγησας ἐκ τῶν ταμιείων ἀπορουμένοις, οὐκ ἐλάττονας τὸν ἀριθμὸν εὑρήσει τῶν ἡμερῶν ὧν βασιλεύεις.*

236, 3 *ἀτεχνῶς*] *ἐντυχεῖν* Iacobsius. 6 *σεσήμανται*] *ἐνσεσήμανται* Iacobsius Lect. Stob. p. 41. 18 *ἀνέχῃ* A. *ἀνέχεις* H. 33 *τὸν ἀριθμὸν* add. A.

Καλὸν οὖν λόγον καὶ βασιλικὸν τὸν Τίτου τοῦ 198 a αὐτοκράτορος ἔργῳ ἁμίλλῃ παραδραμεῖν, οὐ μόνον ἡμέραν ἀβασίλευτον μὴ παρελθεῖν, ᾗ οὐκ ἔνεστιν εὐποιία, ἀλλὰ μηδὲ ὥραν φιλονεικῶν. ἐῶ γὰρ ὅτι μηδὲ νύκτες αἱ σχολαιαὶ καὶ ἀφεγγεῖς τῆς σῆς βασιλείας, ἐν αἷς καθεύδειν ἐπ' ἄμφω ἔνεστι δειμάτων τε καὶ φροντίδων ἀπηλλαγμένους. ὥστε εἰ καθάπερ Τίτῳ ἐδόκει τοσαυτάκις καὶ σὺ βασιλεύεις ὁσάκις εὖ ποιεῖς, ἐγγὺς ἂν εἴη τοῦ ὑπεραίρειν τῷ πλήθει τοῦ χρόνου τὸν Σεβαστόν.

Ἐγὼ δὲ οὐ φαυλότερον τίθημι τούτων τὸν ἀριθμὸν b τῶν Ἀλεξάνδρου τροπαίων· ἐκείνῳ μὲν γὰρ καὶ Ἀντίπατρος ἠμφισβήτει καὶ Παρμενίων καὶ οἱ πεζέταιροι καὶ οἱ Ἀγριᾶνες, ταύτης δὲ μόνης τῆς νίκης αὐτουργὸς σὺ καὶ αὐτοκράτωρ, καὶ ταύτην ἐποικοδομῶν ἀεὶ καὶ συναύξων ἀναβήσῃ, ὥσπερ βαθμοῖς χρώμενος ταῖς εὐποιίαις, ὑψοῦ ἄνω καὶ ἐγγὺς τῆς αὐλῆς τοῦ Διός. οὗτοι γὰρ μόνοι οἱ βαθμοὶ ἀνάγουσιν εἰς τὸν οὐρανόν, οὐχ Ὄσσα οὐδὲ Ὄλυμπος οὐδὲ Πήλιον, ἀλλόκοτοι ἀλλοκότων c ἀνθρώπων βουλαὶ καὶ ἐλπίδες· μόνῳ δὲ ἀμβατὸς οὐρανὸς ὅτῳ ἔνεστιν οἰκοδομεῖν τὴν ἀνάβασιν ταύτην εὐεργεσίαις ἀνθρώπων. καὶ περὶ τούτου μᾶλλον προσήκει ἀμφισβητεῖν τὴν Πυθίαν,

Δίζω εἴ σε θεὸν μαντεύσομαι ἢ ἄνθρωπον

ἢ περὶ Λυκούργου τοῦ Σπαρτιάτου. Λυκοῦργος μὲν γάρ, εἰ καὶ λίαν κητώεσσα ἦν ἡ Λακεδαίμων, ἀλλὰ μίαν γε πόλιν ἐκ βίου ἀτάκτου συνήρμοσεν εἰς εὐνομίαν, σοὶ δὲ τῶν ἐν Σπάρτῃ ἀνθρώπων πλείους αἱ d ὑπήκοοι πόλεις, καὶ εἰ ταύτας ἐμπλήσειας εὐδαιμονίας, οὐκέτι θωπεύοντες οὐδὲ ἐξαπατῶντες τὸ χρυσοῦν ὄνομά σοι τοῦτο προσάψομεν, τὴν θειότητα, ἀλλ' ὡς οἷόν τε ἀληθινῶς καὶ ἀθωπεύτως. θεοὶ γὰρ δωτῆρες ἐάων, καὶ τοῦ αὐτοῦ ἔργου αὐτοῖς κοινωνῶν ἐν τῷ αὐτῶν χορῷ ἐγγραφήσῃ, καὶ πᾶσαι ἔσονταί σοι ἐκεῖθεν αἱ ἐπωνυμίαι,

---

237, 13 πεζέταιροι] Vulgo πεζαίτεροι, 21 ταύτην A. αὐτὴν H. 24 Δίζω] Vide p. 97 d.

194 a ὁ σωτήρ, ὁ πολιεύς, ὁ ξένιος, ὁ ἱκέσιος, τοῦ Γερμανικοῦ ὑψηλότερα ὀνόματα καὶ τοῦ Σαρματικοῦ. ἥξουσι μὲν γὰρ καὶ αὗται αἱ ἐπικλήσεις οὐκ εἰς μακράν, ἀλλ' ἥξουσί σοι σὺν τῷ Δείμῳ καὶ τῇ Ἐνυοῖ, δαίμοσι χθονίοις καὶ ἐπὶ γῆς διαιτωμένοις, οὓς ἀναγκαίους ποιεῖ κάκη ἀνθρώπων. ἐν οὐρανῷ δὲ οὔτε Δεῖμος οὔτε Ἐνυὼ οὔτε μὴν Κυδοιμὸς οὔτε Κῆρες. ἵνα γὰρ πηγαὶ ζωῆς, ἵνα πηγαὶ εὐδαιμονίας, πόρρω ἐκεῖθεν οὗτος ὁ χορὸς ἀπελήλαται. ἀλλ' οὔτε οἱ δύο πίθοι κατάκεινται ἐν
b Διὸς οὔδει, κηρῶν ἔμπλεοι, ὁ μὲν ἐσθλῶν, ὁ δὲ δειλῶν· κακῶν γὰρ οὐκ ἔνεστιν ἐν τῷ οὐρανῷ ταμιεῖον. ἀλλὰ τὸν ἕτερον πίθον αὐτοὶ μὲν ἐμπίπλαμεν, αὐτοὶ δὲ καὶ ἐκκενοῦμεν. ἢ δειξάτωσαν ἐν τῇ βουλῇ τοῦ βασιλέως πίθον καὶ στεναγμῶν καὶ δακρύων, ὥσπερ ἐγὼ ἂν ἐπιδείξαιμι ζωῆς καὶ ὄλβου καὶ πλούτου καὶ πρᾳότητος καὶ εὐδικίας πολλοὺς καὶ μεγάλους καὶ ὑπερχειλεῖς· ὧν ἀρυόμενος καὶ ἀπαντλῶν, ἐξ ὅσου τὴν ἁλουργίδα ἐνήψατο, οὐ λήγει ἐποχετεύων καὶ ἐπάρδων τοὺς ὑπηκόους. αἵματος δὲ οὐκ ἔνι πίθος αὐτῷ οὐδὲ δείματος οὐδὲ
c φρίκης, ἀλλὰ καὶ ὅπου ἔλαθε κατορωρυγμένος μένει εὐρωτιῶν καὶ τὸ πῶμα αὐτῷ ἐπίκειται καὶ συνήλειπται, καὶ οὐκ ἀποκέκλεισται ἡ ἐλπὶς μόνη, τὰ δὲ κακὰ ἐκκέχυται εἰς τοὺς ἀνθρώπους, ἀλλὰ τοὐναντίον τὰ μὲν καθειργμένα κατασεσήμανται δεσμοῖς ἀλύτοις ἢ καὶ ἀδαμαντίνοις, ἐξέπτη δὲ ἡ ἐλπὶς μόνη τῶν ἀγαθῶν, καὶ διὰ τοῦτο ἅπαντα πλέα ἐστὶν ἐλπίδος ἀγαθῆς.

Ὀρφανία δὲ ὄνομα φροῦδον καὶ οὐδεὶς ἀπάτωρ τά γε νῦν, ἀλλὰ καὶ οἷς ἀνάγκη τις οὐκ εὐδαίμων νηπίοις ταύτην ἐπέκλωσε τὴν δυσπατρίαν, ἀντὶ ἰδιώτου
d πατρὸς ἀντηλλάττοντο βασιλέα. κληρονομεῖν δὲ παῖδας γονέων τὰ μὲν ἄλλα σύμπαντα ἐᾷς, τὰ δὲ ἐγκλήματα μόνα οὐ συγχωρεῖς, ἀλλὰ συναποθνήσκει τοῖς πλημμελήσασι καὶ οὐ γίνεται τῶν πταισάντων μακροβιώτερα, οὐδὲ εἰσπράττῃ δίκας ἀδικημάτων τοὺς κολασθησομένους προγενεστέρων.

238, 14 ἐγὼ add. A. 34 τοῦ κολασθησομένου F. A. Wolfius.

Πλέομεν δὲ ὥσπερ ἐν νηὶ δυοῖν κυβερνήταιν ἐφε-
στηκότων τῇ ναυτιλίᾳ πρὸς τὸν ἐξαίφνης ἐπιπεσόντα
χειμῶνα, καὶ τῶν κυμάτων τὰ μὲν κατεστόρεσται ἤδη,
τὰ δὲ οὐχ οὕτω κορυφοῦται καὶ ἀγριαίνει. εὖ γὰρ 195 a
ποιοῦντες ἐκ κοίλης νεὼς ἐπὶ τὰ ἰκρία ἄμφω ἀναβεβή-
κατον, ἔνθεν ἄποπτον ἅπαν τὸ πέλαγος, οὗ μὲν τρα-
χὺς ὁ κλύδων, οὗ δὲ ἄρχεται γαληνιᾶν. περισκοποῦντε
οὖν κύκλῳ καὶ περιαθροῦντε ἀντιλαμβάνεσθον τῶν οἰά-
κων· παρειλήφατον γὰρ τὴν ναῦν οὐχ ὁρμοῦσαν ἐν λι-
μέσιν ἐφ᾽ ἡσυχίας οὐδὲ πλέουσαν οὐρίῳ εὐκραεῖ καὶ
πλησιστίῳ, ἀλλὰ τρικυμίας πανταχόθεν ἐπεγηγερμένης
καὶ ζεούσης τῆς θαλάσσης ἔνθεν καὶ ἔνθεν καὶ τῶν
τοίχων ἤδη πεπονηκότων· καὶ δεῖ σφῷν τῆς ἄκρας ἐπι-
στήμης καὶ τλημοσύνης μᾶλλον ἢ Ἀντιόχῳ τε καὶ Ἀρί- b
στωνι. ἰδοὺ γὰρ ἡλίκη ἡ ναῦς, ἣν κυβερνᾶτον, καὶ
ὁπόσοι οἱ ἐν τῇ νηὶ ταύτῃ ἐμπλέοντες καὶ ὁπόσαι τῷ
σκάφει ἐπικρέμανται καταιγίδες. ὕπνου οὖν οὔπω και-
ρὸς οὐδὲ ῥᾳστώνης οὐδὲ ᾠδῆς οὐδὲ κρατήρων. ἀλλὰ
ταῦτα ἅπαντα γαλήνης παραμύθια καὶ ἡδύσματα, ἡνίκα
οὐ κίνδυνος καὶ τῷ κυβερνήτῃ ἀποθαρρεῖν καὶ τοῖς
ναύταις παρεῖναι τὰς κώπας, τηνικαῦτα δὲ οὐ χαλεπὸν
καὶ τῷ ἐσχαρεῖ καὶ τῷ θαλαμίᾳ μεταλαμβάνειν τοὺς
οἴακας· οὐ γὰρ δεῖται ἀκριβοῦς τέχνης ἡ πολλὴ γαλήνη· c
ὅταν δὲ

σὺν δ᾽ Εὖρός τε Νότος τε πνεύσῃ Ζέφυρός τε
δυσαής,

τότε δὴ τότε

Οὐ παντὸς ἀνδρὸς εἰς Κόρινθόν ἐσθ᾽ ὁ πλοῦς,

ἀλλὰ τοῦ κυβερνητικωτάτου καὶ ἀγρυπνητικωτάτου, καὶ ᾧ πειθήνιοι μὲν οἱ ἐρέται, πειθήνιος δὲ ὁ πρῳρεύς, εἴκει δὲ αὐτοῦ τοῖς νεύμασι καὶ ὁ τῇ πρύμνῃ ἐπιστατῶν, κεῖνται δὲ οἱ κάλοι καὶ οἱ πρότονοι καὶ οἱ πόδες εὖ καὶ ἐπισταμένως διακεκριμένοι, ὥστε πρόχειροι εἶναι

239, 2 ἐξαίφνης A. ἐφεξῆς H. 25 σὺν δ᾽ A cum Homero Odyss. ε, 295. σὺν τ᾽ H. 27 ἐσθ᾽] ἔσται A.

πρὸς τὴν ἐπιοῦσαν χρείαν καὶ τὰς ἐμβολὰς τῶν πνευμάτων.

d Ὅπερ οὖν ἐν νηὶ κυβερνητικὴ τέχνη ἐστί, τοῦτο ἐν πόλει ἀρχικὴ ἀρετή. καὶ δεῖ ταύτην καὶ ἑκοῦσαν πείθεσθαι καὶ ἄκουσαν συναναγκάζειν, ὡς ἂν μὴ πόρρω ἀποσταίη τῆς τῶν κοινῶν ἐπιμελείας. ἀρετὴ δὲ εἰς τὰ κοινὰ ἑλκομένη καὶ φύεται μᾶλλον καὶ ἐκπονεῖται· ἀσκεῖται γὰρ ἀεὶ τὸ τιμώμενον, ἀμελεῖται δὲ τὸ ἀτιμαζόμενον. καὶ τηνικαῦτα δῆλόν ἐστι σοφῶς εἰρημένον τό, ἀρετῶσι δὲ λαοὶ ὑπὸ τῶν ἀγαθῶν βασιλέων. ταχεῖα
196 a γὰρ ἦν καὶ τῷ πλήθει πρὸς τὰ ἔντιμα ἡ ἐπίδοσις. τρέφει δὲ ἀρετὴν οὐ τιμὴ μόνον, ἀλλὰ καὶ μελέτη καὶ προσεδρεία, καὶ τὸ ἐνδιατρίβειν τῷ ἔργῳ ὃ προχειρίζεται. εἰ δὲ ἅμα τε ἀναβαίνοι ἐπὶ τὸ βῆμα καὶ ἀπαλλάττοιτο, ἐκλάμπουσα ἀκαρῆ καὶ σεμνυνομένη ὠκύμορον καὶ ἠλιτόμηνον κάλλος, οὐ πολλοὺς ἂν κινήσειεν ἐραστάς. χρὴ οὖν αὐτὴν ἐοικέναι δολιχοδρόμῳ μᾶλλον ἢ σταδιεῖ, καὶ μὴ πρώτῃ εὐθὺς νύσσῃ καταπαύειν, ἀλλ' ἐπιέναι πλείονας κύκλους. οὕτω γὰρ ἂν μᾶλλον ἐκφή-
b νειε τὴν δύναμιν καὶ τὴν ἀγλαΐαν. ὁρῶμεν δὲ καὶ τοὺς ἡνιόχους ὅτι ἐν χρόνῳ τοὺς ἵππους καταμανθάνουσι καὶ πρὸς ὅ τι ἔργον ἑκάστῳ χρηστέον.

Ἀνδρὶ δὲ πόλεις καὶ δήμους ἡνιοχοῦντι πλείονος δεῖ ἐμπειρίας τῶν ὑπηκόων, ἢ ἀνάγκη αὐτῷ ἔσται πολλάκις τὰ χαλινὰ ἐπαλλάττειν καὶ τὰς ἡνίας, καὶ τὰ μὲν πρόσω μὴ πάνυ ὁρᾶν, ὀπίσω δὲ ἀεὶ τετράφθαι τῇ γνώμῃ πρὸς τοὺς διώκοντας, ὁπότε ἐπιδραμόντες τοῦ δίφρου αὐτὸν ἐκβαλοῦσιν οὗ ἐπιβέβηκε. οὔτ' οὖν
c ἔργον ὑπάξεται ἀχρόνως ὃ χρόνου δεόμενον οἶδεν οὔτε δικάσει πρᾴως οὔτε εἰσπράξεται εὐμενῶς. τὸ γὰρ πρᾴως αὐτῷ πανταχοῦ ἡ σπουδὴ οὐ συγχωρήσει καὶ τὸ δέος

240, 4 πόλει ἀρχικὴ Harduinus. Vulgo πολιαρχικὴ. 8 ἀμελεῖται δὲ τὸ ἀτιμαζόμενον add. A. Conf. p. 204 a. 13 ὃ A. ᾧ H. 17 δολιχοδρόμῳ] δολιχοδρόμος λέγεται ὁ πεζοδρόμος, σταδιεὺς δὲ ὁ τὸ στάδιον ἀνύων. ἢ δολιχοδρόμος ὁ πολλοὺς κύκλους ἐλαύνων δρόμου. schol. A. 19 ἐπιέναι Harduinus. Vulgo ἐφιέναι. 29 ὑπάξεται] ἐπάξεται F. A. Wolfius.

τῶν κατὰ πόδας ἐπελαυνόντων. κολοβὰ οὖν καὶ ἀτελῆ
σύμπαντα τὰ τῶν τοιούτων ἀρχόντων ἐγχειρήματα καὶ
ἠλιτόμηνα ἀτεχνῶς, ἅτε καὶ αὐτῶν ἠλιτομήνων. δεῖ δὲ
οὔτε ἵππων οὔτε ὅπλων ὑμῖν οὕτως ἀκριβῶς ἐξητασμέ-
νων ὡς ἀνδρῶν, ὅσοι διαλαγχάνουσι τὰς τῶν θεῶν ἐπι-
τροπείας. θεῷ μὲν γὰρ οὔτε ὀφθαλμοὶ οὔτε ὦτα δια-
κονοῦνται οὔτε γνώμη σώματι ἐνδεδεμένη, ἀλλὰ πάρε-
στιν ἁπανταχοῦ, ὅλος ἄφετος καὶ ἀκώλυτος, τῷ κόσμῳ d
ἐπιστατῶν, οὗ βασιλεύει. καὶ διὰ τοῦτο αὐτῷ πολλὴ
ῥᾳστώνη καὶ βαίνοντι δι' ἀψόφου κελεύθου κατὰ δίκην
τὰ θνητῶν ἄγειν. ἀνθρώπῳ δὲ ἄρχοντι καὶ συνάρ-
χοντι σχεδὸν ἁπάσης γῆς καὶ θαλάσσης πολλὰ μὲν ὦτα
ὑπηρετοῦντα ἔχειν ἀνάγκη, πολλοὺς δὲ ὀφθαλμούς· ἢ
οὐκ ἂν ἄλλως ἐξαρκοίη πρὸς τὸ μέγεθος τῆς ἀρχῆς. χρὴ
οὖν μάλιστα ὑγιαίνειν τούτου τοὺς ὀφθαλμούς, *** ὅτι 197 a
χρὴ μάλιστα ὑγιαίνειν τὰς ἀκοὰς καὶ τὰ σὰ ὄμματα.
καὶ οὕτω δὴ πεφραγμένω ἄμφω πρός τε ἕω καὶ πρὸς
ἑσπέραν ἴσα βαίνοντε, φρονοῦντε, τὴν ἀγαθὴν ἅμιλλαν
ἁμιλλωμένω, ἐπανάξετον σὺν πολλῷ πόνῳ εἰς τὴν
προτέραν τάξιν τὴν Ῥωμαίων ἡγεμονίαν καὶ τὰ τραύ-
ματα ἐξακέσεσθον, ἃ τέτρωται πρὸ τῆς σφῷν ἐπιστα-
σίας, ὁρμηθέντες ἔνθεν καὶ ἔνθεν καὶ εἰσθλίψαντες εἴ
τι ἐν μέσῳ τοῦ δυσωνύμου καὶ ἀθεμίτου φύλου ἀπορ-
ραγὲν λείψανον ἐμμεμένηκεν. ἔχειν δὲ χρὴ θυμὸν ἀγα- b
θόν. Ῥωμαίων γὰρ οὔπω βάρβαροι κεκρατήκασιν, ἀλλὰ
τάξις ἀταξίας κρείττων ἐφάνη καὶ κόσμος ἀκοσμίας καὶ
θάμβους θαρραλεώτης καὶ τὸ εὐπειθὲς τοῦ δυσηκόου.
ταῦτα γὰρ τὰ ὅπλα, οἷς νικῶσιν ἄνθρωποι ἀνθρώπους.
ἀσπίδες δὲ ἐπίχρυσοι καὶ ἐπάργυροι καὶ λίθοι ἀστράπτον-
τες καὶ ἵππος σιδήρῳ ἠμφιεσμένη οὐχ ὅπλα ἄρα ἐστὶν,
ἀλλ' ἆθλα τῶν νικᾶν ἐπισταμένων.

Χρυσὸν δ' Ἀχιλεὺς ἐκόμισσε δαΐφρων.

καὶ οὐδὲν θαυμαστὸν τὰ τῆς ἀρετῆς ὅπλα ἐπικρατέστερα c

241, 10 δι' ἀψόφου κελεύθου A. διαφόρους κελεύθους H. Est ex Euripidis Troad. v. 887. 15 Indicavi lacunam. 21 ἐξακέσεσθον] ἐξακέσασθον A. 32 Χρυσὸν] Iliad. β, 875.

καὶ ἐγγυώτερα εἶναι ἂν δημιουργοῦσιν ἀσπιδοπηγοὶ καὶ χαλκοτύποι. τάξιν καὶ τόλμαν καὶ εὐπείθειαν εἰς τὴν φάλαγγα ὑμῖν ἐπανάκτεον, καὶ ταύταις ἐπανιούσαις συνεπανήξει εὐθὺς καὶ ἡ νίκη. ἀδελφαὶ γὰρ ἀλλήλων καὶ συστρατιώτιδες καὶ συναυλίζονται τὰ πολλὰ ἐν τοῖς στρατοπέδοις, καὶ σπάνιον εἴ ποτε ἀποσκηνοῖντο νίκη καὶ ἀρετή.

Λακεδαιμονίοις τοῖς πάλαι πολέμῳ πιεζομένοις ὑπὸ
d Μεσσηνίων ἀνεῖλεν ὁ θεὸς συμμαχίαν αἰτεῖσθαι Ἀθήνηθεν. πρεσβευσαμένοις δὲ τοῖς Λάκωσιν οἱ Ἀθηναῖοι καὶ συμμαχίαν τὴν πυθόχρηστον αἰτησαμένοις οὐχ ὁπλίτας ἔδοσαν οὐδὲ ἱππέας οὐδὲ μὰ Δία ψιλοὺς ἢ γυμνῆτας, ἀλλὰ Τυρταῖον τὸν ποιητήν. ᾔδεσαν γὰρ ἅτε σοφοὶ ὄντες Ἀθηναῖοι τοῖς μὲν σώμασι Λακεδαιμονίους Μεσσηνίων οὐχ ἡττωμένους, θάρσει δὲ καὶ προθυμίᾳ βελτίους γίνεσθαι καὶ ἰσαρίθμους ἰσαρίθμων καὶ πολλῷ
198a ἐλάττους πλειόνων, ὥσπερ αὐτοὶ οὗτοι οἱ Λάκωνες τετρακόσιοι ὄντες οὐκ εἶξαν μυριάσι βαρβάρων ἀναριθμήτοις, οὐ Λούκουλλος Τιγράνῃ, οὐδὲ Πομπήιος Μιθριδάτῃ οὐδὲ Καῖσαρ Γαλάταις οὐδὲ ἱππάρχων Σαυρομάταις. ἀναστῆσαι δὲ τούτους ἐπτηχότας καὶ ἀνεγεῖραι αὐτῶν τὰ φρονήματα καὶ πρὸς τὸν ἀρχαῖον ζῆλον ἀναγαγεῖν ἱκανὸς μὲν ἦν καὶ Τυρταῖος, ἱκανωτέρα δὲ φιλοσοφία.

Ἤδη γάρ ποτ᾽ ἐγὼ καὶ ἀρείοσιν ἠέ περ ὑμῖν —

Ἤδη γάρ ποτ᾽ ἐγὼ καὶ ἄλλοισιν βασιλεῦσι
πολλάκις ὡμίλησα· καὶ οὔ ποτέ μ᾽ οἵ γ᾽ ἀθέριζον,

ἀτὰρ δὴ καὶ τῷ σῷ ἀρχηγέτῃ. καί μοι ἔδοξεν ὑπερφυῶς
b ὁ νεανίας τά τε ἄλλα ἀγαστὸς εἶναι καὶ ἐξεταστὴς τοῦ ὁμοίου, ὅς γε οὐκ ἐν αἵματος ἀγχιστείᾳ τίθεται τὸ ξυγγενές, ἀλλ᾽ ἐν τρόπου φιλαληθείᾳ. ὥστε εἰ μὴ τῷ κάλλει τοῦ σώματος διηλλάττετον, κατά γε τὸ κάλλος τῆς ψυχῆς ἑνὶ ἂν ἔφην βασιλεῖ ἐντετυχηκέναι, πρός τε

242, 1 ἐγγυώτερα] ἐχεγγυωτέρα πραότης dixit orat. XXXIV. p. 60. ed. Mai. 6 ἀποσκηνοῖντο] ἀποσκηνοῖτο A. 9 Μεσσηνίων] Vulgo Μεσηνίων hic et infra. 17 οὗτοι add. A. 19 οὐδὲ Πομπήιος — Γαλάταις add. A. 23 ἱκανωτέρα] ἱκανώτερος A. 25 Ἤδη] Iliad. α, 260. 28 ἀγαστὸς A. ἀγαθὸς H.

τῷ Ῥήνῳ καὶ πρὸς τῷ Τίγρητι. τῷ τοι διατέτασθον ἐκ τοῦ Ὠκεανοῦ πρὸς τὸν Τίγρητα καὶ ἐκ τῆς ἑσπέρας εἰς ἕω ὥσπερ κέρας ἐν Ἀμαλθείας, μία ψυχὴ καὶ μία γνώμη, ἐν ξυνωρίδι αὐτοκρατόρων, ᾗ καὶ ὁ παρήορος ἀκολουθήσει, ζωοδόται καὶ ὀλβοδόται, ἐφάμιλλοι ἀγωνισταὶ φιλανθρωπίας. ἀλλ', ὦ ἀγαθοί, τὴν λήμην c ὑμῶν ἀφαιρετέον ἧς χορηγεῖτε κηδεμονίας, ὅση ὑποβέβηκεν ἔτι καὶ ἐγκάθηται δυσθανατῶσα. λέγω οὖν παραστησάμενος τὸν Τυρταῖον καὶ τὸν Τυρταίου μεγαλοφωνότερον Ὅμηρον·

Ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι
δεινόν, ὃ οὔποτ' ἔγωγε τελευτήσεσθαι ἔφασκον,
Τρῶας ἐφ' ἡμετέρας ἰέναι πόλεις, οἳ τὸ πάρος περ
φυζακινοῖς ἐλάφοισιν ἐῴκεσαν. d

καὶ

Ἀτρείδη, σὺ δὲ ὡς πρὶν ἔχων ἀστεμφέα βουλήν,
ἄρχευ Ἀργείοισι κατὰ κρατερὰς ὑσμίνας.

παράγγελλε δὲ ἐξ Ὁμήρου μὲν τοῖς στρατιώταις,

Εὖ μέν τις δόρυ θηξάσθω, εὖ δ' ἀσπίδα θέσθω·

ἐκ φιλοσοφίας δέ, ὅτι θηξάσθω μὲν καὶ τὸ δόρυ εὖ, 199 a θηξάσθω δὲ πρὸ τοῦ δόρατος τὸν θυμόν, καὶ θέσθω μὲν εὖ τὴν ἀσπίδα, θέσθω δὲ πρὸ τῆς ἀσπίδος τὴν εὐψυχίαν. καὶ ταῦτα παραγγέλλων καὶ παρεγγυῶν,

Ἐξελάσεις ἐνθένδε κύνας κηρεσσιφορήτους
οὓς κῆρες φορέουσι,

καὶ οἴσουσ' ἐπὶ τὸν Ἴστρον,

Ὄφρα τις ἐρρίγησι καὶ ὀψιγόνων ἀνθρώπων
ξεινοδόχον κακὰ ῥέξαι, ὅ κεν φιλότητα παράσχῃ. b

243, 1 διατέτασθον] διατέτακτον A. . . . 4 ὁ παρήορος A. ὁ om. H. 6 ἀλλ', ὦ ἀγαθοί —] „Hortatur Augustos ut reliquias barbarorum, Romano imperio adhuc inhaerentes, tollant haud secus ac λήμην, i. e. gramiam aut glamam ex oculis. Notum Periclis dictum de Aegina insula.“ Iacobsius. 7 ὑμῶν A. ἡμῶν H. 11 Ὦ] Iliad. ν, 99. 16 Ἀτρείδη] Iliad. β, 344. 19 Εὖ] Iliad. β, 382. 24 Ἐξελάσεις] Iliad. θ, 527. 27 Ὄφρα] Iliad. γ, 353.

XVI.

ΧΑΡΙΣΤΗΡΙΟΣ ΤΩΙ ΑΥΤΟΚΡΑΤΟΡΙ ΥΠΕΡ ΤΗΣ ΕΙΡΗΝΗΣ ΚΑΙ ΤΗΣ ΥΠΑΤΕΙΑΣ ΤΟΥ ΣΤΡΑΤΗΓΟΥ ΣΑΤΟΡΝΙΝΟΥ.

c *Πολλάκις ἐβουλευσάμην κατ' ἐμαυτὸν ὅτι μοι καὶ τοῦ σώματος πεπονηκότος καὶ τοῦ γήρως ἐπιδιδόντος καταθετέον ἤδη τὴν πινακίδα καὶ ἀφεκτέον τοῦ διοχλεῖν ἔτι τὰς βασιλέως ἀκοὰς ἐπὶ τοῖς λόγοις. καὶ γὰρ εἴ τινα χρὴ αὐτῷ γενέσθαι παρὰ φιλοσοφίας συντέλειαν, αὐτὴ προεκτέτισται ἱκανῶς. ἀλλ' ἐπειδὴ τῆς ἡμέρας ἐκείνης αὐτόπτης κατέστην, ἐν ᾗ τὴν εἰρήνην εἰσῆγεν, ὥσπερ ἐν τελετῇ ἀψοφητὶ καὶ ἀπραγμόνως, ἤδη παντελῶς δυσελπιστοῦσι καὶ παρέδωκε τοὺς βαρβάρους ἐξισταμένους ἐθελοντὰς τοῦ σιδήρου, καὶ ταῦτα εἴδομεν ὕπαρ καὶ ἐναργῶς, ἃ τέως ἐπὶ τῶν πινάκων γράφοντες ἐγενόμεθα,*
d *οὐχ οἷός τέ εἰμι κατέχειν ἐμαυτόν, οὐδὲ τὸ γῆρας αἰσχύνομαι, κατ' Εὐριπίδην μέλλων χορεύειν. καὶ γὰρ ἂν σχέτλιον εἴη ἀντέχοντι μὲν ἔτι πρὸς τοὺς πολεμίους ἐπικελεύεσθαι, κρατήσαντα δὲ μὴ στεφανοῦν, καὶ πραγματευόμενον μὲν τὴν εἰρήνην τεθαυμακέναι, τοὔργον δὲ ἐπιθέντος ὀλιγωρεῖν, ὥσπερ εἴ τινα ἐν τοῖς σταδίοις ἀγωνιστὴν προσμαχόμενον μὲν ἐν τῇ κονίστρᾳ τοῖς ἀν-*
200 a *τιπάλοις ἐπῄνουν, καταβαλόντα δὲ καὶ κρείττω γεγενημένον κηρύττειν ἀπώκνουν.*

244, 6 ἔτι A. εἰς H. 16 *Εὐριπίδην*] Bacchar. v. 204. 20 *ἐπιθέντος*] *ἀποδόντος* F. A. Wolfius. *τοῖς σταδίοις — κονίστρᾳ* add. A.

Ἤδη δὲ ἐπὶ τούτοις προθυμουμένῳ προσάγειν τὴν χεῖρα τῷ γραμματείῳ καὶ ἀναπειρᾶσθαι, εἰ ἐμοὶ τοῦ λέγειν ἡ δύναμις τοσούτῳ κλύδωνι τοῦ σώματος παραμεμένηκεν, ἐπάγει βασιλεὺς ἑτέραν γλυκεῖαν ἀνάγκην, τὸν στρατηγὸν ἀνειπὼν εἰς τὴν ἐπώνυμον τοῦ ἔτους ἀρχήν· ᾧ πάλαι μὲν ὑπόχρεως ἦν, καιρὸν δὲ ἐζήτουν ἐπιτήδειον τῆς ἐκτίσεως, οὐ κατὰ μόνον τὸ κοινὸν ὄφλημα τῶν λόγων, ὃ τοῖς ὅπλοις ὀφλισκάνουσι δικαίως προβεβηκόσιν αὐτῶν καὶ προασπίζουσιν, ἀλλ' ἦν ἄρα b
καὶ τἀμὰ ἴδια πλείω καὶ πλεῖν ἢ τριάκοντα ὅλων ἐπ' αὐτῶν χρέως ηὐξημένον. ἄρτι τε γάρ ἀρχόμενον παριέναι εἰς τὰ βασίλεια ἐξενάγει καὶ γνώριμον ἤδη γεγενημένον συνεπηνώρθου, καὶ τὰ τελευταῖα ταυτα ἐπὶ τῆς εὐδαίμονος ταύτης ἀρχῆς οὔτε μέγα οὔτε μικρὸν ἐκλέλοιπε, συμπροθυμουμένου βασιλέως τε καὶ τοῖς πολλοῖς ἐντιμότερον καταστῆσαι. καὶ δῆτά μοι δεινὸν κατεφάνη τὴν μὲν βουλὴν εὐθὺς εἰσελθοῦσαν, ἡνίκα αὐτὸν ἀνεῖπεν ὁ αὐτοκράτωρ, δοῦναι τὰ πρέποντα χαριστήρια, c
ἡμᾶς δὲ καὶ τότε ἄκοντας ἐλλείπειν καὶ νῦν ἑκόντας ἀποκνήσασθαι, ἀλλὰ μὴ δι' ἑνὸς τοῦ παρόντος λόγου καὶ τὸν στρατηγὸν ἅμα ἐπαινέσασθαι καὶ πολλῷ μᾶλλον τὸν βασιλέα. ὅταν γὰρ ὁ λαβὼν ἄξιος φαίνηται τῶν τηλικούτων, θαυμαστὴ τοῦ διδόντος ἡ ψῆφος, καὶ τὸ δικαίως τιμῆς τυχεῖν μείων ἔπαινος τοῦ τετυχηκότος ἢ τοῦ διδόντος.

Εἴσεισι δὲ νῦν ἡ βουλὴ δι' ἡμῶν καὶ τοῖς ἐπὶ καιροῦ τότε ῥηθεῖσι προστίθησι τὰ ἐκ τῆς σχολῆς. τὴν γὰρ ἡμετέραν φωνὴν τῆς γερουσίας φωνὴν νομιστέον. d
οὐ γὰρ ἐπ' ἄλλῳ τῳ προΐσταται ἡμῶν ἢ ἐπὶ τοῖς λόγοις· ὥστε τὰ μὲν ῥήματα ἴσως ἐμαυτοῦ φθέγγομαι, ἡ γνώμη δὲ κοινὴ καὶ τῶν ἀκουόντων ἐστίν, ἣν μίαν

245, 11 χρέως add. A. ηὐξημένον A. ηὐξημένα H.
14 οὔτε μέγα] Vulgo οὐ μέγα. 15 τε] ὥστε Harduinus. τε καὶ Reiskius. „Fort. τούτῳ τε, et imperatori et populo." Iacobsius.
24 μείων F. A. Wolfius. Vulgo μείζων. οὐ μείζων Harduinus.
26 ἐπὶ καιροῦ Harduinus. Vulgo Ἐπικούρου.

ἥκοντες ἅπαντες εἰσεληλύθαμεν. λέγεται μὲν οὖν παρὰ πολλῶν ὡς λόγος ἐστὶν ἔργου σκιά καὶ οὐδαμῶς ἀντίρροπον χαριστήριον· ἐγὼ δὲ ὅταν ἴδω τὸν περιεστῶτα
201 a χορὸν καὶ τὸν τοῦ χοροῦ προκαθήμενον, οὐκ αὐτῷ μόνῳ φαίην ἂν τῷ μέτρῳ, ἀλλὰ πολὺ καὶ λῷον ἀποδιδόναι. οὐ γὰρ σύλλογόν τινα παντοδαπῶν ἀνθρώπων συναγαγὼν οὐδὲ εἰς θέατρον ἀποπεμπόμενον εἰσφρήσας, ὥσπερ τις ῥήτωρ ἢ σοφιστής, περαίνων τὸ
d προκείμενον, ἀλλ' ἱερὸς μὲν ὁ λόγος, ἱερὰ δὲ ἡ ποιήσασα τέχνη τὸν λόγον, ἱερὸς δὲ ὁ νεώς, εἰς ὃν ἐληλύθαμεν· Ζεὺς δὲ βασίλειος ἀκροατὴς καὶ μετὰ τοῦ Διὸς αὐτὸς βασιλεὺς καὶ πᾶσα ἡ μετ' αὐτὸν δορυφορία. ἀρχαὶ μὲν αὗται ἀεὶ μέγισται πάρεισι καὶ ἐφάμιλλοι·
b ξυνωρὶς δὲ τῶν στρατηγῶν, ὧν ὁ μὲν ξυγχωρεῖ τοῖς πρεσβείοις τῆς ἡλικίας καὶ νενόμικεν ἐνέχυρον τῆς αὐτοῦ τιμῆς τὴν τοῦδε προειληφυῖαν, τῷ δὲ οὐκ ἀπ' ἐλπίδος ἐστὶ τὸ ἔπαθλον· δίκη δὲ πάρεδρος βασιλείας καὶ κόσ-
c μος τῆς αὐλῆς καὶ μεγαλοδωρίας χορηγοὶ καὶ μεγαλοπρεπείας ταμίαι. ἐπὶ τοιούτου μὲν τοῦ κορυφαίου, τοιούτου δὲ τοῦ θεάτρου, ἐκ φιλοσοφίας δὲ εἰσιόντος τοῦ χαριστηρίου, ἧς καὶ αὐτοὶ βασιλεῖς ἐν μεγάλῳ ποιοῦνται τὰ ἀναθήματα, οὐ μικρὰν ἔτι τὴν ἀντίδοσιν ὑπο-
c ληπτέον οὐδὲ ἐνάριθμον ταῖς λοιπαῖς οὐδὲ χρυσίου πάρισον ἢ ἀργυρίου ταλάντοις οὐδὲ ἵππων ζεύγεσι πολυτιμήτοις. οὐδὲ γὰρ ὁ τὴν ἵππον τὴν Αἴθην δωρησάμενος Ἀγαμέμνονι Σικυώνιος Ἐχέπωλος τοῦ λειποστρατίου οὐδὲ Κινύρας ὁ τὸν θώρακα ἀοίδιμον αὐτοῦ τὴν
b στρατείαν ποιοῦσιν, ἀλλ' Ὅμηρός ἐστι δι' ὃν παρέστηκεν ἔτι τῶν πράξεων ἐκείνων ἀκραιφνὴς καὶ ζῶσά ἡ μνήμη.

Εἰ δὲ σεμνὸν ἦν Ἀλκιβιάδῃ καὶ Περικλεῖ καὶ Θε-
d μιστοκλεῖ τὸ στεφανοῦσθαι Ἀθήνησιν ἐν τῷ θεάτρῳ

246, 4 αὐτῷ — τῷ μέτρῳ] Imitatio versus Hesiodei Ἔργ. 357. cuius alia exempla collegit Iacobsius in Wolfii Anal. vol. I. p. 250. 6 παντοδαπῶν] τουτέστι περιωνυμημένων gl. A. 7 ἀποπεμπόμενον] ἤγουν μισούμενον gl. A. 13 ἀεὶ] αἱ Iacobsius. 20 τοιούτου δὲ] τοσούτου δὲ A.

ὑπὸ κήρυκι δημοσίᾳ καὶ μάρτυρα ποιεῖσθαι τὸν Ἄρειον πάγον ἢ τὴν βουλὴν τῶν πεντακοσίων ἢ τὸν ἀνεξέταστον δῆμον, πῶς οὐ μεῖζω πολλῷ καὶ σεμνότερον τὸν ἁπάντων κύριον καὶ προστάτην καὶ λόγων καὶ ἔργων μάρτυρα ποιεῖσθαι καὶ ἀκροατὴν τοῦ παρὰ φιλοσοφίας κηρύγματος, μᾶλλον δὲ αὐτὸν πρῶτον προηχοῦντα καὶ προεκλάμποντα, ὥσπερ τὴν ἀγαθὴν τύχην προγράφουσι τῶν ψηφισμάτων. αὐτὴν γὰρ δὴ τοῖς λόγοις τούτοις τὴν 202 a
ἀφορμὴν τίς ἄλλος δέδωκεν ἢ βασιλεύς; τίς δὲ ὑπέμνησεν ὑμᾶς τῶν ὀφειλομένων τῷ στρατηγῷ χαριστηρίων; οὐχ ὁ πρῶτος ἐκτίσας τῷ ἀνδρὶ τὰ χαριστήρια; ἀρετὴν δὲ ἀμείβεσθαι ἐπαξίως μόνης βασιλείας καὶ φιλοσοφίας ἐστίν. ἐλευθέρα γὰρ παρὰ τούτων καὶ ἀδέκαστος ἡ μαρτυρία. αἱ δὲ ἐν χρήμασι καὶ ῥήμασι κομψευομέναις ἀγεννεῖς ἅπασαι κολακεῖαι καὶ ἄπιστοι καὶ ὕποπτοι τοῖς ἀκούουσιν. οὗτος δὲ Ὀλυμπιακὸς ἀτεχνῶς κότινος καὶ b
ὁ στέφανος παρὰ τῷ Πισαίῳ Διί. οὐ γὰρ θέμις ψευδῶς τι καταχαρίσασθαι οὔτε τῷ κρατοῦντι τῶν ὅλων οὔτε τῷ διώκοντι τὴν ἀλήθειαν. καὶ ὁ τοιαύτης τυχὼν τῆς ἐργασίας κατὰ τὸν Ὁμηρικὸν ἀστέρα λαμπρὸν παμφαίνησι καὶ ἀρίζηλοι αὐτοῦ αἱ αὐγαί. καὶ οὐκ ἂν αὐτὰς ὑποδράμοι οὔτε ζόφος οὔτε νεφέλη, ἀλλὰ διωθεῖται τὴν λήθην μᾶλλον ἢ τὴν ἀχλὺν ὁ μέγας ἥλιος.

Ὅμηρος μὲν οὖν ἐρωτῶν τὰς Μούσας, ὅστις ἄριστος ἦν τῶν Ἑλλήνων, εἶτα οὐκ ἀποτόμως ἀποφαινό- c
μενος τὰ δοκοῦντα, ἀλλ' ἐξελόμενος τὸν Ἀχιλλέα διὰ τὴν μῆνιν, καὶ τὰ πρῶτα δοὺς ἀντὶ δευτερείων τῷ Αἴαντι, ἀμφίβολον πεποίηκεν αὐτοῦ τὴν ψῆφον. πλὴν δὲ καὶ περὶ τῶν ἵππων τὴν αὐτὴν μηχανὴν ἀποδιδοὺς μὲν ταῖς Εὐμήλου τὰ ἀριστεῖα, τῶν δὲ τοῦ Πηλέως μὴ ἀφαιρούμενος. βασιλεὺς δὲ οὐκ ἐπισκοτήσας τῇ ψήφῳ οὐδὲ λοξὴν καὶ ἀμφίβολον ἐνεγκών, ἡνίκα ἐχρῆν τὸν ἄριστον ἀνειπεῖν, ἀνεῖπεν ὃν οἴεται λαμπρᾷ τῇ φωνῇ. καὶ τό γε διαφέρον τῆς ἀναρρήσεως· ἀνθ' ἑαυτοῦ γὰρ d

---

247, 13 παρὰ τούτων add. A. 17 Πισαίῳ] Vulgo Πισσαίῳ. 20 λαμπρὸν A cum Homero Iliad. ε, 6. λαμπρῶς H.

αὐτὸν ἀνεκήρυξε καὶ μετέθηκε τὴν αὐτῷ προσενηνεγμένην τιμὴν ὑπὸ τοῦ κοινωνοῦ τῆς βασιλείας εἰς τὸν ἰδιώτην, αὐτῷ μὲν ἐπ' ἐξουσίας κεῖσθαι τὸ γέρας τοῦτο πεπιστευκώς, ζητῶν δὲ ὅπως ἂν ὃ μηδεὶς πώποτε ἐδωρήσατο βασιλεὺς τῷ λίαν ὑπ' αὐτοῦ τιμηθέντι, τοῦτο αὐτὸς φανείη καὶ ἐξευρὼν καὶ δωρησάμενος.

203 a Ὑπατείαν μὲν οὖν δὴ πολλοὺς αὐτοκράτορας πολλοῖς τῶν ὁμοτίμων ἴσμεν παρεσχημένους, ὑπατείαν δὲ τὴν αὐτῷ λαχοῦσαν μεταθέντα εἰς ἕτερον οὐδένα πλὴν αὐτοῦ. ὥστε εἴ τις τοσούτῳ μείζω ταύτην εἶναι φαίη τὴν τιμὴν τῶν ἐπὶ ταὐτοῦ σχήματος καὶ ὀνόματος, ὅσῳ βασιλεὺς ἰδιωτῶν, οὐκ ἂν πλημμελοίη, καὶ τοσούτῳ σεμνοτέραν εἶναι καὶ γεραρωτέραν, ὅσῳ τῆς ἁπλῶς
b διδομένης ἡ μετὰ τοιαύτης ἀπαλλαγῆς διενήνοχεν. οὐδένα γὰρ εὑρήσομεν ἐκ τοῦ παντὸς αἰῶνος ἰδιώτην βασιλεῖ παρεσκευασμένην τιμὴν ὑποδύντα. ὅθεν, οἶμαι, καὶ τὴν τάξιν τῶν ὀνομάτων ἀμήχανον βιάσασθαι, κἂν βουλώμεθα, ἀλλὰ πρότερος ὁ λαβὼν τὴν τοῦ προτέρου. ὦ θαυμαστὰ βασιλεῦ ἐπινοήσας καὶ λόγου κρείττω. οἷς γὰρ ὑπερεῖδες θαυμαστὸς ὤν, οἷς μετέδωκας ἐφάνης θαυμασιώτερος.

Ἀλέξανδρος τοίνυν ὁ Μακεδὼν ἐρωτηθεὶς ὅπου
c τοὺς θησαυροὺς ἔχει τοὺς τῶν χρημάτων, τοὺς φίλους δείξας, εἶπεν, ἐν τούτοις. σὺ δὲ τὰς τιμὰς τάς σοι προσηκούσας ἐν τοῖς φίλοις θησαυρίζειν ἐπινοεῖς καὶ διδοὺς μᾶλλον περιποιῇ. τιμὴ γὰρ οὐκ ἀναλίσκεται ὥσπερ χρυσίον, ἀλλ' εἰ διδῷτο ἐξητασμένως, ἀπείρως παραμένει καὶ τῷ δόντι καὶ τῷ λαβόντι, καὶ τῷ μεῖζόν τι παραδόντι ὅσῳ καὶ τὸ διδόναι τὰ μέγιστα τοῦ λαμβάνειν μακαριώτερον. μεγίστη δὲ τῶν ἀνθρωπίνων τιμῶν ὑπατεία, ἣ καὶ τοῦ χρόνου γίνεται μέτρον. ἄνευ
d δὲ ταύτης ἀνώνυμος καὶ ἀόριστος ὥσπερ ἐπισήμου χωρὶς πρωϊών.

248, 13 σεμνοτέραν εἶναι A. εἶναι om. H. 19 λόγου A. λόγῳ H. 27 διδῷτο A. διδῶται H. 28 καὶ τῷ μεῖζόν τι παραδόντι] καὶ τοσούτῳ μεῖζον τῷ δόντι?

Τούτῳ τῷ μέτρῳ συναριθμήσεται τοὔνομα τοῦ σοῦ στρατηγοῦ καὶ μετὰ τοὺς ἀφ᾽ αἵματος συγγενεῖς ὁ ἐκ τῆς ἀρετῆς καταλεγήσεται. τὴν γὰρ τοῦ γένους ἀγχιστείαν πρώτην τιμήσας, τὸν πατράδελφον λέγω καὶ τὸν κηδεστήν, οὐκ ἔδωκας διάστημα μεταξύ, ἀλλὰ συνάψας οἰκειότητι ἀνδραγαθίαν, ἔργῳ φανερὸν κατέστησας ὅτι τῷ κρατοῦντι τῶν ὅλων οὐχ ἧττον ἔντιμον εἶναι προσήκει τὸ κατ᾽ ἀρετὴν ὑπερέχον τῶν κατὰ γένεσιν ἐγγυτάτω, καὶ μὴ τὸν οἰκεῖον ἄριστον ὑπολαμβά- 204 a νειν, ἀλλὰ τὸν ἄριστον οἰκειότατον. οὕτω γὰρ πρὸς τὸν ὅμοιον ἐκκαλέσεται ζῆλον τοὺς πλείονας. ἀσκεῖται γάρ, φησὶν ὁ θεσπέσιος Πλάτων, τὸ τιμώμενον, τὸ δὲ ἀτιμαζόμενον ὀλιγωρεῖται. ἀλλὰ συγγενείας μὲν ἐπίδοσις οὐκ ἔστι καὶ μελέτη, καὶ τὴν τιμὴν ἀπολαμβάνουσα τὴν οἰκείαν οὐ φύεται μᾶλλον καὶ εὐθηνεῖται· καὶ ἀδελφόν τις αὐτοῦ τιμήσας ἢ γαμβρὸν ἢ παῖδα οὐ ποιεῖ πλείονας ἀδελφοὺς οὐδὲ κηδεστὰς οὐδὲ υἱεῖς, ἀλλ᾽ d ἐν τῷ ἀριθμῷ διαμένουσι τῷ δοθέντι παρὰ τῆς φύ- b σεως. ἄνδρα δὲ ἀγαθὸν ἐπάρας καὶ ἐνδοξότερον καταστήσας εὐθὺς ποιεῖ πλῆθος τῶν τὰ ὅμοια διωκόντων.

Ὅτι δὲ ταῦτα οὐχ ἡμεῖς σοφιζόμεθα, ἀλλὰ προλαβὼν αὐτὸς γινώσκεις, ἐναργὲς πάρεστι δεῖξαι τεκμήριον. ἐξὸν γάρ σοι, εἴπερ οὐκ ἐδοκίμαζες εὔκαιρον εἶναι σαυτῷ τὴν τιμήν, προχειρίσασθαι τὸν ἀγαπητὸν λαμπτῆρα τῆς οἰκουμένης, ὃν ἐγὼ ποιήσαιμι Ἀλέξαν- c δρον καὶ θρέμμα αὖθις αὐχήσειε τοιοῦτον φιλοσοφία, τοῦτον ἐξὸν ἀνθ᾽ ἑαυτοῦ προβαλέσθαι, ὃ καὶ τοῖς πάλαι καὶ τοῖς ἔναγχος τῶν αὐτοκρατόρων νενομισμένον ἐστίν, ὥσπερ τι προοίμιον τῆς μελλούσης ἀρχῆς περιτιθέναι τοῖς αὐτῶν παισὶ πρὸ τῆς πορφύρας τὴν περιπόρφυρον· καὶ οὐ παλαιὰ μνημονεύσομεν, ἀλλὰ σχεδὸν χθὲς καὶ πρώην, ὁ μὲν ἐν τοῖς σπαργάνοις τὴν τήβεννον ἠμφιάσατο, ὁ δὲ μόλις ἡλικιώτης τῷ φωστῆρι b τῷ ἡμετέρῳ· καὶ οὐδεὶς ἂν πρὸς τοῦτο ἐνεμέσησεν οὐδὲ d

240, 1 μέτρῳ — στρατηγοῦ καὶ add. A. 12 ποιεῖ A. ποιεῖται H. 30 τὴν περὶ πόρφυρον (sic) add. A.

ἐμάθομεν; ταῦτ' οὖν ἅπαντα ἐξὸν οὐ προείλου; οὐδὲ ἐπειδὴ σαυτῷ βελτίω καιρὸν τῆς τιμῆς ταύτης ἐζήτησας, ἥρπασας εἰς τὸν παῖδα αὐτὴν ἀπειροκάλως, ὥσπερ ἀπιστῶν εἰ μετὰ ταῦτα ἔσται ταὐτὸ τοῦτο δρᾶσαι ἐπ' ἐξουσίας, ἀλλ' ἔχων ἐν ὀφθαλμοῖς υἱὸν ἀγαπητὸν, ἤδη παῖδα, ἤδη μειράκιον, ἤδη φθεγγόμενον ὁλοκλήρως, τάχα οἷόν τε καὶ δημηγορῆσαι, ὦ τῆς καρτερίας· ἡττήθης μᾶλλον τῆς ἀρετῆς ἢ τῆς φύσεως. οὕτω καὶ ὁ
205 a σὸς πρόγονος καὶ ἀρχηγέτης, παῖδες μὲν οὐκ ἦσαν αὐτῷ, παῖδες δὲ ἀδελφῶν καὶ ἀδελφιδῶν· ἀλλ' ὅμως οὐδένα ἐκείνων τῆς εὐνοίας Λυσίου προετίμησεν, ἀλλ' οὐδὲ Ῥωμαῖον ὄντα τὸν ἄνδρα, ἀλλ' οὐδὲ Λίβυν ἐκ τῆς ὑπηκόου Λιβύης, ἀλλ' ἐξ ἀδόξου καὶ ἀπῳκισμένης ἐσχατιᾶς, ἐπειδὴ Μάρδυς κατεστρατήγησεν, ἀπέδειξε πρότερον ὕπατον, εἶτα τῆς βασιλείας διάδοχον κατεστήσατο. οὕτω τοῖς τότε ἦν αὐτοκράτορσι περὶ πολλοῦ
b μηδεπώποτε ἀποστερεῖν τῶν προσηκόντων ἄθλων τὴν ἀρετήν. τὰ γὰρ ἐξ Ὁμήρου παραδείγματα ὡς ξένα παραιτοῦμαι καὶ λίαν ἀρχαῖα, ὅτι τὸν Αἴαντα αὐτῷ Ἀγαμέμνων ἀεὶ προτιμᾷ τοῦ Μενέλεω καὶ συνεστιωμένου τοῦ ἀδελφοῦ τὸν στρατηγὸν ἐπίπροσθεν ἄγει.

Μεγάλη μὲν οὖν καὶ ἐκ τούτων ἡ παροῦσα τιμή, μείζων δὲ ἐξ ὧν ἀκούσεσθε. εἰωθότων γὰρ ἀεὶ τῶν πρότερον αὐτοκρατόρων ὥσπερ ἀπώμοτον ὑπολαμβάνειν
c τὸν κύκλον τῆς πεντάδος ἢ τῆς δεκάδος ἑτέρῳ συγχωρεῖν τὴν ἐπωνυμίαν τοῦ ἔτους, ὅδε καὶ ταύτην αὐτῷ προσέθηκε τὴν ὑπεροχὴν καὶ δίδωσι τὴν ὑπατείαν οὐ συναριθμουμένην ταῖς ἄλλαις, ἀλλ' ἔχουσαν τοσοῦτον πλέον ὅσον ἡ παροῦσα πενταετηρὶς τῶν προλαβόντων ἐνιαυτῶν· καὶ τὸ μηδενὶ πρόσθεν ὑπάρξαν, πεπολίτευται ἰδιώτης κύκλου βασιλικοῦ· καὶ οὐδὲ τοῦτο ἁπλῶς, ἀλλὰ τοῦ πρώτου, καὶ διότι πρώτου, ἀσπα-
d στοῦ. ὃν τοίνυν ἀνθ' ἑαυτοῦ πεποίηται, ὃν αὐτὸς ἂν ἐν τῇ πρώτῃ περιόδῳ τῆς βασιλείας, πῶς οὐ ζηλωτής, νικῶν

250] 19 αὐτῷ A. αὐτὸς H. — 30 τὸ μηδενὶ A. τὸ om. H.

ἀριθμῷ τοσούτῳ τοὺς ἐπὶ τῆς αὐτῆς τιμῆς γεγενη- b μένους;

Καὶ ταῦτα ἅπαντα εἰκότως συμβαίνει. μόνῳ γὰρ αὐτῷ σχεδὸν τῶν νῦν λαμπρῶν καὶ περιβοήτων οὐδὲ ὁ πᾶσιν εἰωθὼς προσυλακτεῖν φθόνος τοῖς ἐν ὑπεροχῇ δυνάμεως ἐπανίσταται, ἀλλὰ συγχωρεῖ καὶ σύμψηφός ἐστι τῇ τῶν τιμῶν ἀκολουθίᾳ. οὐ γὰρ μακρὰ ἀναπη- 206 a δήσας οὐδὲ ἐξ ὀλίγου καὶ χθαμαλοῦ ἐξαίφνης ὑψηλὸς γεγονὼς „οὐρανῷ ἐστήριξε κάρη“, ἀλλ' ὥσπερ ἐν τοῖς διαγράμμασι γεωμετρίας τὸ δεύτερον ἕπεται τοῦ προτέρου, τὸ δὲ τρίτον ἀμφοῖν, τοῦ προλαβόντος δὲ ἀεὶ τὸ ἐχόμενον τελειότερον, μεταξὺ δὲ οὐκ ἔστι χώρα κενὴ τῆς ἐπιστήμης, οὕτω καὶ τιμαὶ τἀνδρὸς ἐφεξῆς ἀλλήλαις καὶ συνεχεῖς καὶ τῆς προτέρας ἡ δευτέρα ἀεὶ σεμνοτέρα. ἐλλιπὲς δὲ οὐδὲν εἶδος στρατιωτικῆς ἡγεμονίας, οὐδ' ἂν ἔχοι τις ὄνομα ἐξευρεῖν σεμνόν, ὃ μὴ ἐν τοῖς ὅπλοις ὑπερβέβηκε. τοῖς δὲ οὕτω πορευθεῖσι διὰ b τῆς τύχης καὶ ἀνελθοῦσιν ἐκ τῶν προπόδων ἀτρέμα ἐπὶ τὴν κορυφὴν φθόνος οὐκ ἀπαντᾷ, ἀλλ' ὅταν Ἀγο- d ράκριτος εὐπραγῇ καὶ Ὑπέρβολος ἢ Δημάδης, ἐπιρραπίζει καλῶς ποιοῦσα καὶ ἡ κωμῳδία·

Ὁ χθὲς μὲν οὐδείς, αὔριον δ' ὑπέρμεγας.

βαρὺ γὰρ πᾶσι τὸ παράλογον, πρὸς δὲ τὸ λίαν ἀκόλουθον οὐδεὶς ἀγανακτεῖ. ἐπεὶ καὶ εἴ τις γινώσκοι τοὺς ἀφ' ἡλικίας αὐτῷ συνεστρατευμένους καὶ τὴν αὐτὴν c τὴν ὁδὸν βαδίσαντας ἐν τοῖς βασιλείοις, οἳ πάλαι καλῶς καὶ δικαίως ταύτης ἠξίωνται τῆς τιμῆς, τὸ ὀψὲ μᾶλλον αἰτιάσαιτ' ἂν ἐφ' ἡμῶν, οὐχὶ τὸ πρωΐ.

Ἔχων δὲ τοῦ ἀνδρὸς καὶ τὰς ἐν τῷ πολέμῳ ἀνδραγαθίας διεξιέναι, ταύτας μὲν εἴσειν μοι δοκῶ τοῖς ποιηταῖς καὶ λογογράφοις, οἷς ἔργον ὑμνεῖν καὶ ἐπαίρειν μάχας ἀνδροκτασίας τε· ἐγὼ δὲ ἅτε εἰρήνης ὢν ἐραστὴς καὶ λόγων εἰρηνικῶν καὶ ἀθορύβων, ἐπὶ τούτους καὶ βαδιοῦμαι, σμικρὰ πρῶτον ὑπομνήσας, ὅπως

251, 20 Δημάδης] Vulgo Δημάδους. 21 κωμῳδία] Aristoph. Equit. v. 158.

d ἂν αἰσθοίσθε μᾶλλον ἐξ οἵων εἰς οἷα τῇ βασιλέως προμηθείᾳ μετεληλύθαμεν. μετὰ γὰρ τὴν ἀδιήγητον τῶν ἐπὶ Ἴστρῳ κακῶν Ἰλιάδα καὶ τῆς ἀπόνου φλογὸς τὴν ἐπιδρομήν, οὔπω βασιλέως Ῥωμαίων πράγμασιν ἐφεστηκότος, ἀνηρπασμένων μὲν Θρᾳκῶν, ἀνηρπασμένων δὲ Ἰλλυριῶν, στρατοπέδων δὲ ὁλοκλήρων ἀφανισθέντων
b ὥσπερ σκιᾶς, οὐκ ἀντισχόντων δὲ οὐκ ὀρῶν ἀδιαβάτων, οὐ ποταμῶν ἀπόρων, οὐκ δυσχωρίας ἀδιοδεύτων,
207 a ἀλλὰ καὶ συνελθούσης ἐπὶ τοὺς βαρβάρους τὰ τελευταῖα σχεδὸν ἁπάσης γῆς καὶ θαλάττης καὶ περιστάντων αὐτοὺς ἔνθεν μὲν ἔνθεν Κελτῶν, Ἀσσυρίων, Ἀρμενίων, Λιβύων, Ἰβήρων, ὅσοι Ῥωμαίοις προβέβληνται ἐξ ἐσχατιῶν εἰς ἔσχατα γῆς, τοὐναντίον ἁπάντων αὐτοὺς περιστάντων τότε ἄριστα πράττειν ἐδόξαμεν ὅτε μηδὲν προσπεπόνθαμεν χαλεπώτερον.

Ἐπὶ τοσούτοις οὖν προσκρούσμασι καὶ τηλικούτοις
d ἀνατετραμμένων σχεδὸν ἁπάντων τὰς γνώμας καὶ στρατηγῶν καὶ στρατιωτῶν, καὶ σκοπούντων ὡς ὅ τι τὸ
b κοινὸν τοῦτο ἐκβιάσεται, κωλύειν δὲ οὐδενὸς ἐγχειροῦντος, καλεῖ μὲν ὁ θεὸς εἰς προστασίαν τὸν μόνον οἷόν τε ἀντισχεῖν τοιούτῳ κατακλυσμῷ δυσπραγίας· κηρύττει δὲ Γρατιανὸς τὴν ἄνωθεν ψῆφον. δέχεται δὲ γῆ καὶ θάλασσα τὴν ἀνάρρησιν ἀντὶ ἀγαθῶν ἐλπίδων καὶ ἀγαθῶν οἰωνισμάτων. κατασχὼν δὲ τὰς ἡνίας καὶ ὥσπερ
c οἱ σοφώτατοι τῶν ἡνιόχων πρῶτον ἀποσκεδάσας τῶν ἵππων ὅσας αὐτῷ ῥύμας ἔχουσι καὶ προθυμίας, ἐθάρρησε πρῶτος εἰς νοῦν ἐμβαλέσθαι μὴ κεῖσθαι Ῥωμαίοις
c τὴν δύναμιν ταύτην ἐν σιδήρῳ, μηδὲ ἐν θώραξι καὶ ἀσπίσι, μηδὲ ἐν σώμασιν ἀναριθμήτοις, ἀλλὰ δεῖν γὰρ ἑτέρας δυνάμεως καὶ παρασκευῆς, ἣ τοῖς κατὰ νοῦν τῷ θεῷ βασιλεύουσιν ἐκεῖθεν ἀψοφητὶ παραγίνεται, καὶ πάντα μὲν ἔθνη χειροῦται, πάντα δὲ ἥμερα καθίστησιν ἐξ ἀγρίων, εἴκει δὲ αὐτῇ μόνῃ καὶ ὅπλα καὶ τόξα καὶ ἵπποι καὶ αὐθάδεια Σκυθικὴ καὶ τόλμα

252, 19 κωλύειν] κελεύειν Boulenius p. 47. 32 χειροῦται] χειροῦνται A.

Ἀλανῶν καὶ ἀπόνοια Μασσαγετῶν; καὶ ταύτην πάλαι καλῶς ποιοῦντας τοὺς ποιητὰς ἐκ μειρακίων ἡμᾶς διδάσκειν,

Σοφὸν γὰρ ἓν βούλευμα τὰς πολλὰς χέρας d
νικᾷ.

καὶ

Πολλὰ ἐξαιρεῖ λόγος,
ὃ καὶ σίδηρος πολεμίων δράσειεν ἄν.

καὶ

Μήτει τοι δρυτόμος μέγ' ἀμείνων ἠὲ βίηφι.

καὶ

Πάντα ὁ σοφὸς νοῦς ἐξ ἀμηχάνων ἄγει,
καὶ πάντα κηλεῖ, κἂν ἀπώμοτός τις ᾖ. 208 a

πεποίηται δὲ καὶ Αἰσώπῳ τῷ μυθοποιῷ ἅμιλλά τις Πειθοῦς καὶ Βίας, καὶ ἀνύει τι μᾶλλον ἡ Πειθὼ τῆς Βίας ἐν τῷ μύθῳ, καὶ γυμνοῖ πρόσθεν ὁ ἥλιος τῶν λάβρων πνευμάτων. οὕτως δέ φασι καὶ τοὺς γίγαντας ποιηταὶ ἐν τῇ μάχῃ τῇ πρὸς τοὺς θεοὺς τῷ μὲν Ἄρει μέχρι παντὸς ἀντισχεῖν, ὑπὸ δὲ τοῦ Ἑρμοῦ καὶ τῆς ῥάβδου κατακοιμισθῆναι.

Ταύτην εὑρίσκων ὁ σοφώτατος βασιλεὺς μόνην περιλείπεσθαι δύναμιν Ῥωμαίοις ἄτρωτον καὶ ἀνέλεγκτον ὑπὸ τῶν βαρβάρων, καὶ γινώσκων ὅτι ὅσῳπερ ἂν b μείζονα ἀδικήσωσι, τοσούτῳ μᾶλλον ἂν ἐγνώκασιν ἑαυτοῖς συνοισόμενον, ἔγνω βελτίονα εἶναι τὴν ἐπὶ τοῖς ἡμαρτημένοις συγγνώμην τῆς ἄχρι τῶν ἐσχάτων φιλονεικίας. καὶ ζητῶν ὅστις αὐτῷ πρὸς τὴν νίκην ταύτην διακονήσεται καὶ φρονήσει νικῶν καὶ εὐνοίᾳ, οὐκ ἐδεήθη χρόνου πρὸς εὕρεσιν τοῦ μάλιστα ἐπιτηδείου, ἀλλ' ὃν ᾔδει πάλαι τῶν στρατηγῶν τὰ αὐτὰ φρονοῦντα αὐ-

---

253, 4 Σοφὸν] Euripides in Antiopa p. 78. ed. Matth. χέρας] χεῖρας A. 7 Πολλὰ] Euripides Phoeniss. v. 516. λόγος] ὁ λόγος A. 10 Μήτει] Iliad. ψ, 315. 12 Πάντα] Inter Euripidea posuit Matthiae p. 488.: non posuisset Valckenarius, cuius vide Diatrib. p. 70. 17 λάβρων] λαύρων A. 23 ὅσῳπερ A. ὥσπερ H. 25 συνοισόμενον] συνοισόμ cum lacuna A. συνοῖσον H.

τῷ καὶ τὰ αὐτὰ ἐζηλωκότα; προχειρίζεται τοῦτον ἐπὶ c τὴν πεῖραν ταύτην ἀμελλητί, καὶ πέμπει καθάπερ Ἀχιλλεὺς τὸν ἑταῖρον ἐπ' ἀμείνοσιν οἰωνοῖς καὶ ἀγαθῇ μὲν τύχῃ τοῦ στείλαντος, ἀγαθῇ δὲ τύχῃ τῶν ὅλων πραγμάτων, οὐ μιᾶς ἄρτι νεὼς Θετταλικῆς ἐμπιπραμένης σβέσοντα τὴν φλόγα, οὐδὲ ἑνὸς προτειχίσματος ἀπειρηκότος, τοὺς πολεμίους ἐκεῖθεν ἀποσοβήσοντα, ἀλλ' εἴ τι καὶ περιλιπὲς ἦν καὶ τὰς πρότερον ἐπιδρομὰς ἐπεφεύγει, τούτῳ τοῦ βαρβαρικοῦ νέφους ἐγκατασκήψαντος. πέμπει δὲ ὥσπερ ὁ Πηλέως ἐνσκευάσας τοῖς ὅπλοις τοῖς d ἑαυτοῦ τοῖς ἀτεχνῶς οὐρανίοις, ἀνεξικακίᾳ, πραότητι, φιλανθρωπίᾳ. τῷ δὲ ἡρμοσμένα πάντα ἀκριβῶς καὶ οὐ τὸ μέν, τὸ δὲ οὔ, καθάπερ ἡ Πηλιὰς τῷ Μενοιτίου.

Καὶ αὐτίκα ἀπῄει τεθαρρηκώς, οὐ φάλαγγος πεζῶν ἑπομένης, οὐδ' ἱππικῶν λόχων παραπεμπόντων, οὐδὲ πέντε ὑποστρατήγους ἐφελκόμενος, ἀλλὰ μόνον τοῖς βασιλέως παραγγέλμασι πεφραγμένος, καὶ τούτοις προ-209a πομποῖς χρώμενος καὶ παραπομποῖς. οὐκοῦν· οὐδὲ ἐδέησεν αὐτῷ χρόνου πρὸς ταύτην τὴν νίκην, ἀλλὰ φανέντι μόνον καὶ προδείξαντι τὴν τοῦ πέμψαντος εὐμένειαν ὑπέκυπτε μὲν εὐθὺς ἡ θρασύτης Σκυθῶν, ἐξεκόπτετο δὲ ἡ τόλμα, συνεστέλλετο δὲ ὁ θυμός, ἐξέπιπτε δὲ ὁ σίδηρος ἑκόντι ταῖν χεροῖν, εἵποντο δὲ ἄγοντι πρὸς βασιλέα καθάπερ ἐν πομπῇ καὶ πανηγύρει αἰσχυνόμενοι τὴν γῆν, εἰς ἣν πρότερον ἐπαρῴνησαν, καὶ φειδόμενοι τῶν λειψάνων ὡς ἱερῶν, μόνας ἐπιφερόμενοι τὰς μαχαίρας, ἃς ἔμελλον βασιλεῖ προσοίσειν ἀνθ' ἱκεb τηρίας· τὰ δὲ ἄλλα γυμνοὶ καὶ εἰρηνικοί, ἡττημένοι ταῖς γνώμαις, οὐχὶ τοῖς σώμασι. ποῖον φάρμακον Πολυδάμνας τῆς Αἰγυπτίας ἐγκερασθὲν οἴνου κρατῆρι ἢ ποῖος κεστὸς Ἀφροδίτης οὕτως ὀξὺ καὶ δραστήριον ὥστε τοὺς πύργους ὄντας τοῦ ἀδάμαντος στερεωτέρους, κηροῦ μαλακωτέρους ποιῆσαι;

254, 31 κρατῆρι A. κρατῆρσι H.

Τοῖα Διὸς θεράπων ἔχε φάρμακα μητιόεντα,
ἐσθλὰ, τά οἱ βασιλεὺς πόρεν ἄφθιτος,

οὐ λύπης καθεκτικὰ οὐδὲ δακρύων, ἀλλὰ τῶν δάκρυα c
ποιούντων κακῶν.

Ἦν ἄρα πάλαι τῇ Θρᾴκῃ ἡ τῆς μουσικῆς δύνα-
μις ἐπιχώριος μᾶλλον τῶν ὅπλων, καὶ ἀπιστεῖν οὐκέτι
προσῆκε τοῖς κρούμασι τοῖς Ὀρφέως ἕπεσθαι μὲν κά-
πρους, συνακολουθεῖν δὲ καὶ δένδρα καὶ πέτρας, ὅπῃ D
ἂν ἐκεῖνος τοῖς μέλεσιν ἄγοι. ἀλλ' Ὀρφεὺς μὲν, ὡς
ἔοικε, θηρία κηλεῖν ἱκανὸς ἦν, ἀνθρώπων δὲ χαλεπό-
τητα θέλγειν οὐκ εἶχεν, ἀλλ' ἢ διήλεγξαν αὐτοῦ τὴν
μουσικὴν Θρᾷσσαι γυναῖκες, οὐχ ὅπως ἁλοῦσαι τοῖς
μέλεσιν, ἀλλ' ἐξαγριωθεῖσαι προσέτι καὶ δράσασαι τὸν d
μελῳδὸν αὐτὸν ἅπερ καὶ ἔδρασαν. ὁ δὲ τοῦ οὐρανόθεν
Ὀρφέως ὑποφήτης καὶ θεραπευτὴς, ὁ τῇ θεοσδότῳ
χρώμενος μουσικῇ, λόγοις ἐπαγωγοῖς καὶ γλύκιον μέλι-
τος ῥέουσιν, οἵοις ἐστάλη παρὰ τοῦ πέμψαντος ἐσκευα-
σμένος, τούτοις ἐπᾴδων, τούτοις κηλῶν, τούτοις παραι-
νῶν, τὰς ἀγαθὰς ὑποτιθεὶς ὑπὲρ τῶν μελλόντων ἐλπί-
δας, ἀφαιρούμενος τῆς ἐφ' οἷς ἠδίκησαν ὑποψίας, προ-
σείων ὥσπερ θαλλὸν τὴν βασιλέως φιλανθρωπίαν, ἦγε 210 a
τιθασοὺς καὶ χειροήθεις, μονονοὺ τὼ χεῖρε περιαγα-
γὼν εἰς τοὐπίσω· ὥστε ἀμφισβητήσιμον εἶναι πότερον
κατεπολέμησε τοὺς ἀνθρώπους ἢ καθωμίλησε.

Κερβούλων μὲν οὖν ὁ στρατηγὸς ἀναπείσας τὸν
Ἀρμένιον Τηριδάτην Νέρωνι τὰ καθ' ἑαυτὸν ἐπιτρέψειν,
ἀνθρώπῳ θεομισεῖ καὶ παλαμναίῳ καὶ ἀναξίῳ τοσαύ-
της εὐνοίας, ᾔσθετο οὐκ ἐν καιρῷ τὴν ἀρετὴν ἐπιδε-
δειγμένος οὐδὲ ἀληθινῷ βασιλεῖ πρὸς εὔκλειαν συναρά-
μενος. * * μακαριστὸς μὲν τῆς εἰς τοιοῦτον φιλοτιμίας, b
μακαριστὸς δὲ τῶν παρὰ τοιούτου χαριστηρίων, καὶ
μηδὲ ἀπεικότως. οὐ γὰρ Τηριδάτην ἡμῖν ἐκήλησεν οὐδὲ

255, 1 Τοῖα] Odyss. δ, 227. 6 ἐπιχώριος] λείπει ἰσχὺς ἐπιχώριος margo A. 7 ἕπεσθαι μὲν] ἕπεσθαι δὲ A. 20 προσσείων. Ruhnkenius ad Timaeum p. 137. προσσείων A. 22 τιθασοὺς] Vulgo τιθασσοὺς. 30 **] οὐ δὲ anonymus. 32 μηδὲ ἀπεικότως] μηδείας εἰκότως A.

Ἀρμένιον ἄνθρωπον εὐκαταχώνιστον καὶ εὐάλωτον καὶ προσέτι γε ἐκ τῶν ἐκείνῃ βαρβάρων, οἷς ἐν ἔθει μὲν τὸ ἐξογκοῦσθαι, ἐν ἔθει δὲ τὸ ὑποπτεύειν, δουλεία δὲ ἐλευθερίας οὐ πολὺ διενήνοχεν, ἀλλ' οἷς ἐκ παίδων συντρέφεται φρόνημα ἀκλινὲς, καὶ οἷς τὸ μικρὸν ὑποκῦψαι χαλεπώτερον τοῦ τεθνάναι. τούτων ἑωρῶμεν τοὺς ἐξάρχους καὶ κορυφαίους οὐ ῥᾳδίου παραχωροῦντας σὺν
c εἰρωνείᾳ, ἀλλὰ τοῦ σιδήρου καὶ τῶν ξιφῶν ἐξισταμένους, οἷς μέχρι τῆς ἡμέρας ἐκείνης ἐκράτουν, καὶ τοῖς γόνασιν ἐμφυομένους τοῦ βασιλέως μᾶλλον, ἢ πρὶν τὴν Θέτιν φησὶν Ὅμηρος τοῖς γόνασιν ἐμφῦναι τοῖς τοῦ Διὸς, ἡνίκα ὑπὲρ τοῦ παιδὸς ἐλιπάρει· ἕως ἔτυχον νεύματος εὐμενοῦς καὶ φωνῆς οὐ πόλεμον ἐγειρούσης, ἀλλ' ὅλης ἵλεω, ὅλης εἰρηνικῆς, ὅλης εὐγνώμονος, ὅλης ἀφειίσης τὰ ἀδικήματα.

Ἦ καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων.
d ἀμβρόσιαι δ' ἄρα χαῖται ἐπερρώσαντο ἄνακτος
κρατὸς ἀπ' ἀθανάτοιο· μέγαν δ' ἐλέλιξεν Ὄλυμπον,

καὶ οὐδὲν ῥῆμα αὐτοῦ παλινάγρετον οὐδ' ἀπατηλὸν οὐδ' ἀτέλεστον.

Ἀλλ' ἰδοὺ τὸ ἔχθιστον ὄνομα Σκύθαι ὅπως νῦν ἀγαπητὸν, πῶς νῦν κεχαρισμένον, πῶς νῦν προσήγορον. συμπανηγυρίζουσιν ἡμῖν τὴν τοῦ στρατηγοῦ πανήγυριν, ὑφ' οὗ καλῶς ποιοῦντες ἑάλωσαν, καὶ συνεορτάζουσι τὰ
211 a καθ' ἑαυτῶν ἐπινίκια. εἰ δὲ μὴ πρόρριζοι παντελῶς ἀπολώλασιν, οὐ χρὴ δυσχεραίνειν· λόγου γὰρ καὶ φιλανθρωπίας αἱ νῖκαι τοιαῦται, οὐκ ἀνελεῖν, ἀλλὰ βελτίους ποιῆσαι τοὺς λελυπηκότας. ἔστω γὰρ ὅτι καὶ τὸ ἀνε-
d λεῖν ἦν ἐν ῥᾳστώνῃ καὶ δρᾶσαι πάντα ὑπῆρξεν ἂν ἡμῖν, ἀντιπαθεῖν δὲ μηδ' ὁτιοῦν, καίτοι γε ἐκ τῶν πολλάκις συμβεβηκότων οὐ ταῦτα ἦν ἀκόλουθα καὶ εἰκότα, ἀλλ', ὅπερ εἶπον, ἔστω καὶ τοῦτο κεῖσθαι ἡμῖν ἐπ' ἐξουσίας. πότερον οὖν βέλτιον νεκρῶν ἐμπλῆσαι τὴν

256, 3 ὑποπτεύειν] ὑποπίπτειν Iacobsius. 16 Ἦ] Iliad. α, 528.

Θρᾴκην ἢ γεωργοῦσαν καὶ τάφων ἀποδεῖξαι μεστὴν ἢ ἀν- b
θρώπων; καὶ βαδίζειν δι' ἀγρίας ἢ δι' εἰργασμένης;
καὶ ἀριθμεῖν τοὺς πεφονευμένους ἢ τοὺς ἀροῦντας; καὶ
μετοικίζειν, εἰ τύχοι, Φρύγας καὶ Βιθυνοὺς ἢ συνοικί-
ζειν οὓς κεχειρώμεθα; ἀκούω παρὰ τῶν ἐκεῖθεν ἀφι-
κνουμένων ὅτι μεταποιοῦσι τὸν σίδηρον ἐκ τῶν ξιφῶν
καὶ τῶν θωράκων εἰς δικέλλας νῦν καὶ δρεπάνας, καὶ
τὸν Ἄρην πόρρωθεν ἀσπαζόμενοι προσεύχονται Δήμητρι d
καὶ Διονύσῳ.

Πολλὰ τοιαῦτα καὶ πρότερον ὁ βίος ἤνεγκεν ὁ
ἀνθρώπινος, καὶ οὐκ ἐφ' ἡμῶν πρώτων ἀπήντησε τὸ c
συγγνώμης τυχόντας τοὺς ἠδικηκότας ἐν χρείᾳ μετὰ
ταῦτα γενέσθαι τοῖς ἠδικημένοις. ἀλλ' ὁρᾶτε τουτουσὶ
Γαλάτας τοὺς ἐπὶ Πόντῳ. οὗτοι μέντοι πολέμου νόμῳ
διαβάντες εἰς τὴν Ἀσίαν καὶ πᾶσαν τὴν ἐντὸς Ἅλυος
ἀνατρέψαντες ἐγκατέμειναν ταύτῃ τῇ χώρᾳ, ἣν νῦν
κατοικοῦσι, καὶ οὐκ ἐξέτριψεν αὐτοὺς Πομπήιος οὐδὲ a
Λούκουλλος, λίαν ἐξόν, οὐδὲ ὁ Σεβαστὸς οὐδὲ οἱ μετ'
αὐτὸν αὐτοκράτορες, ἀλλὰ ἀφέντες τὰ ἀδικήματα ἐν
μέρει τῆς ἀρχῆς ἐποιήσαντο. καὶ νῦν οὐκέτι βαρβάρους
Γαλάτας ἄν τις προσείποι, ἀλλὰ καὶ πάνυ Ῥωμαίους· d
τοὔνομα γὰρ αὐτοῖς τὸ πάλαι παραμεμένηκεν, ὁ βίος
δὲ σύμφυλος ἤδη. καὶ εἰσφέρουσιν ἃς ἡμεῖς εἰσφορὰς
καὶ στρατεύονται ἃς ἡμεῖς στρατείας καὶ ἄρχοντας δέ-
χονται ἐξ ἴσου τοῖς ἄλλοις καὶ νόμοις τοῖς αὐτοῖς ὑπα-
κούουσιν. οὕτω καὶ Σκύθας ὀψόμεθα ὀλίγου χρόνου·
νῦν μὲν γὰρ ἔτι τὰ προσκρούσματα αὐτῶν νέα, ληψό-
μεθα δ' οὖν οὐκ εἰς μακρὰν ὁμοσπόνδους, ὁμοτραπέ- b
ζους, ὁμοῦ στρατευομένους, ὁμοῦ λειτουργοῦντας. τὸ
δὲ ἀπήρηντο ἄρδην, πρὸς Θρᾳξὶ καὶ Σκύθας ἐζη- 212 a
μιώθημεν.

Ῥωμαῖοι Μασινίσσαν τὸν Λίβυν πολλὰ καὶ δεινὰ
αὐτοὺς εἰργασμένον ζῶντα λαβόντες οὐ διέφθειραν,

257, 3 καὶ μετοικίζειν A. καὶ om. H. 4 τύχοι] Vulgo τύχῃ. 8 πόρρωθεν ἀσπαζόμενοι] Euripidis Hippolyti v. 102 comparat Porsonus in Advers. p. 218.

ἀλλ' ἐφύλαξαν· καὶ γέγονε Μασσινίσσας αὐτοῖς πρὸς τοὺς ὕστερον πολεμίους πρόβολος καὶ φυλακτήριον. καὶ νῦν καθέστηκε μὲν ἅπασα ἤπειρος, γῆ δὲ καὶ θάλαττα τοὺς προστάτας στεφανοῦσιν, ἡ δὲ ἀρχὴ καθάπερ ναῦς μυριοφόρος πολλὰ δὴ πονηθεῖσα ὑπὸ χειμῶνος καὶ τρικυμίας ἀναλαμβάνει καὶ ὀχυροῦται. καὶ ἀνοίγνυνται μὲν ὁδοί, ἐλευθεροῦνται δὲ ὄρη φόβου, πεδία δὲ ἔγ-
b καρπα ἤδη, οὐδ' ὁ πρὸς Ἴστρῳ ἄλλεται χῶρος ἐπὶ πολέμων ὀρχήστρα, ἀλλ' ἀγεῖται τοῖς σπέρμασι καὶ τοῖς ἀρότροις· σταθμοὶ δὲ ἐγείρονται καὶ ἐπαύλεις καὶ τῇ πάλαι καταπυκνοῦνται ῥᾳστώνῃ· σύμπνους δὲ ἡ ἀρχὴ ἅπασα καὶ ὁμοπαθὴς ὥσπερ ἓν ζῷον καὶ οὐκέτι διέρρωγε καὶ διέσπασται πολλαχοῦ. τί τηλικοῦτον ἀπέλαυσεν ἡ Ἑλλὰς τῆς εὐχῆς Αἰακοῦ αὐχμῷ πιεσθεῖσα, καὶ οὐδὲ ἅπασα ἡ Ἑλλάς, ἀλλ' ὅση αὐχμῆς πρὸς Αἰγίνῃ, ἡλίκον σὺ τῇ πλείστῃ μοίρᾳ τῆς γῆς φῶς ἀνεπέτασας;
c οὐ γὰρ ἀφ' ἑνὸς καιροῦ ταύτην ἐποιήσω τὴν εὐχήν, ἀλλ' ὅλη γέγονεν ἡμῖν ἀντ' εὐχῆς ἡ σὴ βασιλεία. εὐχὴ γὰρ οὐ ῥήματα καὶ ὀνόματα, ἀλλ' εὐσέβεια, δικαιοσύνη, πρᾳότης, αἷς προτρεπόμενος ἀεὶ δῆλος εἶ τὸν θεόν.

Τίς γὰρ ἄλλος αὐτοκρατόρων ἢ νόμους ἔθηκεν ἡμερωτέρους, ἢ οἴκους ἤρθωσε πεπονηκότας, ἢ συμφορὰς παρεμυθήσατο, ἢ δυστυχήματα ἐπεκούφισεν, ἢ νεότητα ᾤκτειρεν ἢ γῆρας ᾐδέσθη ἢ γέγονεν ἀντὶ πατρὸς ὀρφανοῖς; ἐπὶ τίνος δὲ ἐκ τῶν ταμιείων πρὸς τοὺς μὴ δικαίως καταβαλόντας χρυσὸς ἐπανῆκε; τίς πειθοῦς
d ἔστησε τρόπαιον; τίς ἔδωκε λόγῳ τὰ ἀριστεῖα κατὰ σιδήρου; τίς νίκην ἐνίκησε τηλικαύτην, ἧς οὐδεὶς συνεψηφίσατο στρατιώτης; ποίᾳ δὲ ἀνέῳκται μᾶλλον καταφυγὴ τοῖς δυσπραγοῦσιν; ἵνα γὰρ τὰ ἄλλα παρῶ, ἀλλὰ χθὲς καὶ πρῴην τις δυστυχῆ μειράκια. ἐκ Γαλατίας,

258, 3 γῆ δὲ — στεφανοῦσιν add. A. 10 τῇ πάλαι καταπυκνοῦνται] Vulgo γῆ πάλαι καταπυκνοῦται. Correctum ex orat. XXXIV. p. 62 ed. Mai. 13 ἀπέλαυσεν] Vulgo ἀπήλαυσεν. 16 σὺ] οὖν A. 18 εὐχὴ — εὐσέβεια add. A. 25 ἢ γῆρας ᾐδέσθη add. A.

οὐχ ὅσον ἐπὶ τοῖς νόμοις ἀπολωλότα, συνδιετήρησας καὶ διεφύλαξας, οὐ παραρρήξας τοὺς νόμους, ἀλλὰ πραΰνας, ὅτι καὶ αὐτὸς νόμος ἔμψυχος εἶ καὶ ὑπεράνω τῶν γεγραμμένων. ἂν ταῦτα ἐκπονῶμεν, ἂν ταῦτα πλείω ποιῶμεν, ὥσπερ Σκυθῶν ἐκρατήσαμεν ἀναιμωτὶ 213 a
καὶ ἀδακρυτὶ, οὕτω καὶ Πέρσας οὐκ εἰς μακρὰν προσαξόμεθα, οὕτω καὶ Ἀρμενίους ἀναληψόμεθα, οὕτω καὶ τῆς μέσης τῶν ποταμῶν ὁπόσον ἄλλοι προήκαντο ἀνασώσομεν, οὕτω πολλοὺς ἀνεροῦμεν ὑπάτους ἐπ' ἀγαθοῖς ἔργοις καὶ ἀγαθαῖς διακονίαις.

Ἐν ταύταις τρέφομεν τοῖς μαθήμασι καὶ τὸν ἀγαπητὸν ἀστέρα τῆς οἰκουμένης, καὶ γενοίμην αὐτῷ Φοῖνιξ ἐγὼ, καθίζων ἐπὶ τοῖς γόνασιν, οὐκ ὄψων κορεννὺς οὐδὲ πεμμάτων, ἀλλ' ἐπᾴδων κλέα ἀνδρῶν καὶ b
βασιλέων ἀγαθὰ ἔργα, μάλιστα δὲ οἷα πολλὰ τὰ πατρῷα. ἡδίω γὰρ ταῦτα αὐτῷ καὶ συντροφώτερα τῶν λοιπῶν, καὶ ταῦτα μάλιστα προσκαθεδεῖται καὶ ἐμμείνῃ τῇ μνήμῃ ἀνεξάλειπτα καὶ ἀνέκπλυτα.

259, 11 τρέφοιμεν A. τρέφομεν H. 13 γόνασιν] γρ. καὶ τοῖς σώμασιν margo A. 17 ἐμμείνῃ] ἐμμενεῖ Iacobsius ad Ach. Tat. p. 856.

XVII.

c ΕΠΙ ΤΗΙ ΧΕΙΡΟΤΟΝΙΑΙ ΤΗΣ ΠΟΛΙΑΡΧΙΑΣ.

Ἐπανήγαγεν αὖθις διὰ μακροῦ χρόνου φιλοσοφίαν ὁ θεοειδέστατος αὐτοκράτωρ εἰς τὴν τῶν κοινῶν ἐπιμέλειαν, ἐνδηλότερον τῶν ἔναγχος βεβασιλευκότων· οἱ μὲν γὰρ ἐτίμων μόνον ἐπὶ τοῖς λόγοις, εἰς δὲ τὰ ἔργα προκαλούμενοι πολλάκις κατελθεῖν οὐκ ἐδυσώπησαν, ἀλλ' ἄχρι
d τῶν πρεσβειῶν τέως ἐπολιτεύετο καὶ ἐλειτούργει τῇ κοινῇ πατρίδι. βασιλεὺς δὲ καὶ τὴν ἀρχὴν αὐτῇ περιέθηκε καὶ παρεγγυᾷ γίνεσθαι αὐτουργὸν ὑπὲρ ὧν τέως ἄλλους ἠξίου. καὶ πάλαι μὲν ἐξῆν φιλοσοφίαν καθηγουμένην τοῖς ἀθλοῦσι τοὺς δημοσίους ἀγῶνας αὐτὴν θεωρεῖν ἡσυχῇ καὶ ἀπραγμόνως. κατάγει δὲ ταύτην βασιλεὺς ἀντὶ τῆς θεωρίας εἰς τὴν κονίστραν καὶ δίδωσι, πείθων
214 a τοὺς πολλοὺς ἀνθρώπους ὅτι οὐ λόγος ἦν ἄρα ἔργων χωρὶς, ἀλλ' ἔργων ἀποδείξεις ὑπὸ λόγου ποδηγουμένων, οὐδὲ ἀκίνδυνος διδασκαλία τῶν ἀρχικῶν παραγγελμάτων, ἀλλὰ καὶ πρᾶξις ὧν παραγγέλλει.

Καὶ ἤνεγκεν ὁ καθ' ἡμᾶς χρόνος βασιλείαν αἰσθανομένην τῶν τοῖς παλαιοῖς δεδογμένων, οἳ καλῶς ἕξειν τηνικαῦτα ταῖς πόλεσι τὰ πράγματα ὑπελάμβανον, ὅταν τῇ τοῦ λέγειν ἀρετῇ ἡ τοῦ πράττειν ἐξουσία συνδράμῃ καὶ εἰς ταὐτὸν ἔλθωσιν ἄμφω, δύναμίς τε πολιτικὴ καὶ φιλοσοφία, ἃς πρώτας ἐν ἑαυτῷ δεικνὺς συν-
b τρεχούσας ὁ φιλοσοφώτατος αὐτοκράτωρ παρακελεύεται καὶ ἡμῖν ἐν γήρᾳ γοῦν ἀκολουθῆσαι νεότητι φιλοσο-

---

260, 3 τῶν κοινῶν A. τῶν om. H. 15 ἀποδείξεις] ἐπιδείξεις Harduinus.

φρονῇ καὶ ἀπονέμει τὴν ἐλευθεριωτάτην τῶν ἑαυτοῦ φροντίδων ἡμῖν, τὴν σεμνὴν ταύτην καὶ εὐγενῆ πολιαρχίαν οἰκείαν τε καὶ ἀκόλουθον ταῖς δέκα πρεσβείαις καὶ ταῖς ὑπερορίοις ἀποδημίαις, ἃς ὑπὲρ ὑμῶν, ὡς οἷόν τε ἦν, ἐκ νεότητος εἰς ταύτην τὴν ἡλικίαν οὐκ ἀναξίως τῆς χειροτονίας τῆς ὑμετέρας οὐδὲ ἀνωφελῶς διηνύσαμεν.

Καὶ παρατρέχει τοὺς πρότερον αὐτοκράτορας ἀντὶ τῶν δυοῖν ἀνδριάντων καὶ τῶν συνεχῶν παρεδριῶν, ἐνεργῷ τιμῇ καὶ τηλικαύτῃ κοσμῶν τε ἡμᾶς καὶ παρ' ἡμῶν c κοσμεῖσθαι καταναγκάζων, οὐκ ἔπηλυν οὐδὲ ὀθνεῖον τὸν ἄρχοντα τῆς πόλεως τῆς βασιλίδος χειροτονῶν, ἀλλ' ἐγγενῆ, ἐκτεθραμμένον ὑμῖν καὶ ἐναυξηθέντα καὶ ἐνοικοῦντα, ὡς μηδὲν εἶναι τῆς παρούσης ἀρχῆς ἀγαθόν, ὃ μὴ κοινὸν ἁπάντων ἀναφανεῖται. οὐκοῦν οὐδὲ ἐμοὶ θεμιτὸν ἦν ἀπώσασθαι ταύτην τὴν ψῆφον.

Βασιλέως γὰρ φιλοσόφου φιλόσοφος διακρουόμενος πολιτικὴν χειροτονίαν ἀλλότριον ἑαυτὸν εὐθὺς δείκνυσι τοῦ προσρήματος, εἰ μὴ φιλοσοφίαν ἡμεῖς ἐν τῇ γλώττῃ μόνον κεῖσθαι ὑπολαμβάνομεν καὶ οὐ πολλῷ μᾶλλον d ἐν τῇ ψυχῇ, ὅπου θυμὸς μὲν ᾖ κεκοιμισμένος, ὀργὴ δὲ ἐγκεχαλινωμένη τῷ λόγῳ, φιλοχρηματία δὲ ἐξοικίζηται τῆς ψυχῆς, ὠμότης δὲ μακράν που σκηνῇ, πανταχοῦ δὲ ὁ νόμος καὶ ἡ δίκη καὶ ἡ θέμις ἔχωσι τὴν προεδρίαν. ὁ τοιοῦτον βασιλέα μὴ φιλοσοφεῖν ὑπολαμβάνων οὐ μόνον Πλάτωνος ἀνήκοος οὐδὲ Πυθαγόρου, ἀλλ' οὐδὲ τὰ πρόχειρα ταῦτα γινώσκει, ὅτι πᾶσα ἀρε- 215 a τῆς ἐπιθυμία φιλοσοφία, καὶ περιάγει τὴν θειοτάτην τῶν ἐπιστημῶν εἰς κόμην ἴσως καὶ πώγωνα καὶ τρίβωνα.

Ἀπολαυέτω τοίνυν ὁ καθ' ἡμᾶς χρόνος τῶν Τραϊανοῦ καιρῶν ἐπανιόντων, τῶν Ἀδριανοῦ, τῶν Μάρκου,

---

261, 1 ἐλευθεριωτάτην A. ἐλευθερωτάτην H. 10 κοσμῶν Harduinus. Vulgo κοσμεῖν. ἡμᾶς A. ὑμᾶς H. 23 σκηνῇ] Vulgo σκηνοῖς. 24 ἔχωσι Roulezius p. 3, Vulgo ἔχουσι. 25 προεδρίαν] παρεδρίαν Roulezius p. 32. [illegible]

τῶν Ἀντωνίνου, οἱ τὸν Ἀρειανὸν καὶ τὸν Ῥούστικον ἐξαναστήσαντες ἐκ τῶν βιβλίων μερίτας ἐποιοῦντο καὶ συνεργοὺς τῆς τῶν κοινῶν ἐπιτροπείας, οὐδὲν οὗτοι καινουργοῦντες οὐδὲ εἰσάγοντες πρᾶγμα ἄηθες εἰς τὴν πολιτείαν, ἀλλὰ ζηλοῦντες τοὺς πάλαι Ῥωμαίους, ἐφ'
b ὧν Σκηπίωνες καὶ Βάρωνες καὶ Κάτωνες φιλοσοφοῦντες ἐπολιτεύοντο καὶ ἦρχον τὰς μεγίστας ἀρχάς, καὶ Θρασέας καὶ Πρίσκος καὶ Βίβος καὶ Φαβώνιος ἀμοιβαδὸν ἀλλαττόμενοι τοὺς τρίβωνας καὶ τὰς τηβέννους, ὥσπερ Ξενοφῶν παρ' Ἕλλησι καὶ Σωκράτης, ὁ μὲν στρατηγῶν, ὁ δὲ πρυτανεύων. ἐῶ γὰρ τὸν θεσπέσιον Πλάτωνα, ὃς εὔξατο μὲν βασιλέα τοιοῦτον εὑρήσειν, ᾧ κοινωνήσει τῶν δημοσίων φροντίδων, διήμαρτε δὲ τῆς εὐχῆς, καὶ ζητῶν, ὡς αὐτός πού φησι, νέον, σώφρονα,
c πρᾶον, ἥμερον, μεγαλοπρεπῆ, μεγαλόφρονα, ἄντικρυς Θεοδόσιον, τρὶς ἐξέπεσεν εἰς Διονύσιον καὶ Σικελίαν, ἔρωτι βασιλείας ἀληθινῆς εἰς τυραννικὴν περιωθούμενος συνουσίαν. ἐῶ δὲ Πιττακὸν καὶ Βίαντα καὶ Κλεόβουλον, ἐῶ δὲ Ἀρχύταν τὸν Ταραντῖνον, οἳ πλείοσι πράγμασιν ὡμίλησαν ἢ συγγράμμασι.

Τούτων ἁπάντων οὐχ ἧττον ἀοίδιμος ὁ παρὼν καιρὸς καὶ τοῦ διδόντος ἕνεκα τὴν τιμὴν καὶ τοῦ λαμβάνοντος, οἷς συναγωνίζεσθαι καὶ ὑμᾶς ἐστιν ἀναγκαῖον, ὦ πατέρες συγγεγραμμένοι. ὡς οἰκίαις μὲν καὶ χρυσῷ καὶ ἀργύρῳ πρωτεύειν ὑμᾶς τῶν πολλῶν ἀνθρώπων οὐ-
d δὲν σεμνὸν οὐδὲ μεγαλεῖον· εἰ δὲ τὸ φιλοσοφίαν τιμᾶν καὶ ἀρετὴν ἐπίπροσθεν ἄγειν φανεροὶ γινόμεθα ἐσπουδακότες, τότε οὐ ψευσόμεθα τὴν ἐπίκλησιν τῶν πατέρων, ἀλλὰ τηνικαῦτα ἔσται πρόκριτος ἡ βουλή, τηνικαῦτα νεὼς τῶν Μουσῶν, οὐ χαλκῶν ἔμπλεως ἀγαλμάτων, ἀλλ' αὐτῶν γέμων τῶν ἀρχετύπων.

Μιμώμεθα τὸν ἀρχηγέτην, ὦ πρόβολοι τῆς οἰκουμένης, ἀκολουθήσωμεν τῇ ψήφῳ τῇ θεοσδότῳ, φαινώ-

---

262, 3 οὐδὲν αὗτοι A. οὗτοι H. 6 σκηπίωνες A. Σκιπίωνες H. 8 Θρασέας] Vulgo Θρασείας. Βίβος] Βίβουλος Harduinus. Βροῦτος memoratur in loco parallelo orat. XXXIV. p. 34. ed. Mai.

μεθα αὐτῷ καθ᾽ ἡμέραν ἐρασμιώτεροι. οὐκ ἐρᾷ θη- 216 a
σαυρῶν ὁ νεανίας, οὐκ ἐρᾷ λίθων πολυτίμων, οὐκ ἐρᾷ ποικίλης ἐσθῆτος. ἀλλὰ ταῦτα καὶ ἀναλίσκει γανύμενος καὶ προΐεται. ἐρᾷ δὲ ἑνὸς μόνου καὶ ἥττων ἐστὶν, ἀρετῆς, καὶ ὧν καθηγεμών ἐστιν ἀρετὴ, φιλανθρωπίας, πρᾳότητος, ἀνεξικακίας· δι᾽ ὃν μέλαν ἱμάτιον οὐδεὶς ἠμφιάσατο, δι᾽ ὃν οὐδεὶς ἀπάτωρ, ὀρφανὸς παντελῶς, ἀλλὰ καὶ οἷς ἀνάγκη τις οὐκ εὐδαίμων ἔτι νηπίοις ταύτην ἐπέκλωσε τὴν δυσ-
ποτμίαν, ἀντὶ ἰδιώτου πατρὸς ἀντικατηλλάξαντο βασι- b
λέα. τούτων βούλεται τῶν ἀγαθῶν τοὺς θησαυροὺς καὶ τὸ ταμιεῖον αὔξεσθαι αὐτῷ καὶ πληθύνειν· οὓς πρώτους ἐν ἑαυτῷ θησαυρίσας οὕτω καὶ ἡμᾶς αὐτῶν πλουτεῖν ἀξιοῖ. οὕτω γὰρ ἂν μόνως ὧν κεκτήμεθα ἀγαθῶν αὐτῷ φανούμεθα τιμιώτατοι.

Τάξιν μὲν οὖν καὶ κόσμον εἰς τὴν γερουσίαν ὑμῖν ἐπακτέον, καὶ παρὰ μὲν τῶν κορυφαίων ἀπαιτητέον αἰδῶ τῆς ἀρχῆς, ἣν ἐκόσμησαν, παρὰ δὲ τῶν πολλῶν εὐπείθειαν. καὶ οἰητέον ὑγιαίνοντος ζῴου μηδὲν διαφέ-
ρειν τὴν μεγάλην βουλὴν, ἐν ᾧ τοῖς ὄμμασι τὸ λοιπὸν c
ἀκολουθεῖν σῶμα προσήκει, καὶ μὴ τὼ χεῖρε ἢ τὼ πόδε προεξανίστασθαι τῶν ὀφθαλμῶν, ἀλλ᾽ ὅταν ἕκαστον τῶν μερῶν ἀγαπᾷ τὸν οἰκεῖον καιρὸν, τότε καὶ τὸ σύμπαν ζῷον εὖ πράττειν ἀνάγκη.

263, 3 γανύμενος] Vulgo γαννύμενος. 8 δυσποτμίαν A. δυσπατρίαν H et margo A. 9 ἀντικατηλλάξαντο] ἀντηλλάξαντο A. 14 αὐτῷ φανούμεθα] αὐτοὶ φανούμεθα Roulezius p. 1.

XVIII.

d ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΦΙΛΗΚΟΪΑΣ.

Ἆρα ὅστις εὐδόκιμος εἶναι ἐσπούδακεν ἐφ' ἱππηλασίᾳ καὶ τῆς τοῦ Νέστορος ἐφίεται ἐπωνυμίας, ἣν ἐκείνῳ δίδωσιν Ὅμηρος ἐν τῇ ποιήσει, ἱππότην αὐτὸν καὶ ἱππηλάτην συνεχῶς ἐπονομάζων, τούτῳ οἷόν τε ὀλιγώρως ἔχειν τῆς ἱππικῆς τέχνης καὶ οὐχ ἅπαντα ἐκπονεῖν ἀκριβῶς ὅσα ἀποδείξει αὐτὸν ἀγαθὸν ἱππέα; οἷον ἀνα-
217 a βαίνειν τε ἵππον ῥᾳδίως καὶ ἐγκαθίζεσθαι κούφως καὶ ἀποπηδᾶν ξὺν ῥᾳστώνῃ καὶ τὰ χαλινὰ ἐπέχειν τε ἵνα καιρὸς καὶ αὖθις ἵνα χρὴ ἀφιέναι, θαρροῦντα μὲν τοῖς λείοις καὶ ἀναπεπταμένοις δαπέδοις, εὐλαβούμενον δὲ τὰ δυσόριστα καὶ στενόπορα, ὥς που καὶ παρ' αὐτῷ τῷ Ὁμήρῳ ἀγανακτεῖ πρὸς τὸν Ἀντίλοχον ὁ Μενέλεως ἐν τῷ ἀγῶνι τοῦ ἱππικοῦ δρόμου ὃν ἐπὶ Πατρόκλῳ ἔθηκεν Ἀχιλλεύς, ὅτι ἐπιθυμίᾳ τῆς νίκης τὸν κίνδυνον οὐ προορῴη, μὴ ἀνέχων τοὺς ἵππους, ἀλλ' ἐπιδιώκων ἐν χωρίῳ στενῷ καὶ ἀποκρήμνῳ. εἶεν. ὅστις δὲ
b ἐπὶ τοξικῇ ἐλλόγιμος εἶναι ἔρωτα ἔχει, οὗτος ἐν ἄλλῳ τῳ διατρίβει μᾶλλον ἢ ἐν τῷ μελετᾶν συνεχῶς εὐτόνους τε ἅμα καὶ ἐπισκόπους πέμπειν τοὺς οἰστούς; καὶ τρι-

---

264, 1 τοῦ βασιλέως φιληκοΐας A: φιληκοΐας τοῦ βασιλέως H. 3 ἣν] καὶ ἣν A. 4 τῇ ποιήσει] τῇ om. A. 7 ἀναβαίνειν τε] τε ἀναβαίνειν A. 9 τε om. A. 10 ἀφιέναι] ἐφιέναι A. 12 δυσόριστα A. δυσπόριστα H. δύσπορα Stephanus. δυσπόρευτα Iacobsius ad Antholog. Palat. vol. III. p. 388. 13 Μενέλεως] μενέλαως (sic) A. 17 ἐν χωρίῳ] ἐν om. A. ὅστις] οὗτις A. 18 τοξικῇ] τοξικῆς A. ἔχει] ἔσχεν A. 19 διατρίβει] διατρίβειν A. εὐτόνους — ἐπισκόπους A. εὐτόνως — ἐπισκόπως H.

βονται αὐτοῦ αἱ χεῖρες περὶ τὴν νευρὰν καὶ τὴν γλυφίδα, καὶ τοσαύτη αὐτοῦ ἡ μελέτη καὶ ἡ ἐπιστήμη ὅση ἡ τοῦ Κρητὸς Μηριόνου· ὥστε καὶ εἰ τῆς πελειάδος ἀποτυγχάνει, τῆς μηρίνθου γε μὴ ἁμαρτεῖν. τὸν δὲ ἐφ' ὁπλομαχίᾳ βουλόμενον ἐπαίνου τυχεῖν τί ἄρα φῶμεν, ὦ γενναῖοι, παντάπασιν ἀμελοῦντα ὁπλομαχίας, καὶ ἄπειρον μὲν τοῦ ἐπὶ δεξιά, ἄπειρον δὲ τοῦ ἐπ' ἀριστερὰ c
νωμῆσαι βῶν ἀζαλέην, ταύτην ἐλπίζειν τὴν εὐφημίαν καὶ ὀνειροπολεῖν τέχνης ἐπαίνους, ἣν οὐκ ἐξήσκησεν; ἵν' οὖν μὴ καὶ τὸν κυβερνήτην ὑμῖν ἐπάγω καὶ τὸν ποιμένα καὶ τὸν ἰατρὸν καὶ ἅπαντας δεικνύοιμι τούτους, ὅταν ἐφίωνται ἐπαίνων τῶν ἐπὶ τῇ τέχνῃ, ἐφίεσθαι χρῆναι καὶ τῶν ἔργων τῶν ἐκ τῆς τέχνης, ἐπ' αὐτὸ δὴ ἔρχομαι τὸ κεφάλαιον ὧν προὐθέμην.

Ἆρα εἴ τις ὕψου προκαθήμενος καὶ ἁλουργίδα ἠμφιεσμένος καὶ ἐπιτροπεύων σχεδόν τι ἅπασαν γῆν τε d
καὶ θάλασσαν, ὅσης τε αὐτὸς προστατεύει καὶ ὅσην ῥύεται καὶ ὅσῃ συγχωρεῖ τὴν ὀργήν, διψῇ οὗτος ἐπαίνων ἀληθινῶν καὶ οὓς οἶδεν ἄνευ θωπείας αὐτῷ προσιόντας, τούτῳ ἄρα ἡ γνώμη οὐ τεθάρρηκεν ὑπὸ τῆς ἄνωθεν ψήφου, καὶ ὃ μεταχειρίζεται ἤδη ἕκτον ἔτος ἀκέραιός τε καὶ ἄτρωτος μᾶλλον ὑπὸ ψόγου ἢ σιδήρου; ἀναμνήσθητε τοίνυν τοῦ πρώτου συλλόγου καὶ τοῦ 218 a
μέλους τοῦ Βυζαντίου, ἐφ' ᾧ ὁ σύλλογος. οὐ γὰρ ἀπόχρη τῷ ἀνδρὶ τούτῳ εἰσιόν τι μέλος πεποιημένον τῆς προκειμένης θοίνης ἀπολαύειν, ἀλλ' ἐδυσχέραινε καὶ ᾐτιᾶτο ὅτι μὴ εἰσφοιτᾷ ἤδη χρόνοις αὐτῷ ἡ φιλοσοφία, μηδὲ θαμίζει δορυφοροῦσα εἰς τὰ βασίλεια, ὡς πάλαι εἰώθει. Φωκίων μὲν γὰρ ὁ χρηστός, ἐπεὶ δημηγορῶν

263, 1 τὴν γλυφίδα A. τὰς γλυφίδας H. 2 αὐτοῦ] αὐτῷ A. ὅση A. ὅση καὶ H. 3 Κρητὸς] κρητῶν A. εἰ] ἢ A. 4 γε om. A. 5 ὁπλομαχίᾳ] ὁπλομαχίας A. 8 νωμῆσαι] Iliad. η, 239. ταύτην] ταῦτα A. ἐλπίζειν — ὀνειροπολεῖν] ἐλπίζει — ὀνειροπολεῖ A. 12 ἐφίωνται] ἐφίενται H. ἐπαίνων τῶν] τῶν ἐπαίνων A. τῇ τέχνῃ A. τῇ om. H. ἐφίεσθαι — τέχνης om. A. 23 ἀναμνήσθητε] ἀναμνήσθητι A. 25 μέλος] μέλος ἐφ' A.

φαίνει αὐτῷ προθυμότερον συνεπήχησεν ὁ δῆμος ὁ Ἀθηναίων, μή τι ἄρα, ἔφη, κακὸν εἰπὼν λέληθα ἐμαυτόν; βασιλεὺς δὲ οὐ λέγουσαν φιλοσοφίαν, ἀλλὰ σιωπῶσαν, b ὕποπτον ποιεῖ καὶ τὴν σιωπὴν αὐτῆς ἀντὶ σημείου λαμβάνει τῆς ἐνδείας τῶν ἔργων. ὅστις οὖν ἐπαίνου αὐτῷ εἰσιόντος καὶ τούτου λαμπροῦ τε καὶ μετεώρου καὶ δι' ὑψηλῶν ὀνομάτων καὶ ἐξ αὐτοῦ σχεδὸν τοῦ Ἑλικῶνος, περισκοπεῖ τὸν πεζὸν ἐπαινέτην καὶ λιπαρῶς ἔχει τοῦ ἀκομμώτου ὕμνου καὶ ἀνηδύντου, οὐκ ἔνδηλός ἐστιν ἐπίπροσθεν ἄγων ἀλήθειαν καλλιεπείας;

Τοῦτο δὲ οὐκ ἂν ἄλλως αὐτῷ συμβαίνοι, εἰ μὴ ἐγκύπτων πρῶτον εἰς ἑαυτὸν καὶ τὰ ἑαυτοῦ ἔργα ἐπι- c σκοπῶν πλοῦτον ὁρῴη πράξεων ἀγαθῶν καὶ καλῶν, ἃς οὐκ ὀκνεῖ ἄδειαν ἐπιψηφίζουσα ἡ φιλοσοφία. ἐπίσταται γάρ, ὡς ἔοικε, τοὺς μὲν ἄλλους λόγους, ὅσοι εἰσφοιτῶσιν αὐτῷ παρὰ τῶν ποιητῶν καὶ τῶν συγγραφέων, ἐντιμότερον ὡς τὰ πολλὰ ποιουμένους τὸ δοκοῦν τοῦ ὄντος καὶ τοῦ ὠφελίμου τὸ κεχαρισμένον. ταῦτά τοι καὶ εἰσιέναι ἐσκευασμένους πρὸς ἡδονήν, ὥσπερ Ὅμηρος λέγει τὴν Ἥραν εὖ ἐντύνασαν ἑαυτὴν ἀφικέσθαι παρὰ τὸν Δία, ἀμπεχόνῃ τε ἁλουργεῖ καὶ καλύπτρᾳ καὶ ἐλλο- d βίοις, καὶ ἐπὶ πᾶσι τῷ κεστῷ αὐτῷ τῆς Ἀφροδίτης. οὕτω δὲ καὶ τούτους τοὺς λόγους πολὺν ἐνδύεσθαι τὸν ἔξωθεν κόσμον σχημάτων τε καὶ ὀνομάτων, καὶ τούτων εὖ μὲν ἐπειλεγμένων καὶ συνηρμοσμένων τῇ γνώμῃ, ἐνδήλους εἶναι ὅτι οὐ μόνα θαυμάζουσιν ὅσα θαυμαστὰ ἀληθινῶς, ἀλλὰ καὶ ὅσα οἱ παλαιοὶ οἴονται μακαριστὰ εἶναι, δύναμιν καὶ τέχνην καὶ οὐσίαν. μόνην δὲ δεῖ ἄρα ταύτην τὴν τέχνην ζητεῖν καὶ γινώσκειν, τίς ἀλη-

---

266, 1 ὁ Ἀθηναίων A. ὁ om. H. 4 σημείου] σημεῖα A. 6 λαμπροῦ A. ὑψηλοῦ H. καὶ μετεώρου add. A. 13 καλῶν A. βασιλικῶν H. 14 ἄδειαν] ᾠδὴν Stephanus. 15 τοὺς μὲν A. καὶ τοὺς μὲν H. 17 ἐντιμότερον A. ἐπιτιμότερον H. ποιουμένους A. ἀντιποιουμένους H. δοκοῦν] δοκεῖν A. 19 Ὅμηρος] Iliad. ξ, 162. 21 ἐλλοβίοις] ἐλλοβίῳ A. 24 σχημάτων] ῥημάτων A. 27 παλαιοὶ A. πάλαι H. πολλοὶ Stephanus. 28 τέχνην καὶ οὐσίαν A. τύχην καὶ ἐξουσίαν H. δεῖ om. H.

θείως βασιλεὺς καὶ τίνα σημεῖα αὐτοῦ καὶ γνωρίσμα- 219 a τα· ὅτι οὐ χρυσὸς ἀετὸς οὐδὲ δράκοντες λεπτῶν ὑφασμάτων οὐδὲ μὰ Δία τοξεύεσθαι ἐπίσκοπα καὶ ἀκοντίζειν· ταῦτα γὰρ οἶμαι καὶ Νέρωνι ὑπῆρχε κιθαρῳδοῦντι καὶ Δομετιανῷ μελαγχολῶντι· ἀλλ' εἰ ἡ ψυχὴ ἄνω ὁρῶσα πρὸς τὸν τοῦ παντὸς βασιλέα συντεταμένη καὶ ἀρχομένη ἐκεῖθεν ὅσα οἷόν τε ἀρύεται ἐκ τοῦ οὐρανοῦ τῇ ἐπὶ τῆς γῆς βασιλείᾳ.

Ὧν καὶ σύ, ὦ χρηστέ, ἀρυόμενος οὐκ ἐδεήθης τῶν τοξοτῶν οὐδὲ τῶν ὁπλιτῶν οὐδὲ τῶν Ἀρμενίων οὐδὲ b Ἰβήρων οὐδὲ ἵππου πεφραγμένης, ὥστε τὴν φλόγα σβέσαι τὴν Σκυθικήν, ἀλλὰ μόνῃ τῇ σῇ βουλῇ καὶ τῇ σῇ γνώμῃ ὑφ' ἑαυτῆς ἡ φλὸξ ἐκείνη ἀπεμαράνθη. οὐ γὰρ κάτω σοι νεύει τὰ ὄμματα οὐδὲ ὁ νοῦς ἔμφροντίς ἐστιν ὁπόθεν τὸ χρυσίον πλεῖον ἔσται σοι ἢ τὸ ἀργύριον, ἀλλ' ὁπόθεν σοι πλεονάσουσιν οἱ τῶν ἀγαθῶν πράξεων θησαυροί, οἳ μόνοι ἄσυλοι καὶ ἀνάλωτοι. ταῦτ' οὖν γινώσκων, ὡς ἔοικεν, ὦ σοφώτατε, μόνης ταύτης μαθήματα καὶ διδάγματα τῆς ἐπιστήμης, εἰσπράττεσθαι αὐ- c τὴν οὐκ ὀκνεῖς ἐν μέσῳ τε καὶ ἐφ' ἁπάντων τὸ ἔργον ἐφ' ᾧ ἔταξεν ἑαυτήν, οἷόν τινα ἐτήσιον εἰσφοράν. καὶ οὐκ ἐφίστης μόνῃ τῇ εἰσπράξει ἀρχήν τινα καὶ στρατιώτην, ἀλλ' αὐτὸς κατεπείγεις καὶ αὐτὸς ἐπαναγκάζεις καὶ αὐτὸς ἀποδέχεσθαι τὴν εἰσφορὰν ταύτην διανοῇ. τυχὸν δὲ καὶ αὐτὸς εἰσιὼν ἂν καταλάβοις τὸ ταμιεῖον. διπλῇ οὖν με ἐπιγαυροῦσθαι προσήκει, καὶ ὅτι τὰ παιδικά μοι οὕτως διοικεῖται ὥστε ἐρᾶν τέχνης δυσχεραινούσης d ψευδολογίαν, καὶ ὅτι φιλοσοφία πεπίστευται μόνη ἀξιόπιστος εἶναι καὶ ἐπαινέτις παμβασιλείας.

267, 4 ὑπῆρχε] ὑπάρχειν A. 10 τῶν ἀρμενίων A. τῶν om. H. 11 ἵππου A. τῆς ἵππου τῆς H. 13 οὐ γὰρ A. οὐδὲ H. 14 ἐμφροντὶς A. ἐν φροντίδι H. 15 πλεῖον add. A. 22 μόνῃ] ταύτῃ Roulezius p. 49. coll. p. 143 d. 194 c. εἰσπράξει] πράξει A. στρατιώτην] στρατιῶτιν A. 23 ἐπαναγκάζεις] καταναγκάζεις A. 26 με ἐπιγ. προσήκει A. μοι προσήκει ἐπιγ. H. 29 ἐπαινέτις] ἐπαινέτης A.

Ἀλλ' εὖ τοι γίνωσκε, ὦ χρηστέ, ὅτι τὸ αἴτιον
τούτου τοῦ ὄκνου τοὐναντίον ἐστὶν οὗ σὺ ὑποπτεύεις·
οὐ σπάνις νευρηγῶν ὑποθέσεων, ἀλλὰ πλῆθος. ἀεὶ γὰρ
ἐπιδεικνύμενος πλείω τὰ ἀγαθὰ καὶ προσυφαίνων ὁση-
μέραι καὶ ὅσαι ὧραι, οὐκ εὐαγκάλους μοι ἔτι τοὺς λό-
220 a γους ποιεῖς· οὐδ' ὅσα ἂν τήμερον ὑφήνῃς, μόνον
αὖθις ἀναλύεις, ἀλλὰ καταπυκνοῦταί σοι μᾶλλον ἀεὶ
τὰ ποικίλματα τῆς ἀρετῆς, καὶ ὁπόσε μοι ἐπὶ νοῦν
ἔλθοι πρᾶξίν τινα παρὰ σοῦ πεπραγμένην ἢ καλῶς
ῥηθέντα λόγον ἀδεκάστῳ ὕμνῳ ἐπικοσμῆσαι, εὐθὺς
ἐπιρρέοντα ἄλλα καὶ ἄλλα πολλὰ τὰ ἐφεξῆς καταχών-
νυσί τε καὶ ἐπισκιάζει ἐφ' ἃ ὡρμήθην· καὶ αὖθις ὅτε
τὰ πρῶτα ἀφεὶς τὰ δεύτερα μεταχειρίζομαι, τρίτος τις
b καὶ τέταρτος ἀριθμὸς ἐπιὼν ἐκθλίβει τὴν ἐπὶ τοῖς
προειρημένοις τριβήν. πάσχω οὖν ὅπερ οἱ λίχνοι τῶν
δαιτυμόνων, ἀπογεύομαι ἀεὶ τοῦ παραφερομένου ἁρπά-
ζων, ἐμπίπλαμαι δὲ οὐδενὸς ἱκανῶς· ἢ ὅπερ μᾶλλον αἱ
κύνες αἱ θηρεύτριαι, ἑνὸς μὲν αὐταῖς ἀναφανέντος θη-
ρίου προσκαρτεροῦσιν ἐκείνῳ καὶ προσλιπαροῦσιν, ἄχρι
ἂν ἕλοιεν· εἰ δὲ πολλὰ ἅμα καὶ πολλαχόθεν ὑποκινοίη,
ἀεὶ τὸ φανὲν μεταθέουσαι ἀποφυγγάνειν τὸ πρόσθεν
ἐῶσι. ἢ που καὶ τὸν Διὸς Ἡρακλέα οὐ νέμεσις τοῖς
c τότε ὑμνοποιοῖς εἰ ῥᾷον ἐπῄνουν ἐναρχόμενον τῶν ἄθλων
μᾶλλον ἢ ἐπιδιδόντα.

Οὕτω δὴ καὶ τὰ σά, ὦ φέριστε, ἔχει. προσαύξεις ἀεὶ τοὺς ἄθλους τοὺς βασιλικοὺς καὶ ἐπιδίδως τῷ ἀριθμῷ, καὶ οὐκέτι μοι εὐθαρσὴς ἡ Μοῦσα τῷ δρόμῳ τῶν ἔργων ἁμιλλωμένη. οὐ γὰρ ὑπόπτεροι αὐτῆς οἱ λόγοι οὐδὲ κοῦφοι καὶ ὑπήνεμοι, ἀλλὰ σχολαῖοί τε καὶ

268, 2 σὺ add. A. 4 προσυφαίνων] Vulgo προϋφαίνων. 7 καταπυκνοῦται A. καταπυκνοῦνται H. 8 ὁπότε A. ὁπόταν H. 9 ἔλθοι] ἔλθῃ A. 12 ὁρμήθην] ὡρμήθη A. ὅτε — μεταχειρίζομαι A. ὅταν — μεταχειρίζωμαι H. 13 τρίτος τις] τις om. A. 15 τριβὴν A. τιμὴν H. οὖν] γοῦν A. νοῦν codex Vales. apud Boisson. ad Eunap. p. 223. ὅπερ] Vulgo ὥσπερ. 19 ἀεὶ τοῦ A. ἀεὶ τοῦ ἀεὶ H. 19 ἄχρι] Vulgo ἄχρις. 20 ἂν A. οὐ H. 21 τὸ πρόσθεν A. τὰ πρόσθεν H.

βραδέως καὶ περιαθροῦντες ἕκαστον τῶν πραττομένων, οὐ μόνον ὅ τι ἐπράχθη, ἀλλὰ καὶ ἐξ ἧς γνώμης καὶ ὁποίας καὶ πρὸς ὅντινα καὶ ὑπὲρ ὅτου. πολλάκις γὰρ τὸ μὲν ἔρ- d
γον οὐ λίαν μέγα, ἡ γνώμη δὲ μεγάλη καὶ ἀξιάγαστος· οἵα που καὶ ἡ πρώτη ἦν ἐκστρατεία τε καὶ ὁρμὴ ἐπὶ τὸν Ῥῆνον· ἔργον μὲν αὐτῇ οὐκ ἠκολούθησεν ἐμφανὲς τοῖς πολλοῖς, ἡ διάνοια δὲ ὑπερήφανος καὶ βασιλική, τιμωρῆσαι τῷ ἀρχηγέτῃ πρὸ ὥρας ἀνηρπασμένῳ καὶ τὸ λείψανον ἐκείνης περισῶσαι τῆς γενεᾶς. καὶ ὅτῳ τοῦτο μικρὸν δοκεῖ, ἐνθυμηθήτω ὅτι αὕτη ἡ γνώμη μόνη καὶ ἡ ὁρμὴ καὶ ἡ ἐπιβολὴ τὴν τόλμαν ἔστησε τῆς 221 a
ἑσπέρας ἤδη σφριγώσης, ὥσπερ ὁ Ἀχιλλεύς, ἡνίκα ἀπόμαχος ἦν, οὔπω τῶν ὅπλων αὐτῷ ἐκ τοῦ οὐρανοῦ κεκομισμένων, ἀλαλάξας τε καὶ μόνον ἐμβοήσας καὶ ἐξαλόμενος τῆς σκηνῆς ἔσβεσεν ἀναπτομένην ἤδη τὴν φλόγα τοῦ ναυστάθμου τοῦ Ἑλληνικοῦ καὶ τοὺς Τρῶας κατεπλήξατο τῆς αὐθαδείας.

Ταῦτα οὖν μοι περὶ ἕκαστον ἐπισκοποῦντι ἀτρέμα χρῆσθαι ἀνάγκη τῇ πινακίδι καὶ τῷ σιδηρίῳ. ἐπεὶ καὶ ὅτι τῶν εἰσφορῶν ἐπεκούφισας ἄχθος, ἐνταῦθα οὖν πάλιν ἐμοὶ τοῦ ποσοῦ θαυμαστότερον τὸ ὁπότε. ἡνίκα b
μὲν αὔξησιν ἐδεδίειμεν καὶ ἐπιθήκην, σταθμώμενοι ἀεὶ τῇ δαπάνῃ ἐπιδιδούσῃ, τότε ἀφελὼν τῶν φορτίων τῆς χάριτος μεῖζον ἐποίησας τὸ παρ' ἐλπίδα. ἀμέλει τέως μὲν ξὺν ἀπειλῇ καὶ ξὺν ἀνάγκῃ ξυνεφοίτα ἡμῖν ἡ σιτοπομπία, νῦν δὲ θᾶττον πτεροῦ καὶ νοήματος ἑκούσιος καὶ αὐτοκέλευστος ἀφικνεῖται. ὑπηρετεῖ καὶ ἡ θάλαττα τῇ τοῦ βασιλέως ὁρμῇ καὶ ὁ χειμέριος εἴσπλους τοῦ

269, 5 ἐκστρατεία A. ἐγκράτεια H. 7 ὑπερήφανος A. ἡ ὑπερήφανος H. 9 λείψανον] λεῖψαν A. 10 ὅτι αὕτη ἡ γνώμη μόνη A. ὅτι μόνη ἡ γνώμη H. 11 ἡ ὁρμὴ cod. Vales. apud Boissonad. ad Eunap. p. 122. [illegible] ἐπιβολὴ] ἐπιβουλὴ A. 12 σφριγώσης add. A. 13 αὐτῷ] αὐτοῦ A. κεκομισμένων] κεκοσμημένων A. 14 καὶ μόνον A. μόνον καὶ H. ἐμβοήσας A. ἐκβοήσας H. καὶ ἐξαλόμενος om. A. 19 περὶ ἕκ. ἐπὶ H. 19 σιδηρίῳ A. σιδήρῳ H. 22 μὲν A. ἐν H. ἐδεδίειμεν A. [illegible] H. 25 σιτοπομπία A. [illegible] H. 28 ὁ χειμέριος] ὁ om. A. εἴσπλους A. πλοῦς H.

XVII.

c ΕΠΙ ΤΗΙ ΧΕΙΡΟΤΟΝΙΑΙ ΤΗΣ ΠΟΛΙΑΡΧΙΑΣ.

Ἐπανήγαγεν αὖθις διὰ μακροῦ χρόνου φιλοσοφίαν ὁ θεοειδέστατος αὐτοκράτωρ εἰς τὴν τῶν κοινῶν ἐπιμέλειαν, ἐνδηλότερον τῶν ἔναγχος βεβασιλευκότων· οἱ μὲν γὰρ ἐτίμων μόνον ἐπὶ τοῖς λόγοις, εἰς δὲ τὰ ἔργα προελόμενοι πολλάκις κατελθεῖν οὐκ ἐδυσώπησαν, ἀλλ' ἄχρι
d τῶν πρεσβειῶν τέως ἐπολιτεύετο καὶ ἐλειτούργει τῇ κοινῇ πατρίδι. βασιλεὺς δὲ καὶ τὴν ἀρχὴν αὐτῇ περιέθηκε καὶ παρεγγυᾷ γίνεσθαι αὐτουργὸν ὑπὲρ ὧν τέως ἄλλους ἠξίου. καὶ πάλαι μὲν ἐξῆν φιλοσοφίαν καθηγουμένην τοῖς ἀθλοῦσι τοὺς δημοσίους ἀγῶνας αὐτὴν θεωρεῖν ἡσυχῇ καὶ ἀπραγμόνως. κατάγει δὲ ταύτην βασιλεὺς ἀντὶ τῆς θεωρίας εἰς τὴν κονίστραν καὶ δίδωσι πείθειν
214 a τοὺς πολλοὺς ἀνθρώπους ὅτι οὐ λόγος ἦν ἄρα ἔργων χωρίς, ἀλλ' ἔργων ἀποδείξεις ὑπὸ λόγου ποδηγουμένων, οὐδὲ ἀκίνδυνος διδασκαλία τῶν ἀρχικῶν παραγγελμάτων, ἀλλὰ καὶ πρᾶξις ὧν παραγγέλλει.

Καὶ ἤνεγκεν ὁ καθ' ἡμᾶς χρόνος βασιλείαν αἰσθανομένην τῶν τοῖς παλαιοῖς δεδογμένων, οἳ καλῶς ἕξειν τηνικαῦτα ταῖς πόλεσι τὰ πράγματα ὑπελάμβανον, ὅταν τῇ τοῦ λέγειν ἀρετῇ ἡ τοῦ πράττειν ἐξουσία συνδράμῃ καὶ εἰς ταὐτὸν ἔλθωσιν ἄμφω, δύναμίς τε πολιτικὴ καὶ φιλοσοφία, ἃς πρώτας ἐν ἑαυτῷ δεικνὺς συν-
b τρεχούσας ὁ φιλοσοφώτατος αὐτοκράτωρ παρακελεύεται καὶ ἡμῖν ἐν γήρᾳ γοῦν ἀκολουθῆσαι νεότητι φιλοσο-

---

260, 3 τῶν κοινῶν A. τῶν om. H. 15 ἀποδείξεις] ἐνδείξεις Harduinus.

φρονήσῃ καὶ ἀπονέμει τὴν ἐλευθεριωτάτην τῶν ἑαυτοῦ φροντίδων ἡμῖν, τὴν σεμνὴν ταύτην καὶ εὐγενῆ πολιαρχίαν οἰκείαν τε καὶ ἀκόλουθον ταῖς δέκα πρεσβείαις καὶ ταῖς ὑπερορίοις ἀποδημίαις, ἃς ὑπὲρ ὑμῶν, ὡς οἷόν τε ἦν, ἐκ νεότητος εἰς ταύτην τὴν ἡλικίαν οὐκ ἀναξίως τῆς χειροτονίας τῆς ὑμετέρας οὐδὲ ἀνωφελῶς διηνύσαμεν.

Καὶ παρατρέχει τοὺς πρότερον αὐτοκράτορας ἀντὶ τῶν δυεῖν ἀνδριάντων καὶ τῶν συνεχῶν παρεδριῶν, ἐνεργῷ τιμῇ καὶ τηλικαύτῃ κοσμῶν τε ἡμᾶς καὶ παρ' ἡμῶν c
κοσμεῖσθαι καταναγκάζων, οὐκ ἔπηλυν οὐδὲ ὀθνεῖον τὸν ἄρχοντα τῆς πόλεως τῆς βασιλίδος χειροτονῶν, ἀλλ' ἐγγενῆ, ἐντεθραμμένον ὑμῖν καὶ ἐναυξηθέντα καὶ ἐνοικοῦντα, ὡς μηδὲν εἶναι τῆς παρούσης ἀρχῆς ἀγαθόν, ὃ μὴ κοινὸν ἁπάντων ἀναφανεῖται. οὐκοῦν οὐδὲ ἐμοὶ θεμιτὸν ἦν ἀπώσασθαι ταύτην τὴν ψῆφον.

Βασιλέως γὰρ φιλοσόφου φιλόσοφος διακρουόμενος πολιτικὴν χειροτονίαν ἀλλότριον ἑαυτὸν εὐθὺς δείκνυσι τοῦ προσρήματος, εἰ μὴ φιλοσοφίαν ἡμεῖς ἐν τῇ γλώττῃ μόνον κεῖσθαι ὑπολαμβάνομεν καὶ οὐ πολλῷ μᾶλλον d
ἐν τῇ ψυχῇ, ἵνα θυμὸς μὲν ᾖ κεκοιμισμένος, ὀργὴ δὲ ἐγκεχαλινωμένη τῷ λόγῳ, φιλοχρηματία δὲ ἐξοικίζηται τῆς ψυχῆς, ὠμότης δὲ μακρὰν που σκηνῇ, πανταχοῦ δὲ ὁ νόμος καὶ ἡ δίκη καὶ ἡ θέμις ἔχωσι τὴν προεδρίαν. ὁ τοιοῦτον βασιλέα μὴ φιλοσοφεῖν ὑπολαμβάνων οὐ μόνον Πλάτωνος ἀνήκοος οὐδὲ Πυθαγόρου, ἀλλ' οὐδὲ τὰ πρόχειρα ταῦτα γινώσκει, ὅτι πᾶσα ἀρε- 215 a
τῆς ἐπιθυμία φιλοσοφία, καὶ συνάγει τὴν θειοτάτην τῶν ἐπιστημῶν εἰς κόμην ἴσως καὶ πώγωνα καὶ τριβώνιον.

Ἀπολαυέτω τοίνυν ὁ καθ' ἡμᾶς χρόνος τῶν Τραϊανοῦ καιρῶν ἐπανιόντων, τῶν Ἀδριανοῦ, τῶν Μάρκου,

---

261, 1 ἐλευθεριωτάτην A. : ἐλευθεριωτάτην H. 10 κοσμῶν Harduinus. Vulgo κοσμεῖν. ἡμᾶς A. ὑμᾶς H. 23 σκηνῇ] Vulgo σκηνοῖ. 24 ἔχωσι Roulezius p. 3. Vulgo ἔχουσι. 25 προεδρίαν] παρεδρίαν Roulezius p. 32.

τῶν Ἀντωνίνου, οἳ τὸν Ἀρειανὸν καὶ τὸν Ῥούστικον ἐξαναστήσαντες ἐκ τῶν βιβλίων μερίστας ἐποιοῦντο καὶ συνεργοὺς τῆς τῶν κοινῶν ἐπιτροπείας, οὐδὲν οὗτοι καινουργοῦντες οὐδὲ εἰσάγοντες πρᾶγμα ἄηθες εἰς τὴν πολιτείαν, ἀλλὰ ζηλοῦντες τοὺς πάλαι Ῥωμαίους, ἐφ' b ὧν Σκηπίωνες καὶ Βάρωνες καὶ Κάτωνες φιλοσοφοῦντες ἐπολιτεύοντο καὶ ἦρχον τὰς μεγίστας ἀρχάς, καὶ Θρασέας καὶ Πρίσκος καὶ Βίβος καὶ Φαβώνιος ἀμοιβαδὸν ἀλλαττόμενοι τοὺς τρίβωνας καὶ τὰς τηβέννους, ὥσπερ Ξενοφῶν παρ' Ἕλλησι καὶ Σωκράτης, ὁ μὲν στρατηγῶν, ὁ δὲ πρυτανεύων. ἐῶ γὰρ τὸν θεσπέσιον Πλάτωνα, ὃς εὔξατο μὲν βασιλέα τοιοῦτον εὑρήσειν, ᾧ κοινωνήσει τῶν δημοσίων φροντίδων, διήμαρτε δὲ τῆς εὐχῆς, καὶ ζητῶν, ὡς αὐτός πού φησι, νέον, σώφρονα, c πρᾶον, ἥμερον, μεγαλοπρεπῆ, μεγαλόφρονα, ἄντικρυς Θεοδόσιον, τρὶς ἐξέπεσεν εἰς Διονύσιον καὶ Σικελίαν, ἔρωτι βασιλείας ἀληθινῆς εἰς τυραννικὴν περιωθούμενος συνουσίαν. ἐῶ δὲ Πιττακὸν καὶ Βίαντα καὶ Κλεόβουλον, ἐῶ δὲ Ἀρχύταν τὸν Ταραντῖνον, οἳ πλείοσι πράγμασιν ὡμίλησαν ἢ συγγράμμασι.

Τούτων ἁπάντων οὐχ ἧττον ἀοίδιμος ὁ παρὼν καιρὸς καὶ τοῦ διδόντος ἕνεκα τὴν τιμὴν καὶ τοῦ λαμβάνοντος, οἷς συναγωνίζεσθαι καὶ ὑμᾶς ἐστιν ἀναγκαῖον, ὦ πατέρες συγγεγραμμένοι. ὡς οἰκίαις μὲν καὶ χρυσῷ καὶ ἀργύρῳ πρωτεύειν ὑμᾶς τῶν πολλῶν ἀνθρώπων οὐ- d δὲν σεμνὸν οὐδὲ μεγαλεῖον· εἰ δὲ τὸ φιλοσοφίαν τιμᾶν καὶ ἀρετὴν ἐπίπροσθεν ἄγειν φανεροὶ γενόμεθα ἐσπουδακότες, τότε οὐ ψευσόμεθα τὴν ἐπίκλησιν τῶν πατέρων, ἀλλὰ τηνικαῦτα ἔσται πρόκριτος ἡ βουλή, τηνικαῦτα νεὼς τῶν Μουσῶν, οὐ χαλκῶν ἔμπλεως ἀγαλμάτων, ἀλλ' αὐτῶν γέμων τῶν ἀρχετύπων.

Μιμώμεθα τὸν ἀρχηγέτην, ὦ πρόβολοι τῆς οἰκουμένης, ἀκολουθήσωμεν τῇ ψήφῳ τῇ θεοσδότῳ, φαινό-

---

262, 3 οὐδὲν αὐτοι A. οὗτοι H. 6 σκηπίωνες A. Σκιπίωνες H. 8 Θρασέας] Vulgo Θρασείας. Βίβος] Βίβουλος Harduinus. Βροῦτος memoratur in loco parallelo orat. XXXIV. p. 34. ed. Mai.

μεθα αὐτῷ καθ' ἡμέραν ἐρασμιώτεροι. οὐκ ἐρᾷ θη- 216 a σαυρῶν ὁ νεανίας, οὐκ ἐρᾷ λίθων πολυτίμων, οὐκ ἐρᾷ ποικίλης ἐσθῆτος. ἀλλὰ ταῦτα καὶ ἀναλίσκει γανύμενος καὶ προΐεται. ἐρᾷ δὲ ἑνὸς μόνου καὶ ἥττων ἐστίν, ἀρετῆς, καὶ ὧν καθηγεμών ἐστιν ἀρετή, φιλανθρωπίας, πρᾳότητος, ἀνεξικακίας· δι' ὃν μέλαν ἱμάτιον οὐδεὶς ἠμφιάσατο, δι' ὃν οὐδεὶς ἀπάτωρ, ὀρφανὸς παντελῶς, ἀλλὰ καὶ οἷς ἀνάγκη τις οὐκ εὐδαίμων ἔτι νηπίοις ταύτην ἐπέκλωσε τὴν δυσπονίαν, ἀντὶ ἰδιώτου πατρὸς ἀντικατηλλάξαντο βασι- b λέα. τούτων βούλεται τῶν ἀγαθῶν τοὺς θησαυροὺς καὶ τὸ ταμιεῖον αὔξεσθαι αὐτῷ καὶ πληθύνειν· οὓς πρώτους ἐν ἑαυτῷ θησαυρίσας οὕτω καὶ ἡμᾶς αὐτῶν πλουτεῖν ἀξιοῖ. οὕτω γὰρ ἂν μόνως ὧν κεκτήμεθα ἀγαθῶν αὐτῷ φανούμεθα τιμιώτατοι.

Τάξιν μὲν οὖν καὶ κόσμον εἰς τὴν γερουσίαν ὑμῖν ἐπακτέον, καὶ παρὰ μὲν τῶν κορυφαίων ἀπαιτητέον αἰδῶ τῆς ἀρχῆς, ἣν ἐκόσμησαν, παρὰ δὲ τῶν πολλῶν εὐπείθειαν. καὶ οἰητέον ὑγιαίνοντος ζῴου μηδὲν διαφέρειν τὴν μεγάλην βουλήν, ἐν ᾧ τοῖς ὄμμασι τὸ λοιπὸν c ἀκολουθεῖν σῶμα προσήκει, καὶ μὴ τὼ χεῖρε ἢ τὼ πόδε προεξανίστασθαι τῶν ὀφθαλμῶν, ἀλλ' ὅταν ἕκαστον τῶν μερῶν ἀγαπᾷ τὸν οἰκεῖον καιρόν, τότε καὶ τὸ σύμπαν ζῷον εὖ πράττειν ἀνάγκη.

263, 3 γανύμενος] Vulgo γαννύμενος. 8 δυσκολίαν A. δυσποτμίαν H et margo A. 9 ἀντικατηλλάξαντο] ἀντηλλάξαντο A. 14 αὐτῷ φανούμεθα] αὐτοὶ φανούμεθα Roulezius p. 1.

XVIII.

d ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΦΙΛΗΚΟΙΑΣ.

Ἆρα ὅστις εὐδόκιμος εἶναι ἐσπούδακεν ἐφ' ἱππηλασίᾳ
καὶ τῆς τοῦ Νέστορος ἐφίεται ἐπωνυμίας, ἣν ἐκείνῳ
δίδωσιν Ὅμηρος ἐν τῇ ποιήσει, ἱππότην αὐτὸν καὶ ἱπ-
πηλάτην συνεχῶς ἐπονομάζων, τούτῳ οἷόν τε ὀλιγώρως
ἔχειν τῆς ἱππικῆς τέχνης καὶ οὐχ ἅπαντα ἐκπονεῖν
ἀκριβῶς ὅσα ἀποδείξει αὐτὸν ἀγαθὸν ἱππέα; οἷον ἀνα-
217 a βαίνειν τε ἵππον ῥᾳδίως καὶ ἐγκαθίζεσθαι κούφως
καὶ ἀποπηδᾶν ξὺν ῥᾳστώνῃ καὶ τὰ χαλινὰ ἐπέχειν τε
ἵνα καιρὸς καὶ αὖθις ἵνα χρὴ ἀφιέναι, θαρροῦντα μὲν
τοῖς λείοις καὶ ἀναπεπταμένοις δαπέδοις, εὐλαβούμενον
δὲ τὰ δυσόριστα καὶ στενόπορα, ὥς που καὶ παρ' αὐ-
τῷ τῷ Ὁμήρῳ ἀγανακτεῖ πρὸς τὸν Ἀντίλοχον ὁ Μενέ-
λεως ἐν τῷ ἀγῶνι τοῦ ἱππικοῦ δρόμου ὃν ἐπὶ Πατρό-
κλῳ ἔθηκεν Ἀχιλλεύς, ὅτι ἐπιθυμίᾳ τῆς νίκης τὸν κίν-
δυνον οὐ προορῴη, μὴ ἀνέχων τοὺς ἵππους, ἀλλ' ἐπι-
διώκων ἐν χωρίῳ στενῷ καὶ ἀποκρήμνῳ. εἶεν. ὅστις δὲ
b ἐπὶ τοξικῇ ἐλλόγιμος εἶναι ἔρωτα ἔχει, οὗτος ἐν ἄλλῳ
τῳ διατρίβει μᾶλλον ἢ ἐν τῷ μελετᾶν συνεχῶς εὐτόνους
τε ἅμα καὶ ἐπισκόπους πέμπειν τοὺς οἰστούς; καὶ τρι-

264, 1 τοῦ βασιλέως φιληκοΐας A. φιληκοΐας τοῦ βασιλέως H. 3 ἣν] καὶ ἣν A. 4 τῇ ποιήσει] τῇ om. A. 7 ἀναβαίνειν τε] τε ἀναβαίνειν A. 9 τε om. A. 10 ἀφιέναι] ἐφιέναι A. 12 δυσόριστα A. δυσπόριστα H. δύσπορα Stephanus. δυσπόρευτα Iacobsius ad Antholog. Palat. vol. III. p. 388. 13 Μενέλεως] μενέλαως (sic) A. 17 ἐν χωρίῳ] ἐν om. A. ὅστις] οὗτις A. 18 τοξικῇ] τοξικῆς A. ἔχει] ἔσχεν A. 19 διατρίβει] διατρίβειν A. εὐτόκους — ἐπισκώπους A. εὐτόνως — ἐπισκόπως H.

βούνται αὐτοῦ αἱ χεῖρες περὶ τὴν νευρὰν καὶ τὴν γλυφίδα, καὶ τοσαύτη αὐτοῦ ἡ μελέτη καὶ ἡ ἐπιστήμη ὅση ἡ τοῦ Κρητὸς Μηριόνου· ὥστε καὶ εἰ τῆς πελειάδος ἀποτυγχάνει, τῆς μηρίνθου γε μὴ ἁμαρτεῖν. τὸν δὲ ἐφ' ὁπλομαχίᾳ βουλόμενον ἐπαίνου τυχεῖν τί ἄρα φῶμεν, ὦ γενναῖοι, παντάπασιν ἀμελοῦντα ὁπλομαχίας, καὶ ἄπειρον μὲν τοῦ ἐπὶ δεξιά, ἄπειρον δὲ τοῦ ἐπ' ἀριστερὰ c νωμῆσαι βῶν ἀζαλέην, ταύτην ἐλπίζειν τὴν εὐφημίαν καὶ ὀνειροπολεῖν τέχνης ἐπαίνους, ἣν οὐκ ἐξήσκησεν; ἵν' οὖν μὴ καὶ τὸν κυβερνήτην ὑμῖν ἐπάγω καὶ τὸν ποιμένα καὶ τὸν ἰατρὸν καὶ ἅπαντας δεικνύοιμι τούτους, ὅταν ἐφίωνται ἐπαίνων τῶν ἐπὶ τῇ τέχνῃ, ἐφίεσθαι χρῆναι καὶ τῶν ἔργων τῶν ἐκ τῆς τέχνης, ἐπ' αὐτὸ δὴ ἔρχομαι τὸ κεφάλαιον ὧν προὐθέμην.

Ἆρα εἴ τις ὑψοῦ προκαθήμενος καὶ ἁλουργίδα ἠμφιεσμένος καὶ ἐπιτροπεύων σχεδόν τι ἅπασαν γῆν τε d καὶ θάλασσαν, ὅσης τε αὐτὸς προστατεύει καὶ ὅσην ῥύεται καὶ ὅσῃ συγχωρεῖ τὴν ὀργήν, διψῇ οὗτος ἐπαίνων ἀληθινῶν καὶ οὓς οἶδεν ἄνευ θωπείας αὐτῷ προσιόντας, τούτῳ ἄρα ἡ γνώμη οὐ τεθάρρηκεν ὑπὸ τῆς ἄνωθεν ψήφου, καὶ ὃ μεταχειρίζεται ἤδη ἕκτον ἔτος ἀκέραιός τε καὶ ἄτρωτος μᾶλλον ὑπὸ ψόγου ἢ σιδήρου; ἀναμνήσθητε τοίνυν τοῦ πρώτου συλλόγου καὶ τοῦ 218 a μέλους τοῦ Βοιωτίου, ἐφ' ᾧ ὁ σύλλογος. οὐ γὰρ ἀπόχρη τῷ ἀνδρὶ τούτῳ εἰσιόν τι μέλος πεποιημένον τῆς προκειμένης θοίνης ἀπολαύειν, ἀλλ' ἐδυσχέραινε καὶ ᾐτιᾶτο ὅτι μὴ εἰσφοιτᾷ ἤδη χρόνοις αὐτῷ ἡ φιλοσοφία, μηδὲ θαμίζει δορυφοροῦσα εἰς τὰ βασίλεια, ὡς πάλαι εἰώθει. Φωκίων μὲν γὰρ ὁ χρηστός, ἐπεὶ δημηγορῶν

206, 1 τὴν γλυφίδα A. τὰς γλυφίδας H. 2 αὐτοῦ] αὐτῷ A. ὅση A. ὅση καὶ H. 3 Κρητὸς] κρητῶν A. εἰ] ἡ A. 4 γε om. A. 5 ὁπλομαχίᾳ] ὁπλομαχίας A. 8 νωμῆσαι] Iliad. η, 239. ταύτην] ταῦτα A. ἐλπίζειν — ὀνειροπολεῖν] ἐλπίζει — ὀνειροπολεῖ A. 12 ἐφίωνται] ἐφίενται A. ἐπαίνων τῶν] τῶν ἐπαίνων A. τῇ τέχνῃ A. τῇ om. H. ἐφίεσθαι — τέχνης om. A. 23 ἀναμνήσθητε] ἀναμνήσθητι A. 25 μέλος] μέλος [illegible] A.

σμίνει αὐτῷ προθυμότερον συνεπήχησεν ὁ δῆμος ὁ Ἀθηναίων, μή τι ἄρα, ἔφη, κακὸν εἰπὼν λέληθα ἐμαυτόν; βασιλεὺς δὲ οὐ λέγουσαν φιλοσοφίαν, ἀλλὰ σιωπῶσαν,
b ὕποπτον ποιεῖ καὶ τὴν σιωπὴν αὐτῆς ἀντὶ σημείου λαμβάνει τῆς ἐνδείας τῶν ἔργων. ὅστις οὖν ἐπαίνου αὐτῷ εἰσιόντος καὶ τούτου λαμπροῦ τε καὶ μετεώρου καὶ δι' ὑψηλῶν ὀνομάτων καὶ ἐξ αὐτοῦ σχεδὸν τοῦ Ἑλικῶνος, περισκοπεῖ τὸν πεζὸν ἐπαινέτην καὶ λιπαρῶς ἔχει τοῦ ἀκομμώτου ὕμνου καὶ ἀνηδύντου, οὐκ ἔνδηλός ἐστιν ἐπίπροσθεν ἄγων ἀλήθειαν καλλιεπείας;

Τοῦτο δὲ οὐκ ἂν ἄλλως αὐτῷ συμβαίνοι, εἰ μὴ ἐγκύπτων πρῶτον εἰς ἑαυτὸν καὶ τὰ ἑαυτοῦ ἔργα ἐπι-
c σκοπῶν πλοῦτον ὁρῴη πράξεων ἀγαθῶν καὶ καλῶν, ἃς οὐκ ὀκνεῖ ἄδειν ἐπιψηφίζουσα ἡ φιλοσοφία. ἐπίσταται γάρ, ὡς ἔοικε, τοὺς μὲν ἄλλους λόγους, ὅσοι εἰσφοιτῶσιν αὐτῷ παρὰ τῶν ποιητῶν καὶ τῶν συγγραφέων, ἐντιμότερον ὡς τὰ πολλὰ ποιουμένους τὸ δοκοῦν τοῦ ὄντος καὶ τοῦ ὠφελίμου τὸ κεχαρισμένον. ταῦτά τοι καὶ εἰσιέναι ἐσκευασμένους πρὸς ἡδονήν, ὥσπερ Ὅμηρος λέγει τὴν Ἥραν εὖ ἐντύνασαν ἑαυτὴν ἀφικέσθαι παρὰ τὸν Δία, ἀμπεχόνῃ τε ἁλουργεῖ καὶ καλύπτρᾳ καὶ ἐλλο-
d βίοις, καὶ ἐπὶ πᾶσι τῷ κεστῷ αὐτῷ τῆς Ἀφροδίτης. οὕτω δὲ καὶ τούτους τοὺς λόγους πολὺν ἐνδύεσθαι τὸν ἔξωθεν κόσμον σχημάτων τε καὶ ὀνομάτων, καὶ τούτων εὖ μὲν ἐπειλεγμένων καὶ συνηρμοσμένων τῇ γνώμῃ, ἐνδήλους εἶναι ὅτι οὐ μόνα θαυμάζουσιν ὅσα θαυμαστὰ ἀληθινῶς, ἀλλὰ καὶ ὅσα οἱ παλαιοὶ οἴονται μακαριστὰ εἶναι, δύναμιν καὶ τέχνην καὶ οὐσίαν. μόνην δὲ δεῖ ἄρα ταύτην τὴν τέχνην ζητεῖν καὶ γινώσκειν; τίς ἀλη-

---

266, 1 ὁ Ἀθηναίων A. ὁ om. H. 4 σημείου] σημεῖα A. 6 λαμπροῦ A. ὑψηλοῦ H. καὶ μετεώρου add. A. 13 καλῶν A. βασιλικῶν H. 14 ἄδειν] ᾄδειν Stephanus. 15 τοὺς μὲν A. καὶ τοὺς μὲν H. 17 ἐντιμότερον A. ἐνσεμνότερον H. ποιουμένους A. ἀντιποιουμένους H. δοκοῦν] δοκεῖν A. 19 Ὅμηρος] Iliad. ξ, 162. 21 ἐλλοβίοις] ἐλλοβίῳ A. 24 σχημάτων] ῥημάτων A. 27 παλαιοὶ A. πάλαι H. πολλοὶ Stephanus. 28 τέχνην καὶ οὐσίαν A. τύχην καὶ ἐξουσίαν H. δεῖ om. H.

θινῶς βασιλεὺς καὶ τίνα σημεῖα αὐτοῦ καὶ γνωρίσμα- 219 a
τα· ὅτι οὐ χρυσὸς ἀετὸς οὐδὲ δράκοντες λεπτῶν ὑφασμάτων οὐδὲ μὰ Δία τοξεύεσθαι ἐπίσκοπα καὶ ἀκοντίζειν· ταῦτα γὰρ οἶμαι καὶ Νέρωνι ὑπῆρχε κιθαρῳδοῦντι καὶ Δομετιανῷ μελαγχολῶντι· ἀλλ' εἰ ἡ ψυχὴ ἄνω ὁρῶσα πρὸς τὸν τοῦ παντὸς βασιλέα συντεταμένη καὶ ἁρμοζομένη ἐκεῖθεν ὅσα οἷόν τε ἀρύεται ἐκ τοῦ οὐρανοῦ τῇ ἐπὶ τῆς γῆς βασιλείᾳ.

Ὧν καὶ σύ, ὦ χρηστέ, ἀρυόμενος οὐκ ἐδεήθης
τῶν τοξοτῶν οὐδὲ τῶν ὁπλιτῶν οὐδὲ τῶν Ἀρμενίων οὐδὲ b
Ἰβήρων οὐδὲ ἵππου πεφραγμένης, ὥστε τὴν φλόγα σβέσαι τὴν Σκυθικήν, ἀλλὰ μόνῃ τῇ σῇ βουλῇ καὶ τῇ σῇ γνώμῃ ὑφ' ἑαυτῆς ἡ φλὸξ ἐκείνη ἀπεμαράνθη. οὐ γὰρ κάτω σοι νεύει τὰ ὄμματα οὐδὲ ὁ νοῦς ἔμφροντίς ἐστιν ὁπόθεν τὸ χρυσίον πλεῖον ἔσται σοι ἢ τὸ ἀργύριον, ἀλλ' ὁπόθεν σοι πλεονάσουσιν οἱ τῶν ἀγαθῶν πράξεων θησαυροί, οἳ μόνοι ἄσυλοι καὶ ἀνάλωτοι. ταῦτ' οὖν γινώσκων, ὡς ἔοικεν, ὦ σοφώτατε, μόνης ταύτης μαθήματα καὶ διδάγματα τῆς ἐπιστήμης, εἰσπράττεσθαι αὐ- c
τὴν οὐκ ὀκνεῖς ἐν μέσῳ τε καὶ ἐφ' ἁπάντων τὸ ἔργον ἐφ' ᾧ ἔταξεν ἑαυτήν, οἷόν τινα ἐτήσιον εἰσφοράν. καὶ οὐκ ἐφίστης μόνῃ τῇ εἰσπράξει ἀρχήν τινα καὶ στρατιώτην, ἀλλ' αὐτὸς κατεπείγεις καὶ αὐτὸς ἐπαναγκάζεις καὶ αὐτὸς ἀποδέχεσθαι τὴν εἰσφορὰν ταύτην διανοῇ. τυχὸν δὲ καὶ αὐτὸς εἰσιὼν ἂν καταλάβοις τὸ ταμιεῖον. διπλῇ οὖν με ἐπιγαυροῦσθαι προσήκει, καὶ ὅτι τὰ παιδικά
μοι οὕτως διοικεῖται ὥστε ἐρᾶν τέχνης δυσχεραινούσης d
ψευδολογίαν, καὶ ὅτι φιλοσοφία πεπίστευται μόνη ἀξιόπιστος εἶναι καὶ ἐπαινέτις παμβασιλείας.

267, 4 ὑπῆρχε] ὑπάρχειν A. 10 τῶν ἀρμενίων A. τῶν om. H. 11 ἵππου A. τῆς ἵππου τῆς H. 13 οὐ γὰρ A. οὐδὲ H. 14 ἐμφροντις A. ἐν φροντίδι H. 15 πλεῖον add. A. 22 μόνῃ] ταύτῃ Roulezius p. 49. coll. p. 143 d. 194 c. εἰσπράξει] πράξει A. στρατιώτην] στρατιώτων A. 23 ἐπαναγκάζεις] καταναγκάζεις A. 26 με ἐπιγ. προσήκει A. με προσήκει ἐπιγ. H. 29 ἐπαινέτις] ἐπαινέτης A.

Ἀρμένιον ἄνθρωπον εὐκαταχώνηματον καὶ εὐάλωτον καὶ προσέτι γε ἐκ τῶν ἐκείνῃ βαρβάρων, οἷς ἐν ἔθει μὲν τὸ
c ἐξορχοῦσθαι, ἐν ἔθει δὲ τὸ ὑποπτεύειν, δουλεία δὲ ἐλευθερίας οὐ πολὺ διενήνοχεν, ἀλλ' οἷς ἐκ παίδων συντέτροφεν φρόνημα ἀκλινές, καὶ οἷς τὸ μικρὸν ὑποκῦψαι χαλεπώτερον τοῦ τεθνάναι. τούτων ἑωρῶμεν τοὺς ἐξάρχους καὶ κορυφαίους οὐ ῥᾳδίου παραχωροῦντας σὺν
c εἰρωνείᾳ, ἀλλὰ τοῦ σιδήρου καὶ τῶν ξιφῶν ἐξισταμένους, οἷς μέχρι τῆς ἡμέρας ἐκείνης ἐκράτουν, καὶ τοῖς γόνασιν ἐμφυομένους τοῦ βασιλέως μᾶλλον, ἢ πρὶν τὴν Θέτιν φησὶν Ὅμηρος τοῖς γόνασιν ἐμφῦναι τοῖς τοῦ Διός, ἡνίκα ὑπὲρ τοῦ παιδὸς ἐλιπάρει· ἕως ἔτυχον νεύματος εὐμενοῦς καὶ φωνῆς οὐ πόλεμον ἐγειρούσης, ἀλλ' ὅλης ἵλεω, ὅλης εἰρηνικῆς, ὅλης εὐγνώμονος, ὅλης ἀφείσης τὰ ἀδικήματα.

Ἦ καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων.
d ἀμβρόσιαι δ' ἄρα χαῖται ἐπερρώσαντο ἄνακτος
κρατὸς ἀπ' ἀθανάτοιο· μέγαν δ' ἐλέλιξεν Ὄλυμπον,

καὶ οὐδὲν ῥῆμα αὐτοῦ παλινάγρετον οὐδ' ἀπατηλὸν οὐδ' ἀτέλεστον.

Ἀλλ' ἰδοὺ τὸ ἔχθιστον ὄνομα Σκύθαι ὅπως νῦν ἀγαπητόν, πῶς νῦν κεχαρισμένον, πῶς νῦν προσήγορον. συμπανηγυρίζουσιν ἡμῖν τὴν τοῦ στρατηγοῦ πανήγυριν, ὑφ' οὗ καλῶς ποιοῦντες ἑάλωσαν, καὶ συνεορτάζουσι τὰ
211 a καθ' ἑαυτῶν ἐπινίκια. εἰ δὲ μὴ πρόρριζοι παντελῶς ἀπολώλασιν, οὐ χρὴ δυσχεραίνειν· λόγου γὰρ καὶ φιλανθρωπίας αἱ νῖκαι τοιαῦται, οὐκ ἀνελεῖν, ἀλλὰ βελτίους ποιῆσαι τοὺς λελυπηκότας. ἔστω γὰρ ὅτι καὶ τὸ ἀνε-
d λεῖν ἦν ἐν ῥᾳστώνῃ καὶ δρᾶσαι πάντα ὑπῆρξεν ἂν ἡμῖν, ἀντιπαθεῖν δὲ μηδ' ὁτιοῦν, καίτοι γε ἐκ τῶν πολλάκις συμβεβηκότων οὐ ταῦτα ἦν ἀκόλουθα καὶ εἰκότα, ἀλλ', ὅπερ εἶπον, ἔστω καὶ τοῦτο κεῖσθαι ἡμῖν ἐπ' ἐξουσίας. πότερον οὖν βέλτιον νεκρῶν ἐμπλῆσαι τὴν

256, 3 ὑποπτεύειν] ὑποπίπτειν Iacobsius. 16 Ἦ] Iliad. α, 528.

Θρᾴκην ἢ γεωργοῦσαν καὶ τάφων ἀποδεῖξαι μεστὴν ἢ ἀνθρώπων; καὶ βαδίζειν δι' ἀγρίας ἢ δι' εἰργασμένης; καὶ ἀριθμεῖν τοὺς πεφονευμένους ἢ τοὺς ἀροῦντας; καὶ μετοικίζειν, εἰ τύχοι, Φρύγας καὶ Βιθυνοὺς ἢ συνοικίζειν οὓς κεχειρώμεθα; ἀκούω παρὰ τῶν ἐκεῖθεν ἀφικνουμένων ὅτι μεταποιοῦσι τὸν σίδηρον ἐκ τῶν ξιφῶν καὶ τῶν θωράκων εἰς δικέλλας νῦν καὶ δρεπάνας, καὶ τὸν Ἄρην πόρρωθεν ἀσπαζόμενοι προσεύχονται Δήμητρι καὶ Διονύσῳ. b d

Πολλὰ τοιαῦτα καὶ πρότερον ὁ βίος ἤνεγκεν ὁ ἀνθρώπινος, καὶ οὐκ ἐφ' ἡμῶν πρώτων ἀπήντησε τὸ συγγνώμης τυχόντας τοὺς ἠδικηκότας ἐν χρείᾳ μετὰ ταῦτα γενέσθαι τοῖς ἠδικημένοις. ἀλλ' ὁρᾶτε τουτουσὶ Γαλάτας τοὺς ἐπὶ Πόντῳ. οὗτοι μέντοι πολέμου νόμῳ διαβάντες εἰς τὴν Ἀσίαν καὶ πᾶσαν τὴν ἐντὸς Ἅλυος ἀναστήσαντες ἐγκατέμειναν ταύτῃ τῇ χώρᾳ, ἣν νῦν κατοικοῦσι, καὶ οὐκ ἐξέτριψεν αὐτοὺς Πομπήιος οὐδὲ Λούκουλλος, λίαν ἐξόν, οὐδὲ ὁ Σεβαστὸς οὐδὲ οἱ μετ' αὐτὸν αὐτοκράτορες, ἀλλὰ ἀφέντες τὰ ἀδικήματα ἐν μέρει τῆς ἀρχῆς ἐποιήσαντο. καὶ νῦν οὐκέτι βαρβάρους Γαλάτας ἄν τις προσείποι, ἀλλὰ καὶ πάνυ Ῥωμαίους· τοὔνομα γὰρ αὐτοῖς τὸ πάλαι παραμεμένηκεν, ὁ βίος δὲ σύμφυλος ἤδη. καὶ εἰσφέρουσιν ἃς ἡμεῖς εἰσφορὰς καὶ στρατεύονται ἃς ἡμεῖς στρατείας καὶ ἄρχοντας δέχονται ἐξ ἴσου τοῖς ἄλλοις καὶ νόμοις τοῖς αὐτοῖς ὑπακούουσιν. οὕτω καὶ Σκύθας ὀψόμεθα ὀλίγου χρόνου· νῦν μὲν γὰρ ἔτι τὰ προσκρούσματα αὐτῶν ἔχει, ληψόμεθα δ' οὖν οὐκ εἰς μακρὰν ὁμοσπόνδους, ὁμοτραπέζους, ὁμοῦ στρατευομένους, ὁμοῦ λειτουργοῦντας. τὸ δὲ ἀκήρυκτον ἄρθμον, πρὸς Θρᾳξὶ καὶ Σκύθαις ἐξημιώθημεν. c d b 212 a

Ῥωμαῖοι Μασσανάσσαν τὸν Λίβυν πολλὰ καὶ δεινὰ αὐτοὺς εἰργασμένον ζῶντα λαβόντες οὐ διέφθειραν,

---

257, 3 καὶ μετοικίζειν A. καὶ om. H. 4 τύχοι] Vulgo τύχῃ. 8 πόρρωθεν ἀσπαζόμενοι] Euripidis Hippolyti v. 102 comparat Porsonus in Advers. p. 218.

ἀλλὰ ἐφύλαξαν· καὶ γέγονε Μασινίσσας αὐτοῖς πρὸς τοὺς ὕστερον πολεμίους πρόβολος καὶ φυλακτήριον. καὶ νῦν καθέστηκε μὲν ἅπασα ἤπειρος, γῆ δὲ καὶ θάλαττα τοὺς προστάτας στεφανοῦσιν, ἡ δὲ ἀρχὴ καθάπερ ναῦς μυριοφόρος πολλὰ δὴ πονηθεῖσα ὑπὸ χειμῶνος καὶ τρικυμίας ἀναλαμβάνει καὶ ὀχυροῦται. καὶ ἀνοίγνυνται μὲν ὁδοί, ἐλευθεροῦνται δὲ ὄρη φόβου, πεδία δὲ ἔγ-
b καρπα ἤδη, οὐδ' ὁ πρὸς Ἴστρῳ ἅλλεται χῶρος ἐπὶ πολέμων ὀρχήστρα, ἀλλ' ἀνεῖται τοῖς σπέρμασι καὶ τοῖς ἀρότροις· σταθμοὶ δὲ ἐγείρονται καὶ ἐπαύλεις καὶ τῇ πάλαι καταπυκνοῦνται ῥᾳστώνῃ· σύμπνους δὲ ἡ ἀρχὴ ἅπασα καὶ ὁμοπαθὴς ὥσπερ ἐν ζῴοις καὶ οὐκέτι διέρρωγε καὶ διέσπασται πολλαχοῦ. τί τηλικοῦτον ἀπέλαυσεν ἡ Ἑλλὰς τῆς εὐχῆς Αἰακοῦ αὐχμῷ πιεσθεῖσα, καὶ οὐδὲ ἅπασα ἡ Ἑλλάς, ἀλλ' ὅση αὐτῆς πρὸς Αἰγίνῃ, ἡλίκον σὺ τῇ πλείστῃ μοίρᾳ τῆς γῆς φῶς ἀνεπέτασας;
c οὐ γὰρ ἀφ' ἑνὸς καιροῦ ταύτην ἐποιήσω τὴν εὐχήν, ἀλλ' ὅλη γέγονεν ἡμῖν ἀντ' εὐχῆς ἡ σὴ βασιλεία. εὐχὴ γὰρ οὐ ῥήματα καὶ ὀνόματα, ἀλλ' εὐσέβεια, δικαιοσύνη, πρᾳότης, αἷς προτρεπόμενος ἀεὶ δῆλος εἶ τὸν θεόν.

Τίς γὰρ ἄλλος αὐτοκρατόρων ἢ νόμους ἔθηκεν ἡμερωτέρους, ἢ οἴκους ὤρθωσε πεπονηκότας, ἢ συμφορὰς παρεμυθήσατο, ἢ δυστυχήματα ἐπεκούφισεν, ἢ νεότητα ᾤκτειρεν ἢ γῆρας ᾐδέσθη ἢ γέγονεν ἀντὶ πατρὸς ὀρφανοῖς; ἐπὶ τίνος δὲ ἐκ τῶν ταμιείων πρὸς τοὺς μὴ δικαίως καταβαλόντας χρυσὸς ἐπανῆκε; τίς πειθοῦς
d ἔστησε τρόπαιον; τίς ἔδωκε λόγῳ τὰ ἀριστεῖα κατὰ σιδήρου, οἷς νίκην ἐνίκησε τηλικαύτην, ἧς οὐδεὶς συνεφήψατο στρατιώτης; ποίᾳ δὲ ἀνέῳκται μᾶλλον καταφυγὴ τοῖς δυσπραγοῦσιν; ἵνα γὰρ τὰ ἄλλα παρῶ, ἀλλὰ χθὲς καὶ πρῴην τὰ δυστυχῆ μειράκια ἐκ Γαλατίας,

258, 3 γῆ δὲ — στεφανοῦσιν add. A. 10 τῇ πάλαι καταπυκνοῦνται] Vulgo γῇ πάλαι καταπυκνοῦται. Correctum ex orat. XXXIV, p. 62 ed. Mai. 13 ἀπέλαυσεν] Vulgo ἀπήλαυσεν. 16 σὺ] οὐ A. 18 εὐχὴ — εὐσέβεια add. A. 25 ἢ γῆρας ᾐδέσθη add. A.

οὐχ ὅσον ἐπὶ τοῖς νόμοις ἀπολωλότα, συνδιετήρησας καὶ διεφύλαξας, οὐ παραρρήξας τοὺς νόμους, ἀλλὰ πραΰνας, ὅτι καὶ αὐτὸς νόμος ἔμψυχος εἶ καὶ ὑπεράνω τῶν γεγραμμένων. ἂν ταῦτα ἐκπονῶμεν, ἂν ταῦτα πλείω ποιῶμεν, ὥσπερ Σκυθῶν ἐκρατήσαμεν ἀναιμωτὶ 213 a καὶ ἀδακρυτί, οὕτω καὶ Πέρσας οὐκ εἰς μακρὰν προσαξόμεθα, οὕτω καὶ Ἀρμενίους ἀναληψόμεθα, οὕτω καὶ τῆς μέσης τῶν ποταμῶν ὁπόσον ἄλλοι προήκαντο ἀνασώσομεν, οὕτω πολλοὺς ἀνεροῦμεν ὑπάτους ἐπ' ἀγαθοῖς ἔργοις καὶ ἀγαθαῖς διακονίαις.

Ἐν ταύταις τρέφοιμεν τοῖς μαθήμασι καὶ τὸν ἀγαπητὸν ἀστέρα τῆς οἰκουμένης, καὶ γενοίμην αὐτῷ Φοῖνιξ ἐγώ, καθίζων ἐπὶ τοῖς γόνασιν, οὐκ ὄψων χορηγὸς οὐδὲ πεμμάτων, ἀλλ' ἐπᾴδων κλέα ἀνδρῶν καὶ b βασιλέων ἀγαθὰ ἔργα, μάλιστα δὲ οἷα πολλὰ τὰ πατρῷα. ἡδίω γὰρ ταῦτα αὐτῷ καὶ συντροφώτερα τῶν λοιπῶν, καὶ ταῦτα μάλιστα προσκαθεδεῖται καὶ ἐμμείνῃ τῇ μνήμῃ ἀνεξάλειπτα καὶ ἀνέκπλυτα.

259, 11 τρέφοιμεν A. τρέφομεν H. 13 γόνασιν] γρ. καὶ τοῖς σώμασιν margo A. 17 ἐμμείνῃ] ἐμμενεῖ Iacobsius ad Ach. Tat. p. 856.

XVII.

c ΕΠΙ ΤΗΙ ΧΕΙΡΟΤΟΝΙΑΙ ΤΗΣ ΠΟΛΙΑΡΧΙΑΣ.

Ἐπανήγαγεν αὖθις διὰ μακροῦ χρόνου φιλοσοφίαν ὁ θεοειδέστατος αὐτοκράτωρ εἰς τὴν τῶν κοινῶν ἐπιμέλειαν, εὐδηλότερον τῶν ἔναγχος βεβασιλευκότων· οἱ μὲν γὰρ ἐπαινοῦντες μόνον ἐπὶ τοῖς λόγοις, εἰς δὲ τὰ ἔργα προελόμενοι πολλάκις κατελθεῖν οὐκ ἐδυσώπησαν, ἀλλ' ἄχρι
d τῶν πρεσβειῶν τέως ἐπολιτεύετο καὶ ἐλειτούργει τῇ κοινῇ πατρίδι. βασιλεὺς δὲ καὶ τὴν ἀρχὴν αὐτῇ περιτίθησι καὶ παρεγγυᾷ γίνεσθαι αὐτουργὸν ὑπὲρ ὧν τέως ἄλλους ἠξίου. καὶ πάλαι μὲν ἐξῆν φιλοσοφίαν καθηγουμένην τοῖς ἀθλοῦσι τοὺς δημοσίους ἀγῶνας αὐτὴν θεωρεῖν ἡσυχῇ καὶ ἀπραγμόνως. κατάγει δὲ ταύτην βασιλεὺς ἀντὶ τῆς θεωρίας εἰς τὴν κονίστραν καὶ δίδωσι πεῖθειν
214 a τοὺς πολλοὺς ἀνθρώπους ὅτι οὐ λόγος ἦν ἄρα ἔργων χωρὶς, ἀλλ' ἔργων ἀποδείξεις ὑπὸ λόγου ποδηγουμένων, οὐδὲ ἀκίνδυνος διδασκαλία τῶν ἀρχικῶν παραγγελμάτων, ἀλλὰ καὶ πρᾶξις ὧν παραγγέλλει.

Καὶ ἤνεγκεν ὁ καθ' ἡμᾶς χρόνος βασιλείαν αἰσθανομένην τῶν τοῖς παλαιοῖς δεδογμένων, οἳ καλῶς ἕξειν τηνικαῦτα ταῖς πόλεσι τὰ πράγματα ὑπελάμβανον, ὅταν τῇ τοῦ λέγειν ἀρετῇ ἡ τοῦ πράττειν ἐξουσία συνδράμῃ καὶ εἰς ταὐτὸν ἔλθωσιν ἄμφω, δύναμίς τε πολιτικὴ καὶ φιλοσοφία, ἃς πρώτας ἐν ἑαυτῷ δεικνὺς συν-
b τρεχούσας ὁ φιλοσοφώτατος αὐτοκράτωρ παρακελεύεται καὶ ἡμῖν ἐν γήρᾳ γοῦν ἀκολουθῆσαι νεότητι φιλοσο-

---

260, 3 τῶν κοινῶν A. τῶν om. H. 15 ἀποδείξεις] ἐνδείξεις Harduinus.

φρούσῃ καὶ ἀπονέμει τὴν ἐλευθεριωτάτην τῶν ἑαυτοῦ φροντίδων ἡμῖν, τὴν σεμνὴν ταύτην καὶ εὐγενῆ πολιαρχίαν οἰκείαν τε καὶ ἀκόλουθον ταῖς δέκα πρεσβείαις καὶ ταῖς ὑπερορίοις ἀποδημίαις, ἃς ὑπὲρ ὑμῶν, ὡς οἷόν τε ἦν, ἐκ νεότητος εἰς ταύτην τὴν ἡλικίαν οὐκ ἀναξίως τῆς χειροτονίας τῆς ὑμετέρας οὐδὲ ἀνωφελῶς διηνύσαμεν.

Καὶ παρατρέχει τοὺς πρότερον αὐτοκράτορας ἀντὶ τῶν δυοῖν ἀνδριάντων καὶ τῶν συνεχῶν παρεδριῶν, ἐνεργῷ τιμῇ καὶ τηλικαύτῃ κοσμῶν τε ἡμᾶς καὶ παρ' ἡμῶν c
κοσμεῖσθαι καταναγκάζων, οὐκ ἔπηλυν οὐδὲ ὀθνεῖον τὸν ἄρχοντα τῆς πόλεως τῆς βασιλίδος χειροτονῶν, ἀλλ' ἐγγενῆ, ἐντεθραμμένον ὑμῖν καὶ ἐναυξηθέντα καὶ ἐνοικοῦντα, ὡς μηδὲν εἶναι τῆς παρούσης ἀρχῆς ἀγαθὸν, ὃ μὴ κοινὸν ἁπάντων ἀναφανεῖται. οὐκοῦν οὐδὲ ἐμοὶ θεμιτὸν ἦν ἀπώσασθαι ταύτην τὴν ψῆφον.

Βασιλέως γὰρ φιλοσόφου φιλόσοφος διακρουόμενος πολιτικὴν χειροτονίαν ἀλλότριον ἑαυτὸν εὐθὺς δείκνυσι τοῦ προσρήματος, εἰ μὴ φιλοσοφίαν ἡμεῖς ἐν τῇ γλώττῃ μόνον κεῖσθαι ὑπολαμβάνομεν καὶ οὐ πολλῷ μᾶλλον d
ἐν τῇ ψυχῇ, ὅταν θυμὸς μὲν ᾖ κεκοιμισμένος, ὀργὴ δὲ ἐγκεχαλινωμένη τῷ λόγῳ, φιλοχρηματία δὲ ἐξῳκίζηται τῆς ψυχῆς, ὠμότης δὲ μακράν που σκηνῇ, πανταχοῦ δὲ ὁ νόμος καὶ ἡ δίκη καὶ ἡ θέμις ἔχωσι τὴν προεδρίαν. ὁ τοιοῦτον βασιλέα μὴ φιλοσοφεῖν ὑπολαμβάνων οὐ μόνον Πλάτωνος ἀνήκοος οὐδὲ Πυθαγόρου, ἀλλ' οὐδὲ τὰ πρόχειρα ταῦτα γινώσκει, ὅτι πᾶσα ἀρε- 215 a
τῆς ἐπιθυμία φιλοσοφία, καὶ περιάγει τὴν θειοτάτην τῶν ἐπιστημῶν εἰς κόμην ἴσως καὶ πώγωνα καὶ τρίβωνα.

Ἀπολαυέτω τοίνυν ὁ καθ' ἡμᾶς χρόνος τῶν Τραϊανοῦ καιρῶν ἐπανιόντων, τῶν Ἀδριανοῦ, τῶν Μάρκου,

---

261, 1 ἐλευθεριωτάτην A. ἐλευθερωτάτην H. 10 κοιμῶν Harduinus. Vulgo κοσμῶν. 2 ἡμῖν A. ὑμῖν H. 23 σκηνῇ] Vulgo σκηνοῖ. 24 ἔχωσι Roulezius p. 3. Vulgo ἔχουσι. 25 προεδρίαν] παρεδρίαν Roulezius p. 32.

XVIII.

d ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΦΙΛΗΚΟΪΑΣ.

Ἆρα ὅστις εὐδόκιμος εἶναι ἐσπούδακεν ἐφ' ἱππηλασίᾳ καὶ τῆς τοῦ Νέστορος ἐφίεται ἐπωνυμίας, ἣν ἐκείνῳ δίδωσιν Ὅμηρος ἐν τῇ ποιήσει, ἱππότην αὐτὸν καὶ ἱππηλάτην συνεχῶς ἐπονομάζων, τούτῳ οἷόν τε ὀλιγώρως ἔχειν τῆς ἱππικῆς τέχνης καὶ οὐχ ἅπαντα ἐκπονεῖν ἀκριβῶς ὅσα ἀποδείξει αὐτὸν ἀγαθὸν ἱππέα; οἷον ἀνα-
217 a βαίνειν τε ἵππον ῥᾳδίως καὶ ἐγκαθίζεσθαι κούφως καὶ ἀποπηδᾶν ξὺν ῥᾳστώνῃ καὶ τὰ χαλινὰ ἐπέχειν τε ἵνα καιρὸς καὶ αὖθις ἵνα χρὴ ἀφιέναι, θαρροῦντα μὲν τοῖς λείοις καὶ ἀναπεπταμένοις δαπέδοις, εὐλαβούμενον δὲ τὰ δυσόριστα καὶ στενόπορα, ὥς που καὶ παρ' αὐτῷ τῷ Ὁμήρῳ ἀγανακτεῖ πρὸς τὸν Ἀντίλοχον ὁ Μενέλεως ἐν τῷ ἀγῶνι τοῦ ἱππικοῦ δρόμου ὃν ἐπὶ Πατρόκλῳ ἔθηκεν Ἀχιλλεύς, ὅτι ἐπιθυμίᾳ τῆς νίκης τὸν κίνδυνον οὐ προορῴη, μὴ ἀνέχων τοὺς ἵππους, ἀλλ' ἐπισπέρχων ἐν χωρίῳ στενῷ καὶ ἀποκρήμνῳ. εἶεν. ὅστις δὲ
b ἐπὶ τοξικῇ ἐλλόγιμος εἶναι ἔρωτα ἔχει, οὗτος ἐν ἄλλῳ τῳ διατρίβει μᾶλλον ἢ ἐν τῷ μελετᾶν συνεχῶς εὐτόνους τε ἅμα καὶ ἐπισκόπους πέμπειν τοὺς οἰστούς; καὶ τρι-

---

264, 1 τοῦ βασιλέως φιληκοΐας A. φιληκοΐας τοῦ βασιλέως H. 3 ἣν] καὶ ἣν A. 4 τῇ ποιήσει] τῇ om. A. 7 ἀναβαίνειν τε] τε ἀναβαίνειν A. 9 τε om. A. 10 ἀφιέναι] ἐφιέναι A. 12 δυσόριστα A. δυσπόριστα H. δύσπορα Stephanus. δυσπόρευτα Iacobsius ad Antholog. Palat. vol. III. p. 3[illegible]8. 13 Μενέλεως] μενέλαως (sic) A. 17 ἐν χωρίῳ] ἐν om. A. ὅστις] οὗτις A. 18 τοξικῇ] τοξικῆς A. ἔχει] ἔσχεν A. 19 διατρίβει] διατρίβειν A. εὐτόνους — ἐπισκόπους A. εὐτόνως — ἐπισκόπως H.

βουται αὐτοῦ αἱ χεῖρες περὶ τὴν νευρὰν καὶ τὴν γλυφίδα, καὶ τοσαύτη αὐτοῦ ἡ μελέτη καὶ ἡ ἐπιστήμη ὅση ἡ τοῦ Κρητὸς Μηριόνου· ὥστε καὶ εἰ τῆς πελειάδος ἀποτυγχάνει, τῆς μηρίνθου γε μὴ ἁμαρτεῖν. τὸν δὲ ἐφ' ὁπλομαχίᾳ βουλόμενον ἐπαίνου τυχεῖν τί ἄρα φῶμεν, ὦ γενναῖοι, παντάπασιν ἀμιλοῦντα ὁπλομαχίας, καὶ ἄπειρον μὲν τοῦ ἐπὶ δεξιά, ἄπειρον δὲ τοῦ ἐπ' ἀριστερὰ c νωμῆσαι βῶν ἀζαλέην, ταύτην ἐλπίζειν τὴν εὐφημίαν καὶ ὀνειροπολεῖν τέχνης ἐπαίνους, ἣν οὐκ ἐξήσκησεν; ἵν' οὖν μὴ καὶ τὸν κυβερνήτην ὑμῖν ἐπάγω καὶ τὸν ποιμένα καὶ τὸν ἰατρὸν καὶ ἅπαντας δεικνύοιμι τούτους, ὅταν ἐφίωνται ἐπαίνων τῶν ἐπὶ τῇ τέχνῃ, ἐφίεσθαι χρῆναι καὶ τῶν ἔργων τῶν ἐκ τῆς τέχνης, ἐπ' αὐτὸ δὴ ἔρχομαι τὸ κεφάλαιον ὧν προὐθέμην.

Ἆρα εἴ τις ὑψοῦ προκαθήμενος καὶ ἁλουργίδα ἠμφιεσμένος καὶ ἐπιτροπεύων σχεδόν τι ἅπασαν γῆν τε d καὶ θάλασσαν, ὅσης τε αὐτὸς προστατεύει καὶ ὅσην ῥύεται καὶ ὅσῃ συγχωρεῖ τὴν ὀργήν, διψῇ οὗτος ἐπαίνων ἀληθινῶν καὶ οὓς οἶδεν ἄνευ θωπείας αὐτῷ προσιόντας, τούτῳ ἄρα ἡ γνώμη οὐ τεθάρρηκεν ὑπὸ τῆς ἄνωθεν ψήφου, καὶ ὃ μεταχειρίζεται ἤδη ἕκτον ἔτος ἀκέραιός τε καὶ ἄτρωτος μᾶλλον ὑπὸ ψόγου ἢ σιδήρου; ἀναμνήσθητε τοίνυν τοῦ πρώτου συλλόγου καὶ τοῦ 218 a μέλους τοῦ Βυζαντίου, ἐφ' ᾧ ὁ σύλλογος. οὐ γὰρ ἀπόχρη τῷ ἀνδρὶ τούτῳ εἰσιόν τι μέλος πεποιημένον τῆς προκειμένης θοίνης ἀπολαύειν, ἀλλ' ἐδυσχέραινε καὶ ᾐτιᾶτο ὅτι μὴ εἰσφοιτᾷ ἤδη χρόνοις αὐτῷ ἡ φιλοσοφία, μηδὲ θαμίζει δορυφοροῦσα εἰς τὰ βασίλεια, ὡς πάλαι εἰώθει. Φωκίων μὲν γὰρ ὁ χρηστός, ἐπεὶ δημηγορῶ-

---

263, 1 τὴν γλυφίδα A. τὰς γλυφίδας H. 2 αὐτοῦ] αὐτῷ A. ὅση A. ὅσῃ καὶ H. 3 Κρητὸς] κρητῶν A. εἰ] ἡ A. 4 γε om. A. 5 ὁπλομαχίᾳ] ὁπλομαχίας A. 8 νωμῆσαι] Iliad. η, 239. ταύτην] ταῦτα A. ἐλπίζειν — ὀνειροπολεῖν] ἐλπίζει — ὀνειροπολεῖ A. 12 ἐφίωνται] ἐφίενται A. ἐπαίνων τῶν] τῶν ἐπαίνων A. τῇ τέχνῃ A. τῇ om. H. ἐφίεσθαι — τέχνης om. A. 23 ἀναμνήσθητε] ἀναμνήσθητι A. 25 μέλος] μέλος φῦ A.

σαίνει αὐτῷ προθυμότερον συνεπήχησεν ὁ δῆμος ὁ Ἀθηναίων, μή τι ἄρα, ἔφη, κακὸν εἰπὼν λέληθα ἐμαυτόν; βασιλεὺς δὲ οὐ λέγουσαν φιλοσοφίαν, ἀλλὰ σιωπῶσαν,
b ὕποπτον ποιεῖ καὶ τὴν σιωπὴν αὐτῆς ἀντὶ σημείου λαμβάνει τῆς ἐνδείας τῶν ἔργων. ὅστις οὖν ἐπαίνου αὐτῷ εἰσιόντος καὶ τούτου λαμπροῦ τε καὶ μετεώρου καὶ δι' ὑψηλῶν ὀνομάτων καὶ ἐξ αὐτοῦ σχεδὸν τοῦ Ἑλικῶνος, περισκοπεῖ τὸν πεζὸν ἐπαινέτην καὶ λιπαρῶς ἔχει τοῦ ἀκομμώτου ὕμνου καὶ ἀνηδύντου, οὐκ ἔνδηλός ἐστιν ἐπίπροσθεν ἄγων ἀλήθειαν καλλιεπείας;

Τοῦτο δὲ οὐκ ἂν ἄλλως αὐτῷ συμβαίνοι, εἰ μὴ ἐγκύπτων πρῶτον εἰς ἑαυτὸν καὶ τὰ ἑαυτοῦ ἔργα ἐπι-
c σκοπῶν πλοῦτον ὁρῴη πράξεων ἀγαθῶν καὶ καλῶν, ἃς οὐκ ὀκνεῖ ἄδειν ἐπιψηφίζουσα ἡ φιλοσοφία. ἐπίσταται γάρ, ὡς ἔοικε, τοὺς μὲν ἄλλους λόγους, ὅσοι εἰσφοιτῶσιν αὐτῷ παρὰ τῶν ποιητῶν καὶ τῶν συγγραφέων, ἐντιμότερον ὡς τὰ πολλὰ ποιουμένους τὸ δοκοῦν τοῦ ὄντος καὶ τοῦ ὠφελίμου τὸ κεχαρισμένον. ταῦτά τοι καὶ εἰσιέναι ἐσκευασμένους πρὸς ἡδονήν, ὥσπερ Ὅμηρος λέγει τὴν Ἥραν εὖ ἐντύνασαν ἑαυτὴν ἀφικέσθαι παρὰ τὸν Δία, ἀμπεχόνῃ τε ἁλουργεῖ καὶ καλύπτρᾳ καὶ ἐλλο-
d βίοις, καὶ ἐπὶ πᾶσι τῷ κεστῷ αὐτῷ τῆς Ἀφροδίτης. οὕτω δὲ καὶ τούτους τοὺς λόγους πολὺν ἐνδύεσθαι τὸν ἔξωθεν κόσμον σχημάτων τε καὶ ὀνομάτων, καὶ τούτων εὖ μὲν ἐπειλεγμένων καὶ συνηρμοσμένων τῇ γνώμῃ, ἐνδήλους εἶναι ὅτι οὐ μόνα θαυμάζουσιν ὅσα θαυμαστὰ ἀληθινῶς, ἀλλὰ καὶ ὅσα οἱ παλαιοὶ οἴονται μακαριστὰ εἶναι, δύναμιν καὶ τέχνην καὶ οὐσίαν. μόνην δὲ δεῖ ἄρα ταύτην τὴν τέχνην ζητεῖν καὶ γινώσκειν, τίς ἀλη-

266, 1 ὁ Ἀθηναίων A. ὁ om. H. 4 σημείου] σημεῖα A. 6 λαμπροῦ A. ὑψηλοῦ H. καὶ μετεώρου add. A. 13 καλῶν A. βασιλικῶν H. 14 ἄδειν] ᾄδειν Stephanus. 15 τοὺς μὲν A. καὶ τοὺς μὲν H. 17 ἐντιμότερον A. ἐντιμότερον H. ποιουμένους A. ἀντιποιουμένους H. δοκοῦν] δοκεῖν A. 19 Ὅμηρος] Iliad. ξ, 162. 21 ἐλλοβίοις] ἐλλοβίῳ A. 24 σχημάτων] ῥημάτων A. 27 παλαιοὶ A. πάλαι H. πολλοὶ Stephanus. 28 τέχνην καὶ οὐσίαν A. τύχην καὶ ἐξουσίαν H. δεῖ om. H.

θῶς βασιλεὺς καὶ τίνα σημεῖα αὐτοῦ καὶ γνωρίσματα· ὅτι οὐ χρυσὸς ἀετὸς οὐδὲ δράκοντες λεπτῶν ὑφασμάτων οὐδὲ μὰ Δία τοξεύεσθαι ἐπίσκοπα καὶ ἀκοντίζειν· ταῦτα γὰρ οἶμαι καὶ Νέρωνι ὑπῆρχε κιθαρῳδοῦντι καὶ Δομετιανῷ μελαγχολῶντι· ἀλλ' εἰ ἡ ψυχὴ ἄνω ὁρῶσα πρὸς τὸν τοῦ παντὸς βασιλέα συντεταμένη καὶ ἡρμοσμένη ἐκεῖθεν ὅσα οἷόν τε ἀρύεται ἐκ τοῦ οὐρανοῦ τῇ ἐπὶ τῆς γῆς βασιλείᾳ. 219 a

Ὧν καὶ σύ, ὦ χρηστέ, ἀρυόμενος οὐκ ἐδεήθης τῶν τοξοτῶν οὐδὲ τῶν ὁπλιτῶν οὐδὲ τῶν Ἀρμενίων οὐδὲ b Ἰβήρων οὐδὲ ἵππου πεφραγμένης, ὥστε τὴν φλόγα σβέσαι τὴν Σκυθικήν, ἀλλὰ μόνῃ τῇ σῇ βουλῇ καὶ τῇ σῇ γνώμῃ ὑφ' ἑαυτῆς ἡ φλὸξ ἐκείνη ἀπεμαράνθη. οὐ γὰρ κάτω σοι νεύει τὰ ὄμματα οὐδὲ ὁ νοῦς ἔμφροντίς ἐστιν ὁπόθεν τὸ χρυσίον πλεῖον ἔσται σοι ἢ τὸ ἀργύριον, ἀλλ' ὁπόθεν σοι πλεονάσουσιν οἱ τῶν ἀγαθῶν πράξεων θησαυροί, οἳ μόνοι ἄσυλοι καὶ ἀνάλωτοι. ταῦτ' οὖν γινώσκων, ὡς ἔοικεν, ὦ σοφώτατε, μόνης ταύτης μαθήματα καὶ διδάγματα τῆς ἐπιστήμης, εἰσπράττεσθαι αὐ- c τὴν οὐκ ὀκνεῖς ἐν μέσῳ τε καὶ ἐφ' ἁπάντων τὸ ἔργον ἐφ' ᾧ ἔταξεν ἑαυτήν, οἷόν τινα ἐτήσιον εἰσφοράν. καὶ οὐκ ἐφίστης μόνῃ τῇ εἰσπράξει ἀρχήν τινα καὶ στρατιώτην, ἀλλ' αὐτὸς κατεπείγεις καὶ αὐτὸς ἐπαναγκάζεις καὶ αὐτὸς ἀποδέχεσθαι τὴν εἰσφορὰν ταύτην διανοῇ. τυχὸν δὲ καὶ αὐτὸς εἰσιὼν ἂν καταλάβοις τὸ ταμιεῖον. διπλῇ οὖν με ἐπιγαυροῦσθαι προσήκει, καὶ ὅτι τὰ παιδικά μοι οὕτως διοικεῖται ὥστε ἐρᾶν τέχνης δυσχεραινούσης d ψευδολογίαν, καὶ ὅτι φιλοσοφία πεπίστευται μόνη ἀξιόπιστος εἶναι καὶ ἐπαινέτις παμβασιλείας.

267, 4 ὑπῆρχε] ὑπάρχειν A. 10 τῶν ἀρμενίων A. τῶν om. H. 11 ἵππου A. τῆς ἵππου τῆς H. 13 οὐ γὰρ A. οὐδὲ H. 14 ἔμφροντις A. ἐν φροντίδι H. 15 πλεῖον add. A. 22 μόνῃ] ταύτῃ Roulezius p. 49. coll. p. 143 d. 194 c. εἰσπράξει] πράξει A. στρατιώτην] στρατιῶτιν A. 23 ἐπαναγκάζεις] καταναγκάζεις A. 26 με ἐπιγ. προσήκει A. μοι προσήκει ἐπιγ. H. 29 ἐπαινέτις] ἐπαινέτης A.

Ἀλλ' εὖ τοι γίνωσκε, ὦ χρηστέ, ὅτι τὸ αἴτιον τούτου τοῦ ὄκνου τοὐναντίον ἐστὶν οὗ σὺ ὑποπτεύεις· οὐ σπάνις νεουργῶν ὑποθέσεων, ἀλλὰ πλῆθος. ἀεὶ γὰρ ἐπιδεικνύμενος πλείω τὰ ἀγαθὰ καὶ προσυφαίνων ὁσημέραι καὶ ὅσαι ὧραι, οὐκ εὐαγκάλους μοι ἔτι τοὺς λό-
220 a γους ποιεῖς. οὐδ' ὅσα ἂν τήμερον ὑφήνῃς, μόνον αὖθις ἀναλύεις, ἀλλὰ καταπυκνοῦταί σοι μᾶλλον ἀεὶ τὰ ποικίλματα τῆς ἀρετῆς, καὶ ὁπότε μοι ἐπὶ τὸν νοῦν ἔλθοι πρᾶξίν τινα παρὰ σοῦ πεπραγμένην ἢ καλῶς ῥηθέντα λόγον ἀδεκάστῳ ὕμνῳ ἐπικοσμῆσαι, εὐθὺς ἐπιρρέοντα ἄλλα καὶ ἄλλα πολλὰ τὰ ἐφεξῆς καταχωννυσί τε καὶ ἐπισκιάζει ἐφ' ἃ ὡρμήθην· καὶ αὖθις ὅτε τὰ πρῶτα ἀφεὶς τὰ δεύτερα μεταχειρίζομαι, τρίτος τις
b καὶ τέταρτος ἀριθμὸς ἐπιὼν ἐκθλίβει τὴν ἐπὶ τοῖς προειρημένοις τριβήν. πάσχω οὖν ὅπερ οἱ λίχνοι τῶν δαιτυμόνων, ἀπογεύομαι ἀεὶ τοῦ παραφερομένου ἁρπάζων, ἐμπίπλαμαι δὲ οὐδενὸς ἱκανῶς· ἢ ὅπερ μᾶλλον αἱ κύνες αἱ θηρεύτριαι, ἑνὸς μὲν αὐταῖς ἀναφανέντος θηρίου προσκαρτεροῦσιν ἐκείνῳ καὶ προσλιπαροῦσιν, ἄχρι ἂν ἕλωσιν· εἰ δὲ πολλὰ ἅμα καὶ πολλαχόθεν ὑποκινοίη, ἀεὶ τὸ φανὲν μεταθέουσαι ἀποφυγγάνειν τὸ πρόσθεν ἐῶσι. ἦ που καὶ τὸν Διὸς Ἡρακλέα οὐ νέμεσις τοῖς
c τότε ὑμνοποιοῖς εἰ ῥᾷον ἐπῄνουν ἐναρχόμενον τῶν ἄθλων μᾶλλον ἢ ἐπιδιδόντα.

Οὕτω δὴ καὶ τὰ σά, ὦ φέριστε, ἔχει. προσαύξεις ἀεὶ τοὺς ἄθλους τοὺς βασιλικοὺς καὶ ἐπιδίδως τῷ ἀριθμῷ, καὶ οὐκέτι μοι εὐθαρσὴς ἡ Μοῦσα τῷ δρόμῳ τῶν ἔργων ἁμιλλωμένη. οὐ γὰρ ὑπόπτεροι αὐτῆς οἱ λόγοι οὐδὲ κοῦφοι καὶ ὑπήνεμοι, ἀλλὰ σχολαῖοί τε καὶ

268, 2 σὺ add. A. 4 προσυφαίνων] Vulgo προϋφαίνων. 7 καταπυκνοῦται A. καταπυκνοῦνται H. 8 ὁπότε A. ὁπόταν H. 9 ἔλθοι] ἔλθῃ A. 12 ὡρμήθην] ὡρμήθη A. ὅτε — μεταχειρίζομαι A. ὅταν — μεταχειρίζωμαι H. 13 τρίτος τις] τις om. A. 15 τριβὴν A. τιμὴν H. οὖν] γοῦν A. νῦν codex Vales. apud Boisson. ad Eunap. p. 228. ὅπερ] Vulgo ὥσπερ. 16 ἀεὶ τοῦ A. ἀεὶ τοῦ ἀεὶ H. 19 ἄχρι] Vulgo ἄχρις. 20 ἂν A. οὐ H. 21 τὸ πρόσθεν A. τὰ πρόσθεν H.

βραδέως καὶ περιαθροῦντες ἕκαστον τῶν πραττομένων, οὐ μόνον ὅ τι ἐπράχθη, ἀλλὰ καὶ ἐξ ἧς γνώμης καὶ ὁπηνίκα καὶ πρὸς ὅντινα καὶ ὑπὲρ ὅτου. πολλάκις γὰρ τὸ μὲν ἔρ- d γον οὐ λίαν μέγα, ἡ γνώμη δὲ μεγάλη καὶ ἀξιέπαινος· οἵα που καὶ ἡ πρώτη ἦν ἐκστρατεία τε καὶ καὶ ὁρμὴ ἐπὶ τὸν Ῥῆνον· ἔργον μὲν αὐτῇ οὐκ ἠκολούθησεν ἐμφανὲς τοῖς πολλοῖς, ἡ διάνοια δὲ ὑπερήφανος καὶ βασιλική, τιμωρῆσαι τῷ ἀρχηγέτῃ πρὸ ὥρας ἀνηρπασμένῳ καὶ τὸ λείψανον ἐκείνης περισῶσαι τῆς γενεᾶς. καὶ ὅτῳ τοῦτο μικρὸν δοκεῖ, ἐνθυμηθήτω ὅτι αὕτη ἡ γνώμη μόνη καὶ ἡ ὁρμὴ καὶ ἡ ἐπιβολὴ τὴν τόλμαν ἔστησε τῆς 221 a ἑσπέρας ἤδη σφριγώσης, ὥσπερ ὁ Ἀχιλλεύς, ἡνίκα ἀπόμαχος ἦν, οὔπω τῶν ὅπλων αὐτῷ ἐκ τοῦ οὐρανοῦ κεκο- b μισμένων, ἀλαλάξας τε καὶ μόνον ἐμβοήσας καὶ ἐξαλλόμενος τῆς σκηνῆς ἔσβεσεν ἀναπτομένην ἤδη τὴν φλόγα τοῦ ναυστάθμου τοῦ Ἑλληνικοῦ καὶ τοὺς Τρῶας κατεπλήξατο τῆς αὐθαδείας.

Ταῦτα οὖν μοι περὶ ἕκαστον ἐπισκοποῦντι ἀτρέμα χρῆσθαι ἀνάγκη τῇ πινακίδι καὶ τῷ σιδηρίῳ. ἐπεὶ καὶ ὅτι τῶν εἰσφορῶν ἐπεκούφισας ἄχθος, ἐνταῦθα οὖν πάλιν ἐμοὶ τοῦ ποσοῦ θαυμαστότερον τὸ ὁπότε. ἡνίκα b μὲν αὔξησιν ἐδεδίειμεν καὶ ἐπιθήκην, σταθμώμενοι ἀεὶ τῇ δαπάνῃ ἐπιδιδούσῃ, τότε ἀφελὼν τῶν φορτίων τῆς χάριτος μεῖζον ἐποίησας τὸ παρ' ἐλπίδα. ἀμέλει τέως μὲν ξὺν ἀπειλῇ καὶ ξὺν ἀνάγκῃ ξυνέφοιτα ἡμῖν ἡ σιτοπομπία, νῦν δὲ θᾶττον πτεροῦ καὶ νοήματος ἑκούσιος καὶ αὐτοκέλευστος ἀφικνεῖται. ὑπηρετεῖ καὶ ἡ θάλαττα τῇ τοῦ βασιλέως ὁρμῇ καὶ ὁ χειμέριος εἴσπλους τοῦ d

---

269, 5 ἐκστρατεία A. ἐγκράτεια H. 7 ὑπερήφανος A. ἡ ὑπερήφανος H. 9 λείψανον] λεῖψαν A. 10 ὅτι αὐτὴ ἡ γνώμη μόνη A. ὅτι μόνη ἡ γνώμη H. 11 ἡ ὁρμὴ cod. Vales. apud [illegible] ad Eunap. p. 132. [illegible] ἐπιβολὴ] ἐπιβουλὴ A. 12 σφριγώσης add. A. 13 αὐτῷ] αὐτοῦ A. [illegible]] κεκοσμημένων A. 14 καὶ μόνον A. μόνον καὶ H. ἐμβοήσας A. ἐκβοήσας H. καὶ ἐξαλλόμενος om. A. 18 περὶ A. ἐπὶ H. 19 σιδηρίῳ A. σιδήρῳ H. 22 μὲν A. ἂν H. ἐδεδίειμεν A. ἐδέδιμεν H. 25 σιτοπομπία A. [illegible] H. 28 ὁ χειμέριος] ὁ om. A. εἴσπλους A. πλοῦς H.

θερινοῦ ἀκυμαντότερος τοῖς ὁλκάσιν· οὔκουν αἱ σιτοθῆκαι μεσταὶ εὐρῶτος καὶ ἀραχνίων, ἀλλ' ὑπερχειλεῖς c καὶ ὑπεράντλοι, καὶ ἐπανήκει ἡμῖν τὸ θάρσος, ὃ πάλαι ἐκλελοίπει, καὶ χειμερίζομεν ἤδη εὐέλπιδες ὑπὲρ τῆς τοῦ ἦρος εὐετηρίας.

Ὥστε οὐδὲ ἀπαξιοῖ βασιλεὺς αὐτόπτης γίνεσθαι τούτων τῶν θησαυρῶν, ἀλλὰ τὰ μὲν τοῦ χρυσοῦ ταμιεῖα ἑτέροις φύλαξιν ἐπιτρέπει, τὰ σιτοφυλάκια δὲ οὐκ ὀκνεῖ οὐδὲ ἔλαττον ἑαυτοῦ ποιεῖται, αὐτὸς περινοστεῖν. Κροῖσος δὲ ὁ Λυδῶν βασιλεὺς ᾤετο βασιλικώτερον εἶναι χρυσοῦ μᾶλλον ἔμπλεα τὰ ταμιεῖα ἢ σίτου ἐπιδεικνύναι. ὥστε καὶ πρὸς Σόλωνα τὸν Ἀθηναῖον οὐ πυρῶν σωροῖς, d ἀλλὰ χρυσοῦ ψήγμασιν ἐκαλλωπίζετο, ἃ οὐχ ἡ γῆ αὐτῷ ἐδωροφόρει, ἀλλὰ ποταμὸς ἀλαζών, πλοῦτον ἄκαρπον καὶ ἀβλαστῆ, * καὶ οἱ εὐποροῦντες λιμῷ ἀπολεῖσθαι, ὥσπερ ὁ Μίδας ἐκεῖνος ὤνητο τῆς εὐχῆς ἐν ἀφθονίᾳ χρυσοῦ τροφῆς ἐνδεὴς τελευτήσας. τοιγάρτοι Κροῖσον μὲν οὐκ ἀπέφηνεν ὁ Σόλων ὀλβιώτατον τῶν τότε ἀνθρώπων, ἀλλὰ Τέλλον τὸν Ἀθηναῖον καὶ τοὺς Ἀργείους νεανίσκους καὶ ἅπαντα μᾶλλον ἢ Κροῖσον.

222 a βασιλέα δ' ἂν ἀπέφηνεν ὀλβιώτατόν τε καὶ εὐδαιμονέστατον, ᾧ πλοῦτος τοσοῦτον βόσκει στρατὸν ὅσον οὔποτε ἡ Ῥωμαίων ἡγεμονία, ** χωρὶς δὲ ἐπὶ τῷ Τίγρητι, βόσκει δὲ τὸ μέγα τοῦτο ἄστυ καὶ τὸν πολὺν δῆμον, καὶ οὐ μόνον βόσκει, ἀλλὰ καὶ ἐκτίνει τὸ ἐνδεήσαν ὑπὸ τῆς πάλαι ῥᾳδιουργίας, καὶ οὐκ ἐκτείνει μόνον, ἀλλὰ καὶ ἐπαύξει τὸ σιτηρέσιον, ὅτε ἀγαπητὸν ἦν μὴ ἐλαττῶσαι· οὔκουν δεῖ ἡμῖν ξενηλασίας συνεχοῦς, b καθάπερ τῇ μητροπόλει, φαρμάκου τῆς ἐνδείας χαλεπω-

270, 1 ἀκυμαντότερος A. ἀκυμότερος H. 10 βασιλεὺς A. δυνάστης H. 12 σωροῖς] „An σιροῖς?“ Iacobsius. 13 ἃ οὐχ ἡ] ἃς οὐχὶ A. οὓς οὐχ ἡ H. 14 ἐδωροφόρει A. δωροφόρει H. 15 λιμῷ A. τῷ λιμῷ H. ἀπολεῖσθαι] ἀπολέσθαι A. 16 ὁ μίδας add. A. 19 τέλλον add. A. 23 χωρὶς δὲ A. χωρὶς μὲν H. 25 ἐκτίνει Petavius. Vulgo ἐκτείνει.

τέρου, ἀλλ᾽ ἐπιρρέουσιν ἀκωλύτως σὺν τῇ τῶν καλῶν περιουσίᾳ αἱ χρῆσθαι αὐτοῖς ἐπ᾽ ἐξουσίας.

Τοσοῦτον μὲν δὴ τῶν ἔργων τοῦ βασιλέως τὸ ὑπὲρ ὅτου καὶ τὸ ὁπότε· τὸ δὲ δὴ ὑψηλόνουν καὶ τελεσιουργὸν καὶ μεγαλεῖον ζητεῖτε ἄρα παρὰ τοῦ λόγου, καὶ c οὐκ ἐμπελάζει ὑμῶν τοῖς ὀφθαλμοῖς, οὐδὲ τοῦ ἄστεος τὸν κύκλον ὁρᾶτε ἐξ ἡμιδεοῦς γέμοντα ἤδη ἀφράστου ἡδονῆς, καὶ οὐ τὰ κενὰ τοῦ περιβόλου κρείττονα τῶν c συνοικουμένων, οὐδὲ γεωργοῦμεν εἴσω τείχους μείζονα χῶρον ἢ κατοικοῦμεν, οὐδὲ ὄρειον τὸ κάλλος τῆς πόλεως καὶ διεσπασμένον, ἀλλ᾽ ἐμπέπλησται ἅπας καὶ ἐξύφανται οἷον πέπλος ἄχρι τῶν θυσάνων πεποικιλμένος χρυσῷ καὶ πορφύρᾳ αὐλῇ τε βασιλέως ἐπωνύμῳ καὶ λουτροῖς δὴ καὶ στοαῖς καὶ ἡβητηρίοις, καὶ τὸ κράσπεδον πάλαι τῆς πόλεως νῦν ὀμφαλός. ὦ πάτερ, ὦ εὔδαιμον Κωνσταντῖνε, ἆρα αἰσθάνῃ ὅτι τὴν πόλιν ὁ βασιλεὺς d ἀντὶ λαγαρᾶς καὶ ὑποσόμφου μεστὴν ἐποίησεν ἀγλαΐας, καὶ τὸ κάλλος αὐτῆς ἤδη ἀληθινὸν καὶ οὐκέτι σκιαγραφία;

Καὶ δὴ οὐ τὰ μὲν κοινὰ ἐπιδίδωσι, τὰ δὲ ἴδια ἀπολισθαίνει, ἀλλ᾽ αὔξεται ὥσπερ ζῷον ἅμα ἡ πόλις, καὶ μιᾶς ὥσπερ ἅπαντα κατεχούσης ἐπιπνοίας ἐκ τοῦ ζήλου τοῦ βασιλικοῦ καὶ ἄρχοντας καὶ ἰδιώτην, ὃς μὲν πρόδομον ἐγείρει, ὃς δὲ θάλαμον, ὃς δὲ ἀνδρῶνα, ὃς δὲ 223 a καὶ ἑπτάκλινον ἢ ἐννεάκλινον οἶκον, τῷ δὲ καλλύνονται οἱ τοῖχοι καὶ τὰ ἐδάφη λίθῳ Λακαίνῃ καὶ Λιβύσσῃ καὶ Αἰγυπτίᾳ, καὶ δείκνυσιν ἀπειρόκαλον τὸν Μενέλεων, χαλκῷ τοὺς τοίχους τῆς οἰκίας ἀλείψαντα καὶ ἀργύρῳ· ἀπολαύει δὲ καὶ τὰ προάστεια τῆς περὶ τὸ ἄστυ φιλοτι-

271, 1 ἀκωλύτως A. ἀκωλύτερον H. 4 τὸ δὲ Roulezius p. 50. Vulgo τό τε. ὑψηλόνουν] ὑψηλοῦν οὖν A. 6 ὑμῶν] ἡμῶν A. 13 λουτροῖς] λούτηρι (sic) A. 14 ἡβητηρίοις] ἡβητηρίῳ A. 15 εὔδαιμον] Vulgo εὐδαῖμον. 22 ἅπαντα A. ἅπαντας H. ἐπιπνοίας A. ὥσπερ ἐπιπνοίας H. 23 ἄρχοντα καὶ ἰδιώτην A. ἄρχοντας καὶ ἰδιώτας H. 25 καὶ add. A. καλλύνονται οἱ τοῖχοι A. καλλύνεται ἡ τύχη H. 28 ἀλείψαντα A. ἐπαλείψαντα H.

μίας, χέρσου τε θαλάττης ἐπιούσης καὶ θεάτρων ἁμίλλης, νεῶν πορθμῶν χειρὶ **. μεστὴ δὲ ἡ πόλις τεκτόνων καὶ οἰκοδόμων καὶ ποικιλλόντων καὶ παντοδαπῆς δημιουργίας, καὶ εἴποις ἂν αὐτὴν ἐργαστήριον μεγαλο-
b πρεπείας, ὥστε εἰ κατὰ λόγον ὁ ἔρως ἐπιδιδοίη τῷ βασιλεῖ, εἰς νέωτα ἡμῖν ἑτέρου κύκλου δεήσει, καὶ ἀμφισβητήσιμον ἤδη ἔσται εἰ μείζων καὶ ἀριπρεπεστέρα
c τῶν πόλεων, ἣν Θεοδόσιος προσύφηνε τῇ Κωνσταντίνου, ἢ ἣν ὁ Κωνσταντῖνος τῷ Βύζαντος. ἐγώ τοι καὶ αὐτός, ὦ μακάριε, εἴπερ ἑπόμενόν μοι ἤδη τὸ σῶμα ἦν, βουλοίμην ἂν ἐξικέσθαι ἐπὶ μακρότερον χρόνον, οὔτι ἄλλης ἕνεκεν ἡδονῆς — πᾶσαι γάρ μοι ἐκλέλυνται καλῶς ποιοῦσαι — ἀλλ' ὅπως ἂν γενοίμην καὶ τρίτης πόλεως θεατής, ἣν προσοικοδομήσει οὐκ εἰς μακρὰν ὁ ἀρχηγέτης.

c Καὶ οὐκ ἔξω μοι ἐλπίδος ἐστὶν αὕτη ἡ προθυμία. οὕτω γάρ μοι ἀλεξίκακος βασιλεὺς καὶ πρὸς τὴν τοῦ σώματος ἀδυναμίαν ὥστε, εὖ ἴστε, ὦ φίλοι, ὅτι καὶ νῦν με ἐπικελεύσας τὴν μουσικὴν αὖθις ἀναλαμβάνειν μᾶλλον ἐπήρκεσε τῶν Ἱπποκράτους φαρμάκων. καὶ βαδίζω ῥωμαλεώτερον ἢ πρότου, καὶ φθέγγομαι ἐξάκουστα μᾶλλον, καὶ οὐκ ἀποκέκλεισταί μοι τὰ σιτία οὐδὲ τὰ πόματα, ἀλλὰ τῇ τῆς ψυχῆς φιλεργίᾳ καὶ τὸ σῶμα συνανηβᾷ καὶ συνανακύπτει καὶ τὸ γῆρας συναποξύεται. ὥστε οὐκ ἂν θαυμάσαιμι εἰ οὕτως ἔχων μὴ ὑστάτην
d ὑμῖν ταύτην ᾄσαιμι τὴν ᾠδήν, ὥσπερ οἱ κύκνοι ᾄδουσι πρὸ τοῦ θανάτου εἰς τὸν θεὸν οὗ εἰσιν ὑποφῆται καὶ πρόσπολοι, ἀλλ' ἐπιδαψιλεύσεταί μοι ὁ μουσηγέτης καὶ ἀμείνονος καιρὸν μελῳδίας. τὰ μὲν γὰρ φάρμακα τῆς

272, 2 νεῶν] νέω νεῶν A. χειρὶ cum lacuna A. χειροδαιτήτων H. 4 καὶ εἴποις — μεγαλοπρεπείας om. A. 7 εἰ μείζων A. εἰς μείζων H. 9 ὁ κωνσταντῖνος A. ὁ om. H. 10 μακάριε A. μακάριοι H. ἦν om. A. 11 χρόνον] χρόνου A. 13 ὅπως] ὅρως A. 19 ἐπικελεύσας] ἐπικαλέσας A. 25 εἰ οὕτως — ᾄσαιμι om. A. 27 εἰσιν ὑποφῆται καὶ πρόσπολοι A. εἰσι πρόπολοι καὶ ὑποφῆται H.

Κολχίδος ἐξηπάτησε τὰς Πελιάδας, ὑποσχομένης τὸν πατέρα αὐταῖς ἀντὶ πρεσβύτου νέον ποιήσειν, βασιλεὺς δὲ εἰς ἀληθινήν με ἀκμὴν ἐπανάγει, οὐ τοσοῦτον οἷς 224 a ἐγείρει οἰκοδομήμασιν, ἀλλ' ὅτι αὐτὸς αὔξει ἀεὶ καὶ ὅτι αὐτὸς ἐπιδίδωσι καὶ ὅτι αὐτὸς γίνεται μείζων καὶ φιληκοώτερος καὶ εὐμαθέστερος, διὰ τοῦτό μοι ἐξεγείρει τὸν νοῦν καὶ ἐρεσχελεῖ καὶ ἐρεθίζει καὶ οὐκ ἐᾷ καταφέρεσθαι εἰς ὕπνον καὶ χάσμην ὑπ' ἀργίας, ἀλλ' ἀπαυδῶντα καὶ παρειμένον, οἷόν τινα εὐδόκιμον στρατιώτην ἀνακαλεῖται καὶ ἀναζώννυσιν ἐπὶ τοὺς λόγους, παρέχων καλὰς ἀφορμὰς καὶ τῇ τέχνῃ διδοὺς χορηγίαν. οὐκ ἄρα ἐγὼ σπουδαρχιῶν ὑπέσχον τὼ χεῖρε τῇ πολιαρχίᾳ, ἀλλὰ b σφοδρὸν ἔρωτα ἐρασθεὶς, τὰ αὐτὰ ἀποφῆναι φρονοῦντα τὸν βασιλέα Πλάτωνι τῷ θεσπεσίῳ ὑπὲρ τῆς ἀνθρωπίνης εὐδαιμονίας. καὶ ὅτι μὲν οὐκ ἐλήλεγκται οὔτε βασιλέως ἡ ψῆφος οὔτε ὁ Πλάτωνος λόγος ἄλλου ἂν εἴη λέγειν καὶ οὐκ ἐμόν.

Ἐγὼ μέντοι οὐκ ἐπ' ἐκείνῃ τῇ δέλτῳ, ἀλλ' ἐπ' ἄλλῃ μείζονι καὶ τελειοτέρᾳ, ἣ καὶ τὰς δέλτους ἐκείνας ἤδη ἔχει ἐπ' ἐξουσίας, ἣν οὐκ ἐποίησαν ἐλεφαντουργοὶ οὐδὲ χρυσοχόοι, ἀλλὰ ποίημά ἐστιν αὐτοῦ βασιλέως, μᾶλλον δὲ γέννημα ἱερὸν ἐξ ἱερῶν ὠδίνων τέλειον εὐθὺς καὶ ὁλόκληρον, ὁ ἀγαπητὸς, ὁ πολύευκτος, ὁ σεβαστὸς c ἐκ τοῦ λίκνου καὶ τῶν σπαργάνων, οὗ τὸ μὲν σῶμα ἐν αὔξῃ ἐστὶν, ἡ τιμὴ δὲ οὐκ ἔχει ὅπῃ προβήσεται. ὅν μοι εἰς χεῖρας ἔθηκεν ἡνίκα ἐλαύνειν ὥρμητο ἐπὶ τὴν ἑσπέραν, ἐπ' ὄψει μὲν τοῦ δήμου, ἐπ' ὄψει δὲ τῆς γερουσίας, καὶ παρηγγύα ἐπιμελεῖσθαι καὶ θεραπεύειν, οὔτε ἀσπίδα νωμᾶν δυναμένῳ οὔτε δόρυ πάλλειν, ἀλλ' οὐδὲ τόξον εὖ εἰδότι οὐδὲ σφενδόνης, ἀλλὰ τριβώνιον περικειμένῳ καὶ ἐγκεκυφότι ὑπὸ γήρως καὶ ἀσθενείας. ἀλλ', ὡς ἔοικεν, ὁ ἀνὴρ οὐ τὴν αὐτὴν ἀνήκειν ἡγεῖται

273, 1 ἐξηπάτησε A. ἐξηπάτησαν H. 2 αὐταῖς] αὐτῆς A. 9 εὐδόκιμον πάλιν H. πάλιν om. A. 11 διδοὺς χορηγίαν om. A. 14 ὑπὲρ A. ὑπὸ H. 18 δέλτῳ] θαρρῶ addit Harduinus. 20 ἤδη ἔχει] ἤδη om. A. 27 ἐπ' ὄψει μὲν τοῦ δήμου add. A. 32 ὁ ἀνὴρ A. ὁ om. H. ἀνήκειν om. A.

d *παιδείαν βασιλεῖ προσήκειν καὶ ἰδιώτῃ, οὐδὲ ταὐτὰ παιδεύματα ἁρμόττειν τῷ ἄρξοντι γῆς καὶ θαλάττης καὶ τῷ ταξιαρχήσοντι.*

Δεῦρ' ἴθι οὖν, ὦ φίλε παῖ, ἐπὶ τῶν ἐμῶν καθίζου γονάτων, ὅπως ἄν σε ἐκείνων γεύσαιμι τῶν παιδευμάτων καὶ ἀναθρέψαιμι, οὐχ ὥσπερ ὁ Φοῖνιξ τὸν Ἀχιλλέα, σῖτα καὶ ὄψα ἐπάγων, ἀλλὰ τροφεῖα παρέχων ἃ μόνη σκευάζει φιλοσοφία τοῖς νέοις βασιλεῦσι καὶ εἴσω τῆς
225 a *αὐτοκρατοῦς ἡλικίας, λόγους ἐγκάρπους καὶ ὑψηλοὺς καὶ ὠφελίμους καὶ παλαιῶν κλέα αὐτοκρατόρων, οἷς Κῦρος ὁ μέγας ἐτράφη καὶ Νουμᾶς ὁ Ῥωμαῖος καὶ Μάρκος ὁ κλεινὸς καὶ Τίτος ὁ γενναῖος, οὗ τὸ λαμπρὸν καὶ μέγα ἐκεῖνο ῥῆμα, ὅτι τήμερον οὐκ ἐβασίλευσα· οὐδένα γὰρ εὖ ἐποίησα. συμπαιδαγωγήσουσι δέ σε καὶ Πλάτων ὁ κλεινὸς καὶ ὁ θεσπέσιος Ἀριστοτέλης, οἳ καὶ τὸν μέγαν Ἀλέξανδρον ἐπαιδαγώγουν καὶ ἐξ ἀδήλου χωρίου κύριον ἐποίησαν ὅλης τῆς γῆς. ἐὰν οὗτοί σε*
b *ἐκθρέψωνται καὶ τιθηνήσωνται, ἐπώνυμε τοῦ λογίου θεοῦ, ταχέως ἔσται ἐπιτελὴς ἡ τῶν σῶν γονέων εὐχή,*

Πατρὸς δ' ὅ γε πολλὸν ἀρείων,

ἢ ἥ γε μετριωτέρα καὶ δυνατωτέρα,

Πατρὸς δ' εἰς ἴχνια βαίνοι.

καὶ τότε σοι ἐπιχαιρήσει ἡ μήτηρ οὐ μόνον ἐκ πολέμου ἐπανιόντι μετὰ σκύλων, ἀλλὰ καὶ δημηγοροῦντι καὶ θεμιστεύοντι καὶ τὴν δίκην πάρεδρον ποιουμένῳ, ἧς
c *πρώτη αὕτη ἐμπίπλησι τὰ βασίλεια.*

274, 4 *φίλε* om. A. 7 *ἃ μόνη* Petavius. Vulgo *ἃ μόνοις.* 9 *αὐτοκρατοῦς ἡλικίας*] *αὐτοκράτου σικελίας* A. *ἐγκάρπους* om. A. 13 *ἐκεῖνο* om. A. 16 *ἀδήλου* A. *ἀδόξου* H. 17 *ἐποίησαν*] *ἐποίησεν* A. 20 *πολλ' ὡρείων ἢ γεωμετρίας* A. 21 *ἢ ἥ γε* Petavius. Vulgo *ἢ εἴγε.*

XIX.

ΕΠΙ ΤΗΙ ΦΙΛΑΝΘΡΩΠΙΑΙ ΤΟΥ ΑΥΤΟΚΡΑΤΟΡΟΣ ΘΕΟΔΟΣΙΟΥ.

Ἐρρήθη ἐν τῇ συγκλήτῳ.

Λυκοῦργον τὸν Σπαρτιάτην ἐν Δελφοῖς εἰς τὸ μέγαρον εἰσιόντα οὕτω προσεῖπεν ἡ Πυθία,

Ἥκεις, ὦ Λυκόεργε, ἐμὸν ποτὶ πίονα νηὸν, d
Ζηνὶ φίλος καὶ πᾶσιν Ὀλύμπια δώματ' ἔχουσι.
δίζω ἠὲ θεόν μαντεύσομαι, ἢ ἄνθρωπον·
ἀλλ' ἔτι καὶ μᾶλλον θεὸν ἔλπομαι, ὦ Λυκόεργε.

διὰ τί μᾶλλον θεὸν, ὦ Λοξία; ἆρα ὅτι νίκας ἐνίκησεν ὁ βασιλεὺς οὗτος περιβοήτους καὶ ἐσώρευσε νεκροὺς 226 a πολεμίων; ἢ ὅτι ἐδορυφόρουν αὐτὸν αἰχμοφόροι καὶ μηλοφόροι χρυσῷ ἐσταλμένοι; ἢ ὅτι χρυσᾶ ἅρματα αὐτοῦ προεπόμπευε Νισαίων ἵππων; ἢ ὅτι αὐτὸς ἐκεκόσμητο στρεπτοῖς καὶ τιάρᾳ καὶ ἁλουργίδι;

Ἀλλὰ τὸν μὲν Ἑλλησπόντιον ξένον εἰκότως ἐξέπληξεν αὕτη σύμπασα ἡ σκευὴ καὶ ἀλαζονεία, ὥστε θεὸν νομίσαι Ξέρξην τὸν Δαρείου· ἐγὼ δὲ, φαίη ἂν ὁ Ἀπόλλων, ταῦτα μὲν οἶδα ὀλίγου ἄξια καὶ πολλοῖς ὑπάρξαντα μοχθηροῖς καὶ ἀνοήτοις δυνάσταις, οὓς οὐχὶ b θεοὺς, ἀλλ' οὐδὲ ἀνθρώπους ἄξιον προσειπεῖν, ὥσπερ αὐτὸν ἐκεῖνον τὸν Ξέρξην, οὕτως ἀπόπληκτον ὄντα ὥστε μαστιγοῦν τὴν θάλατταν καὶ πέδας ἐμβάλλειν τῷ Ἑλλησπόντῳ· ᾧ παρ' οὐδὲν ἦν καὶ ἐν φαύλῳ ἀνθρώπου,

275, 1 τῇ φιλανθρωπίᾳ A. τῇ om. H. 3 ἐρρήθη A. ἐρρήθη δὲ H. 8 ἢ ἄνθρωπον] ἢ καὶ ἄνθρωπον A. ἠὲ καὶ ἄνδρα H. 16 εἰκότως ἐξέπληξεν A. ἐξέπληξεν εἰκότως H.

ἀποτεμεῖν κεφαλήν. διὰ τοῦτο οὖν ὑπὲρ ἐκείνου μὲν εἴ τις με ἤρετο, οὐκ ἂν ἐδίστασα εἰ θεός, ἢ ἄνθρωπος ἦν, ἀλλ' εἰ ἄνθρωπος, ἢ θηρίον. οὐδὲ γὰρ ὕστερον περὶ Νέρωνος τοῦ Ῥωμαίου εἰς τὸν αὐτὸν τοῦτον νεὼν c ἡνίκα ἀφίκετο, ἐδίστασα εἰ θεὸς ἀφίκετο, ἀλλ' εὖ ᾔδειν ὅτι θηρίον ἐν μορφῇ ἀνθρώπου. καίτοι ἀφίκετο κιθάραν μετὰ χεῖρας ἔχων καὶ ἐν στολῇ κιθαρῳδικῇ, ἣν ἐμοὶ φίλην ὑπολαμβάνουσιν οἱ ποιηταὶ καὶ οἱ ζωγράφοι· ἀλλ' ὅτι ἡ ψυχὴ αὐτοῦ ἄμουσος καὶ ἀνάρμοστος ἦν, καὶ ἐνέπλησε φόνων τὴν ἀρχὴν οὐ μόνον ὀθνείων, ἀλλὰ καὶ ἐγγενῶν, διὰ τοῦτο οὐχ ὅπως ἥσθην εἰσιόντι, ἀλλ' ἐμυσάχθην καὶ ἀπεστράφην καὶ ἀπεστεφάνωσα ἐξιόντα, λαβόμενος τῆς κόμης τῇ ταινίᾳ. ἐπεὶ οὐδὲ Κροῖσόν d ποτε Λυδὸν ἐν μεγάλῳ ἐποιησάμην, καίτοι ἐμπλήσαντα τὸν σηκὸν πλίνθων χρυσῶν καὶ ἡμιπλινθίων, ἀλλὰ τρυφῆς ἦν καὶ οὐκ ἀρετῆς ὁ ποδαβρὸς ἐπωνυμία.

Τί οὖν ἐστιν ὃ ἐν Λυκούργῳ κατανοήσας μᾶλλον ἐθέμην τῷ θείῳ προσρήματι ἢ τῷ ἀνθρωπίνῳ; ἡ πραότης καὶ ἡ δικαιοσύνη καὶ ἡ εὐσέβεια καὶ ἡ τούτων ἔξαρχος φιλανθρωπία, καθ' ἣν μόνον δύναται βασιλεὺς 227 a θεῷ ὁμοιοῦσθαι. παραλαβὼν γὰρ τὴν Σπάρτην ἀνομώτατα διακειμένην καὶ πολέμου ἔμπλεω μεστὴν εἰρήνης πανταχόθεν ἐποίησε καὶ εὐνομίας, καὶ οὕτω πρᾶος καὶ ἵλεως ἦν ὥστε καὶ τὸν ἐκκόψαντα αὐτοῦ τὸν ὀφθαλμὸν ἐν τῇ ἐκκλησίᾳ, καταλεύειν ὡρμημένων Λακεδαιμονίων, περισῶσαί τε καὶ ἐξελέσθαι, καὶ παραλαβὼν οἴκοι τὸν ἄνθρωπον οὕτω παιδεῦσαι καὶ ἡμερῶσαι ὥστε ἀντὶ κακοῦ πολίτου χρηστὸν ἄνθρωπον ἀποφῆναι. ἠπίστατο γάρ, ὡς ἔοικεν, οὗτος ὁ βασιλεὺς ὅτι οὐκ ἀντιβλάπτοντα b χρὴ τὸν ἀγαθὸν βασιλέα, ἀλλ' εὖ ποιοῦντα μείζω φαίνεσθαι τῶν ἠδικηκότων. ἀρετῆς γὰρ αὕτη νίκη, τιμωρία δὲ δυνάμεως.

Τοὐντεῦθεν οὖν, ὦ φίλε Πύθιε, καὶ πρὸς ἡμᾶς σοι ἀποκριτέον. εἰ γὰρ μιᾶς πόλεως βασιλεὺς ἢ μέρους

276, 1 ἐκείνου μὲν] μὲν om. A. 11 διὰ τοῦτο add. A. 16 ποδαβρὸς Stephanus. Vulgo πόδαβρος. Vide Herodot. I, 55.

μικροῦ Πελοποννήσου, καὶ πένης μὲν αὐτός, πενήτων δὲ ἄρχων, σιτούμενος δὲ ἐν φιλιτίῳ καὶ πίνων ἐκ τοῦ Εὐρώτα, διὰ πραότητα μόνον παρέσχε σοι ἀμφιβολίαν ὁποίῳ ὀνόματι προσρητέος, τί φαίης ἄν, ὦ μακάριε, περὶ τοῦ πάσης σχεδὸν βασιλεύοντος γῆς καὶ θαλάττης, δι᾽ ὃν ὑποκύπτει μὲν Ῥωμαίοις ἡ ἕως, ἀτρεμίζει δὲ ἡ c ἑσπέρα, σπένδει δὲ ἅπαντα φῦλα, ὅσα τε ἤδη ὑπ᾽ αὐτοῦ κυβερνᾶται καὶ ὅσοις ἐν εὐχαῖς ἡ τούτου ἐστὶν ἐπιτροπεία, ὅτι οὕτω πρᾷος καὶ ἥμερος καὶ γαλήνης γέμων ὥστε καὶ τοὺς ἀδικεῖν εἰς τὴν ἀρχὴν ἐλεγχθέντας ὑπὸ τοῦ νόμου κατακριθέντας ἐξελέσθαι τῆς τοῦ νόμου ἀνάγκης, καὶ ἐπαναγαγεῖν εἰς τὸν ἥλιον ἐκ τῶν πυλῶν τοῦ Ἀχέροντος; ἆρα διστάσεις καὶ ἐπισκέψῃ πότερον θεὸς ἢ ἄνθρωπος εἰσελήλυθεν ἡμῖν εἰς τὸν νεών, καὶ οὐκ ἀποφανῇ θαρραλεώτερον ἢ περὶ τῆς ψάμμου ὁπόση d ἐστὶν ἐν τῇ γῇ, τούτῳ τῷ βασιλεῖ προσήκειν τῆς ἄνωθεν προσηγορίας; πάλαι μὲν γὰρ τοῦτο αὐτοῦ ἀγαστὸν ἦν ὅτι χρυσὸν ἑωρῶμεν πολλάκις ἐκ τῶν δημοσίων ταμιείων ἐπανιόντα πρὸς τοὺς οὐ δικαίως εἰσπεπραγμένους, νῦν δὲ εἴδομεν ἀνθρώπους ἐκ τῶν τοῦ Ἅιδου προθύρων εἰς τὸ ζῆν ἐπανιόντας, οὓς ὁ μὲν νόμος ἐκεῖσε ἀπήγαγεν, ὁ δὲ τοῦ νόμου κύριος ἐκεῖθεν ἐπανήγαγε, γινώσκων ὅτι ἄλλη μὲν δικαστοῦ, ἄλλη 228 a δὲ βασιλέως ἀρετή, καὶ τῷ μὲν προσήκει ἕπεσθαι τοῖς νόμοις, τῷ δὲ ἐπανορθοῦν καὶ τοὺς νόμους καὶ τὸ ἀπηνὲς αὐτῶν καὶ ἀμείλικτον παραδεικνύναι, ἅτε νόμῳ ἐμψύχῳ ὄντι καὶ οὐκ ἐν γράμμασιν ἀμεταθέτοις καὶ ἀσαλεύτοις. διὰ τοῦτο γάρ, ὡς ἔοικε, βασιλείαν ἐκ τοῦ οὐρανοῦ κατέπεμψεν εἰς τὴν γῆν ὁ θεός, ὅπως ἂν εἴη καταφυγὴ τῷ ἀνθρώπῳ ἀπὸ τοῦ νόμου τοῦ ἀκινήτου ἐπὶ τὸν ἔμπνουν καὶ ζῶντα.

Δεῦρ᾽ ἴτε οὖν, ὦ φίλαι Μοῦσαι, αἳ τὸν νεὼν τὸν βουλαῖον ἡμῖν συνοικεῖτε, καί μοι συλλάβεσθε. τοῦ b

---

277, 2 φιλιτίῳ] „Malim φειδιτίῳ." Stephanus. 6 ἀτρεμίζει A. ὑπορμίζει H. 7 σπένδει A. θεραπεύει H. 11 τῆς τοῦ νόμου A. τῆς ἐκ τοῦ νόμου H. 22 ἀπήγαγεν A. ἀπῆγεν H. 29 τὴν γῆν] τὴν om. A.

ὕμνου, ὃν ἀπάρχομαι αὐτῷ ἐπὶ τῇ ἔναγχος φιλανθρω-
πίᾳ. ἰδοὺ γὰρ ὁ ἀνὴρ οὕτως ἀσπάζεται ὑμᾶς, ὥστε
ὁμόσκηνον ποιῆσαι ὑμῖν τὴν βασιλίδα καὶ ἵστασθαι
αὐτῇ ἄγαλμα ἐν τῷ αὐτῷ τούτῳ σηκῷ, ἵνα καὶ αὐτοῦ
βασιλέως, ἵνα καὶ τοῦ παιδὸς τοῦ βασιλέως, καὶ διὰ
τοῦτο ἔσονται ὑμῖν οἱ χοροὶ ἤδη γεραρώτεροι τῇ κοι-
νωνίᾳ. ἀρκτέον δὲ ὑμῖν τανῦν οὐκ ἔνθεν ὅθενπερ Ὅμη-
ρος παραγγέλλει· οὐ γὰρ μῆνιν ᾄσεσθε

c Οὐλομένην, ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκεν,

ἀλλὰ πρᾳότητα καὶ φιλανθρωπίαν, δι' ἧς ἐπέδειξεν
ἅπασι βασιλεὺς ὅτι παντάπασιν αὐτῷ ἄπο θυμοῦ καὶ
ἀλλοτρία ἡ μέλαινα ψῆφος. καὶ τοῦτο σημεῖον τοῦ λα-
θεῖν αὐτὴν βασιλέα, τὸ μέλαιναν μεῖναι. οὐ γὰρ δὴ
ἐλθοῦσά γε εἰς αὐτὸν οὐκ ἀλλοχροήσει. τὴν μὲν γὰρ
ἀσπίδα οἶδεν ἐπ' ἄμφω νωμᾶν ἐπὶ δεξιά τε καὶ ἐπ'
ἀριστερά, τὴν ψῆφον δὲ ἐπὶ δεξιὰ μόνον, ἐπ' ἀριστερὰ
δὲ οὐκ οἶδεν. οὐδ' ἔστιν αὐτῷ χρυσοῦ τάλαντα, ὥσπερ
Ὅμηρός φησι τῷ Διί, ζωῆς καὶ θανάτου, οὐδὲ καθέλ-
d κεταί ποτε ἡ ῥοπὴ ὑπὸ τῆς θανατηφόρου ἡ ζωηφόρος,
ἀλλ' ἐξαίρεται ὑψοῦ ἀεὶ πρὸς τὸν οὐρανόν, χαμαὶ πι-
πτούσης τῆς ἐπὶ τὸν ζόφον ἀγούσης. ἀλλ' οὐδὲ δύο
πίθοι κατακείαται ἐν τῷ τοῦ βασιλέως ἐδάφει, ὥσπερ
αὖ Ὅμηρος λέγει ἐν τῷ τοῦ Διὸς οὔδει κατακεῖσθαι
δύο πίθους κηρῶν ἐμπλείους, τὸν μὲν ἐσθλῶν, τὸν δὲ
ἕτερον τῶν ἐναντίων, βασιλεῖ δὲ οὐκ ἔστι πίθος ὁ τοῦ
229 a θανάτου, ἀλλ' ὁ τῆς ζωῆς μόνον, μεστὸς ἀεὶ καὶ
ὑπερχειλής, ἐξ οὗ ἀκράτου αὐτὴν ἀρύεται καὶ χορηγεῖ
τοῖς ἀνθρώποις. πεπίστευκε γὰρ εὖ ποιῶν τῷ λόγῳ
τοῦ Ἀσσυρίου, ὃς τὴν καρδίαν τοῦ βασιλέως λέγει ἐν
τῇ τοῦ θεοῦ παλάμῃ δορυφορεῖσθαι, ἣν οὐχ οἷόν τε

278, 5 ἵνα add. A. 6 ὑμῖν A. ἡμῖν H. 7 τανῦν add. A. οὐκ ἔνθεν ὅθενπερ] Sic Xenophon Institut. Cyri I. 2, 2. οὗτοι δὲ δοκοῦσιν οἱ νόμοι ἄρχεσθαι — οὐκ ἔνθεν ὅθενπερ ἐν ταῖς πλείσταις πόλεσιν ἄρχονται. 13 μέλαιναν] μέλαινα A. 20 πρὸς τὸν] εἰς τὸν A. 25 ἔστι πίθος A. ἐστιν ὁ πίθος H. 29 τοῦ ἀσσυρίου A. τῷ Ἀσσυρίῳ H. Locus est Proverb. Sal. XXI, 1. λέγει] εὖ λέγων add. H, om. A.

γράμμασι θανατηφόροις ἑαυτὴν συνεπιδοῦναι, ἀλλ' ἀνάγκη τὸν ἐκεῖνα τὰ γράμματα γράφοντα εὐχερῶς ἐξολισθαίνειν τῆς χειρὸς τῆς ἀεὶ χορηγούσης ζωήν.

Ἀνεθὲν τοι, βασιλεῦ, ἡ πολιτεία τὸ τῆς θειότητος ὄνομα ὑμῖν ἐπεφήμισεν, οὐχ ὅτι πολὺς χρυσὸς ὑμῖν ἐν ἐξουσίᾳ, οὐδ' ὅτι στέφανοι καὶ ἁλουργίδες ἐν περιουσίᾳ, οὐδ' ὅτι πλούσιον ἐκ πένητος παραχρῆμα ποιῆσαι ῥᾳστώνη ὑμῖν — ταῦτα γὰρ πάντα χθαμαλώτερα τοῦ οὐρανίου καὶ τῆς πρὸς ἐκεῖνον εἰκόνος — ἀλλ' ὅτι μόνῳ θεῷ καὶ βασιλεῖ ἐν ἐξουσίᾳ ἐστὶ ζωὴν ἐπιδοῦναι. οὐδεὶς γὰρ ἐν ταῖς ἐπικλήσεσι τοῦ θεοῦ τὸν νικητὴν ἢ τὸν θριαμβευτὴν ἀνακαλεῖται ἢ τὸν Γερμανικὸν ἢ τὸν Σκυθικὸν, ἀλλὰ τὸν φιλάνθρωπον καὶ τὸν εὐσεβῆ καὶ τὸν σωτῆρα. ταύτης ἀνθεκτέον σοι τῆς ἀρετῆς καὶ σε οὔποτε ἐκείνη ἡ χεὶρ ἀφ' ἑαυτῆς ἀποσείσεται, ὡς ἀπεσείσατο Νέρωνα, ὡς Δομετιανὸν, ὡς τὸν τοῦ Σεβήρου· ἀλλ' οὐ Τραϊανόν γε οὐδὲ Μάρκον οὐδὲ Ἀντωνῖνον, τοὺς σοὺς πολίτας καὶ ἀρχηγέτας, ἐξ ὧν πόρρωθεν ἡμῖν ὁ θεὸς τὴν σὴν βασιλείαν ἐφροιμιάζετο. τοῦτο ἐγὼ τὸ τρόπαιον λαμπρότερον ὑπολαμβάνω τοῦ Σκυθικοῦ, καίτοι κἀκεῖνο ἤγειρας μόνος καὶ ἄνευ τῶν ὅπλων· πρὸς τοῦτο δὲ οὐχ ὅπως συνήρατό σοι ὁ σίδηρος, ἀλλὰ καὶ ἠμβλύνθη. οἷον οὐκ ἤγειρεν ὁ Φιλίππου ὁ μέχρι Ἰνδῶν διαβὰς ἐκ Μακεδονίας, ἀλλὰ Δαρείου μὲν ἐκράτει καὶ Πώρου, τῆς Κλείτου δὲ παροινίας ἡττήθη, καὶ οὐκ ἠμύνατο οἴνῳ τὸν οἶνον, ἀλλὰ σιδήρῳ, οὐδὲ τὴν αὐθάδειαν πρᾴως ἤνεγκε τὴν Φιλώτου, πρὸς τὴν ἑταιρίαν σοβαρώτερον ἐκλαλήσαντος, ἀλλὰ προσαπώλεσε τῷ Φιλώτᾳ καὶ Παρμενίωνα.

Ἀλλὰ σύ γε, ὦ θεοειδέστατε αὐτοκράτορ, διὰ τοὺς μηδὲν ἠδικηκότας, καὶ τοῖς ἁμαρτάνουσιν ἐνδέδω-

---

279, 6 ἐν περιουσίᾳ] αἱ περιουσίαι A. 10 ζωὴν A. ζωῆς H. 15 οὔποτε A. οὐδέποτε H. 16 Σεβήρου] σευήρου A. 18 τοὺς σοὺς] σοὺς om. A. ἐξ A. καὶ ἐξ H. 23 μέχρι A. μέχρις H. 27 φιλώτου A. Φιλώτα H. 30 ἀλλὰ σὺ A. Ἀλλ' οὐ σύ H. δια A. ἀλλὰ διὰ H. 31 ἐνδέδωκας A. ἔδωκας H.

κας συγγνώμην, καὶ παραπλησίως ἀθῷον ἀφῆκας τῷ
καθευδήσαντι δυστυχῶς τὸν μάταια μεμυήσαντα. οὔ-
230 a τω σοὶ καὶ μικρὰ ῥοπὴ πρὸς φιλανθρωπίαν ἀντὶ με-
γάλης ἐστίν. αἴτιον δέ, ὅτι πέφυκας θεοειδής· ἕκαστος
δὲ μικροῦ δεῖται ὑπεκκαύματος ἐπὶ τὴν ὁρμὴν τῆς φύ-
σεως. καὶ πάλαι μὲν οὐ διεκέκριτο ἐν τῷ τοιῷδε ἐγκλή-
ματι ἀδίκημα δυστυχήματος, ἀλλ' ἐν ἴσῳ καθειστήκει
τὸ βουλεῦσαί τι τῶν ἀθέσμων καὶ τὸ ἀνέξεσθαι μὴ
προελόμενον. καίτοι τῆς φύσεως ἔγκλημα ἦν τοῦτο ἢ
τοῦ ἀνθρώπου, ὅτι τὴν ἀκοὴν ἐποίησεν ἀναπεπταμένην
καὶ οὐχ ὥσπερ τὰ βλέφαρα καὶ τὸ στόμα ἐφ' ἡμῖν
κλείειν καὶ ἀνοιγνύναι, οὕτω καὶ τὰ ὦτα, ἀλλ' αὕτη
b μόνη σχεδὸν ἡ αἴσθησις ἐκπέφευγε τὴν ἐφ' ἡμῖν ἐξου-
σίαν, καὶ δέχεσθαι ἀνάγκη πᾶν τὸ προσπῖπτον αὐτῇ,
ὥσπερ οἴκημα ἄθυρον καὶ ἀνεῳγμένον.

Σὺ δὲ τὴν μὲν ἀκοὴν ἐξεῖλες παντάπασι τῶν ἐγ-
κλημάτων, κόλασιν δὲ καὶ ῥήμασι συνεχώρησας, καὶ
τῆς πράξεως αὐτῆς οὐ δεχομένης ὑπερβολὴν προήκω
ῥῆμα τοῦ ἔργου θαυμασιώτερον. ἁπάντων γὰρ ἡμῶν
τὴν ἀνεξικακίαν τεθαυμακότων, σὺ βραδυτῆτα αὐτῆς
ᾐτιῶ. τοῦτο δὲ οὐδὲν ἄλλο ἐστὶν ἢ ἀγανακτοῦντος ὅτι
μὴ προὔλαβες τῇ συγγνώμῃ τὸν ἔλεγχον τοῦ πλημμελή-
c ματος, μηδὲ ταχυτέραν ἐποίησας τῆς κατεχούσης ψήφου
τὴν ἀφιεῖσαν. ἐπεὶ τῆς ταχυτῆτος ἐκείνης τί ἂν γένοιτο
ἀθροώτερον; οὐ γὰρ κατὰ μικρὸν ὑφῆκας τῆς ὀργῆς
οὐδὲ κατ' ὀλίγον ἠλάττωσας τὸν φόβον τοῖς ὑπευθύνοις
οὐδὲ ἐνδιέτριψας τῇ γνώμῃ μετὰ τὸ δικαστήριον ἐφ' ὅ
τι ὁρμήσεις, ἀλλὰ προκατέλαβε τὴν σκυθρωπὴν ψῆφον
ἡ θεόσδοτος οὕτως ἀκαρῆ καὶ ἀμελλητί, ὥστε προτέ-

280, 5 ὑπεκκαύματος] ἐκκαύματος A. 9 ἢ τοῦ] ἢ delet Petavius. μᾶλλον ἢ interpretatur Roulezius p. 53. Quod iam Henr. Stephano placuerat, qui „μᾶλλον“ inquit „non librariorum omissum incuria (ut in quodam praecedenti loco) sed consulto ab authore praetermissum videri queat, ut quod facile subaudiri posset. ut pag. seq. ἠγάσθην ἢ ἐπ., pro μᾶλλον ἢ ἐπ.“
24 ταχυτῆτος A. βραδυτῆτος H. 29 ἀκαρῆ] ἐν ἀκαρεῖ Stephanus. προτέραν A. καὶ προτέραν H.

ραν πολλοῖς τῆς χαλεπῆς ἀπονασθῆναι. καὶ τότ' ἐγὼ
μόνον ᾐσθόμην φωνῆς νικώσης τῷ τάχει τὴν τῷ Ἡφαί-
στῳ τελουμένην λαμπαδηφορίαν, καὶ διὰ πομπίμων ἐξ d
ἄλλων εἰς ἄλλους σταδίους τόσους καὶ τόσους ὥσπερ
φρυκτωρίας διαπεμπομένην· ὥστε ἀνατεταμένας τὰς χεῖ-
ρας τὰς τῶν δημίων καὶ μετέωρα ἤδη τὰ ξίφη κατα-
σχεῖν τὴν φωνὴν τὴν σωτήριον. ταύτην οὖν φῶμεν
βραδεῖαν φιλανθρωπίαν, ἣν οὐ προὔλαβον αἱ μάχαιραι
ἐπικείμεναι τοῖς αὐχέσιν; ἀλλ' ὁ μὲν Ζεὺς ὁ παρ' Ὁμή-
ρῳ, καίτοι παιδὸς ὄντος τοῦ Σαρπηδόνος, εἰ δεῖ 231 a
πείθεσθαι Ὁμήρῳ κομψευομένῳ, ὀκνεῖ λῦσαι τὴν πε-
πρωμένην, καὶ θελήσας μεταγινώσκει, παραπεισθεὶς ὑπὸ
τῆς Ἥρας· βασιλεὺς δὲ ἀνάγκην οὐχ ἧττω ἀπαραιτήτου
δικαστηρίου διαλύει ἀμεταμελήτως, συμψήφου τῆς ὁμο-
ζύγου οὔσης αὐτῷ καὶ ἀεὶ βουλευούσης εἰς μίαν, ἑπο-
μένου δὲ ἀμφοῖν καὶ τοῦ παιδὸς τοῦ ἀγαπητοῦ, ὃν ἐν
τοῖς αὐτοῖς ἤθεσι καὶ ἐκτρέφουσι καὶ ἐξασκοῦσιν, ἀμ-
φιθαλοῦς ἀτεχνῶς καὶ ἀμφιδεξίου. ὅτῳ γὰρ ἂν μᾶλλον
ἐοικὼς ᾖ τῶν γειναμένων, εὐσεβεῖ τε αὐτῷ καὶ φιλαν-
θρώπῳ εἶναι προσήκει. b

Ἀλλὰ ἐκεῖνοι μὲν οὕτως· ὧν δὲ τὰ ἐγκλήματα
πρότερα ἦν καὶ τῆς φύσεως μᾶλλον τῶν ὤτων ἢ τῆς
προαιρέσεως ἁμαρτήματα, ἆρ' οὗτοι ἐδεήθησαν χρόνου,
ἢ μικρᾶς γέ τινος μελλήσεως πρὸς τὴν ἄδειαν; ἀλλὰ
μὴν πᾶς αὐτίκα ἐξεκέκοπτο αὐτῶν φόβος τῆς διανοίας
καὶ ἀθρόον ἑώρταζον ἑορτήν, ὥσπερ οἱ μηδεπώποτε
ἐγκεκλημένοι καὶ ἐκ μορφῆς ἀθεραπεύτου καὶ ὑποπε-
πτωκυίας μετεμορφοῦντο εἰς χλιδῶσαν καὶ γέμουσαν
γήθους. c

Ταύτην ἐγὼ τὴν μεταμόρφωσιν ἠγάσθην ἢ ἣν
παρ' Ὁμήρῳ μετεμόρφωσεν ἡ Ἀθηνᾶ τὸν Ὀδυσσέα, ἐκ

281, 11 λῦσαι A: ἀναλῦσαι H. 12 παραπεισθεὶς A. παρακληθεὶς H. 14 διαλύει A. παραλύει H. 19 εὐσεβεῖ] εὐσεβεῖν A. 22 πρότερα] παραιτητὰ Iacobsius apud Goellerum p. 281. 25 μὴν πᾶς αὐτίκα A. μὴ παραυτίκα H. φόβος A. ὁ φόβος H. 29 γήθους A. πειθοῦς H. 31 ἡ ἀθηνᾶ A.\ ἡ om. H.

ῥυπῶν καὶ ῥάκια ἠμφιεσμένου μεταβαλοῦσα εἰς εὐείμονα καὶ σφριγῶντα, ἡνίκα τῷ παιδὶ ἔμελλεν ἀναγνωρισθῆναι. ἐπιπόλαιος γὰρ αὕτη τοῦ σώματος ἡ μεταβολή· σὺ δὲ τὰς ψυχὰς αὐτῶν σὺν τῷ σώματι μεταμόρφους. καὶ τὴν σὴν ἔγωγε ῥάβδον οὐχ ἧττον ἂν εἴποιμι καλὴν καὶ χρυσῆν ἢ τὴν τοῦ Ἑρμοῦ φησιν Ὅμηρος. ἐγείρει γὰρ αὕτη οὐκ ἐξ ὕπνου, ἀλλ' ἐκ θανάτου· αὕτη φυλακτήριόν ἐστιν ἀρρηκτότερον τοῦ σιδήρου, αὕτη μᾶλλον
d διατηρήσει τὴν σὴν βασιλείαν ἢ πυρκαϊαὶ καὶ φλεβῶν ἐκτομαὶ καὶ πελέκεις, ἃς οἱ τυραννικώτατοι Ῥωμαίων προσάγοντες ὁσημέραι τοῖς ἀνθρώποις οὐκ ἐπεῖχον τὸ μῖσος, ἀλλ' ἐξηγρίαινον.

Οὐ μὴν οἱ σοὶ πρόγονοι καὶ ἀρχηγέται, ἀλλ' αἰδοῖ μᾶλλον ᾤοντο δεῖν καὶ εὐνοίᾳ πλέον ἢ φόβῳ κατέχειν τοὺς ὑπηκόους· δυσκαταγωνιστότερον δὲ φυλακτήριον εὔνοια φόβου. φόβῳ μὲν γὰρ εὔνοιαν οὐκ
232a ἴσμεν καταλυθεῖσαν, εὐνοίᾳ δὲ δυνάμεις πολλάς. αὐτίκα τοῖς μὲν ἐκ πρᾳότητος εὐδοκίμοις τῶν αὐτοκρατόρων, ὅσοι μὴ λίαν ὀλίγωροι καὶ ἐκκεχυμένοι, εἴ τις καὶ ἀνέφυ ἐπιβουλή, αὐτίκα κατεσβέσθη πρὶν ἐξαφθῆναι· τοῖς δὲ χαλεποῖς ἐκείνοις καὶ ἀνημέροις ἀεὶ τοὺς ἁλισκομένους ὑποτεμνομένοις οὐκ ἐπέλιπον οἱ κατεγχειροῦντες. γελοῖος γὰρ διδάσκαλος ἦν τῆς τυραννικῆς ἀσφαλείας ὁ τοὺς ἀστάχυας ἀποτέμνων τοὺς ὑπερέχοντας τοῦ ληίου. οὐ γὰρ τοσούτους γε ἂν ἀποτέμοι ὥστε
b μή τινας ἀπολείπεσθαι ὑψηλοτέρους τῶν ἀτμήτων ἀεὶ μενόντων. τοῦτο γὰρ δὴ τὸ σχετλιώτατον τῆς τῶν τυράννων δειλίας, ὅτι πάντας κτείνοντες οὓς δεδίασιν ἄχρι τοῦ μηδένα φοβεῖσθαι προελθεῖν οὐ δύνανται.

Οἶδά σου καὶ τὴν ἱερὰν ἐγκέλευσιν, ὦ βασιλεῦ, ἣν ἐνεκελεύσω τοῖς δικασταῖς, παραπέμπων ἐπὶ τὴν κρίσιν. καὶ πρὸς τὸν εἰπόντα ὅτι πρὸ πάντων φροντιστέον ἐστὶ τῆς ἀσφαλείας τῶν αὐτοκρατόρων, μᾶλλον

282, 5 σὴν A. σὴν ἂν H. ἂν εἴποιμι] ἂν εἴπ. A.
10 ἐκτομαὶ A. ἐκκοπαὶ H. 20 αὐτίκα A. καὶ αὐτὴ H.
22 ἐπέλιπον] ἐπέλειπον A. 26 ὑψηλοτέρους] ὑψηλοτέρων A.

μὲν οὖν, ὑφήσθω τῆς ἀγαθῆς δόξης· οὐ γὰρ ζωῆς c μῆκος διωκτέον τῷ βασιλεῖ, ἀλλ' ὑπεροχὴν ἀρετῆς. ἐπεὶ καὶ Διονύσιος καὶ Τιβέριος ἐγκατεγήρων ταῖς μοναρχίαις, ἀλλὰ τὸ γῆρας αὐτῶν οὐδὲν ἄλλο ἦν ἢ μακροτέρα κακοδοξία. ἀλλ' ὅ γε οὕτω φρονῶν καὶ περὶ πλείονος τὴν ἀγαθὴν δόξαν ἢ τὴν σωτηρίαν ποιούμενος τί ἄλλο ἢ κακονουστέρους ὑπολαμβάνει τοὺς πρὸς εὔκλειαν αὐτῷ ἐμποδὼν ὄντας τῶν τῷ σώματι ἐπιχειρούντων; ἐγὼ οὖν οὐκ ἄν σοι προσᾴδοιμι ἔτι τοὺς Πλάτωνος λόγους οὐδὲ μὰ Δία τοὺς Ἀριστοτέλους, οὐδὲ μὴν ἐμαυ- d τοῦ τι ἂν εἴποιμι παράγγελμα ἢ νουθέτημα, ἀλλ' ἣν αὐτὸς ἐγέννησας γνώμην, ταύτην ἀπόχρη σοι μόνην εἰδέναι τε καὶ ἐπισκοπεῖν, πότερον ἐν τῇ πράξει πλέον τὸ καλὸν ἢ τὸ κερδαλέον, καὶ πότερον ἀθόλωτος ὁ λόγος ἐξορμᾷ σε ἐπὶ τὴν πρᾶξιν, ἢ ἐπαχλύεται ὁ λογισμὸς ὑπό τινος πάθους. χαλεπώτατον γὰρ ἐκεῖνο τὸ πάθος, ὃ προεκπηδᾷ τοῦ λόγου ἐν ἐξουσίᾳ.

Καὶ διὰ τοῦτο Πέρσαι καλῶς Κῦρον μὲν πατέρα, 233 a Καμβύσην δὲ δεσπότην, Δαρεῖον δὲ κάπηλον ἐπωνόμαζον. ποιεῖ δὲ πατέρα μὲν δικαιοσύνη, θυμὸς δὲ δεσπότην, κάπηλον δὲ φιλοχρηματία· θεία δὲ μόνη ἡ τοῦ πατρὸς ἐπωνυμία· — πατέρα γὰρ ἀνθρώπων καὶ τὸν Δία οἱ ποιηταὶ ἐπονομάζουσι — τῶν δὲ ἄλλων ἡ μὲν θηριώδης, ἡ δὲ καὶ ἀνδραποδώδης. φύεται μὲν οὖν καὶ ἐν σμήνεσιν αὐτοφυής τις καὶ αὐτοδίδακτος βασιλεύς, ᾧ συμπεριβομβεῖ καὶ συμπεριπέτεται ἑκούσιον τὸ b σμῆνος καὶ σὺν χαρμονῇ, φύεται δὲ καὶ ἐν ἀνθρώποις, ἀλλὰ σπανίως γε οὗτος καὶ ἐν μακρῷ χρόνῳ, ὅταν ἄμφω συμπέσῃ καὶ συνομαρτήσῃ τῷ κάλλει τῆς ψυχῆς καὶ ἡ τοῦ σώματος ἀγλαΐα. καὶ οὗτός ἐστιν ἀτεχνῶς ὁ μέγας βασιλεύς, καὶ οὔτε χωλὸν οὔτε κολοβὸν αὐτοῦ

283, 10 οὐδὲ μὰ A. καὶ μὰ H. μὴν A. δὴ H. 15 ἢ ἐπαχλύεται A. καὶ ἐπαχλύεται H. 26 συμπεριβομβεῖ A. περιβομβεῖ H. Conf. p. 36 a. συμπεριπέτεται] συμπεριπέταται A. συμπεριπλέκεται H.

τὸ κάλλος, ἀλλ' ἄρτιοι καὶ ὁλόκληροι. ὥστε Ἀλέξανδρος μὲν ἐμακάριζε τὸν Ἀχιλλέα, ὅτι Ὁμήρου ἔτυχε κήρυκος, ἐγὼ δὲ ἐμαυτὸν εὐδαίμονα ὑπολαμβάνω, ὅτι σὲ κηρύττειν ἔλαχον οἱ ἐμοὶ λόγοι. καὶ τοῦτο οὐκ ἄν C τις φαίη κολακείαν μᾶλλον ἢ ἀλήθειαν. ὧν γὰρ ἴσμεν αὐτοκρατόρων ἢ ὧν ἀκούομεν, πλὴν δυοῖν τοῖν ἐνδοξοτάτοιν, οὐδεὶς ἂν ἕτερος τὸν αὐτὸν σοὶ τρόπον ἐν κτῆμα τοιοῦτον μεταχειρίσαιτο.

284, 7 ἕτερος A. ἕτερον H. ἐν κτῆμα A. ἔκτημα H. 8 μεταχειρίσαιτο A. μετεχειρίσατο H.

XX.

ΕΙΣ ΤΟΝ ΑΥΤΟΥ ΠΑΤΕΡΑ.

ΘΕΩΡΙΑ.

Ὁ λόγος ἡμῖν οὐ φιλοτιμίας καὶ ἐπιδείξεως, ἀλλὰ τῆς ὁσίας τῆς εἰς τὸν πατέρα στοχάζεται, ἣν μείζονα δεῖσθαι καὶ σεμνοτέραν ὑπέλαβε παρ' ὑμῖν ἀκροαταῖς γινομένην. τοῦτο γὰρ τὸ θέατρον καὶ μόνον ἄξιον ἡγεῖται ἀρετῆς. φιλεῖ μὲν οὖν ὡς τὰ πολλὰ μὴ δέχεσθαι μῆκος ἡ τοιάδε ἐπαγόρευσις, ἡμῖν δὲ καὶ ἄλλως ἀναγκαῖον ἐγένετο φείσασθαι τοῦ πλήθους. οὔτε γὰρ ὁ παρὼν καιρὸς ἐνεδίδου, ταχυτέραν ἀπαιτῶν ἢ μακροτέραν τὴν εὐφημίαν· ἕωλος γὰρ ἐπιτήδειος ἅπας μακρὰν ἀφιστάμενος τοῦ πάθους τῷ χρόνῳ· καὶ πρὸς τὴν ἀναγραφὴν τοῦ βίου τὰ καθέκαστον ἀνεθέμεθα· τῇ λέξει δὲ εἴ τι ἐλλείπειν εἰς παλαιότητα εὑρίσκοιτε, οὐ θαυμαστόν. χαλεπὸν γὰρ ἐφικέσθαι τῆς ἐν συγγραφῇ ἀκριβείας, μὴ τοῦτο συνεχῶς ἐκμελετῶντας, ἀλλὰ πρὸς ἕτερα τὴν πλείω σπουδὴν ποιουμένους. καὶ ἅμα οὐχ οὕτω φροντιστέον τῷ φιλοσόφῳ καλλιεπεῖν, ἀλλ' ἐκεῖνο μάλιστα φυλακτέον ὑμῖν εἰ τὸ πρέπον ἁπανταχῇ διεσώσατο καὶ υἱεῖ καὶ φιλοσοφεῖν ἐπιχειροῦντι καὶ εἰς φιλόσοφον.

Θρήνους μὲν δὴ ᾄδειν καὶ ὀδυρμοὺς οὔτε ὑμεῖς d
ἐάσειν φατὲ καὶ οὐ ξυγχωρεῖ φιλοσοφία, ἀλλ' ὁπότε αἴσθοιτο βαπτιζόμενόν τε ὑπὸ τῆς ὀδύνης καὶ εἰς δάκρυα καταφερόμενον, χαλεπαίνει τε καὶ ἐπαπειλεῖ δεινὰ

285, 3—21 ΘΕΩΡΙΑ ex codice Ambrosiano accessit.
8 ἡ τοιάδε ἐπαγόρευσις] ὁ ἐπιτάφιος λόγος adscriptum in marg. A.
25 ἐπαπειλεῖ A. ἀπειλεῖ H.

ἄττα με ἐργάσεσθαι καὶ ἀνήκεστα, διαγράψειν μὲν εὐθὺς τοῦ πατρῴου κλήρου, οὔτι λέγω τῆς γῆς τε καὶ τῶν ἀγρῶν καὶ τῶν ποιμνίων — ἀλλ' οὐκ ἐγὼ πάνυ γλίχομαι καὶ μεταποιοῦμαι καὶ ἐπιχειρῶ κληρονομεῖν
234 a μόνος τῶν ἀδελφῶν — ἐξαλείψειν δὲ τοῦ καταλόγου τῶν ζακόρων τῶν ἑαυτῆς. ἀνάγκη οὖν ἱστάν μοι τοὺς ὀφθαλμοὺς ὥσπερ σίδηρον ἠὲ κέρατα, καθάπερ ἐποίησεν Ὅμηρος τῷ Λαέρτου παιδὶ πεπηγέναι τὰ ὄμματα, τὸν οἶκτον ἐπικρυπτομένῳ τῆς γυναικός.

Καίτοι Ὀδυσσεὺς μὲν καρτερίας ἱκανῆς οὐκ ἐδεῖτο, μέλλων οὐκ εἰς μακρὰν ἀπολαύσεσθαι τῆς Πηνελόπης σὺν παρρησίᾳ· σὺ δὲ ὦ πάλαι μὲν πατέρων, νῦν δὲ θεῶν ἀγανώτατε, πότε αὖθις σοι ξυνεσόμεθα; τί γάρ
b σε δεῖ φιλοσοφίᾳ πιστεύειν, ἥ σε διαπορθμεύσασα ἔναγχος τὴν μακαρίαν πορείαν ἐπανήκουσα ἐκεῖθεν ἡμῖν ἀπαγγέλλει, ὅτι ἡνίκα ὡς τάχιστα τοῦ δεσμοῦ τῆς φύσεως ἀπελύθης, οὐκ ἀπορρήξας οὐδὲ ἀποσπάσας κατέχοντος ἔτι, ἀλλ' αὐτοῦ χαλάσαντος καὶ ἀνέντος, αὐτίκα ἦξας μετέωρος ἄνω πρός τε αἰθέρα καὶ οὐρανόν, τὴν ξυνωρίδα τῶν ἀθανάτων ἵππων ζευξάμενος, οὓς ἐν χρόνῳ τοσῷδε ἅμα ἔτρεφες καὶ ἀτίταλλες, συνεξορμᾶν ἐθίζων καὶ ἄνω ἵεσθαι ἀμφοτέρους, καὶ μὴ τὸν μὲν ἐφ' ὕψος ἕλκειν, τὸν δὲ κάτω βρίθειν τὸν ζυγόν.
c ὅθεν τανῦν οὐδὲ κέντρων οὐδὲ χαλινῶν ἐδεήθης πρὸς τὸν ἀλαζόνα ἵππον καὶ ὑβριστήν, ἀλλ' εὐμενής τε καὶ τῷ ὁμοζύγῳ πράως ἔχων συνδιῆρέ σοι τὸ ὄχημα, καί σε ἐδέξατο ἱερὰ θεῶν ἀγορὰ καὶ δῆμος ἀγαθῶν δαιμόνων, εὐφημοῦντές τέ σε καὶ προσαπαντῶντες καὶ ἀσπαζόμενοι, ὅτι σφίσιν ἐκτελέσας τὸ χρέος εὖ σε

286, 1 ἐργάσεσθαι] ἐχαράξασθαι A. ἐργάζεσθαι H. 6 μοι A. μου H. 7 ἠὲ A. ἢ H. 10 ἱκανῆς οὐκ A. οὐχ ἱκανῆς ἔτι H. 12 μὲν A. μοι H. 13 ἀγανώτατε] ἀγαννώτατε A. ξυνεσόμεθα A. συνεσόμεθα H. 18 κατέχοντος ἔτι A. ἔτι κατέχοντος H. 19 ἦξας] Vulgo ἤιξας. 21 ἀτίταλλες A. ἐτίταλλες H. 22 [illegible] Vulgo [illegible], 23 ἐφ' ὕψος A. ὑψοῦ H. 24 [illegible] A. οὐδὲ — οὐδὲ A. οὔτε — οὔτε H. 28 τέ σε A. τε om. H.

ἕνεκα. κατελθὼν δὲ ἐπὶ γῆς, ἀκήρατος εὐθὺς καὶ ἄχραντος ἀπανήεις. καὶ οὔτε ἔμπροσθεν οὔτε ὄπισθεν μόλυσμα ἐξηῦρεν ὁ Ῥαδάμανθυς ἢ ὁ Μίνως ἐνσεσημασμένον τε καὶ ἐγγεγραμμένον τῇ ψυχῇ, καθίζουσί σε παρὰ Σω- d
κράτει καὶ Πλάτωνι, ἀγαγόντες καὶ τὰ σὰ παιδικὰ τὸν θεῖον Ἀριστοτέλην, ᾧ καὶ ἐνθάδε ἐν τῇ μετοικήσει ξυνεῖναι τὰ πολλὰ ἐπεχείρεις, καὶ οὐκ ἐξήρκει τὸ σῶμα ἀποφράττειν τὴν συνουσίαν οὕτω πόρρωθεν ὄντων τῶν e
παιδικῶν.

Ἦ που νῦν σε ἐκεῖνος, ὦ θεία κεφαλή, εὐφραίνει τε ὑπὲρ τοὺς ἄλλους καὶ ἀγαπᾷ καὶ οὐκ ἔχει ὅ τι χρήσεται ὑπὸ χαρμονῆς, ἀποτιννύων τὰ χαριστήρια τῆς προφητείας ἣν προεφήτευσας Ἀριστοτέλους λαμπρότερον 235 a
ἢ Βάκις τε καὶ Ἀμφίλυτος τοῦ Λοξίου· καὶ τῆς σοφίας, ἣν ἐκεῖνος ἐξευρών τε καὶ ἐξασκήσας ζόφῳ ἐκάλυψε καὶ ἠμφίεσεν ἀσαφείᾳ, φροντίσας μήτε βασκῆναι τοῖς ἀγαθοῖς μήτε ῥῖψαι εἰς τὰς τριόδους· σὺ δὲ γνωματεύων τοὺς ἐπαξίους περιῄρεις τε αὐτοῖς τὸν ζόφον καὶ ἐγύμνους τὰ ἀγάλματα. ὥστε ὁ μὲν ἄρτι προσιὼν τοῖς ἀδύτοις φρίκης τε ἐνεπίμπλατο καὶ ἰλίγγου, ἀδημονίᾳ τε ξυνείχετο καὶ ἀπορίᾳ ξυμπάσῃ, οὐδὲ ἴχνους λαβέσθαι οἷός τε ὢν οὐδὲ ἀρχῆς ἡστινοσοῦν ἐπιδράξασθαι εἴσω b
φερούσης· ὅτε δὲ ὁ προφήτης ἐκεῖνος ἀναπετάσας τὰ προπύλαια τοῦ ναοῦ καὶ τοὺς χιτῶνας περιστείλας τοῦ

287, 1 εὐθὺς A. αὖθις H. 3 ὁ Μίνως A. ὁ om. H. 4 καθίζουσί σε Ald. καθίζουσί τε H. καθίσουσί σε Stephanus. Σωκράτει] Vulgo Σωκράτη. 5 ἀγαγόντες A. ἄγοντες H. 6 ᾧ add. A. 7 ξυνεῖναι A. συνεῖναι H. καὶ οὐκ ἐξήρκει] καὶ οὐκ ἠδύνατο ἡ ἐνσώματος, φησί, ζωὴ ἀποτειχίζειν τὴν συνουσίαν, καίτοι πόρρωθεν ἤτοι ἐν αὐλαῖς ὄντος τοῦ ἐρωμένου. schol. A. 10 ἐκεῖνος] ὁ δῆμος τῶν ἀγαθῶν δαιμόνων. schol. A. 13 προφητείας] προφητείαν ἐνταῦθα λέγει, οἶμαι, τὴν ἐξήγησιν τῶν Ἀριστοτέλους βιβλίων. schol. A. 14 Βάκις] βάκις A. ἀμφίλυτος A. Ἀμφίλυκος H. 16 ἠμφίεσεν A. ἠμφίασεν H. ἀσαφείᾳ] ἀσαφείας A. 17 σὺ δὲ γνωματεύων Petavius. Vulgo συγγνωματεύων. 18 ἐπαξίους] ἐπαξίως A. 21 ξυνείχετο A. εἴχετο H. ξυμπάσῃ A. συμπάσῃ H. 22 οὐδὲ ἀρχῆς] Vulgo οὔτε ἀρχῆς. 23 ὅτε A. ὁπότε H. ὁ om. A. 24 ναοῦ A. νεὼ H.

ἀγάλματος καλλύνας τε αὐτὸ καὶ ὑποσμήξας πανταχόθεν ἐπιδείκνυσι τῷ μυουμένῳ μαρμαρύσσον τε ἤδη καὶ αὐγῇ καταλαμπόμενον θεσπεσίᾳ, ἥ τε ὁμίχλη ἐκείνη καὶ τὸ νέφος ἀθρόως ὑπερρήγνυτο καὶ ἐξεφαίνετο ὁ νοῦς ἐκ τοῦ βάθους, φέγγους ἀνάπλεως καὶ ἀγλαΐας ἀντὶ τοῦ προτέρου σκότου, Ἀφροδίτη δὲ παρῆν δᾳδουχοῦντι καὶ Χάριτες συνεθίγγανον τῆς τελετῆς.

c Τὸ μὲν οὖν πρόσωπον καὶ τὸ σχῆμα ὅλον μονονοὺ δῆθεν ἐπῆν Ἀριστοτέλους τοῖς μυστηρίοις. ἅπαντα δὲ ὅμως συνεισφέρετο τῶν σοφῶν τὰ ἀνάκτορα, καὶ συνεπόπτευσε τὰ ἱερὰ καὶ ὅσα Πυθαγόρας ὁ Σάμιος ἐξ Αἰγύπτου ἐκόμισεν εἰς τὴν Ἑλλάδα καὶ ὅσα ὕστερον ἐν τῇ ποικίλῃ στοᾷ Ζήνων ὁ Κιτιεύς. τὰ μὲν γὰρ Πλάτωνος τοῦ μεγάλου ἀγχίθυρά τε ἀεὶ ἐπεδείκνυε καὶ ἐν τῷ αὐτῷ περιβόλῳ, καὶ οὐδὲ μετημφιέννυτο τὴν στολὴν μεταβαίνων εἰς τὴν Ἀκαδημίαν ἐκ τοῦ Λυκείου, ἀλλὰ πολλάκις Ἀριστοτέλει προθύσας εἰς τὴν Πλάτωνος
d ἔληγεν ἱερουργίαν. χαλεπῶς δὲ εἶχεν ἀεὶ τοῖς διοικοδομεῖν ἐπιχειροῦσι καὶ διαφράττειν ἀτεχνῶς ταυτὶ τὰ ἑρκία. εἶναι γὰρ δὴ τῆς Πλάτωνος κακίας τὴν Ἀριστοτέλους φιλοσοφίαν ἅμα μὲν γενναῖον προτέλειον, ἅμα δὲ θριγκόν τε καὶ φυλακτήριον. εὐβάτου τε γὰρ οὔσης ἄγαν καὶ εὐεπιδρόμου τοῖς σοφισταῖς, τειχίσαι τε Ἀριστοτέλη καὶ περιφράξασθαι πανταχόθεν καὶ ἀποκλεῖσαι τὰς ἐπιβουλὰς τῶν δογμάτων, τοὺς δὲ πολλοὺς ὑπὸ ὄκνου καὶ ῥᾳθυμίας ἀφράκτους ἐθέλειν καὶ ἀναλείφους διαγωνίζεσθαι. ὅθεν πολλάκις γενναίᾳ δόξῃ καὶ ἰσχυρᾷ

288, 2 ἐπιδείκνυσι A. ἐπιδείκνυν H. 4 ἀθρόως A. ἀθρόον H. 6 προτέρου A. πρότερον H. δᾳδουχοῦντι A. δᾳδουχοῦσα H. 11 συνεπόπτευσε A. συνεπόπτευσεν ὡς ἂν H. 13 Κιτιεύς] Vulgo Κιττιεύς. 14 ἐπεδείκνυε A. ἀπεδείκνυε H. 18 χαλεπῶς δὲ — φιλοσοφίαν add. A et codex Vales. apud Reiskium ad Marinum p. 92. 20 βακχείας cod. Vales. κακίας A. 22 θριγκόν A. θριγγόν H. εὐβάτου τε A. τε om. H. 23 εὐεπιδρόμου A. ἐπιδρόμου H. 24 πανταχόθεν καὶ A. καὶ πανταχόθεν H. 26 ἀφράκτους A. ἀφράκτους τε H. 27 γενναίᾳ δόξῃ καὶ ἰσχυρᾷ — ὑποσκελιζομένῃ τε καὶ σφαλλομένῃ A. γενναία δόξα καὶ ἰσχυρὰ — ὑποσκελιζομένη τε καὶ σφαλλομένη H.

ὑπὸ ἀσθενοῦς καὶ φαύλης ὑποσκελιζομένη τε καὶ σφαλλομένη παρὸν ἀμύνειν μὴ δύνασθαι ἐπαμύνειν. πρὸς 236 a
μὲν δὴ Πλάτωνα τὸν σοφὸν οὔτε αὐτός ποτε ἐστασίασεν οὔτε Ἀριστοτέλη ῥᾳδίως ᾤετο. Ἐπίκουρον δὲ τὸν Νεοκλέους κομψὸν μὲν ἡγεῖτο καὶ τῶν ἀτόμων οὐκ εἶναι τομόν, εἰσελκυσάμενος δ' ἂν αὐτὸν πολλάκις, ὅσον ἐνδεῖξαι τοῖς ἀγνοοῦσιν, ὡς τάχιστα ἀπέπεμπεν ἐκ τοῦ καταλόγου, μύρον κατὰ τῆς κεφαλῆς καταχέας, ἅτε ἐραστοῦ τῆς ἡδονῆς. τοῦτο μὲν δὴ οὐχ οὕτως ἄγασθαι ἦν. οὐδεμία γὰρ φιλοσοφία πόρρω ἀπῴκισται καὶ μα- b
κρὰν ἀποσκηνοῖ τῆς ἑτέρας, ἀλλ' οἷον εὐρείας ὁδοῦ καὶ μεγάλης σμικραὶ διασχίσεις τε καὶ ἀπονεύσεις, αἱ μὲν πλεῖον, αἱ δὲ ἔλαττον περιελθοῦσαι, εἰς ταυτὸν ὅμως πέρας συνθέουσιν.

Ἀλλ' ὁπότε Ὅμηρον τὸν ποιητὴν εἰσεκάλει τε καὶ ἐξένιζεν, ὡς προπάτορα καὶ ἀρχέγονον τῶν Ἀριστοτέλους καὶ Πλάτωνος λόγων, τότε ἂν ἀκριβῶς ἐδεήθης τῆς Ὁμήρου φωνῆς, ὥστε εἰπεῖν λαβὼν παρ' ἐκείνου,

Ὢ πόποι, ὡς ὅ γε πᾶσι φίλος καὶ τίμιός ἐστιν. c

οὐδὲ γὰρ τῆς σκηνῆς ἀπείχετο τῆς ἀρχαίας οὐδὲ τοῦ θεάτρου ὡς παντάπασι βεβήλων καὶ ἀλλοτρίων φιλοσοφίας, ἀλλὰ θαμὰ μὲν Μένανδρος ὁ χρυσοῦς, θαμὰ δ' Εὐριπίδης καὶ Σοφοκλῆς Σαπφώ τε ἡ καλὴ καὶ Πίνδαρος ὁ γενναῖος συνεπήχουν τε καὶ συνωργίαζον. ὅθεν οὐδὲ μονόγλωττος ἦν οὐδὲ φιλοσόφῳ μόνον ἐπιτήδειος ἀκροατῇ, ῥήτορσι δὲ ἀξύνετος ἢ γραμματισταῖς, ἀλλὰ τῶν μὲν ἄλλων, ὁπότε πειρῷντ' ἐκ τῆς φιλοσοφίας τι λέγειν, χαλεπώτερον ἂν ξυνίης ἢ τῆς Περσικῆς δια-

289, 2 παρὸν A. παρόντας H. δύνασθαι A. δύναται H. 3 ἐστασίασεν A. ἐστασίαζεν H. 4 οὔτε] οὐδὲ A. ἀριστοτέλη A. Ἀριστοτέλης H. 6 εἰσελκυσάμενος δ' A. εἰσελκυσάμενος δὲ H. 9 τοῦτο A. τούτοις H. 18 Ὁμήρου] Odyss. κ, 38. 19 ὅ γε A. ὅδε H. 20 σκηνῆς] „Fort. λύρας." Iacobsius. 22 Μένανδρος — θαμὰ δ' add. A. 25 φιλοσόφῳ] φιλοσόφων A. μόνον A. μόνῳ H. 26 ἀκροατῇ Petavius. Vulgo ἀκροατής. ἀξύνετος A. ἀσύνετος H. 27 πειρῷντ' A. πειρῷντο H. 28 ξυνίης A. συνίης H.

d λέκτου, ἐκείνου δὲ καὶ ἀμπελουργὸς ἐπακούων καὶ σιδηρεὺς εἶχεν ὅ τι οἴκαδε ἀποφέροι. καὶ ἄρχοντι μὲν τὰ ἀρχικὰ διελέγετο, πολιτικῷ δὲ τὰ πολιτικά, γεωργικῷ δὲ ὁπόσα ἔχεται γεωργίας.

Γεωργίας μὲν δὴ καὶ σφόδρα ἦν ἐπαινέτης τε καὶ ἐραστής, καὶ τῷ φιλοσόφῳ ῥαστώνην ἐπὶ τοῖς πόνοις μόνην πρέπουσαν ἀπέφηνε τὴν γεωργίαν, καὶ μάλιστα
237 a γηρῶντι ἤδη καὶ ἐκλυομένῳ ὑπὸ χρόνου τῷ σώματι γυμνασίαν τε ἱκανὴν εἶναι καὶ γέμουσαν τῆς σώφρονος ἡδονῆς. καὶ πολλάκις ἂν φοιτήσας παρὰ τὸν πρεσβύτην κατέλαβες ἢ φυτεύοντα ἢ περικαθαίροντα ἢ μεταφέροντα ἢ ὕδωρ διεξάγοντα ἐπὶ τοὺς ὀχετούς, ὥστε ἐπάρδειν τὰ φυόμενα· καὶ ὤρεξεν ἄν τί σοι τῶν ὡραίων καὶ περιαγαγὼν τοὺς ὀρχάτους ὑπέδειξεν ἂν τῶν βοτρύων ὑπερφυὲς τὸ κάλλος καὶ τὸ μέγεθος, καὶ ἀνήγαγεν εἰς τὰς μητροπόλεις, ὥσπερ οἱ γενεαλόγοι τῶν στεμφύλων
b εἰς τὰς ἀποικίας. ἦν δὲ καὶ ἀγρὸς αὐτῷ, ὃν αὐτὸς ἐποιήσατο, πηγάς τε ὕδατος ἐξελκύσας οὔπω πρότερον φαινομένας, καὶ τἆλλα ἐπιμεληθείς, ὥστε καλὴν εἶναι καὶ πρέπουσαν φιλοσόφῳ καταγωγήν. οὗτος ὁ ἀγρὸς εἰ καὶ οὐ πάνυ Ἑλληνικὸν τοὔνομα, ὅμως ἐν στόματί ἐστιν ἐκείνων τῶν ἄγαν Ἑλλήνων.

Ὁ μὲν οὖν Ὀδυσσεὺς πρὸς τὸν ἑαυτοῦ πατέρα φησὶ τὰ μὲν φυτὰ αὐτῷ καὶ σφόδρα ἱκανῶς τεθεραπεῦσθαι, αὐτὸν δὲ οὐκ ἔχειν ἀγαθὴν κομιδήν, ὅτι ῥάκια ἠμφίεστο καὶ φαῦλα ὑπέρραπτο ὑποδήματα. ἐγὼ δ' ἐπίσταμαι τὸν ἐμὸν πατέρα ὅτι αὐτὸς ἄρα πρὸ τῶν
c φυτῶν ἐκεκαλλιούργητο καὶ εὖ ἤσκητο, οὐκ ἐπειδὴ χιτῶνα ἠμφίεστο λεπτὸν καὶ εὐήτριον, ἀλλ' ὅτι μὴ τὴν

290, 1 ἐπακούων A. ἀκούων H. 2 καὶ ἄρχοντι A. καὶ σὺν ἄρχοντι H. 3 γεωργικῷ A. γεωργῷ H. 7 ἀπέφηνε] ἀπέφαινε codices Monac. 59. et 461. 8 γηρῶντι] γερῶντι Monac. 59. 9 τῆς σώφρονος ἡδονῆς A. σωφροσύνης ἡδονήν H. 14 ὑπέδειξεν A. ἐπέδειξεν H. 16 στεμφύλων A. σταφυλῶν H. 19 τἆλλα A. τὰ πολλὰ H. 20 εἰ καὶ A. εἰ om. H. 21 οὐ πάνυ A. πάνυ οὐδὲ H. ὅμως — Ἑλλήνων add. A. 27 ἄρα add. A. 28 ἐκεκαλλιούργητο A. ἐκαλλιουργεῖτο H.

ψυχὴν ἀκόσμητον εἶχε μηδὲ ἔμπλεων ἀγροικίας. οὐ γὰρ αἱ ἄμπελοι μὲν αὐτῷ καὶ ὁ κῆπος ἥμεροί τε καὶ ἔγκαρποι ἦσαν, τυφλὴ δὲ ἡ διάνοια καὶ ἀγρία, ἀλλ' οὐδὲ τὴν Ἀλκινόου ὀπώραν τὴν ἐπιβλαστάνουσαν συνεχῶς, οὐδὲ τὰ χρυσᾶ μῆλα τῶν Ἑσπερίδων εἴκασας ἂν μικρῷ ἐκείνου ῥήματι καὶ νουθετήματι. οὐ γὰρ δὴ καλλονῆς μόνης ἐφρόντιζεν ἐν τοῖς λόγοις, ἀλλ' ὥσπερ ἔφασκεν ἐν τῇ περὶ τὴν γῆν ἐργασίᾳ τοὺς τὰ ἄλση μόνα φυτευομένους πλατάνων ἀμφιλαφῶν ἢ κυπαρίττων, πυρῶν d
δὲ καὶ ἀμπέλων ἐξαμελοῦντας, πλέον στοχάζεσθαι τέρψεως ἢ τροφῆς, οὕτω καὶ ἐν τοῖς λόγοις τοὺς ἡδονὴν μόνην θηρεύοντας καὶ ὅπως κηλήσειαν τοὺς ἀκροωμένους, ἐξ ὧν δὲ τρέφεται ψυχὴ καὶ ἀμείνων γίνεται ἑαυτῆς, οὐκ εἰδότας λέγειν οὔτε πειρωμένους, τούτους δὲ οὐκέτι εἶναι φιλοσόφους, ὥσπερ οὐδὲ ἐκείνους γεωργούς, ἀλλὰ κόλακάς τε καὶ θῶπας καὶ ὀψοποιοὺς ἀντὶ ἰατρῶν καὶ ἀντὶ γυμναστῶν κομμώτας. 238 a

Καὶ μὴν ὅσοι τοὺς μὲν λόγους αὐτοὺς συνείροιέν τε καὶ ἀποστοματίζοιεν ἱκανῶς τοὺς ὑπὸ σοφίας παρηγγελμένους, τῶν δὲ ἔργων ἀμελοῖεν ὑπὲρ ὧν οἱ λόγοι, τούτους δὲ αὐτοὺς τῷδέ τινι ἐοικέναι ἐπεδείκνυεν, οἷον εἴ τις ὑγιαίνειν τὸ σῶμα αὐτῷ ἐπιθυμῶν φάρμακα μὲν συνάγοι καὶ βοτάνας, ὁπόσαι ἱκαναὶ τριβόμεναι καὶ μιγνύμεναι ἀλλήλαις, βοηθεῖν τῇ τοῦ σώματος πονηρίᾳ, καὶ σιδήρια δὲ ἰατρικὰ φιλοτίμως κατασκευάζοιτο, ἔχοι δὲ λέγειν καὶ ὅσα Ἱπποκράτης ὁ Κῷος καὶ ὅσα Ἐρα-

---

291, 3 τυφλὴ] στρυφνὴ Petavius. στυφλὴ Iacobsius ad Antholog. Palat. vol. III. p. 728. 4 ὀπώραν τὴν A. τὴν om. H. 6 οὐ γὰρ δὴ A. καὶ γὰρ δὴ οὐ H. καλλονῆς] καλονῆς A. 7 μόνης hoc loco A, post λόγῳ H. τοῖς λόγοις A. τῷ λόγῳ H. 10 ἐξαμελοῦντας A. ἐξαπορροῦντας H. 11 οὕτω καὶ A. οὕτω δὲ καὶ H. 12 κηλήσειαν A. κηλήσουσι H. 14 οὐκ A. οὔτε H. 17 ἀντὶ ἰατρῶν A. καὶ ἀντὶ ἰατρῶν H. ἀντὶ γυμναστῶν A. ἀντὶ om. H. 18 αὐτοὺς codex Vales. ap. Boisson. ad Eunap. p. 201. Vulgo αὐτοῖς. συνείροιέν τε A. τε om. H. 19 σοφίας] φιλοσοφίας A. παρηγγελμένους codex Vales. Vulgo παραγγελλομένους. 21 τῷδε A. ὧδε H.

b σίστρατος καὶ ὅσα Διοκλῆς ἐν τοῖς συγγράμμασι παρ-
αγγέλλουσιν ὑπὲρ ὑγιείας, ὁπότε δὲ αὐτῷ τὸ σῶμα εἰς
ἀρρωστίαν ὑπενεχθείη καὶ πάσης ἐκείνης ἀπολαύειν
δέοιτο τῆς παρασκευῆς, ὁ δὲ τὰ φάρμακα μὲν καὶ τὰ
σιδήρια χαίρειν ἐῴη καὶ τὸν Ἱπποκράτην, κατακλινεὶς
δ' ἐπὶ στιβάδος ἐστρωμένης τάπησι καὶ πορφύρᾳ, καὶ
τράπεζαν παραθέμενος Σικελικὴν πίνοι τε ἄδην καὶ
εὐωχεῖται, κόρης αὐτῷ τινος Κορινθίας ἢ παιδὸς Ἰω-
b νικοῦ διακονουμένων. οὔτε γὰρ τούτῳ πλέον τι εἶναι
τῆς κτήσεως ἕνεκεν τῶν φαρμάκων οὔτε ὅστις τοὺς λό-
c γους αὐτοὺς τῶν φιλοσόφων ἀναλαβὼν καὶ ἱκανῶς ἐκ-
μελετήσας μὴ θέλοι ἔργῳ αὐτοὺς ἐκβεβαιοῦσθαι, οὐδὲ
τούτῳ πλέον τι φιλοσοφίας μετεῖναι ἢ τῷ πρόσθεν
ἐκείνῳ ἰατρικῆς. καὶ ἀθλητὴν δὲ ὁμοίως καταγέλαστον
εἶναι, ὅστις ἐπιδεικνύμενος τοὺς ἀλειπτῆράς τε καὶ ἐξα-
ριθμούμενος τὰ γυμνάσια τοὺς ὤμους τε αὐτοὺς περι-
φέροι μαλθακούς τε καὶ ἀσθενεῖς, καὶ τὸν αὐχένα
λυγίζοιτο ὑπὸ τρυφῆς καὶ ἀκρασίας, εἶτα εἰς τὸ στά-
διον μὲν παριέναι ἀγωνιούμενος οὔτε δύναιτο οὔτε
ἐθέλοι, καθήμενος δὲ ἐν βαλανείῳ καὶ ἐν γωνίᾳ παιδι-
d κῆς παλαίστρας πρὸς τοὺς λουομένους καταγγέλλοι τὰ
παλαίσματα. τοῦτον οὖν τὸν τρόπον καὶ ἐπὶ φιλοσο-
φίας οὐχὶ λόγων χρῆναι ἐπίδειξιν ποιεῖσθαι, οὐδὲ ἐν-
θένδε ποθὲν τεκμαίρεσθαι ὅστις πόρρω ἥκοι σοφίας,
οἷον εἰ μετ' ἐπιστήμης διαιροῖτο τἀγαθὰ καὶ φάσκοι
τὴν ἀρετὴν μέγιστον εἶναι τῶν λοιπῶν καὶ ὑπερφέρειν
μακρῷ τὰ ἄλλα, τά τε τοῦ σώματος λεγόμενα καὶ ὅσων
ἔξωθεν τύχη βασιλεύει, ἀλλ' εἰ φρονοίη τὸν τρόπον
239 τοῦτον καὶ προαιροῖτο καὶ τὴν ἀγαθὴν πρᾶξιν ἀεὶ

292, 1 συγγράμμασι] ἐπιγράμμασι A, sed alterum in margine. 2 ὑγιείας] Vulgo ὑγείας. 4 δέοιτο A. δέοι H. 5 χαίρειν add. A. 7 ἄδην A. ἅδδην H. 10 κτήσεως] κτήσεως A. 14 ἀθλητὴν] ἀθλητὴν A. 15 ἀλειπτῆρας A. ἀλειπτῆρας H. 17 περιφέροι] περιφέροι A. 18 λυγίζοιτο] λυγίζοιτο Monac. 59. et 461. τρυφῆς καὶ A. τρυφῆς τε καὶ H. 20 γωνίᾳ A. ἀγωνίᾳ H. 21 καταγγέλλοι] καταγγέλοι A. καταλέγοι H. 24 ἥκοι A. ἥκει H.

ἔμπροσθεν ἄγοι τῆς χρήματα ἢ δόξαν φερούσης. ἄλλως δ' ἔχοντα τῇ μὲν γλώττῃ φιλοσοφήσειν, τῇ καρδίᾳ δὲ οὐδαμῶς.

Τούτων δὲ ἁπάντων παραδείγματα ἀπέφαινε Σωκράτην τὸν Ἀθηναῖον, ὃς οὔτε οἴκοι ὑπὸ Ξανθίππης λοιδορούμενος οὔτε ὑπὸ Κριτίου, καὶ τῶν τριάκοντα τυράννων ἀπειλούντων, εἰ μὴ μεταθήσεται καὶ θεραπεύσει τὴν καθεστῶσαν πολιτείαν, ἀποκτενεῖν τε καὶ ἐξελάσειν καὶ ἀνήκεστα ἔργα ἐργάσεσθαι, ὅμως οὐκ ἔδεισέ ποτε οὐδὲ ἐξεπλάγη οὐδὲ κίνδυνον ἄλλον ἐνόμισεν b οὕτω δεινόν τε καὶ φοβερὸν ὡς τὸ κακὸν ἀντ' ἀγαθοῦ γενέσθαι καὶ δυσσεβῆ ἀντ' εὐσεβοῦς. διὰ τοῦτο οὔτε Λέοντα ἤγαγε τὸν Σαλαμίνιον οὔτε ἐπιψηφίσαι ἐξεβιάσθη κατὰ τῶν ἀμφὶ Περικλέα καὶ Ἐρασινίδην καὶ Διομέδοντα στρατηγῶν· καίτοι οὕτω γε ὁ δῆμος αὐτὸς ἐπεκελεύετο, βοῶντες ἄνωθεν ἐκ τῆς ἐκκλησίας. ἀλλ' οὐδ' ὅτε κατεδίκασαν αὐτοῦ Ἀθηναῖοι, οὐδ' ὅτε ἐν τῷ ξύλῳ ἦν, οὐδὲν ἀγεννὲς ἢ ταπεινὸν ἔπραξεν ἢ εἶπε πρὸς τοὺς ἑταίρους τοὺς εἰς τὸ δεσμωτήριον συνιόντας, ἀλλὰ c περὶ ψυχῆς ἐφιλοσόφει καὶ περὶ τῶν ἐν Ἅιδου ἐξηγεῖτο, ὁπόσα μὲν ἀγαθὰ ἀρετὴν ἐκεῖσε μένει, ὁπόσα δὲ κακίαν τιμωρήματά καὶ κολαστήρια. τοιγαροῦν οὐκ εἰς μακρὰν Ἀθηναῖοι μετέγνωσαν ἀμφὶ Σωκράτους καὶ δίκην ἐπράξαντο Μέλητον τῆς δίκης ἐκείνης καὶ ἔφυγεν αὐτὸς ἐκ τοῦ ἄστεος καὶ Ἄνυτον κατέλευσαν διὰ Σωκράτην οἱ Ἡρακλεῶται οἱ ἐν τῷ Πόντῳ, καὶ νῦν δείκνυται Ἀνύτου αὐτόθι σῆμα ἐν τῷ προαστείῳ οὐ μακρὰν θαλάττης, οὗπερ καὶ ἔβαλλον τὸν Ἄνυτον οἱ Ἡρακλεῶται. τοιαῦτα

293, 5 Ξανθίππης] ξανθίππου A. 7 μεταθήσεται A. μεταθήσεται H. θεραπεύσει A. θεραπεύσοι H. 9 ἐξελάσειν A. ἐξελαύνειν H. ἔργα add. A. ἐργάσεσθαι] ἐργάσασθαι A. 13 ἐξεβιάσθη A. κατεβιάσθη H. 21 ἀρετὴν add. A. ἐκεῖσε μένει A. ἐκεῖ περιμένει H. 23 ἐπράξαντο A. ἔπραξαν τὸν H. 24 Μέλητον] Vulgo Μέλιτον. καὶ ἔφυγεν] κἂν ἔφυγεν A. αὐτὸς A. Ἄνυτος H. 25 ἄνυτον A. αὐτὸν H. 26 ἀνύτου A. ἄνευ τοῦ H. 28 οὗπερ καὶ ἔβαλλον A. οὗ περιέβαλον H. τὸν Ἄνυτον] τὸν αὐτὸν ἄνυτον A.

d δὲ ἀπέφαινε καὶ τὰ ἑαυτοῦ καὶ ἄντικρυς παραπλήσια
τοῖς Σωκρατικοῖς. εἶναι γὰρ αὐτῷ πολλὰ μὲν ὕπαιθρα
καὶ δημόσια ἀγωνίσματα, οὐ φαυλότερα δὲ τὰ οἴκοι
καὶ εἴσω τῆς αὐλῆς, καὶ ταῦτα πάντα ὑπομένειν τε
καὶ ἀνέχεσθαι ῥᾳδίως, ὅτι δεῖ φιλοσοφίαν οὐ λόγῳ,
ἀλλ' ἔργῳ ἑλέσθαι.

Δίκαια μὲν δὴ καὶ οἱ πάλαι ἔπραξαν ἄνθρωποι
ἐφ' Ἡρακλεῖ τῷ Διὸς καὶ Ἀλκμήνης, ἀποθειάσαντές τε
αὐτὸν καὶ ἱερὰ ἴδια κατασκευάσαντες, καὶ θυσίας
θύοντες οὐ μόνον ὅσας ἥρωϊ θύειν καλὸν ἦν, ἀλλὰ
240 a καὶ ὅσας δαίμονι ἤδη καὶ ὅσας θεῷ, ὅτι Ἡρακλῆς
παράδειγμα ἐγένετο ἀρετῆς, καὶ τὴν γῆν ἅπασαν ἐπι-
φοιτήσας τυράννων τε ὠμότητος καὶ θηρίων ἐκάθηρεν
ἀλλοκότων. δοκῶ δὲ ἔγωγε ὡς σφοδρότερον μὲν κάπρων
κακία, βιαιότερον δὲ λεόντων, ἰταμώτερον δὲ πολυ-
μόρφου κυνός, πολυκεφαλώτερον δὲ ὕδρας· ἄξιον δὲ
εἶναι καὶ τοῖς τοῦτο τὸ θηρίον καταμαχεσαμένοις τε
καὶ ἀσθενὲς ἀποδείξασι τεμένη τε ἱδρύεσθαι δημοσίᾳ
καὶ ἱερέας καθίστασθαι. εἶναι γὰρ δὴ καὶ τούτους οὐκ
b ἀπεικὸς ἔν τινι θείᾳ μοίρᾳ τοῦ σώματος ἀπαλλαγέντας
ἐσθλοὺς ἀλεξικάκους, φύλακας μερόπων ἀνθρώπων.
καί μοι δοκοῦσιν οἱ θεοὶ βουληθέντες αὖθις ἐνδείξα-
σθαι καὶ ὑπομνῆσαι τοὺς ἀνθρώπους ἐς ὅσον ἐφικνεῖ-
ται ἀρετὴ ψυχῆς ἀνθρωπίνης, ὥσπερ τὸ παλαιὸν
Ἡρακλέα καὶ αὖθις Σωκράτη, οὕτω νῦν σε, ὦ πάτερ,
διὰ μακροῦ χρόνου παραγαγεῖν καὶ φῦναι ἐπὶ γῆς.

Ἀλλὰ σοὶ μὲν μακάριός τε καὶ εὐδαίμων ὁ ἀγρὸς
καὶ πρὸς ὀλβίους τε ἀνέδραμες καὶ εὐδαίμονας τοὺς
c καταπέμψαντας, ἡμᾶς δὲ ἀπέλιπες ἐν τῷ κλύδωνι καὶ

294, 2 εἶναι γὰρ αὐτῷ — τῆς αὐλῆς add. A. 11 καὶ ὅσας δαίμονι A. καὶ om. H. ἤδη καὶ A. ἤδη, ἀλλὰ καὶ H. 13 ὠμότητος A. ὠμότητα H. 14 ἔγωγε add. A. 21 ἐσθλοὺς — ἀνθρώπων] Hesiodi Ἔργ. v. 122. 23 ἐφικνεῖται A. ἀφικνεῖται H. 26 ἐπὶ γῆς A. ἐπὶ γῆν H. 27 ἀλλὰ σοὶ A. Ἀλλὰ σὺ H. μακάριος A. ὄλβιος H. ὁ ἀγρὸς καὶ add. A. 29 ἀπέλιπες] ἀπέλειψας codex Vales. apud Boisson. ad Eunap. p. 269.

τῷ λειμῶνι τῆς Ἄτης οὐδὲ ἔχοντας ὅστις χεῖρα ἄλλῳ ὀρέξει, ἀνακύπτειν τε πειρωμένους καὶ ἐξαναδῦναι ποτὲ τῆς ἰλύος καὶ τοῦ βορβόρου. δεῖ δὴ λοιπὸν τὰ ἴχνη τὰ σὰ διώκειν, εἰ δὴ ἐκείνοις ποτὲ ἐμβιβάσαι καὶ τὰ ἡμέτερα δυνηθείημεν. καίτοι συχνά γέ μου ἀπεπειρῶ, καθάπερ οἱ ἀετοὶ τῶν νεοττῶν, εἰ δύναταί μοι στέγειν τὰ ὄμματα καὶ ἀνέχεσθαι τὴν αὐγὴν τῆς ἀληθείας, καὶ πολλάκις ἀπέπεμπες ἐλπίδος γεμίσας ἀγαθῆς, καὶ ἐγεγάνυσο καὶ ἐγεγήθεις ὅτι σοι γνησίους ἤλεγχον τὰς d γονάς, πρὸς τὸν ἥλιον οὐ σκαρδαμύττων. οὐ δὴ οὖν τότε μὲν ἐχρῆν ἀνοίγειν τὼ ὀφθαλμώ, νῦν δὲ καταμύειν, ἀλλὰ καὶ ὑπὲρ τῆς σῆς σπουδῆς ἢ ψήφου ἀγωνιστέον ὡς μὴ παντάπασι πατρὸς φαινοίμην ἀφιλοσόφου. ἐπαμύνοις δὲ αὐτὸς ἄνωθεν τῷ παιδὶ καὶ ἐνστάξαις, ὦ μάκαρ, προσευχομένῳ ἀλκήν τε καὶ ἀνδρείαν εἰς τὸν ἀγῶνα.

295, 1 λειμῶνι Petavius. Vulgo χειμῶνι. ἔχοντας A. ἔχομεν H. ἄλλῳ A. ἄλλος H. 2 πειρωμένους A. πειρωμένοις H. 9 ἐγεγάνυσο] ἐγεγάννυσο A. ἐγάννυσο H. 10 οὐ σκαρδαμύττων A. ἀσκαρδαμύττων H. 12 σῆς add. A. 13 φαινοίμην ἀφιλοσόφου A. φαίνοιτο, ἀλλὰ φιλοσόφου H. 15 ἀνδρείαν] Vulgo ἀνδρίαν.

XXI.

243a ΒΑΣΑΝΙΣΤΗΣ Η ΦΙΛΟΣΟΦΟΣ.

Ἄνδρες ὅσοι συνελέγητε ὑπ' ἐμοῦ τήμερον εἰς τὸ θέα-
τρον τῶν Μουσῶν, τί κάθησθε ἐκπεπληγμένοι; τί δὲ
συνέχεσθε ὑπὸ θάμβους; ὅπου ὑμῖν καινὸν καὶ ἀλλό-
κοτον καταφαίνεται ἄνδρα τοῦ φιλοσοφίας ὀνόματος ἀξι-
ούμενον χθές τε ἀγείροντα ἑωρᾶσθαι καὶ νῦν καθήμενον
ἐπὶ θρόνου τινὸς ὑψηλοῦ μάλα σοφιστικῶς καὶ σοβα-
b ρῶς, μέλλοντα ὑμᾶς προκαλέσασθαι ἀφ' ὧν ἂν λέγῃ
εἰς ἐκβοήσεις τε καὶ κρότους, οἵων θαμὰ ἀπολαύουσι
παρ' ὑμῶν οἱ δαιμόνιοι σοφισταί; εἰ οὖν διὰ τοῦτο
θαυμάζετε, εὖ ἴστε ὅτι εἰκότως θαυμάζετε· τῷ ὄντι
γὰρ οὐ φιλοσόφου οὔτε τὸ ἔργον οὔτε τὸ ἐπιθύμημα.
ἀλλ' οὐκ ἐγώ τοι ὁ παραχαράττων καὶ πλημμελῶν, ἀλλ'
ὁ τοῦτό μοι τὸ ὄνομα ἐξ ἀρχῆς περιθεὶς καὶ διδάξας
ὑμᾶς νομίζειν. ἐπεὶ τό γε ἀληθὲς οὐ ταύτῃ ἔχει, ἀλλ'
ἐγὼ πατρὸς μὲν οἶδα ἐμαυτὸν γενέσθαι μάλα γενναίου
244a τε καὶ ἀληθινοῦ φιλοσόφου, καὶ οὐκ ἀπιστῶ τῇ μη-
τρὶ, καθάπερ ὁ Τηλέμαχος τῇ Πηνελόπῃ· φιλόσοφος
δὲ οὔτε εἶναι ἡγοῦμαι τούς τε ἡγουμένους ἐξαπατᾶσθαι
ὑπολαμβάνω. τί οὖν πράγματα ἔχουσι καὶ παρέχουσιν;
ἰδοὺ γὰρ ὑμῖν διαρρήδην αὐτὸς ἐγὼ λέγω κατ' ἐμαυτοῦ

296, 1 Iacobsii ad hanc orationem annotationes in appendice ad Dionysium Halic. de C. V. ab Goellero editum. Insunt codicis Monacensis chartacei (nr. 59.) lectiones. 4 ὅπου A. ὅτι που H. Fort. ἤ που. 6 ἀγείροντα] Conf. p. 282 d. 11 εὖ ἴστε — θαυμάζετε om. A. 15 οὐ ταύτῃ Henr. Stephanus. οὐ ταὐτὰ H. οὐ ταὐτὸ Monac. οὐχ οὕτω margo Monac.

ἐν κοινῷ θεάτρῳ ὅτι τούτου μοι τοῦ ὀνόματος οὐδὲν προσήκει, ἀλλ' ὁ κατ' ἀρχὰς αὐτὸ ἐπιρρίψας, ὡς ἔοικεν, οὐκ ἐσκέψατο ὅτι οὐ μόνον ἀπόχρη τὸ γενέσθαι ἐκ πατρὸς φιλοσόφου, ἀλλὰ δεῖ καὶ τραφῆναι καὶ παιδευθῆναι ὑπὸ τοιούτοις διδασκάλοις τε καὶ τροφεῦσι, καὶ τὴν ψυχὴν ἀναπλασθῆναι ἔτι νέαν τε καὶ ἁπαλήν. b οὕτω γὰρ δὴ μάλιστα ὁ τύπος εἰσίοι τε καὶ ἐνδύοιτο ἐν τῷ βάθει καὶ οὐκ ἂν μένοι ἐπιπολῆς.

Τούτων δὲ οὐκ οἶδα ὅπως ἔγωγε ἀπεστέρημαι, καὶ ταῦτα δύο πατέρων τυχὼν κορυφαίων, ὧν ὁ μὲν ἐγέννησεν, ὁ δὲ ἐξείλετο κηδεστήν. τῷ δὲ Ἀριστίππῳ ἐξήρκεσεν ὑπὸ μητρὶ μόνῃ φιλοσοφούσῃ τραφέντι μητροδιδάκτῳ κληθῆναι. ἴστε ἄρα ὃν λέγω Ἀρίστιππον, οὐκ ἐκεῖνον τὸν πάνυ, τοῦ Σωκράτους ὁμιλητήν, ἀλλὰ τὸν ἐκείνου θυγατριδοῦν. ἀλλ' Ἀρίστιππον μέν, ὡς ἔοικεν, ἠγάπα ἡ μήτηρ καὶ τὰ μαθήματα ἐνετίθει, σπεύδουσα c ἀποδεῖξαι ἑαυτῆς μὲν ἄξιον καὶ τοῦ πάππου, ἐμὲ δὲ ἐμισείτην τὼ πατέρε τούτω καὶ ἀπηχθέσθην. ἢ ἐκείνω μὲν οὐκ ἐμισείτην — οὐ γάρ, οἶμαι, θέμις ἄνδρας σοφούς τε καὶ μακαρίους τὰ ἔκγονα ἀπεχθαίρειν τὰ ἑαυτῶν — ἀλλ' ἐγὼ νωθής τε πρὸς παιδείαν ἔφυν καὶ ἀτεράμων, καί μοι σκληρίας ὑπόπλεων ξυνεπάγη τὸ ἐκμαγεῖον, ὥστε καὶ πάνυ βουλομένους αὐτοὺς ἐγγράφειν μὴ δύνασθαι τὰ παιδεύματα. εἰ οὖν ταῦτα οὕτως ἔχει, παύσασθε παύσασθε καὶ ὑμεῖς, ὦ μακάριοι, τῆς πλά- d νης· παύεσθε ἤδη πρὸς τῶν Μουσῶν, καί μοι τοῦ ὀνόματος τούτου μὴ πάνυ μεταδίδοτε, ἀλλ' εἰς μὲν τὸ ἔργον, ὃ δηλοῦν ἐθέλετε τῷ ὀνόματι, ξυνελαύνετε, εἴ πῃ δύνασθε, καὶ ξυνωθεῖτε — ὡς οὐδέν με ἄλλο τη-

---

297, 6 ἀναπλασθῆναι Heusdius Spec. Plat. p. 93. comparato Platone de Rep. II. p. 377 a. Vulgo ἀναπλησθῆναι. ἀπαλήν codex Vales. apud Bast. ad Gregor. Cor. p. 653. ἁπλῆν H. 18 ἀπηχθέσθην] Vulgo ἀπεχθέσθην. 21 νωθής τε A. νωθής τις H. 23 βουλομένους αὐτοὺς Henr. Stephanus. Vulgo βουλομένοις αὐτοῖς. 27 μεταδίδοτε Monac. Vulgo μεταδιδόναι. 28 ἐθέλετε] ἐθέλητε A. ξυνελαύνετε] ξυνελαύνεσθε A. εἴ πῃ] εἴ ποι A.

λικοῦτον ἀγαθὸν ἐργάσεσθε — τῆς δὲ προσηγορίας, εἰ ἄρα ἀναγκαία ὑμῖν ἐνδιαιτᾶσθαι, ἑτέροις πρὸ ἐμοῦ ξυγχωρεῖτε, ἢ ἐγὼ καταγέλαστος ἔσομαι καθάπερ χιτῶνα ἀλλότριον καὶ πολὺ μείζω ἠμφιεσμένος, καὶ ὀλίγοι εἴσονται τἀληθὲς, ὅτι ὑμεῖς ἄρα φιλόδωροι ὀνομάτων,
245 a ἀλλ' ἐμὲ ἐπιπηδᾶν ὑπολήψονται καὶ ἐπιβατεύειν καὶ ἀφαρπάζειν μὴ ἐθελόντων διδόναι. ἐγὼ δὲ οὐκ ἂν βουλοίμην ἄτοπόν τινα δόξαν ἐν ἀνθρώποις λαβεῖν.

Ἀλλ' εὖ ἴστε ὅτι πρῶτος καταγελῶ τῶν τοιαύτῃ νόσῳ ξυνεχομένων, καὶ οἶμαι αὐτοὺς μικρὸν διαφέρειν ἀνθρακέως τινὸς ἢ σιδηρέως, καπνοῦ γέμοντος καὶ μαρίλης, ἔπειτα ἀνθρακέως μὲν οὐκ ἀξιοῦντος καλεῖσθαι, ἀλλὰ καὶ πάνυ ἀγανακτοῦντος πρὸς τοὺς καλοῦντας, καὶ ἑτοίμου, εἰ λάβοι τινὰς, κατατέμνειν, μάντεως δὲ ἢ ἰατροῦ, ἢ ἄλλου του σεμνοτέρου δημιουργοῦ.
b νεμεσῶ γὰρ καὶ τῷ ὄνῳ Αἰσώπου, ἀκούων ὅτι ὄνος ὢν ὅμως ἠμπίσχετο λεοντῆν. ταύτῃ τοι καὶ ξυνελθόντα παιδάρια ξαίνει τε αὐτὸν τοῖς ῥοπάλοις καὶ ἀφαιρεῖται τῆς δορᾶς τε καὶ τοῦ φρονήματος. ἀλλ' ὅπερ λέγω, εἰ μὴ συγχωροίην ὑμῖν φιλόσοφος εἶναι, πάντως τέρας τὸ παρ' ἐμοῦ γινόμενον. ἐφεῖται γάρ που τῶν γε ἄλλων τῷ βουλομένῳ προσιέναι τε ἀθρόοις ὑμῖν καὶ διαλέγεσθαι μετὰ πολλῆς ἐξουσίας, ἅτε καὶ ἐν εὐδαίμονι πόλει καὶ ἐλευθέρᾳ. ὥστε οὐδὲν θαυμαστὸν εἰ καὶ ἐγὼ ταύτης ἀπολαύσομαι τῆς ἀδείας. οὔκουν δεῖ θορυβεῖσθαι
c ὅταν ἀκούητέ μου λέγοντος, ἀκούσεσθε γὰρ φιλοσόφου δή μου μὲν οὔ, ἀνδρὸς δὲ ἐμφορουμένου προκειμένης ἀφθόνου καὶ πολυτελοῦς εὐωχίας. καίτοι εἰ καὶ τοῦ πράγματος ἠμφισβήτουν καὶ τοὔνομα ὡς διαφέρον μοι προσιέμην, οὐ πρὸς αὐτὸ ἔδει μόνον ὁρῶντας τὸ λέγειν με ἐν κοινῷ τεταράχθαι, ἀλλὰ ξυνεπισκοπεῖν καὶ ἃ λέγω καὶ ὅτου ἕνεκα λέγω· τὰ μέν, εἰ χρηστὰ καὶ ὀνήσιμα τοῖς ἀκροωμένοις· οὗ δὲ χάριν, εἰ τοῦ θαυμάζε-

---

298, 3 ξυγχωρεῖτε] ξυγχωρεῖν A. 13 καλοῦντας] λαλοῦντας A. 14 ἑτοίμου — κατατέμνειν] Platonem de Rep. VI. p. 488 b. comparat Iacobsius.

σθαι ὀργιζόμενος· ἐπεὶ καὶ Πλάτωνα τὸν σοφὸν οὐδὲν ἐκώλυεν εἶναι σοφόν, ὅτι αὐτοῦ λέγοντος ἐν τῷ Πειραιεῖ ξυνέρρεόν τε καὶ ξυνήεσαν οὐ μόνον ἐκ τοῦ ἄστεος κατιὼν ὁ δῆμος, ἀλλὰ καὶ ἐκ τῶν ἀγρῶν καὶ ἐκ τῶν d
ἀμπέλων, καὶ ἐκ τῶν ἔργων τῶν ἀργυρείων. καὶ σὺν ὁπηνίκα τοὺς περὶ τἀγαθοῦ διεξῄει λόγους, ἠλιγγίασέ τί ποτε ὁ πολὺς ὅμιλος καὶ ἀπερρύησαν τοῦ χωρίου, καὶ τελευτῶν δὴ κατέληξεν εἰς τοὺς συνήθεις ὁμιλητὰς τῷ Πλάτωνι μόνους τὸ θέατρον. ἀλλὰ τοῦτο ἀνδρὶ μὲν ἐπαίνους θηρεύοντι καὶ σφόδρα ἀλγεινὸν καὶ ἀτύχημα σοφιστοῦ, φιλοσόφου δὲ οὐδέν τι μεῖον ὁ λόγος 246 a
εὖ ἔχει, κἂν ὑπὸ πλατάνῳ λέγηται μόνῃ, κἂν τεττίγων ἀκροωμένων. εἰ γὰρ δὴ καὶ ἐπαίνου προσδεῖσαι, δεῖ μὲν οὐδέν, ἀποχρήσει δὲ αὐτῷ καὶ εἷς ἐπαινέτης Φαῖδρος ὁ Μυρρινούσιος. οἱ τέττιγες δὴ ᾄσονται καὶ προσᾴσονται τῇ μεσημβρίᾳ καὶ τῷ ἡλίῳ. ἀλλὰ τί ταῦτά ἐστι πρὸς ἐμέ; πάλαι γὰρ ὑμῖν διατετέλεκα λέγων ὅτι οὐκ εἰμὶ ταύτης ἐγὼ τῆς μερίδος. χαλεπὸν γὰρ τὸ χρῆμα, χαλεπόν, ὦ ἄνδρες, καὶ οὗ προτίθησιν Ἡσίοδος μὲν τὴν τραχεῖαν ἐκείνην ὁδὸν καὶ ἀνάντη, Πίνδαρος δὲ πόνους τε καὶ δαπάνας, Σωκράτης δὲ ἐκεῖνος ὁ b
Σωφρονίσκου, θείᾳ μοίρᾳ μόνῃ παραγενέσθαι ἐς ἀνθρώπους.

Ἵνα γὰρ δὴ μᾶλλον καταμάθητε ὅτι οὗτοί τε ἀληθῆ λέγουσιν ἐγώ τε οὐκ ἄπο τρόπου ποιῶ παρεξίων τοὔνομα καὶ πεφοβημένος, ἀκούσατε ὅσα καὶ οἷα χρεὼν τῷ μὴ αἰσχύνειν αὐτὸ μέλλοντι προσφῦναί τε ἐκ θεῶν γινομένῳ καὶ ὕστερον ἐκ διδαχῆς προσγενέσθαι. ἐρῶ δὲ οὐκ ἐμαυτοῦ λόγους· πάλιν γὰρ σοφιστὴς ἂν ἦν, τοιούτους ἐπιστάμενος λόγους δι' ὧν ἐθρυπτόμην ἂν τοὔνομα ἐξαρνούμενος· ἀλλ' οὓς Σωκράτης καὶ Πλάτων ἐλεγέτην c

---

299, 5 ἀμπέλων] ἀμπελώνων Davisius ad Ciceronem de N. D. II, 62. ἀργυρείων] Vulgo ἀργυρίων. 7 τί add. A. 13 ἐπαίνου] ἐπαίνων Monac. 17 ἐστι] ἔτι Monac.
22 „Παραγενέσθαι mutandum in παραγίνεσθαι, et verbum aliquod addendum esse crediderim, videlicet φησὶ aut ἔφη vel ἡγήσατο, vel huiusmodi quidpiam." H. Stephanus.

τε καὶ ὠργιζέσθην, ἀπολυομένω τὰς τῆς φιλοσοφίας διαβολὰς καὶ ἀποδεικνύντε ὡς εἰκότως τὸ μὲν καθαρὸν τοῦτο καὶ ἄδολον γένος σμικρὸν δή τι ἐν ἀνθρώποις c καὶ σπάνιον, πολλοὶ δὲ οἱ παράσημοι καὶ παρεγγράψαντες ἑαυτοὺς ἔκ τινων φαύλων καὶ ὀλίγου ἀξίων τεχνίων εἰς ἐπιτήδευσιν μείζω καὶ σεμνοτέραν εἰσβιαζόμενοι· καὶ ἐκ τούτων δὴ τὰ πολλὰ καὶ μεγάλα ἐπειδὴ πάλαι τε ἀπέλαυσε φιλοσοφία καὶ νῦν ἀπολαύει, ὅταν δή τινες ἐνίοτε ἀνελευθέρως τε καὶ δουλοπρεπῶς τε- d θραμμένοι τέχνην τινὰ αὐτοὶ μαθόντες, ἢ τοῦ δεσπότου διδάξαντος, ἐκπηδήσαντες τῆς δουλείας διὰ τὴν τέχνην, οὐκ ἀγαπήσωσι ταύτην, ἀλλὰ τοῦ φιλοσοφίας ὀρεχθῶσιν ἀξιώματος. τί γὰρ ἄλλο ἐστὶ πρὸς Διὸς ὁ χαλκεὺς ἐκεῖνος ὁ φαλακρὸς καὶ σμικρός, ὁ νεωστὶ τῶν δεσμῶν λελυμένος, ὁ τὸ σεμνὸν ἱμάτιον περιθέμενος μέλλων ἐπιχωριάζειν τῇ δεσποίνῃ; ὅταν οὖν οἱ τοιοῦτοι πλησιάζειν ἐπιχειρῶσι φιλοσοφίᾳ, τί οἰόμεθα τοὺς ὁρῶντάς τε καὶ ἀκούοντας φρονήσειν ὑπὲρ αὐτῆς; ἆρα οὐχ 247 ὅσα ἂν οὗτοι κακὰ ἔχωσιν ἐν τῇ ψυχῇ, ταῦτα ἐκείνῃ προσάψειν; ἀνελευθέρους τε δὴ οὖν οὕτως εὑρίσκοντες a καὶ φιλοχρημάτους τε καὶ ἁρπαγέας λοιδόρους τε καὶ φιλαπεχθήμονας καὶ ἀλαζόνας δολεροὺς τε καὶ ἐπιβούλους, οὐκ οἰήσονται ἐκ φύσεως ἢ τῆς προτέρας βαναυσίας ἔχειν τὰς κῆρας, ἀλλ' εἰκάσουσιν ἐκ φιλοσοφίας προσγίνεσθαι.

Ἀλλ' ὑμᾶς γε οὐκ ἄξιον, ὦ θαυμάσιοι. τά τε γὰρ ἄλλα ἀγαθὰ ὑμῖν ὑπὲρ τοὺς ἄλλους ἀνθρώπους ὑπάρχει καὶ πλείστου ἄξιον ἐν τοῖς καιριωτάτοις μὴ b ἀπατᾶσθαι. ἢ πρὸς Διός, εἰ μέν τις χρυσίον ὑπόχαλκον ἢ πορφύραν ἐψευσμένην τὸ ἄνθος ἢ λίθον ἐπιβουλεύσας εἰς τὴν ἀγορὰν ὑμῖν εἰσαγάγοι, ὀργιεῖσθέ τε καὶ οὐκ ἀνέξεσθε, ἀλλ' ὡς κακοῦργόν τινα καὶ παλίμβολον μαστιγοῦν παραδώσετε τῷ τεταγμένῳ; καὶ διὰ τοῦτο ἐξεύρηται ὑμῖν πολλὰ μὲν τοῦ χρυσοῦ, πολλὰ

300, 5 τεχνίων] τεχνῶν A. 13 ἢ ὁ χαλκεὺς H. ἢ om. A. Conf. p. 64 c. 33 μαστιγοῦν] μαστιγοῦντες A.

δὲ πορφύρας, πολλὰ δὲ ὑακίνθων βασανιστήρια, καὶ βασανισταί τινες ἐπὶ τούτῳ καθήμενοι, οὕς, ὅταν ὠνῆσθε, παρακελεύετε ξυμπαρεῖναι ὑμῖν καὶ συνδοκιμάζειν τὰ συναλλάγματα· εἰ δέ τις τὸ θειότατον τῶν ἀνθρωπίνων ἀγαθῶν κιβδηλεύων τι καὶ αἰσχύνων καὶ καπηλεύων ἐν τῇ πόλει ὑμῖν περινοστήσει, προεδρίας τε b
μεταποιούμενος καὶ ἀξιῶν ὡς ἐν βασιλήμασιν ἀνθρώποις εἶναι, ὅτι τὰ ὁμώνυμα ἐπίσταται ἢ οὐκ ἐπίσταται καὶ ᾗ διαφέρει τὸ διότι καὶ τὸ καθότι καὶ τὰ τοιαῦτα ἄττα ἀτεχνῶς σκαιὰ καὶ λωβὰ ῥήματα τῆς Ἀριστοτέλους διαλεκτικῆς, τούτῳ δὲ οὐχ ἕξετε προσενεγκεῖν τι βασα- c
νιστήριον οὐδὲ στάθμην τινὰ ἐπιστῆσαι, ἢ τὸ σκολιὸν αὐτοῦ καὶ διάστροφον ἐμφανὲς ποιῆσαι μὴ προσαρμόζοντος; καίτοι οὐδὲ ἀπορεῖτε βασανιστῶν, ἀλλ' οὐ πείθεσθε αὐτοῖς οὐδὲ χρῆσθε. καὶ εἴποιμ' ἂν ὑμῖν καὶ τὰ d
ὀνόματα τῶν ἐνθάδε ταύτην κεκτημένων τὴν ἐπιστήμην, εἰ ᾔδειν ὅτι ἀπολαύσετε αὐτῶν τῆς ἐμπειρίας· νῦν δὲ ἐμοὶ φαίνεσθε αὐτουργεῖν βούλεσθαι μᾶλλον ἢ ἑτέρων ἐμπείρων προσδεῖσθαι.

Αἰτώμεθα οὖν ἐγώ τε καὶ ὑμεῖς, ὥσπερ ἔφην, παρὰ Πλάτωνος τοῦ σοφοῦ τὴν ἀχλὺν ἀποσκεδάσαι e
ἡμῖν τῶν ὀμμάτων, ἵνα αὐτοὶ καθ' ἑαυτοὺς διαγινώσκειν δυνηθῶμεν ἀτεχνῶς θεοὺς καὶ ἀνθρώπους. ἐπακούσεται δὲ ὁ ξυνοπαδὸς τοῦ Διός, μᾶλλον δὲ ἐπακή- 348 a
κοεν. ἰδοὺ γὰρ αἰσθάνομαι, ὦ μακάριοι, τὸ στῆθος ὑποπιμπλάμενος, καί μοι ξυρρεῖ ἐξαίφνης ἔνθεν καὶ ἔνθεν τῷ νῷ ἐξευρημένα βασανιστήρια, οἷς ἐκάθηρε τοὺς φιλοσόφους ἐν τῇ καλλιπόλει καὶ ἀπειργάσατο καλλιότερον ἢ Φειδίας τὰ ἀγάλματα.

Πρῶτον δὴ ἁπάντων, φησίν, ἐκ γάμων ἔστωσαν ἱερῶν· γάμος δὲ ἱερὸς τοῦ ἀρίστου ἀνδρὸς τῇ ἀρίστῃ τῶν γυναικῶν συνερχθέντος τε καὶ συζυγέντος. ἀθρεῖτε b

301, 3 ὠνῆσθε] ὠνῆτε A. 6 προεδρίας] Vulgo προεδρείας. 10 λωβὰ] κόλοβα Henr. Stephanus. 11 βασανιστήριον] βασανιστικὸν H. 22 ὀμμάτων] ὀφθαλμῶν A. 32 ἀθρεῖτε δὴ] ἀθρεῖτε δὴ Monac. Proxima ex Platone de Rep. V. p. 458 e.

δὲ ταὐτὸν πρῶτον, ὦ ἄνδρες, τὸν τύπον καὶ διασκοπήσαντες ἀκριβῶς, ἐὰν ὑμῖν φαίνηται ἀναγκαῖον, φυλάττειν τε καὶ πρόχειρον ἔχειν. ἀθρεῖτε δὲ ὧδε. εἰσί που ὑμῶν ἐν ταῖς οἰκίαις πολλοὶ μὲν ἵπποι, πολλοὶ δὲ κύ-
c νες, καὶ ἐν τοῖς ἀγροῖς γε αὖ βοῶν τε καὶ προβάτων ἀγέλαι. ὅταν οὖν βούλησθε ἐξ αὐτῶν τίκτεσθαι ὑμῖν μόσχους τε ἁδροὺς καὶ πώλους γενναίους καὶ σκυλάκια θηρευτικά, πότερον ἐξ ἁπάντων ὁμοίως γεννᾶτε, ἢ προθυμεῖσθε ὅτι μάλιστα ἐκ τῶν ἀρίστων; ἐγὼ μὲν γὰρ ὑμᾶς ὁρῶ τόν τε ἵππον ἐξετάζοντας τὸν βησόμενον, εἰ
c γαῦρός τε καὶ ὑψαύχην καὶ ἐλευθέριος, τήν τε κύνα ἐξ ἧς μέλλετε σκυλακεύεσθαι, εἰ Λάκαινα ὄντως γενναία καὶ μὴ πονηρὸν κυνίδιον, ἀλωπεκίς ποθεν ἢ Μελιταία· καὶ τὸν ταῦρόν γε αὖ καὶ τὸν κριὸν παραπλησίως·
b πυροὺς δ' αὖ καὶ κριθὰς καὶ ἄμπελον καὶ ἐλαίαν σπείροντές τε καὶ φυτευόμενοι, πρὸς Δήμητρός τε καὶ Διονύσου, τῶν φυτῶν καὶ τῶν σπερμάτων καταμελεῖτε, καὶ οὐχ ὅτι μάλιστα πεπιστεύκατε ἐκ μὲν τῶν χρηστῶν καὶ ἡμέρων χρηστὰ καὶ ἔγκαρπα φυήσεσθαι τὰ δένδρα τε καὶ τὰ ὄσπρια, ἐκ δὲ τῶν ἀγρίων καὶ δυσγενῶν,
d δυσγενέστερά τε καὶ ἀγριώτερα;

Ἆρα οὖν ἐλήρει Θέογνις, ἀγανακτῶν τε καὶ σχετλιάζων ὅτι ταῦτα ἐπὶ μὲν τῶν ἄλλων φροντίζομεν,
c ἐπὶ ἀνθρώπων δὲ παρορῶμεν καὶ οὐκ οἰόμεθα ξυνέχειν, ἀλλὰ τὸν ἐκ μαγείρου τυχὸν ἴσως ἢ ἀρτοκόπου, ἐντεθραμμένον χοινικίοις τε καὶ κονδύλοις, οἰόμεθα ἱκανῶς ἔχειν πρὸς τὸ μεγαλεῖόν τε καὶ ὑψηλόνουν φιλοσοφίας, καὶ οὐκ ἴσμεν ὅτι τὸ βάναυσον ἐκεῖνο καὶ δουλοπρεπὲς τοῦ σπέρματος πάντως δή τι προσομόργνυται τῇ ψυχῇ
249 καὶ οὐκ ἐᾷ καθαρὸν οὐδὲν καὶ εἰλικρινὲς καὶ ὑπὲρ τὴν ῥίζαν ἰδεῖν, ἀλλ' ἕλκει πρὸς τὴν ἀρχαίαν φύσιν
d

302, 2 ἀναγκαῖον A. ἀναγκαῖος H. 13 ἀλωπεκίς ποθεν] ἀλωπεκίς τίς ποτε cod. Vales. apud Boissonadium ad Herodiani Epimer. p. 82. 23 ἄλλων] ἀλόγων Boiss. ad Eunap. p. 566. 25 ἀρτοκόπου] ἀρκοκόπου A. 26 κονδύλοις A, Monac. κοτύλοις H. Conf. Aristoph. Equit. v. 411. 1236. 31 ἕλκει A. ἕλκειν H.

καὶ ἐπιστρέφειν ἐπίσταται, καθάπερ τῶν κλάδων τοὺς διαστρόφους φύντας οὐκ ἄν ποτε εὐθεῖς μηχανήσαιο ταῖς χερσὶ μαλάττων τε καὶ ἐπικάμπτων, ἀλλ' ἀνατρέχουσιν αὖθις ἐπὶ τὴν σκολιότητα τῆς γενέσεως. καὶ γὰρ ὡς ἀληθῶς τῷ γε τοιούτῳ διὰ τὴν συντροφίαν ἐστὶν ἀναγκαῖον κάτω βλέπειν εἰς δουλικὰ ἄττα διακονήματα. τὸ γὰρ ἄνω αὐτῶν καὶ εὐθύ τε καὶ ἐλευθέριον ἡ ἐκ νέων δουλεία ἀφῄρηται, τὰ λαθραῖα καὶ δολερὰ καὶ ὑπὸ σκότῳ διὰ τὸ ὁμόηθες ἀναγκάζουσα ἀγαπᾶν. b περὶ ταῦτα οὖν ἔντονοι καὶ δριμεῖς γίνονται, ἅτε ἐπιστάμενοι ἐκ παίδων καὶ μελετήσαντες λόγῳ τε θωπεῦσαι δεσπότην καὶ ἔργῳ ὑπελθεῖν, διαβαλεῖν τε ὁμοδούλους καὶ ἐξελάσαι τῆς οἰκίας, καὶ ταῦτα πάσχουσιν ὑπ' ἀμηχάνου σοφίας πολλὰ καμπτόμενοί τε καὶ λυγιζόμενοι καταβάλλοντες ἢ ἐπαίροντες τὴν ὀφρῦν, ταπεινοί τε πρὸς τὸ ξυμφέρον καὶ αὖ ὑπερηφανοῦντες θεῶν καὶ ἀνθρώπων. τῷ τοι καὶ ἐμπέφυκεν αὐτοῖς ἀεὶ πρὸς τῇ ἀνελευθέρῳ διαγωγῇ τεθραμμένοις δυσέκνιπτόν c τι καὶ ἀμετάστατον μῖσος, καὶ διὰ τοῦτο ῥᾳδίως πρὸς ὁντιναοῦν φθόνου τε καὶ δυσμενείας ἐμπίπλανται ὧν ἄλλα κακὰ καὶ ἀλλοτριώτερα φιλοσοφίας οὐ μή ποτε ἐν ἀνθρώποις φύηται.

Αἰσχρὸν δὲ Ἠλείους μὲν καὶ Πισάτας οὕτω δή τι ἀποσεμνύνειν τὸν Ὀλυμπιακὸν κότινον, ὥστε μὴ ἐφιέναι γυμνοῦσθαι, εἰ μὴ ἔχει τις ἀποδεῖξαι πατέρα τε αὐτοῦ καὶ μητέρα καὶ τὴν ῥίζαν τῆς βλάστης ἀκέραιον, καὶ ταῦτα σωμάτων ἀγῶνα τιθέντας, ἐν ᾧ τῶν σωμάτων ἐξήρκει ἐπιμελεῖσθαι, εἰ ἰσχυρά τε καὶ ῥωμαλέως ξυμπεπηγότα. ἀλλὰ τόν γε Φιλάμμονα ἐκεῖνον d οὐκ ἄν ποτε ἠφίεσαν πρὸς τῷ Ἀλφειῷ κονίσασθαι, μὴ ξυμμαρτυρήσαντος Ἀριστοτέλους τῷ γένει καὶ παῖδα ποιησαμένου· ἡμεῖς δὲ εἰς τὸν ἀγῶνα τῆς ἀρετῆς καὶ ὅντινα ἔτυχεν ἐγκρινοῦμεν, οὐδὲ ἀπαμφιάσαντες πρότε-

303, 7 ἐλευθέριον A. ἐλεύθερον H. 18 ἀνελευθέρῳ] ἀνελευθερίῳ A. 23 Πισάτας] Vulgo Πισσάτας. δή τι] Vulgo δή τοι. 25 ἔχει A. ἔχῃ H.

ρεν γυμνὴν τὴν ψυχὴν τῶν ἐπιθέτων ἀμφιεσμάτων πε-
ριαθρήσομέν τε εὖ μάλα καὶ περισκεψόμεθα ἀκριβῶς,
μή ποτε κολοβός τε καὶ οὐκ ἄρτιος. Λακεδαιμονίους δὲ
250 a ἐγὼ πυνθάνομαι τά τε ἄλλα τὸν Λυκοῦργον αἰσχύ-
νειν καὶ ἐπὶ τὸν βωμὸν τῆς Ὀρθίας ὁμοίως μὲν δού-
λους, ὁμοίως δὲ ἐλευθέρους ἀνάγειν, τόν τε εἵλωτα,
εἰ τύχοι, τόν τε Εὐρυπωντίδην ἢ Ἀγιάδην. ἢ τοῦτό γε
ἴσως οὐκ ἄπο τρόπου· μαστίγων γὰρ τὸ ἀγώνισμα καὶ
d ὁ στέφανος. προσαπτέον δὴ τῷ λόγῳ καὶ ἀπὸ τῶν
ἔργων τὴν πίστιν. πάντας γὰρ τοὺς κορυφαίους ἐν
φιλοσοφίᾳ λάβοιτε ἄν, τοὺς προγόνους ἀνερευνῶντες,
διοτρεφεῖς τε καὶ διογενεῖς, καθάπερ Ὅμηρος λέγει καὶ
b τῇ παροιμίᾳ πρέποντας τῇ ἀπὸ Κόδρου, καθάπερ οἶμαι
καὶ τῶν ναμάτων τὰ διαφανῆ τε καὶ καθαρὰ ἀνιχνεύ-
οντές τε καὶ διαμώμενοι ἐκ πηγῶν ἀρχαίων ἐξευρίσκομεν
ἀφειμένα. ἀλλ' ἵνα μή τις ἡμᾶς ἑνί που ἐναντίῳ
παραδείγματι βουκολοίη, τοῦτο μέν, εἰ δοκεῖ, ξυγχωρῶ-
c μεν, ὅτι χαλεπὸν μέν, φύσιν δὲ ἔχει καὶ τούτῳ τῷ ἐλ-
λείμματι μολυνθέντα γενέσθαι ἐπήβολον ἀρετῆς.

Τὰ δὲ λοιπὰ ζητητέον σύμβολά τε καὶ γνωρί-
σματα, ἃ πᾶσα ἀνάγκη τοῦ φιλοσόφου ἐγκεχαράχθαι τῇ
διανοίᾳ μᾶλλον ἢ τοῖς Πελοπίδαις τὸν ἐλεφάντινον
c ὦμον. τί δὴ μετὰ ταῦτα ὁ πάνσοφος Πλάτων ἐπίσημον
φησι τῆς τῶν ψυχῶν εὐγενείας; ἐγὼ ὑμῖν ἀναγνώσομαι
ἐφεξῆς ἐκ τῶν ἐκείνου ῥημάτων, ὥσπερ ἐν τοῖς δικα-
στηρίοις οἱ ῥήτορες ἐκ τῶν τοῦ νόμου γραμμάτων.
τοῦτο μὲν δὴ ὁμολογείσθω τῆς φιλοσόφου φύσεως πέρι
ὅτι μαθήματος δέοι, οὔτοι παντός, ἀλλ' ὃ ἂν ἐκείνην
b δηλοῖ τὴν οὐσίαν τὴν ἀεὶ οὖσαν καὶ μὴ πλανωμένην
ὑπὸ φθορᾶς καὶ γενέσεως. ἀκούσατε οὖν τοῦ νομοθέτου
διοριζομένου τὰ μαθήματα, ὧν ἐραστὰς χρεὼν εἶναι

304, 7 Εὐρυπωντίδην Petavius. Vulgo Ἐρυποντίδην.
14 τῶν ναμάτων Monac. τῶν om. H. 15 διαμώμενοι Hemsterhusius ad Hesychium vol. I. p. 955. Vulgo διασμώμενοι.
27 ὁμολογείσθω] Apud Platonem (de Rep. VI. p. 485 a.) est ὡμολογήσθω. πέρι ὅτι ex Platone. Vulgo περὶ ὅτι.

τοὺς φιλοσόφους, καὶ μὴ ξυγχωροῦντος συγχεῖν μηδὲ ξυμφύρειν ἅπαντα ὥσπερ εἰς Μύκονον μίαν. καὶ γὰρ δὴ καὶ τοῦτο ἐκεῖνος ἀπεφήνατο, ὅτι ἀδύνατον ἕνα πολ- d
λὰς καλῶς ἐργάζεσθαι τέχνας, οἷον τὰ σκυτικὰ τὸν χαλκέα, ἢ τὰ χαλκευτικὰ τὸν σκυτοτόμον, ἀλλὰ καὶ τὴν οἰκίαν ἐκείνην ῥᾷστα ἀπαυδήσειν, ἣν οὐκ ἐπήξατο οἰκοδόμος, ὑφάνται δέ τινες ἢ ἀμπελουργοὶ ξυλλεγέντες· καὶ τὸν χιτῶνα ἐκεῖνον πράγματα παρέξειν ταῖς ἀκεστρίαις, ὃν γυνὴ ἐξυφάνατο μύλης ἔμπειρος καὶ ἀμαθὴς ἱστουργίας. οὐδὲ μὴν τὸν κυβερνήτην ναύτην τε ἅμα ἔσεσθαι καὶ κυβερνήτην, οὐδὲ τὸν ἰατρὸν γυμναστήν τε καὶ ἰατρόν, ἀλλ᾽ ἐπιστατεῖν μὲν ἀνάγκη καὶ ἐπιτάτ- 251 a
τειν τὸν μὲν τοῖς ἐρέταις, τὸν ἰατρὸν δὲ τοῖς παιδοτρίβαις, οὐκ εἶναι δὲ ἐρέτην τε καὶ παιδοτρίβην. ὥσπερ, οἶμαι, καὶ τοὺς φιλοσόφους ἐπιστατέον μὲν τισι διδασκάλοις τε καὶ διδάγμασιν, οἷον ῥήτορσί τε καὶ γραμματισταῖς, αὐτοὺς δὲ τὰ ῥητορικὰ, ἢ τὰ γραμματιστικὰ οὐκ ἐργαστέον. τῷ γὰρ ὄντι πολλοῦ ἂν γέλωτος γέμοι τὸν τῆς ἀκραιφνοῦς καὶ ἀσωμάτου οὐσίας μεταποιούμενον καὶ περιφρανοῦντα τοῦ ἀνθρώπου προσκαθῆσθαι ταῖς συλλαβαῖς καὶ ἐκμελετᾶν διὰ βίου συγκοπάς τε ὀνομάτων καὶ ἀποθλίψεις, καὶ ῥήματα ἀπο- b
σμιλεύειν, καὶ μειράκια ἀποτυμπανίζειν, καὶ παιδαγωγοῖς ἀθλίοις χαλεπὸν εἶναι, καὶ ἐπὶ ταύτῃ τῇ ἐξουσίᾳ ὑψηλὸν ἐξαίρειν αὐτὸν φρονηματισμοῦ ἐμπιπλάμενον, ὁ δὲ ἀληθῶς φιλόσοφος, οὐ τὰ πτερὰ εὐθαλῆ τῆς ψυχῆς, σχολῇ ἂν ἀνάσχοιτο βλέπειν εἰς παττάλους τε καὶ ἱμάντας. οἴεσθε γάρ, εἴ τις ἀμφότερα δύναιτο ποιεῖν, τό τε ἄμεινον καὶ τὸ φαυλότερον, ἐπὶ τῷ φαυλοτέρῳ ἂν ἑαυτὸν ἐφεῖναι σπουδάζειν, καὶ τοῦτο προσκτήσασθαι τῷ αὐτοῦ βίῳ, τὸ βέλτιον καταλιπόντα;

Ὅταν δέ τινα ἴδητε διοικούμενον μὲν ὡς κορυφαῖόν τε καὶ ἄκρον φιλοσοφίας, προεστηκότα δὲ οἷς c

---

305, 2 ξυμφύρειν Monac. συμφύρειν A. ξυμφέρειν H. Μύκονον μίαν] μύκωνα μύκωνος μία A. 9 ὃν γυνὴ] ἣν γυνὴ A. μύλης] μύ[λ]α pr. m. Monac. μύκης A. μὴ H et ab correctore Monac.

ἄρτι εἶπον προσεδρεύοντα καὶ μηδέποτε ἀφιστάμενον, μηδ' ἂν Διομήδεια αὐτῷ ἀνάγκη προσγένηται, εὖ ἴστε, ὦ ἄνδρες, ὅτι ἐξαπατᾷ ὑμᾶς καὶ πρόσωπον Ἀγαμέμνονος ὑποκρίνεται Μίθαικός τις ὢν ἔνδοθεν ἢ Θεαρίων· ὑμεῖς οὖν αὐτῷ μὴ ξυγχωρεῖτε μηδὲ φενακίζεσθε λογαρίοις ὀλίγοις κεκομψευμένοις, ἃ μηδὲν προσήκοντα ὑποσπάσας καὶ περιχρώσας τε καὶ μεταμορφώσας, ὥσπερ ὁ Αὐτόλυκος τὰ φώρια, τὰ αὐτὰ πανταχοῦ ξυμπερι-
d φέρει, κυδρούμενός τε καὶ γαυρούμενος πρὸς τοὺς ἀγνοοῦντας αὐτῶν τὸν ἀληθινὸν δεσπότην· ἀλλ' ὧδε αὐτὸν ἐρωτᾶτε πυνθανόμενοι, ὦ ἄνθρωπε, ἐπειδὴ φιλόσοφος εἶναι τὴν ἀκροτάτην φιλοσοφίαν προσποιῇ, πάνυ μὲν ἂν βουλοίμεθα καὶ τοῦτο ἡμῖν τὸ ἀγαθὸν ἄφθονον ἐν τῇ πόλει κατεσκευάσθαι· ἀλλ' ὥσπερ εἴ σε ἰατρεύοντα ἑωρῶμεν, οὐκ ἂν δήπου σοι εἰκῇ τὰς οἰκίας ἐπετρέψαμεν οὐδὲ τὰς γυναῖκάς τε καὶ τὰ παιδία, εἰ μὴ πρότερον ἀπέδειξας ἡμῖν ὅτι πολλοὺς μὲν ὑγιεινοὺς ἐκ
252 a νοσερῶν ἀπειργάσω, πολλούς τε ἐξ ἀναπήρων ἀρτίους, ἀπέδειξας δὲ καὶ φάρμακα ἄττα συγκείμενα καὶ ποτὰ ἐσκευασμένα ἐμπείρως τε καὶ ἐπωφελῶς, καί τινας δὴ καὶ μαθητὰς καὶ διαδόχους τῆς τέχνης· τούτων γὰρ τὰ μὲν ἔργα ἰατρικῆς, τὰ δὲ δείγματα, κρίνεται δὲ ἐξ ἀμφοῖν πᾶσα ἐπιστήμη· τοῦτον δὴ τὸν τρόπον καὶ νῦν, ὦ γενναῖε, λέγε πρῶτον ἡμῖν ἔργον τι σεαυτοῦ, οἷα πολλὰ ἔργα φιλοσόφου ἀνδρός. πότε χρημάτων διδομένων κρείττων ἐφάνης, ὥσπερ Ξενοκράτης ἐκεῖνος
b τῶν πεντήκοντα παρ' Ἀλεξάνδρου ταλάντων; πότε ἀφῆκας τῷ δεδανεισμένῳ, καθάπερ Ζήνων ὁ Κιτιεύς; ποίαν ἤνεγκας λοιδορίαν, οἵαν Σωκράτης τὴν Θρασυμάχου;

306, 2 Διομήδεια Petavius, comparato Platone de Republ. VI. p. 493 d. Vulgo ἰδίως ἰδίᾳ. αὐτῷ] αὐτῇ A. αὖ H. προσγένηται] προσγενῆτε A: προσπέσῃ H et margo A ab rec. m. 4 Μίθαικος] Vulgo Μίθακος. τις om. A. 5 ξυγχωρεῖτε] ξυγχωρεῖν A et Monac. φενακίζεσθε] φενακίζεσθαι A. 11 ἐρωτᾶτε πυνθανόμενοι] ἐρωτᾶν πυνθανομένους A. 12 προσποιῇ Monac. Vulgo ποιῇ. 17 ἀπέδειξας A. ἐπέδειξας H. 25 φιλοσόφου] τῆς φιλοσοφίας A. 28 Κιτιεύς] Vulgo Κιττιεύς.

πόσε διώσω χάριτας ἐμμίσθους ἀρχόντων, ὥσπερ Θεόφραστος τὰς παρὰ τοῦ Φαληρέως; ἀλλὰ τούτων μὲν οὐδὲν, ἡδονῶν δὲ ὑπερφρονεῖς, οὐδὲ ἐπρίω πόρνας, οὐδὲ ἑταιρίδων ἑάλως, οὐδὲ ἐποιήσω τοὺς αὐτοὺς υἱέας τε καὶ οἰκέτας. ἀλλ' οἷα πολλὰ μὲν νέων, πολλὰ δὲ παλαιῶν φιλοσόφων δείγματά ἐστι τῆς σοφίας, συγγράμματα ἄττα σοι πεποίηται σμικρὰ ἢ μεγάλα περὶ ἀρετῆς καὶ κακίας, ἢ περὶ φύσεως τῶν ὄντων, ἢ ὅπῃ c
τὸ ἀληθὲς διαφέρεσθον καὶ τὸ ψεῦδος; ἢ τί δὴ πρὸς τῶν Μουσῶν; ἀλλὰ δὴ εἰ μὴ συγγράμματα, μαθητάς γε ἀπειργάσω τινὰς, τέτταρας, ἢ τρεῖς, ἢ δύο, ἢ ἕνα, τὸν δεῖνα ὃς σε αἰνιάται τῆς αὐτοῦ φιλοσοφίας;

Εἰ ταῦτα ἅπαντα προτεινόμενα ἀποροίη ἤ τι αὐτῶν ἀποδεῖξαι, ἀλλὰ βατταρίζοι τε καὶ ὑλακτοίη, μηκέτι θαυμάζειν τε καὶ πιστεύειν ὡς ἄρα ὁ Διὸς Ἑρμῆς καταλιπὼν τὸν Δία τε καὶ τὸν οὐρανὸν σαρκία μικρὰ περιθέμενος ἐν τῇ πόλει ἡμῖν περινοστεῖ, μηδ' ἂν μυρία ἐπὶ μυρίοις ὀνόματα εἴρῃ βιβλίων τε καὶ συγγραφέων. ταῦτα d
γάρ, οἶμαι, ἔνεστι καὶ τοὺς γραμματέας τῶν φιλοσόφων ἐπισταμένους μηδέν τι μᾶλλον τῶν λοιπῶν ἀνδραπόδων ἐπὶ σοφίᾳ διαφέρειν. ἐπεὶ καὶ εἴ τις φιλοσόφῳ χρόνον τινὰ ξυνοικήσας, γράφοντι συνετῶς καὶ ἀναγινώσκοντι προσκαθίζων, ὀλίγα ἐκ τῆς γραφῆς συνερανίσαιτο ῥήματα, καὶ ταῦτα συγκολλᾶν πειρῷτο ἀεὶ καὶ συρράπτειν πρὸς ἕκαστα, λέγει μηδὲν ἐοικότα, οἷαι 253 a
τῶν προσαιτούντων αἱ ἐφεστρίδες συμπεπερόνηνται ἐκ ῥακίων νεουργῶν τε ἅμα καὶ τετριμμένων. εἴ τις οὖν καὶ ἐπὶ τῇδε τῇ συλλογῇ κορυβαντιᾷ καὶ ἐξέστηκεν, ἐλεγκτέον τε αὐτὸν τῆς πτωχείας τε καὶ παρανοίας, καὶ ἐννοητέον ὅτι οὐ ταύτῃ τὸν πλούσιον γνωματεύο-

---

307, 1 διώσω Monac. 59. διεσώσω H. 6 δείγματα A. δόγματα H. 7 ἄττα] ἅττα A. οὕτω H. αὐτὰ Monac. 13 Εἰ ταῦτα] Εἰ πρὸς ταῦτα Stephanus. 16 σαρκία] ῥάκια Stephanus. 22 συνετῶς] „Quidam reponendum hic putant συνεχῶς." Stephanus. 23 προσκαθίζων] προκαθίζων A. 28 τῇδε add. A. 29 παρανοίας A. παρονοίας H.

μεν, εἰ δακτύλιόν τις ὑπόχρυσον περιθέμενος ἐν ἀγορᾷ
διαβαδίζοιτο προτεινόμενος ἐξεπίτηδες τὸν δακτύλιον
ἀπαντῶσιν· ἐμφαίνεται γὰρ εὐθὺς ἡ πενία τῇ ἐπιτηδεύσει
τε καὶ ἐπιδείξει τοῦ κτήματος ὅτι τούτῳ τῷ ἀνθρώπῳ
οἴκοι ἄρα ὑπάρχει οὐδὲν ἕτερον πολυτελέστερον ἀγα-
θόν· οὐ γὰρ φορτικῶς γε οὕτω δακτυλήθρῳ ἐκαλλωπί-
b ζετο. διὰ τί οὖν οὗτοι μὲν ἡμᾶς οὐκ ἀπατῶσιν; ἀλλ'
οὐδὲ ὀρχηστὴν ὀνομάζομεν τὸν σχηματίζεσθαι ἀδυνα-
τοῦντα τορῶς καὶ ποικίλως, οὐδὲ κιθαριστὴν τὸν οὐκ
ἐπιστάμενον κιθαρίζειν, σοφὸν δὲ πειθόμεθα εἶναι καὶ
τὸν μὴ ὄντα; ὅτι τὰ κρούματα μέν, οἶμαι, καὶ τὰ
ὀρχήματα ὠσί τε καὶ ὀφθαλμοῖς δοκιμάζεται καὶ ἐξαρ-
κεῖ αὐτοῖς τὰ ὄργανα ταῦτα τὸ σφέτερον ἡδὺ καὶ λυπη-
ρὸν διαγινώσκειν, σοφία δὲ κρίνεται ἐπὶ σοφίας. ἐπεὶ
οὖν ἡμεῖς οἱ πολλοὶ ὦτα μὲν κεκτήμεθα καὶ ὀφθαλ-
μούς, σοφίαν δὲ οὐχ οὕτως, πάνυ τῇ ἀπειρίᾳ τῇ ἡμε-
c τέρᾳ ἐπιτίθεται αὕτη ἡ γοητεία, καὶ αἰσθανομένη ξέ-
νως ἔχοντας ἡμᾶς τῆς σοφωτέρας διαλέκτου, συσκευα-
σαμένη ῥηματίσκια παμπάλαιά τε καὶ αἰνιγματώδη ὑπὸ
χρόνου ἐκπαταγεῖ ἡμῖν τὰ ὦτα· τὸν ἄτοπον πευθῆνα
ἔπεισι καὶ τἀμυντήριον καὶ τοιαῦτα ἄττα μορμολυκεῖα,
ὥστε τοὺς ἀκούοντας φρίττειν τε καὶ ἀδημονεῖν καὶ
μικροῦ γίνεσθαι ἀναύδους, καθάπερ φασὶ τοὺς ὑπὸ
λύκου πρότερον ὀφθέντας. εἰ δὲ δὴ καὶ ἐρέσθαι ἐπι-
χειρήσεις, μὴ συνεὶς ὅ τι εἴρηκεν, ἑτέρῳ πεπλήξῃ ὀνό-
ματι δυσκολώτερον ὠνομασμένῳ. περανεῖς δὲ οὐδέποτε
d οὐδέν, οὐδὲ αὐτὸς ὁ λέγων ἐκεῖνος, ἀλλ' εὖ μάλα ἀνα-
κυκλήσας τὸ δήπουθεν καὶ τὸ κἄπειτα καὶ τὼ Διοσ-
κόρω, οἰχήσεται ἀποτρέχων καταγελάσας σου πάνυ τῆς
ἀμαθίας καὶ νωθείας.

308, 1 τις ὑπόχρυσον — τὸν δακτύλιον add. A. 2 διαβαδίζοιτο] Immo διαβαδίζοι. 3 ἀπαντῶσιν Monac. ἀπαντῶσι A. ἀπαντήσῃ H et margo Monac. 6 δακτυλήθρῳ] δακτυλιδρίῳ margo Monac. δακτυλιδίῳ Iacobsius. 14 ἐπὶ σοφίας] ὑπὸ σοφίας Stephanus. 16 ἡμετέρᾳ] ὑμετέρᾳ A. 18 συσκευασαμένη Stephanus. συσκευασάμενοι A. συσκευασάμενος H.
24 πρότερον A. προτέρους. 27 αὐτὸς ὁ A. αὐτὸς οὐδὲ ὁ H.

Ὥσπερ οὖν περὶ τὰ χρώματα ἀπατῶνται ῥᾷον οἱ μὴ πάνυ ὀξὺ βλέποντες, οὕτω περὶ τοὺς σοφιστὰς οἶμαι τούτους, οἷς ἐκ παιδείας τὸ ὄμμα οὐ κεκάθαρται τῆς ψυχῆς. ἐπεὶ τί δή ποτε πρὸς Διός, εἰ μέν τις ἀφίκοιτο εἰς τὴν πόλιν ῥητορικὸς προσποιούμενος εἶναι, οὐ 254 a πολλῶν ἡμῖν ἐνιαυτῶν προσδεήσει ὥστε καταμαθεῖν ἀκριβῶς εἴτε ἀληθεύοι τὴν τέχνην εἴτε ἀπατηλός τε καὶ ἀλαζών; ὅτι, οἶμαι, εἰσὶ πολλοὶ παρ' ἡμῖν οἱ τούτων ἔμπειροι τῶν λόγων, οἳ αὐτοί τε ἐξευρίσκουσι ῥᾳδίως καὶ ὑμᾶς πείθουσι τοὺς ἄλλους· σοφίαν δὲ αὐτοὶ μὲν οὔπω κεκτήμεθα, τῷ δὲ ἔχοντι αὐτὴν ἀπιστοῦμεν καὶ οἰόμεθα ὑπὸ ζήλου τε καὶ βασκανίας σκυβαλίζειν τε καὶ διαπτύειν ὃν ἡμεῖς διὰ ταύτην τὴν φαντασίαν μόνον οὐκ ἐπὶ ταῖς κεφαλαῖς περιφέρομεν, πόρρω ὄντες τοῦ εἰδέναι ὅτι οὐδεὶς σοφὸς δύσνους τῷ ὁμοίῳ. ἀλλὰ b τῷ οὐ κατὰ νόμον μεμυημένῳ τὸν ναρθηκοφόρον Βάκχον ἡγεῖσθαι οὐ συγχωρεῖ τὰ μυστήρια.

Ἀλλ' εὖ δὴ ποιῶν ὁ λόγος μεταβέβηκεν ἐφ' ἕτερον τῶν γνωρισμάτων, μάλιστα καὶ τοῦτο ψυχὴν ἐξετάζον φιλόσοφόν τε καὶ μή. ἐπισκέψει γὰρ εἰ κοινωνική τε καὶ ἥμερος πρὸς τοὺς παιδείας ἐπιθυμοῦντας, ἢ δυσκοινώνητος καὶ ἀγρία. χαλκέας καὶ τέκτονας, εἰ δὲ βούλει, καὶ ποιητάς τε καὶ τοὺς ἄλλους δημιουργοὺς συγχωρῶμεν, ἐάν τις λέγῃ, στασιάζειν τε καὶ ἐπιφθόνως c ἔχειν πρὸς ἀλλήλους. τὰ γὰρ ἆθλα αὐτοῖς τῶν τεχνῶν τῶν μὲν ἀργύριόν ἐστι, τῶν δὲ ἔπαινος πρὸς τῷ

309, 1 Ὥσπερ] ὡς A. χρώματα] χρήματα A. 5 προσποιούμενος margo Monac. Vulgo ποιούμενος. 10 ὑμᾶς] ἡμᾶς A. 14 κεφαλαῖς] ἀγκάλαις Stephanus comparato Xenoph. Cyropaed. VII, 5, 50. μόνον οὐκ ἐν ταῖς ἀγκάλαις περιεφέρομεν αὐτοὺς ἀγαπῶντες. Fallitur: vide Platonem de Rep. X. p. 600 d. ab Heusdio comparatum p. 32. 17 οὐ συγχωρεῖ] οὐ om. A et Monac. 20 ἐπισκέψει γὰρ εἰ] Vulgo ἐπισκήψει γὰρ ἦν. Ex Platone de Republ. VI. p. 486 b. correxit Petavius. 21 ἢ δυσκοινώνητος καὶ] Vulgo ἡ δυσκοινώνητος δὲ καί. Correctum ex Platone. 24 λέγῃ] θέλῃ Iacobsius p. 268. 25 ἔχειν Monac. Vulgo λέγειν.

ἀργυρίῳ. ὧν οὐκ ἐγχωρεῖ ἐξ ἴσου τὸν ἐλαττούμενον ἐπαυρίσκεσθαι. ἀνάγκη οὖν τῷ μεῖον ἔχοντι πρὸς τοὺς εὖ φερομένους τὸ πλέον ἀγανακτεῖν τε καὶ ἀνιᾶσθαι. ὅσοι δὲ πρός τι ἐναμιλλῶνται γνησίως τε καὶ ἀληθινῶς, καὶ ταύτην τρέφουσι τὴν ὠδῖνα ἐν τῇ ψυχῇ, οὗτοι ἀσπάζονται καὶ γανύσκονται καὶ ἐμπίπλανται χαρμονῆς,
d ὅσῳ ἂν λάβωσι πλείους κοινωνούς τε καὶ βοηθοὺς ἐπὶ τὴν θήραν τῶν παιδικῶν. ὁρῶσι γὰρ καὶ ἐν ταῖς ἄγραις ὅτι τῷ μὲν κατὰ μόνας ἰχνηλατοῦντι ἐργῶδες ἐντυχεῖν τῷ θηρίῳ, τοῖς πλείοσι δὲ ὁμοῦ κυνηγέταις ῥᾷον κατάφωρος ἡ εὐνή. ἔστι δέ που καὶ ἐν τῷ κυνηγεσίῳ τῆς ἀληθείας πολλὰ δύσβατα καὶ ἐπίσκια καὶ τῷ καθ' αὑτὸν μετιόντι δυσδιερεύνητα, ἐφ' ἃ ἀνάγκη πλείους ἄρα καλεῖν συνθηρευτάς τε καὶ συλλήπτορας, ἢ πάλαι ἐπὶ
255 a τὸν σῦν συνελέγησαν οἱ τότε ἄριστοι τῶν Ἑλλήνων, ὃς τὰ ἔργα τοῦ Αἰτωλῶν βασιλέως ἔφθειρέ τε καὶ ἐλωβᾶτο· καὶ δὴ τοῦ θηρίου μὲν ἁλόντος ἐγίνετο τοῖς θηρευταῖς περὶ τῶν ἀκροθινίων διαμάχη τε καὶ ἀμφισβήτησις, καὶ ἐντεῦθεν ὁ πόλεμος ἐξερράγη Ἀκαρνᾶσί τε καὶ Αἰτωλοῖς,

Ἀμφὶ συὸς κεφαλῇ καὶ δέρματι λαχνήεντι.

ἐκφανέντος δὲ ἐν φιλοσοφίᾳ καὶ ἐκλάμψαντος τοῦ ἀληθοῦς ἀναιμωτὶ πάντες ἀπολαύουσιν οἱ συλλαβόμενοι τοῦ ἔργου.

b Διὰ τοῦτο ἠσπάζετο Ἀρίστων Κλεάνθην καὶ τῶν ὁμιλητῶν ἐκοινώνει, διὰ τοῦτο Κράντορα Κράτης, διὰ τοῦτο Σπεύσιππος ἐκ Χαλκηδόνος μετεπέμπετο Ξενοκράτην. Λύκων δὲ καὶ Ἀρίστων ὁ ἐκ Λυκείου ἄμφω μὲν περὶ τοὺς Ἀριστοτέλους λόγους εἰχέτην, ἐν δόξῃ δὲ ὤν

310, 2 ἐπαυρίσκεσθαι] ἀφαιρίσκεσθαι A. 3 εὖ φερομένους] „Videtur εὖ esse παρέλκον, nisi forte aliquid deest.“ Stephanus. 6 γανύσκονται] Vulgo γαννύσκονται. 11 ἔστι δέ που — δυσδιερεύνητα] Platonem de Rep. IV. p. 432 b. comparat Heusdius p. 38. 17 ἐγίνετο] ἐγένετο Iacobsius p. 269. 18 ἀκροθινίων A. ἀκρωτηρίων H. 21 Ἀμφὶ] Iliad. ι, 558.
26 Κράντορα] κράτορα A. 27 Σπεύσιππος] πεύσιππος A.
28 Λύκων] κύμων A. Λυκείου] λυκίου A.

ὁ Λύκων ἐπὶ παιδείᾳ τοσαύτῃ ὥστε καὶ τοὺς πολεμίους διὰ τὸ κλέος ἐν τῇ θαλάττῃ καθάπερ ἱερῶν ἀπέχεσθαι τῶν Λύκωνος πλοίων, ὅμως οὐκ ἐδυσχέραινε πρὸς τὸν Ἀρίστωνα τοῦτον οὐδὲ ἐκνίζετο ἐκ προσεδρείας μᾶλλον ἐπιδιδόντα, ἀλλὰ συνωμολόγει μετὰ παιδιᾶς καὶ χαρίεντι ὅτι ὁ χωλὸς τὸν ἀρτίποδα παρατρέχει. c συνέβη γὰρ τῷ Ἀρίστωνι καὶ πεπηρῶσθαι τὸ σκέλος. ταύτῃ τοι καὶ αἱ Μοῦσαι ἐννέα οὖσαι συγχορεύουσιν ἀλλήλαις καὶ τῷ Ἀπόλλωνι, καὶ οὐδεμία αὐτῶν ἀγανακτεῖ πρὸς τὰς ἄλλας, ὅτι μὴ μόνη σοφή ἐστι μηδὲ αὐτῇ μόνῃ προσεύχονται οἱ ποιηταί. οὐδὲ μεταποιεῖται τῆς κιθάρας ἡ Καλλιόπη οὐδὲ ἡ Θάλεια τῶν αὐλῶν οὐδὲ τῆς λύρας ἡ Τερψιχόρη, ἀλλ' ἑκάστη τὸ αὑτῆς ἀγαπᾷ συμβάλλεσθαι εἰς τὸν χορὸν καὶ συνεισφέρειν, καὶ ᾄδουσιν ἀμειβόμεναι ἀλλήλας, φησὶν ὁ ποιητής, οὐ κολούουσαι καὶ d βασκαίνουσαι καὶ ἀπεχθοῦσαι.

Ἀλλ' οὐχ οἱ παράξενοι οὗτοι καὶ παράσημοι, ἀλλ' ἐάν τις ὑπὸ φιλοτιμίας καὶ ἄρα οὐκ ἔχων ἕτοιμόν τι περιεργάζεσθαι, ἐν τῷ δωματίῳ τῷ αὑτοῦ καὶ τῷ κλινιδίῳ διαβουκολεῖται Ἀριστοτέλει καὶ Θεοφράστῳ, ὀξέως τε ἐπύθοντο, καὶ ἐπαράμενοι πᾶσαν τὴν πόλιν ἐπικαλοῦνται τοὺς βασιλέως ὀφθαλμούς· εἰ ἀναπνεῖ ἔτι καὶ εἰς τὸν ἥλιον ἀφορᾷ ὁ μιαιφόνος καὶ ἀλιτήριος καὶ πατραλοίας καὶ φαρμακεύς. καὶ ἡ μεγίστη κατηγορία 256 a ὅτι ἐπέθετο, φησί, ταῖς κατηγορίαις καὶ διελέχθη περὶ τοῦ ἐν ὑποκειμένῳ πρός τινα ξένον. εἰ δὲ δὴ καὶ συλλογισμοῦ ἅψαιτο καὶ περὶ φύσεώς τι συγγράψαι, τοῦτο ἐκείνῳ ἐπανάστασις τὸ χρῆμα καὶ καθαιρετέον ἐξ ἀκροπόλεως τὴν τυραννίδα. ἀλλ' εἰ προσαποίῃ τι τὴν

311, 4 προσεδρείας] προσεδρίας A. προεδρείας H. 10 προσεύχονται] προσαύχονται A. 17 οὐχ οἱ Iacobsius p. 271. Vulgo οὐχὶ. παράσημοι Monac. Vulgo ψευδώνυμοι. Aristoph. Acharn. v. 516. ἀνδράρια παράσημα καὶ παράξενα comparat Iacobsius.
18 φιλοτιμίας A. φιλολογίας H. 25 φησὶ] φασὶ coniicit Stephanus. διελέχθη Monac. a m. rec. Vulgo διηλέχθη.
27 ἅψαιτο] Vulgo ἅψειτο. 29 ἀλλ' εἰ A. ἀλλ' εἰς Monac. ἀλλ' εἰ καὶ H. τι A et Monac. τις H.

ἀλήθειαν καὶ τὴν σοφίαν, καί σοι τῷ ὄντι προσήκει
Πλάτωνος ἢ Σωκράτους ἢ Πυθαγόρου, μὴ κεντεῖν τε
καὶ διολλύειν τὸν τὰ αὐτὰ ἀγαπῶντα, ἀλλὰ κυδαίνειν
τε καὶ ἐπαίρειν καὶ συνεξορμᾶν καὶ συνεξοτρύνειν· οὕτω
b γὰρ μάλιστα ἴοι καὶ οὐκ ἀμβλύνοιτο οὐδὲ ἀπολήγοι τοῦ
ἔρωτος, ὅταν ἔχῃ τὸν ἐπαινοῦντα καὶ ἐπιβοῶντα καὶ
πρὸς ὃν φιλοτιμήσηται ἐκ τῶν πόνων. νῦν δὲ ὑπὸ τῆς
δεινότητος τῆς περιττῆς ἔοικας εὐλαβεῖσθαι μή τινα
ἄλλον ἐπαινέσας ἀφίστασθαι δόξῃς σαυτῷ τῆς σοφίας,
καὶ μή τινα ἄλλον θαυμάσας ὑφ᾽ ἑτέρου αὐτὸν θαυ-
μάζεσθαι παρασκευάσῃς, εἶτα παύσωνται οἱ ἄνθρωποι
πρὸς σὲ μόνον ὁρῶντες καὶ σὲ μόνον θαυμάζοντες. διὰ
τοῦτο ἂν μέν τινα αἴσθῃ καταγέλαστον καὶ τοῦ εἰκό-
c τος ἡμαρτηκότα, τούτῳ καὶ εὐμενὴς εἶ καὶ φιλάνθρω-
πος καὶ ἄγασθαι οὐκ ὀκνεῖς τὴν σοφίαν ἰδίᾳ τε καὶ
δημοσίᾳ· ὅταν δέ τινα θαυμάσωσι μὲν οἱ ἄνθρωποι,
θαυμάσῃς δὲ αὐτὸς ἔνδον ἐν τῇ καρδίᾳ, τηνικαῦτα ἡ
δυσμένεια καὶ τὸ νέφος κατὰ τοῦ προσώπου καὶ τὸ
βλέπειν ἐχθρῶς οὐ μόνον τὸν ἐπαινούμενον, ἀλλὰ καὶ
τοὺς ἐπαινοῦντας. ὡς οὐδὲν ἄρα ἄλλο χαλεπώτερον
τίκτει ψυχὴ νόσημα φθόνου τε καὶ βασκανίας, καὶ
μᾶλλον ὅσῳπερ ὁ νοσῶν ὀξύτερον βλέπει μὴ τὰ πρὸς
αὐτὸν μόνον καὶ τὰ ἐγγύς, ἀλλὰ καὶ τὰ πόρρω καὶ τὰ
d μακρὰν ἀφεστῶτα.

Ἐγὼ δὲ προσεῖχον Ἡσιόδῳ τῷ ποιητῇ χυτρέα χυ-
τρεῖ κοτέειν καὶ ἰπνοποιὸν ἰπνοποιῷ. νῦν δὲ ἤδη τινὲς
ὑπὸ θράσους μεταβαίνουσιν ἐκ τῶν τάξεων ἀναμὶξ δι᾽
ἀγκύλων ἱππόται. τάττετε οὖν αὐτοὺς ἵναπερ καὶ ἐτά-
χθησαν ἐξ ἀρχῆς, καὶ μὴ συγχωρεῖτε ἐπιχειρεῖν γυμνούς
τε καὶ χαμαιζήλους ἀναβεβηκόσι τε καὶ εὖ πεφραγμέ-
νοις, ἀλλ᾽ εἴπερ ἄρα ἀκράτως ἐπιθυμοῦσι τῶν σεμνοτέ-
257 a ρων ἀγωνισμάτων, καταλιπεῖν μὲν τὰ λαισήια καὶ

312, 4 οὕτω γὰρ — ἔρωτος] „Ex Platone de Republ. VI. p. 490 b.“ Iacobsius. Malim autem μάλιστ᾽ ἂν ἴοι. Reiskius p. 1. οὕτω γὰρ ἂν —. 14 εἶ addidit Stephanus. 28 ἐτάχθησαν] ἤχθησαν A. 29 γυμνούς] γυμνάς A.

τὰς ἰκτιδέας καὶ τὴν γρυμαίαν, λαβεῖν δὲ ἀσπίδα ἀληθινήν, οἵαν Ὅμηρος τὴν Νέστορος λέγει, τὴν ἀκήρατον καὶ χρυσῆν καὶ τοῖς κανόσι συνηρμοσμένην, ἢ οἵαν Ἥφαιστος ἐχαλκεύσατο Ἀχιλλεῖ, ἐν ᾗ γῆ καὶ θάλασσα καὶ οὐρανὸς ἥλιός τε ὁπόσος καὶ σελήνη ἐξ ἐναντίας τά τε λοιπὰ σύμπαντα ἄστρα καὶ ἔτι τὰ ἀνθρώπεια πράγματα, οἱ πολεμοῦντες, οἱ γεωργοῦντες, οἱ χορεύοντες, οἱ γαμοῦντες, οἱ ποιμαίνοντες, οἱ δικαζόμενοι. ἀλλ', b
ὁρᾷς ὅτι τηλικαύτην ἀσπίδα οὔ τι παντὸς ἀνδρὸς ἐνεγκεῖν, σὺ μὴν οὐδὲ τὸ οἷον εἰς Κόρινθον πλεῦσαι, ἀλλὰ τοῦ Πηλεΐδου τε καὶ Αἰακίδου τοῦ τεθραμμένου παρὰ Χείρωνι τῷ σοφῷ. ὅστις δὲ φυγάς τε ὢν καὶ ἀσθενέστερος τῶν ὅπλων ὅμως ὑπὸ φιλοτιμίας ἀποπειρᾶται, οὗτος τὸ μὲν πρῶτον παραφανεὶς διεπτόησέ τε καὶ διετάραξε τοὺς ἀντιπάλους, καί τινες ἀλλήλους περιέπεσον ἐν τῷ ταράχῳ· ἀκμάσαντος δὲ τοῦ ἀγῶνος καὶ καταστάσης τῆς μάχης διηλέγχθη καὶ ἐγυμνώθη τῶν ἀλλοτρίων φραγμάτων. βασκανίαν μὲν δὴ τούτων c
ἕνεκα καὶ ἔτι πλειόνων κακῶν ἀποκριτέον καὶ φυλακτέον, καὶ ὅτῳ ἂν εὑρίσκηται προσοῦσα, τὴν κῆρα ταύτην ἀπελαύνειν τε καὶ ἐκβάλλειν τοῦτον τῶν ἱερῶν, ὡς χαλεπώτερον λεύκης τὸ νόσημα κεκτημένον.

Τέταρτον δὲ τύπον εἶναί φησι τὴν ἀψευδίαν καὶ τὸ ἑκόντας εἶναι μηδὲν μηδαμῇ προσδέχεσθαι τὸ ψεῦδος, ἀλλὰ μισεῖν, τὴν δὲ ἀλήθειαν στέργειν. ἄγαμαι οὖν ἐγὼ καὶ ταύτῃ τὸν νομοθέτην οἵῳ θριγκῷ περιβάλλει τὴν σοφίαν εἰς πάντα ἀληθῆ. σκοπῶμεν δὲ d
μικρὸν ἀναλαβόντες. ἔστι που τἀληθὲς καὶ τὸ ψεῦδος πολὺ μὲν ἐν τοῖς μαθήμασι καὶ διδάγμασι, πολὺ δὲ ἐν συμβολαίοις καὶ συναλλάγμασιν. ὁ οὖν μηδενὶ μη-

---

313, 1 τὰς ἰκτιδέας Casaubonus ad Athenaeum VII. p. 293 b. Vulgo κτιδέας. 18 φραγμάτων Petavius. Vulgo πραγμάτων. 20 ὅτῳ A et Monac. ὅσω H. 21 τε καὶ A et Monac. τε δὲ καὶ H. 22 κεκτημένον] κεκτημένης A. 23 φησι Monac. φασιν H. Vide Platon. de Republ. VI. p. 485 c. 26 οἵῳ A οἷς H. θριγκῷ] θριγγῷ A. 27 ἀληθῆ A. ἀλήθειαν H. 29 καὶ διδάγμασι om. A.

δαμῇ τῷ ψεύδει πάροδον ἀφιεὶς μῶν τι ὑμῖν δοκεῖ συγχωρεῖν μέρη μέν, ὥστε τὰ ἄρτια καὶ περιττὰ ἀληθεύειν καὶ περὶ τὰς πλευράς γε οὖν καὶ τὰς διαμέτρους, περὶ δὲ ὠνὰς ἢ πράσεις καὶ τὰ λοιπὰ κοινωνήματα διαψεύδεσθαι καὶ ἐξαπατᾶν τοὺς κοινωνοῦντας καὶ
258 a γράφοντας ἐν τοῖς γραμματείοις ἑκατὸν μνῶν ἐωνῆσθαι, τὰς πέντε καὶ εἴκοσιν ἀποστερεῖν; καίτοι τὸ μὲν ἐν τοῖς μαθήμασι ψεῦδος αὐτῷ μόνῳ βλαβερὸν τῷ ψευδομένῳ, τῷδε δὲ πρόσεστι καὶ ἡ κατ' ἄλλων ἀδικία. τί γὰρ ἡμῖν διαφέρει πρὸς τῶν θεῶν, εἴ τις ἑαυτὸν ἐξαπατᾷ, ὅτι τὰ ἐν τόπῳ Ἀριστοτέλης οὐκ ἔν τισι λέγει, ἢ ὅτι Πλάτων εἰς τετάρτην γενεὰν διαβιβάζει τὰς τιμωρίας, ἢ τινα ὅμοιον λῆρον ἄλλως; ταῦτα γὰρ οὐδέν,
b ὦ μακάριοι, πρὸς ἡμᾶς, ἐὰν μὴ πέπεικεν ἐκεῖ μαθησόμενα τὰ παιδία. ἀλλ' ἐὰν ἃ μήποτε ἤκουσεν ὀμνύοι λέγειν ἀκηκοὼς καὶ ῥᾷον ἐπιορκοίη Λυσάνδρου τοῦ Σπαρτιάτου καὶ μηδέποτε ὁμοφωνοίη τῇ γλώττῃ πρὸς τὴν διάνοιαν, ταῦτα ἄρα τὰ ψεύδη βλαβερὰ φῶμεν τοῖς εἰς τὸ παιδαγωγεῖον ἀφικνουμένοις, ἢ πᾶσιν ὅσοις διὰ τὴν συνοίκησιν ἀναγκαῖον ἢ λόγου τινὸς τῷ τοιῷδε ἢ ἔργου κοινωνεῖν; οὐδεμία γὰρ μοχθηρία μᾶλλον δυσκοινώνητος ἀπιστίας, ἀλλ' αὕτη ἐστὶν ἡ κακία, πρὸς ἣν μόνην καὶ φυλακῆς ἐξαποροῦμεν. καὶ γὰρ δὴ ὃ
c μόνον ἐπορισάμεθα φυλακτήριον — λέγω δὴ τὸν ὅρκον καὶ τὴν ἐπίκλησιν τῶν θεῶν — τούτῳ αὐτῷ μάλιστα καταχρῆται εἰς τὸ ῥᾷον διαλανθάνειν, καὶ γελοῖον μὲν τὸ Στυγὸς ὕδωρ, γελοία δὲ ἡ Στὺξ ἐκείνη, λῆροι δὲ οἱ Ταρτάριοι δαίμονες, λῆρος δὲ αὐτὸς ὁ Τάρταρος, ὅταν δέῃ τι ἄπιστον ἄνδρα κακῶς δράσαντα ἐξαρνήσασθαι. διὰ ταύτην οὖν τὴν ἀσυλίαν καὶ θηρίου γύν-

314, 9 τῷδε δὲ πρόσεστι A. τὸ δὲ ἐν ταῖς πράσεσι H. τῷ δὲ δὴ ταῖς πράσεσι Monac. in textu, τῷ δὲ δὴ πρόσεστι in margine. τὸ δὲ δὴ ἐν ταῖς πράσεσι, ταὐτὴ κατ' ἄλλων Iacobsius in append. ad Porsoni Adv. p. 309. 15 ὀμνύοι] ὀμνύει Monac. unde Iacobsius ὀμνύῃ. 21 οὐδεμία γὰρ — ἐμφιλοῦνς (259 e) citat Stobaeus Floril. XII, 22. 24 λέγω δὴ] λέγω δὲ Stobaeus. 29 δέῃ Monac. et Stobaeus. Vulgo δεῖ.

ται ἄνθρωπος δυσμεταχειριστότερόν τε καὶ ἀγριώτερον. ἀκούομεν γὰρ σχετλιαζόντων τῶν ποιητῶν ὅτι

ὄφιν μὲν ἐν οὔρεσι καὶ λέοντα
θηρητὴρ αἰών τε καὶ εἰσορόων ἀλέοιτο.
γνωστὴ μὲν γὰρ τῶν βουλὴ, γνωστὴ δὲ νόημα. d
ἀνὴρ δ' ἄλλα κέκευθεν ἐνὶ φρεσὶν, ἄλλα δὲ βάζει·
μῦθοι μὲν λεῖοι καὶ μείλιχοι, ἐχθρὰ δὲ ἔργα.

ἐπιβουλεύουσι καὶ συνοικοῦσι καὶ περισαίνουσι. δεινὴ δὲ ἡ παρρησία καὶ τὸ πρὸς πάντα ἰταμῶς ἔχειν, ὅσα μέσῃ τῇ ἀγορᾷ καὶ ὅσα ὑπὸ μάρτυσιν Ἕλλησί τε καὶ 259 a
βαρβάροις ἔγραψέ τε καὶ ἐτεκτήνατο. τοῦτο μὲν δὴ τὸ κακόηθες ψεῦδος πάμπαν ἐξελατέον φιλοσόφου ψυχῆς.

Ἔστι δέ τι καὶ ἕτερον ψεῦδος, ὃ τοὺς μὲν ἄλλους οὐ πάνυ δή τι λυμαίνεται, αἶσχος δέ ἐστι τοῦ χρωμένου. γίνεται γὰρ οὐκ ἐν τῷ καθ' ἑτέρου τι λέγειν ἢ πράττειν, ἀλλ' ἐν τῷ περὶ ἑαυτοῦ καὶ τῶν ἑαυτοῦ. διπλοῦν δὲ τοῦτο καὶ διαχιδές. ἢ γὰρ ἐν τῷ φαυλότερα καὶ ἐλάττω λέγειν τῶν προσόντων ἀληθινῶς, ἢ ἐν τῷ μείζω τε καὶ σεμνότερα. καλεῖται δὲ τὸ μὲν ἐνδεέστερον εἰρωνεία, τὸ δὲ πλέον ἀλαζονεία. τὸ μὲν δὴ ἐλλεῖπον τοῦ ἀληθοῦς κομψόν τέ ἐστι καὶ αἱμύλον καὶ b
ἐνίοτε οὐκ ἄχρηστον τῷ φιλοσόφῳ· καὶ διὰ τοῦτο καὶ Σωκράτης παρελάμβανεν ἐν τοῖς λόγοις, ὁπότε ἐδεῖτο ἐπισκῶψαί τινα σοφιστὴν τύφου μεστὸν καὶ γέμοντα περιφροσύνης. μᾶλλον γὰρ αἰσθάνονται τῆς ἑαυτῶν

315, 3 οὔρεσι καὶ] οὔρεσιν ἠδὲ Stephanus. 5 τῶν τοιούτων βουλὴ H. τοιούτων om. A. 7 λεῖοι] Vulgo τέλειοι. Petavius τε λεῖοι. 8 συνοικοῦσι] συνοικειοῦσι Iacobsius. 15 καθ' ἑτέρου] θατέρου A. περὶ θατέρου H. Correctum ex Stobaeo. 17 φαυλότερα Stobaeus. φαυλότερον A. φαυλοτέρῳ H. Stobaei lectiones φαυλότερα et σεμνότερα ab correctore habet codex Monac. 59. apud Iacobs. Lect. Stob. p. 62. 19 καὶ σεμνότερα Stobaeus. καὶ σεμνοτέρῳ H. om. A. 22 τοῦτο] αὐτὸ addit Stobaeus. 23 παρελάμβανεν ἐν τοῖς Stobaeus. Vulgo παρελάμβανε τοῖς. 25 περιφροσύνης Stobaeus. Legebatur περὶ σωφροσύνης. Codices Stobaei quinque ab Schowio inspecti παραφροσύνης.

οὐδενείας, ὅταν ἀμαθέστεροι διεξελέγχωνται τοῦ μηδὲν εἰδέναι προσποιουμένου. τὸ δὲ ἕτερον τὸ ὑπερβάλλον βαρύ τι καὶ ἐπαχθὲς, καὶ οὐδὲν οὕτως ἄκουσμα φορτικὸν ὡς ὁ καθ' ἑαυτοῦ ἔπαινος, καὶ ταῦτα ἐπὶ παιδείᾳ, ἐφ' ᾗ καὶ ἄλλων ἐπαινούντων ἐρυθριᾶν χρεὼν τοὺς c ἀληθινῶς αὐτῆς ἐπηβόλους. χαλεπὸν μὲν γὰρ καὶ χρηματιστῇ συγγενέσθαι οὐδὲν ἐθέλοντι ἐπαινεῖν ἀλλ' ἢ τὸν πλοῦτον καὶ τὰ συμβία καὶ τὰ φυτὰ καὶ τὴν πορφύραν καὶ τὰ χρυσία· ἀποκναίσειε δ' ἂν καὶ στρατιώτης ἀλαζὼν καὶ οἷος ἐν τῇ κωμῳδίᾳ· ἀλλ' οὐδὲν οὕτω πλήσμιον καὶ ἐμποιοῦν πολλὴν ναυτίαν ὡς τὸ ἄγασθαι καὶ ὑπεράγασθαι ἀγχίνοιάν τε ἑαυτοῦ καὶ ὀξύτητα καὶ εὐμάθειαν καὶ πολυμάθειαν καὶ μνήμην, βιβλία δὲ ἐξαριθμεῖσθαι τόσα καὶ τόσα τῶν Ἀριστοτέλους ἢ Πλάτωνος, ἀεί τε δὴ καὶ ἐφ' ἅπαντι, κἂν συλλουσόμενον d παρακαλῇς, κἂν συνδειπνήσοντα ἄγῃς, κἂν ὑπὲρ Αἰσχύλου πυνθάνῃ, κἂν ποία νῆσος Σιμωνίδου τοῦ μελοποιοῦ. οὐδὲ προσειπεῖν τοὺς τοιούτους ἄνευ τῆς δυσχερείας ταύτης ὑπάρχει, ἀλλ' εὐθὺς ὑπηχεῖ τὸ Δωδωναῖον χαλκεῖον, αἱ δύο καταφάσεις, καὶ ὅτι οὐ συνάγει οὕτω τὸ δεύτερον σχῆμα.

Οὐ μὲν δὴ δωροδόκον σε ἐατέον τὸν ἄνδρα οὐδὲ φι- 260 a λοκερδῆ τε καὶ φιλοχρήματον, ἢ πᾶσαι αὐτοῦ αἱ τῆς ψυχῆς ἐπιθυμίαι ἀπὸ τῶν μαθημάτων ἐκεῖσε ἐποχετεύσονται, ὥσπερ ῥεῦμα ἐπὶ τὸν πρανέστερον τόπον. ἀλλὰ ὅσα μὲν σὺν δίκῃ παραλάβοιεν ἐκ πατέρων, τούτων προορᾶσθαι καὶ ἐπιμελεῖσθαι χρεὼν ὑπηρεσίαν φιλοσοφίας κτωμένους, αὐτοὺς δὲ πλοῦτον οὐκ ἐργαστέον, οὐδ' εἰς τὴν οἰκίαν παραδεκτέον τὸν ἕτοιμόν τε καὶ βρύοντα ἐκ τῆς ἀγορᾶς. οὐ γὰρ ἔχει φύσιν τοῦ ἔνθεν

316, 6 ἀληθινῶς Stobaeus. Legebatur ἀληθινοῖς. 11 ἄγασθαι καὶ ὑπεράγασθαι A. ἄγεσθαι καὶ ὑπεράγεσθαι H. 19 Δωδωναῖον χαλκεῖον] Conf. Menandri fragmentum apud Meinekium p. 27. et Aristidem vol. II. p. 309, 10. Iebb. 24 μαθημάτων] αἰσθημάτων Monac. male: vide Platon. de Republ. VI. p. 485 d.

ῥέοντος. καθαρὰς εἶναι τὰς πηγὰς καὶ δικαίας, ἅτε οὐχ ὑπὸ σκαπάνης ἢ δικέλλης ὀρωρυγμένας, ἀλλ' ἔκ τινων ζοφερῶν τε καὶ ὀλεθρίων πόρων διὰ σκότου τε καὶ b ὑπονόμων συλλεγομένας. εἰ ἄρα τὸν νόμον τοῦτον διασώσομεν, οὐκ ἐπιτρέψομεν τοῖς φιλοσοφεῖν προσποιουμένοις δικῶν τε γίνεσθαι ἐργολάβοις καὶ ἀποκλείσαντας τὰ μουσεῖα περικυλινδεῖσθαι τῷ βήματι, διαπληκτιζομένους καὶ λοιδορουμένους ῥήτορσιν ὁμοῦ καὶ στρατιώταις, οὐδὲ ὑπομένειν ὅσα καὶ οἷα ὑπομένουσιν οἱ ἐπὶ ταύταις ταῖς ἐργασίαις νυκτηγρετοῦντές τε καὶ διημερεύοντες ἐν ταῖς δίκαις, ἐνίοτε εἰς τοὐπίσω ἀποπραττόμενοι τὸν μισθὸν, ὅταν ἕλωνται οἱ μισθωσάμενοι τὰς c εἰρηνικὰς συναλλαγάς. πολλοῦ δὲ δεῖ συγχωρήσομεν αὐτὰ τὰ μουσεῖα δικαστήρια καθιστάναι καὶ πρατήριον ποιεῖν τοῦ δικαίου τὰ ἀνάκτορα τῶν Μουσῶν καὶ ἀναφύρειν τοὺς μανθάνοντας τοῖς δικαζομένοις, οὐδὲ τὸν Περσικὸν νόμον αἰσχυνομένους, ὃς διεχώρισε τῆς ἀγοραίου τύρβης τὰς ἐλευθέρους διατριβάς.

Οὐκ ἐπιτρέψομεν δὲ οὔτε οἰκίαν οἰκοδομεῖσθαι εἰς ἣν οὔτε μεταλλέας ἐμισθώσαντο οὔτε τέκτονας οὔτε οἰκοδόμους,

Ἀλλὰ τά γ' ἄσπαρτα καὶ ἀνήροτα πάντα φύονται, d
χαλκός τε χρυσός τε πολύκμητός τε σίδηρος.

οὐδὲ λιμῷ ἄγχειν δημιουργοὺς, μηδὲ ζωγράφους εἰργνύναι, ὅτι μὴ δαπάνην τὰ φάρμακα ἐπαλείφουσιν. ἀφήσομεν δὲ οὔτε ἀγρὸν δωρεὰν λαβόντας ὑπὲρ τῶν ὁρίων διαμάχεσθαι τῷ δεδωκότι, οὐδὲ τὸν κύαθον ποιεῖν ἀμφορέα, περιτεμνομένους ἀεὶ τῶν πλησίον, καθάπερ δή ποτε λέγεται Καρχηδονίους χωρίον ἰσομέτρητον 261 a βύρσῃ παρὰ Λιβύων αἰτησαμένους εἰς λεπτὸν ἱμάντα κατατεμόντας τὴν βύρσαν πολυπλασιάσαι τὴν δωρεάν· καὶ νῦν ἔτι Καρχηδόνιοι βύρσαν τὸν τόπον ἐπονομά-

---

317, 11 ἐνίοτε Petavius. Vulgo ἐνίοτε ἐν ταῖς. 14 πρατήριον A. πρότερον H: πρώτως Monac. 22 Ἀλλὰ] Odyss. ι, 109. 27 ποιεῖν] πιεῖν Monac. et codex Vales. ap. Boisson. ad Marin. p. 89.

ζόωσιν, εἰρωνευόμενοι τὴν σμικρότητα τοῦ ὀνόματος πρὸς τὸ μέγεθος τοῦ χωρίου. εἰ γάρ, ὦ φίλοι, τὰ τοιαῦτα ἡμῖν ὁ φιλόσοφος σπουδῇ ἀγαπήσει καὶ κατατενεῖται ὑπὲρ μιᾶς βώλου πρὸς τοὺς γειτνιῶντας, πότε οἷός τε ἔσται εἰς ἅπασαν τὴν γῆν ἐνιδεῖν; πότε τὴν ὅλην περιαθρῆσαι; πότε σμικρὰν ὑπολαβεῖν σὺν τῇ b *θαλάττῃ τριῶν ἢ τεττάρων πήχεων ἕνεκα μερμέριαι κακὰ ἐργαζόμενον; πᾶσα γὰρ ἡ τοιαύτη ἀνανδρία σμικρᾶς τε καὶ ἀνελευθέρου ψυχῆς καὶ σφόδρα τὸ ὄστρεον τοῦτο τιμώσης, καὶ δὴ καὶ ἐφ᾽ ὅσοις καλλωπίζονται ὡς κομψοῖς καὶ δεινοῖς καὶ πανούργοις, πλειστηριάζειν τε καὶ ὑπερωνεῖσθαι, ἀποστερεῖν δὲ τοῦ σύμπαντος, καταδεῖν τε ἐν ὑφύκτοις ἄρκυσι τοὺς πρατῆρας, τοῦ μὴ τὸ ἔλλειμμα ἀποτῖσαι.*

Εἰ δὲ δὴ συμβαίη τῷ οὕτω φιλοχρηματῳ καὶ ὁμιλητὰς προσφοιτᾶν θριξὶν ὀλίγαις καθάπερ ἰχθῦς δελεασθέντας, c *ἰχθύων μὲν ἔσονται ἀναυδότεροι, μισθὸν δὲ ὅμως εἰσπράξεται ὁ διδάσκαλος τῆς ἀφωνίας, διαβριμώμενός τε καὶ τὴν αἰγίδα πυκνὰ ἐπισείων, μεταστρέφων τοὺς στατῆρας ἔνθεν καὶ ἔνθεν, μὴ παράσημοί τε καὶ ἐνδεεῖς καὶ παιδάρια δυστυχῆ προσπατταλεύων, ὑπὸ πενίας καὶ ὀρφανίας πολλάκις ἐξαπορούμενα τοῦ μισθοῦ. εἶτα ἀπὸ τοῦ ῥυτῆρος ἐξελθὼν διαλέξεται ὅτι πᾶς ὁ ἐπὶ γῆς καὶ ὑπὲρ γῆν χρυσὸς ἀρετῆς οὐκ ἀντάξιος. καὶ τί γὰρ ὁ πλοῦτος; πρᾶγμα γήϊνον καὶ ἐπίκηρον. καὶ ταῦτα* d *ἐρεῖ παρεστηκότων ἔτι τυχὸν μειρακίων, ἃ ἀνηλεῶς κατεχόρδευσεν ἐν ταῖς βασάνοις, ὅτι ῥύπου τι προσῆν τῷ*

318, 1 *τὴν σμικρότητα* A. *τῇ σμικρότητι* H. 4 *πρὸς τοὺς* A et Monac. *πρὸς* om. H. 7 *πήχεων* A. *πόλεων* H. *βώλων* margo Monac. *ἕνεκα* addidi ex Monac. 9 *τὸ ὄστρεον* (*ὄστριον* codex Vales. apud Boisson. ad Marin. p. 67.) *τοῦτο*] Ex Platonis Phaedro p. 250 c. monente Iacobsio. 12 *ὑπερωνεῖσθαι*] *ὑπωνεῖσθαι* (sic) A. *τοῦ σύμπαντος* Petavius. *τοῦ συμπαθέντος* A. *τοῦ συμπαθόντος* H. *τοὺς συμβαλόντας* margo Monac. *καταδεῖν τε*] *καταδοῖντο* cum lacuna aliquot litterarum A. 13 *ἐν ἀφύκτοις* A. *ἀνυφάντοις* H. 14 *ἀποτῖσαι* margo Monac. *ἀποτιμῶσαι* H.
16 *θριξὶν*] *θριψὶν* Monac.

νομίσματι. καὶ οὐκ εἴσεται ὅτι ὁ λόγος, ἂν μὴ τῷ τρόπῳ σύμφωνος ᾖ, ἀλλότριος γίνεται καὶ οὐ τοῦ λέγοντος, ὥσπερ ὁ Θερσίτης ἔλεγε τοῖς Ἀχαιοῖς,

Ὃν κεν ἐγὼ δήσας ἀγάγω.

οὗτος γὰρ Ἀχιλλέως καὶ Αἴαντος ἦν· ὁ κυφὸς δὲ αὐτὸν
οὐδὲν προσήκοντα ὑπεβάλετο. ταύτῃ τοι καὶ κλαυθμυ- 262 a
ρίζεται ὁ γεννάδας καὶ ὑψηλολόγος καὶ ἀριστεύς, καὶ μαστιγοῖ αὐτὸν ὁ σοφώτατος τῶν Ἀχαιῶν, ἵνα μὴ λάλος καὶ περίεργος ᾖ καὶ ἐπεσβόλος καὶ δυσμεναίνῃ τοῖς ἀρίστοις καὶ θορυβῇ τὰς ἐκκλησίας.

Ἀλλὰ γὰρ ἐν καιρῷ ὁ Θερσίτης αὐτόματός ποθεν εἰσερρύη τῷ λόγῳ καὶ ἔδωκεν αὐτῷ ἀψοφητὶ μεταβῆναι εἰς ἕτερον τύπον. κατηγόρους γὰρ δὴ ἢ περιέργους καὶ πολυπράγμονας οὐδὲ τοὺς ἀκολούθους τῶν φιλοσόφων ἐάσομεν εἶναι, ἀλλὰ πάντων μάλιστα ἀναγκάσομεν
ἐκεῖνα τῶν Πλάτωνος καταμανθάνειν τε καὶ ἐπίστασθαι. b
οὐδὲ γὰρ εἰ κακῶς τι γέγονεν ἐν τῇ πόλει ἢ τὸ τί κακόν ἐστιν ἐκ προγόνων γεγονὸς ἢ πρὸς ἀνδρῶν ἢ πρὸς γυναικῶν μᾶλλον αὐτὸν λέληθεν ἢ οἱ τῆς θαλάττης λεγόμενοι χόες. σοφὸς γὰρ ἦν Αἴσωπος ὁ μυθοποιός, ὃς ἔφη τοὺς ἀνθρώπους δύο πήρας ἕκαστον φέρειν, τὴν μὲν ἔμπροσθεν, τὴν δὲ ὄπισθεν· γέμειν δὲ κακῶν ἑκατέραν, ἀλλὰ τὴν μὲν ἔμπροσθεν τῶν ἀλλοτρίων, τὴν δὲ ὄπισθεν τῶν αὐτοῦ τοῦ φέροντος. καὶ διὰ τοῦτο οἱ ἄνθρωποι τὰ μὲν ἐξ αὐτῶν κακὰ οὐχ ὁρῶσι,
τὰ δὲ ἀλλότρια πάνυ ἀκριβῶς θεῶνται. ἐγὼ δὲ ἐβου- c
λόμην περιτετράφθαι μοι τὰς πήρας, ἵνα τὰ ἐμαυτοῦ μόνον ὁρῴην, τὰ τῶν ἄλλων δὲ μὴ δυναίμην. οὐκ ἔστι γάρ, φασί, γλυκερώτερον ἢ παντ' εἰδέναι· καὶ ἐγώ

319, 1 τῷ τρόπῳ] τὸν τρόπον A et a pr. m. Monac. 13 ἢ περιέργους] ἢ om. A. in marg. habet Monac. 17 ἢ τὸ τί A et Monac. ἤτοι τι H. Corrige ἤ τῴ τι ex Platonis Theaeteto p. 173 b. 24 τῶν αὐτοῦ] τῶν om. A. 27 ἐμαυτοῦ] ἑαυτοῦ A et Monac. 28 οὐκ ἔστι γὰρ] „Deesse videtur οὐδὲν vel post γὰρ vel post γλυκερώτερον. Legi etiam potest οὐδὲν γάρ ἐστι γλυκερώτερον. Cic. ad Att. epist. lib. 4. οὐδὲν γλυκύτερον ἢ πάντα εἰδέναι.“ Stephanus.

φημι τἀγαθά. οἷα δὲ λέγει ὁ μάγειρος ὁ κωμῳδικὸς οὐδὲ ἐκεῖνα πάνυ ἐλυσιτέλει πυνθανομένῳ, ἀλλ' ἐπέτριβε τοὺς δαιτυμόνας, ἐξαλλάττων τὰ ἡδύσματα. ἀλλ' οὐκ ἐνταῦθα Καρίωνος τὸ κακὸν τὸ μέγα, ὅτι μοχθηρὰ ἡ τέχνη αὐτοῦ καὶ ἀλλόκοτος, ἀλλ' ὅτι πονηρὸν ἀνθρώπιον ἦν καὶ οὐκ ἐπὶ τῷ ἔργῳ εἰς τὰς οἰκίας παρερχόμενον, ἀλλ' ἵνα λαλήσῃ καὶ ψιθυρίσῃ καὶ διαβάλῃ
d καὶ ἐξενέγκῃ οὐχ ὅσα μάγειρον εἰκὸς μαστιγίαν, ὃς δικαίως ἐκρέματο, ἂν οὕτω τύχῃ, διὰ τὴν χρηστὴν φιλομάθειαν, ἐν τῇ σπυρίδι, ἀλλὰ καὶ τὰ ἀπόρρητα τῆς οἰκίας, οὐδ' ὅσα ἀκήκοε μόνον, ἀλλὰ πολλὴ ἡ προσθήκη καὶ ἡ τῶν κακῶν ἐποικοδόμησις. ἀλλ', ὦ μοχθηρὲ καὶ ἀπόπληκτε Καρίων, ἀκήκοας ὅτι ὁ δεῖνα λιβανωτοῖς τοῖς θεοῖς ἔθυσε· λέγε οὖν ὅτι λιβανωτοῦ·
263 a μόνον γὰρ τοῦτο ἀκήκοας, καὶ μὴ ὅτι παμμέλανας ταύρους, μηδὲ ὅτι κριοὺς ἐκτομίας. σὺ δὲ καὶ εἴδωλα καταλέγεις ὅσα ἐκίνησε τὸν Πλάτωνα γοητεύσας. ἔπειτα ἂν μὲν ἀγαθὸν πύθῃ, στεγανὸς εἶ καὶ Ἀρεοπαγίτου σιωπηλότερος, ἐὰν δέ τινος κακοῦ ἐπιλάβῃ, Ἰλιάδα ἐξ αὐτοῦ ποιεῖς καὶ Ὀδύσσειαν, πολλὰ οὔτ' αὐτὸς ἀκούσας οὔτε παρακούσας, ἀλλ' αὐτὸς τεκὼν καὶ αὐτὸς ὑφήνας. ἔπειτα ἄχθῃ δῆθεν πρὸς τὸν εἰπόντα, κακοδαίμονά τε καὶ θεοῖς ἐχθρὸν ὀνομάζων, καὶ ἀπιστεῖν προσποιῇ καὶ ἀγανακτεῖς καὶ σχετλιάζεις. ὅμως δὲ τὰ μὲν ἄπιστα
b καὶ σχέτλια καὶ ὀργῆς ἄξια λέγεις τε καὶ ἐκτραγῳδεῖς, καὶ ἐμπίμπλης αὐτῶν μόνον οὐχὶ τοὺς νευρορράφους καὶ τοὺς βαλανέας, τὸν δὲ κακοδαίμονα ἐκεῖνον καὶ θεοῖς ἐχθρόν, ᾧ πάνυ χαλεπαίνῃ καὶ πρὸς ὃν πάνυ ἀγανακτεῖς, ἐάν τις πυνθάνηται καὶ ἐκλιπαρῇ, ἧττον ἂν εἰς φῶς ἀνάγοις ἢ τὴν μητέρα Πριάμου, ὅτι, οἶμαι,

---

320, 1 κωμῳδικὸς] κωμικὸς Hemsterhusius ad Aristoph. Plut. p. 8. 2 ἐπέτριβε Monac. ἀπέτριβε H. 4 Καρίωνος] καρίων A. 6 καὶ οὐκ ἐπὶ τῷ ἔργῳ] καὶ ἐπὶ τῷ ἔργῳ A. καὶ οὐκ ἐπὶ ἔργῳ Monac. καὶ ἐπὶ οὐκ ἔργῳ H. 7 διαβάλῃ Harduinus. Vulgo διαβάλλῃ. 14 λιβανωτοῖς] λιβανωτοῦ Stephanus. 17 Πλάτωνα] Πλούτωνα Petavius. 19 ἐπιλάβῃ] ἐπιλάβηται A et Monac. 28 χαλεπαίνῃ A. χαλεπαίνει Monac. χαλεπαίνεις H. 30 ἀνάγοις] Vulgo ἀπάγῃς.

αὐτὸς ἐκεῖνος ὑπάρχεις, αὐτὸς ὁ ποιητὴς καὶ ὑποκριτὴς τῶν δραμάτων· ὀκνῶν δὲ αὐτοπρόσωπος ἀγωνίζεσθαι, ἐπὶ τὰ ἀνώνυμα πρόσωπα καταφυγγάνεις, ὥσπερ ἐν ταῖς τραγῳδίαις, ὅταν ὀνομάτων ἀπορῶσιν οἱ ποιηταί.

Πολλάκις δὲ ὅλην ἄρας τὴν μηχανὴν θεούς τε καὶ c δαίμονας τῷ δράματι ἐπεισάγεις. ἢ γὰρ οὐ τοιοῦτόν τι πρὸς Διὸς ἡ κατὰ τῶν ὀνειράτων συκοφαντία; καί, ὡς ἔοικεν, ὁ λυσιμελὴς ὕπνος καὶ ὁ πανδαμάτωρ τοὺς μὲν ἄλλους κακούργους κατακοιμίζει, τῷ κακηγόρῳ δὲ ἀφορμὴ γίνεται τῆς μοχθηρίας. καὶ εἰ μέν τι αὐτῷ χρηστὸν καὶ εὔφημον ὄναρ ἐπισταίη τῇ κεφαλῇ, ἀμένηνόν τε ὄντως ἐστὶ καὶ διὰ τῶν ἐλεφαντίνων ἥκει πυλῶν, τοῖς δὲ λοιδόροις τε καὶ βασκάνοις ἀναπεπταμέναι εἰσὶν αἱ πύλαι τῶν κεράτων, μᾶλλον δὲ οἱ μὲν ὄνειροι οὔτε ἥκουσιν οὔτε βούλονται, αὐτοὶ δὲ ἕλκουσι καὶ d παράγουσι. καὶ ἀκούσῃ ἕωθεν ἀνδρὸς κακηγόρου σκυθρωποῦ τε καὶ συννεφοῦς, ὅτι πράγματα ἔσχεν ἐν τῇ νυκτὶ τῇ προτέρᾳ ὑπὸ τῶν δαιμόνων, ὅτι συνεβάδιζε τῷ δεῖνι, καὶ συνειστιάθη ἀνδρὶ ἐξαγίστῳ τε καὶ ἀλάστορι καὶ τὰ καὶ τὰ ἐργαζομένῳ, καὶ δέος μὴ καὶ σύμπασα ἡ πόλις ἀπολαύσῃ τι κακὸν τοῦ ἀνθρώπου. ἆρα ὑμῖν ὁ τοιοῦτος ὕπαρ τε καὶ ὄναρ δοκεῖ ἄν ποτε δυνηθῆναι ἀφέμενος τοῦ σκαιοῦ τε καὶ ἐπαριστεροῦ τρόπου ἐπιδέξια ἀναβάλλεσθαι καὶ λαβὼν ἁρμονίαν 264 a λόγων ἀληθινὴν ὑμνῆσαι βίον θεῶν καὶ ἀνθρώπων, οἷα καὶ Ὁμήρῳ Ἀχιλλεὺς ᾄδει, ἡνίκα ἀπόμαχος ἦν, ἢ μᾶλλον οἷα καὶ αὐτὸς Ὅμηρος; ἴστε γάρ που ὅτι Ὅμηρος πάντα ὅσα ὀνομάζει καὶ ἐπαινεῖ καὶ οὐδὲ τὰ πάνυ φαῦλα ἀπαξιοῖ τῆς ἀγαθῆς μαρτυρίας, ἀλλὰ καὶ τὰ πέδιλα αὐτῷ καλὰ καὶ αἱ μάστιγες ἅπασαι φαειναί.

321, 9 κακηγόρῳ] κατηγόρῳ A. 14 τῶν κεράτων A et Monac. τῶν om. H. 17 πράγματα A. πρᾶγμα H. 19 συνειστιάθη Monac. συνεστιάθη H. 20 καὶ σύμπασα] καὶ om. A. Conf. Hesiodi Ἔργ. v. 238. 21 ἀπολαύσῃ] ἀπολαύσει A. 22 δοκεῖ] Vulgo δοκῇ. 24 ἐπιδέξια Monac. ἐπὶ δεξιὰ H. 26 οἷα καὶ αὐτὸς] οἷς καὶ αὐτὸς Monac. 30 πέδιλα Iacobsius. Vulgo παιδία. πεδία codex Vales. apud Boisson. ad Homer. vol. III. p. 368.

ὑπεράγεται δὲ καὶ φυτὸν ἐν Δήλῳ πεφυτευμένον, καὶ οὐδὲ ὁ συβώτης αὐτῷ ὁ χρηστὸς ἀμοιρεῖ ἐν τοῖς ἔπεσιν
b εὐφημίας, ἀλλὰ πειρᾶται πείθειν ἡμᾶς ὅτι ὁ συφορβὸς τῶν ὑῶν ὄρχαμος ἦν τῶν ἀνθρώπων. Θερσίτῃ δὲ ἄρα ἐλοιδορήσατο μόνῳ, ὅτι, οἶμαι, αὐτὸς ἐκεῖνος λοίδορός τε ἦν καὶ ὑβριστὴς καὶ ἔπη πολλὰ ἄκοσμα ᾔδει καὶ οὐκ ἐν τάξει αὐτοῖς οὐδὲ ἐν κόσμῳ ἐχρῆτο.

322, 2 αὐτῷ] αὐτὰ Monac.

XXII.

ΠΕΡΙ ΦΙΛΙΑΣ.

c

Τί δή ποτε, ὦ μακάριοι, ἂν μέν τις ὑμῖν διηγῆται περὶ τῶν Τρώων καὶ Ἀχαιῶν, ὡς ἐπολέμησαν πρὸς ἀλλήλους, ἢ περὶ τῆς Ξέρξου στρατείας, ἣν ἤλασεν ὑπὲρ Ἑλλησπόντου κατὰ τῆς Ἑλλάδος, ἢ περὶ τῆς Ἑλλάδος αὐτῆς, ὁπόσα ἀνέτλη πρὸς ἑαυτὴν στασιάζουσα, ἐκ τούτων μὲν ἥδεσθε τῶν λόγων καὶ κατέχεσθε κηλούμενοι, καὶ τοὺς υἱεῖς ἀξιοῦτε μανθάνειν ἀρξαμένους d ἀπὸ τῆς μήνιδος τῆς Ἀχιλλέως, ὡς ταύτην οὖσαν ἱκανὴν παιδεύειν καὶ διὰ τοῦτο σοφωτέρους ἐσομένους, ἐὰν ἐπίστωνται πόλεών τε καὶ ἰδιωτῶν πολέμους τε καὶ ἔχθρας καὶ τὰς ἀπ᾽ αὐτῶν συμφοράς, τῶν δὲ ὑπὲρ φιλίας λόγων καὶ ὁπόσα ἀνθρώπους ὀνίνησιν οὐδὲν πώποτε ἐφροντίσατε, οὔτε αὐτοὶ βουλόμενοι μαθεῖν οὔτε τοῖς παισὶν ὑμῶν παρακελευόμενοι; καίτοι ἔριν μὲν ἀπολέσθαι ἐκ τῶν ἀνθρώπων αὐτὸς εὔχεται ὁ τῆς ἔριδος ποιητής, ἄνευ δὲ φιλίας οὐδεὶς ἂν ἕλοιτο ζῆν 265 a ἔχων τὰ λοιπὰ ἀγαθά. ὅστις μὲν οὖν δὴ ὀλίγου ἄξιον τὸ πρᾶγμα νομίζει, ἴστω σφόδρα ὀλίγου ἄξιος ὤν, ὅτῳ δὲ εὐπετὲς εἶναι δοκεῖ, τῶν Θεόγνιδος ἀκουσάτω,

Παύρους εὑρήσεις, Πολυπαΐδη, ἄνδρας ἑταίρους,
πιστοὺς ἐν χαλεποῖς πράγμασι γινομένους.

τί οὖν ἐστιν ὃ ῥαθυμεῖτε περὶ τὸν λόγον; ἢ ὑμεῖς μὲν οὐ ῥαθυμεῖτε· φιλήκοοι γάρ ἐστε καὶ πᾶν ἀκούετε προθύμως ὅ τι ἂν τις λέγῃ· λέγουσι δὲ οὐ ταὐτὰ οἱ λέ- b

---

328, 3 ὡς ἐπολέμησαν πρὸς ἀλλήλους] „Ex Thucydide I, 1." Iacobsius. 11 ἐπίστωνται] Vulgo ἐπίστανται. 17 ποιητής] Iliad. ι, 256. 20 Θεόγνιδος] V. 79. 21 Πολυπαΐδη] Vulgo Πολυπαίδη. 25 ταὐτὰ Iacobsius. Vulgo ταῦτα.

γοντες, ἀλλ' οἱ μὲν ἐπαινοῦσιν ὑμᾶς συνάγοντες, οἱ δὲ ἐμμελετῶσι τὴν δεινότητα, οἱ δὲ ᾄδουσι καὶ προσᾴδουσι γλυκεῖάν τε καὶ μαλακὴν καταχέοντες ὑμῶν ἁρμονίαν, λόγους δὲ δι' οὓς ἂν ἄνθρωποι ἄμεινον ζῶσιν οὐ σφόδρα εὐπορεῖν μοι δοκεῖτε οὐχ ὑμετέρᾳ κάκῃ, τῶν δὲ λεγομένων φιλοσοφεῖν, οἳ σφίσιν ἀποχρῆν ὑπειλήφασιν ἐν γωνίᾳ μόνῃ πρὸς τὰ μειράκια ψιθυρίζειν, φεύγειν
c δὲ τὰ μέσα τῆς πόλεως κατὰ τὸν Καλλικλέους ὀνειδισμόν, καὶ τὰς ἀγοράς, ἐν αἷς φησιν ὁ ποιητὴς ἀριπρεπέας τελέθειν τοὺς ἄνδρας. τούτους μὲν οὖν ἐατέον ἐνταυθοῖ μένειν οὗπερ μένειν ἐθέλουσιν, ἡμῖν δὲ προσακτέον εἰς τὸ φῶς τοὺς λόγους καὶ συνεθιστέον αὐτοὺς ὄχλον τε ἀνέχεσθαι καὶ θόρυβον ὑπομένειν καὶ δήμου φωνὴν συγκαθημένου. πάντως εἰ καθ' ἕνα εὖ ποιεῖν ἱκανοί, καὶ πολλοὺς ἅμα δυνήσονται. οὐ γὰρ τοῖς σιτίοις ἴσως ἐοίκασιν, ὅσα ἑνὶ μὲν καὶ δυοῖν αὐτάρκη,
d πλείους δὲ οὐκέτ' ἂν κορέσειαν δαιτυμόνας, ἀλλὰ ταῖς ἀκτῖσι μᾶλλον τοῦ μεγάλου θεοῦ, αἳ τοῖν δυοῖν ὀφθαλμοῖν τοὺς μυρίους οὐχ ἧττον καταλάμπουσιν.

Ἀλλ' ἐπιστρεπτέον τὸν λόγον οὗ προάγοντες αὐτὸν ἀπεπλανήθημεν. καλὸν μὲν δὴ καὶ φιλίππῳ τέχνην γινώσκειν, ᾗ διαγνώσεται τοὺς καλοὺς ἵππους τῶν φαυλοτέρων, καλὸν δὲ καὶ φιλοχρύσῳ τὴν λίθον πεπᾶσθαι, ᾗ βασανίζουσι τὸν χρυσόν· κτήσαιτο δ' ἂν καὶ βοῦς
266 a ἀμείνους ὁ βοῶν ἀρετὴν ἐπεσκεμμένος καὶ πλοῖον ὁ ναυτικὸς καὶ κύνας ὁ κυνηγέτης. ἐγὼ δὲ τὰ μὲν ἄλλα εἰμὶ φαῦλος καὶ ἄτεχνος, καὶ οὔτε ἀγαπῶ σφόδρα οὔτε ἐπίσταμαι κρίνειν, ἑνὸς δέ εἰμι κτήματος ἐραστής, φιλίας ἀληθινῆς καὶ ἀδόλου, καὶ τοῦτο ἂν ἑλοίμην ὑπάρξαι μοι μᾶλλον ἢ Νισαῖον ἵππον καὶ κύνα Κελτὸν καὶ τὸ Δαρείου χρυσίον καὶ τὸν ἐν Κρήτῃ ταῦρον καὶ τὴν Ἀχιλλέως ἀσπίδα, ἣν ἐποίησεν Ὅμηρος ἐν τῷ νώτῳ

324, 3 γλυκεῖαν — ἁρμονίαν] Imitatur Platonem de Rep. III. p. 411 a. ab Heusdio indicatum p. 127. 7 ἐν γωνίᾳ] „Conf. p. 284 b. Similia collegit Wetsten. ad N. T. II. p. 635." Iacobsius. 32 νώτῳ Iacobsius ad Antholog. vol. VI. p. 399. Vulgo οὐρανῷ.

φέρουσαν ὅλον τὸν οὐρανόν, ἥλιόν τε καὶ σελήνην, b ἀντικρὺ δὲ ἡλίου θάλασσάν τε καὶ γῆν, καὶ γεωργοῦντας καὶ γαμοῦντας καὶ δικαζομένους καὶ πολεμοῦντας. ἀλλ' οὕτως ἦν ἄρα φιλίας τὸ κτῆμα ἐκεῖνο φαυλότερον, ὡς ὅ γε Ἀχιλλεὺς οὐδ' ὁτιοῦν ῥάων ἐγένετο τῆς ἐπὶ Πατρόκλῳ λύπης, ἡνίκα ἐκόμισεν ἡ μήτηρ αὐτῷ τὴν ἀσπίδα, ἀλλὰ καὶ προήκατο ἑτέραν ἀσπίδα τοιαύτην, ἵνα ὁ φίλος μὴ ἀνιῷτο, καὶ πάλιν ἐκτήσατο τοιαύτην ἑτέραν, ἵνα ὁ φίλος μὴ ἀτιμώρητος γένοιτο.

Ἅτε γοῦν ἐρωτικῶς ἔχων τοῦ κτήματος συνελεξά- c μην ἐμαυτῷ πολλὰ ἄττα βασανιστήρια, καὶ μεταλλῶ εἴ τινα δὴ καταμάθοιμι συνεπιθυμοῦντά μοι τῶν αὐτῶν παιδικῶν, σὲ δέ, ὦ τοῦ χοροῦ τοῦδε κορυφαῖε, οὕτως ὁρῶ τὸν αὐτόν μοι πόθον σπουδάζοντα, ὥστε εἰ μὴ φιλία τὸ ποθούμενον, ἐζηλοτύπησα ἂν σε καθάπερ τοὺς ἀντερῶντας. νῦν δὲ γυναικὸς μὲν ὡραίας ἤδη τινὲς ἐπιθυμοῦντες αἵματι τὸν ἔρωτα ἔκριναν, καὶ τιμῆς πέρι μαχόμενοι πρὸς ἀλλήλους οὐ παύονται οἱ φιλότιμοι. τὸν πολυάρατον πλοῦτον τί ἂν καὶ λέγοιμεν ὁποίων d ἀγωνοθέτης πολέμων ἐστί; μόνοι δὲ οἱ φιλίας ἐρῶντες οὐ μάχονται ἀλλήλοις περὶ τοῦ κτήματος, ἀλλ' εὐθὺς ἐν ἀλλήλοις ἐξευρίσκουσι τὰ παιδικά.

Τὸ ἔργον εὐτυχὲς μὲν δὴ ὅτῳ καὶ ἰδιώτῃ ὑπῆρξε γενέσθαι ἐπηβόλῳ τοῦδε τοῦ κτήματος, εὐτυχέστερον δὲ ὅτῳ πολλὰς μὲν πόλεις, πολλὴν δὲ χώραν ἐπιτροπεύοντι. ἂν γὰρ πολλὰ μὲν ἀκούειν δεῖ, πολλὰ δὲ ὁρᾶν, πολλῶν δὲ ἅμα ἐπιμελεῖσθαι, τούτῳ σφόδρα ὀλίγα τὰ 267 a δύο ὦτα καὶ τὼ δύο ὀφθαλμὼ καὶ τὸ σῶμα ἓν ὂν καὶ μία ἐνοῦσα ἡ ψυχή. εἰ δὲ φιλίαν πλουτοίη, καὶ ὄψεται θαμὰ καὶ ἀκούσεται τῶν οὐ πλησίον, καὶ εἴσεται τὰ πόρρω, καθάπερ οἱ μάντεις, καὶ πλείοσιν ἅμα παρέσται, καθάπερ οἱ θεοί.

Πῶς οὖν δή τις τό γε τοιοῦτον ἀγαθὸν εὕροι τ' ἂν καὶ εὑρὼν θηρεῦσαι καὶ θηρεύσας ἐγκρατὴς ἔσοιτο;

325, 5 ῥάων] Stephanus. Vulgo ῥᾷον. 9 ἀτιμώρητος Harduinus. Vulgo ἀτιμότερος. 26—32] Conf. p. 17 c. 33 εὕροι τ'] Vulgo εὕροιτ'.

ἆρα οὐχ ἡμᾶς δεῖ, καθάπερ τοὺς κυνηγέτας, πρῶτον b ἁπάντων πεπαιδεῦσθαι τὰ ἴχνη τῆς ἄγρας καὶ τὰ σύμβολα καὶ σημεῖα γινώσκειν ἀκριβῶς καὶ ἐκλέγεσθαι, δι' ὧν καὶ αὐτοὶ μὴ λησόμεθα, καθάπερ, οἶμαι, οἱ τὰ θηρία ἰχνηλατοῦντες κρημνὸν ἀντὶ χρηστῆς ἄγρας ἐπί τινα ἀπότομον ἐξενεχθέντες; καὶ γὰρ δὴ καὶ ἐν τῇδε τῇ θηρείᾳ πολλὰ καὶ ποικίλα θηρία εὐδαίμονα φιλίαν μιμεῖται, μάλιστα δὲ τὸ πάντων ἐπιβουλότατόν τε καὶ ἀγριώτατον, ὃ καλεῖται ὑπὸ τῶν νῦν ἀνθρώπων ὑπόκρισις. τοσαύτη δὲ αὐτῆς ἡ πρὸς τὴν μίμησιν κακουργία ὥστε καὶ μέχρι εὐνῆς ἔλθοις ἂν πολλάκις τοῖς c ἴχνεσιν ἀπατώμενος· τῇ δὲ οὐκ ἀρκεῖ βαίνειν ὁμοῦ μόνον, ἀλλὰ καὶ φωνῆς ἂν ἀκούσαις παραπλησίας, καὶ φθέγματος εἰς ἀπάτην γεγοητευμένου. ἔοικε τῶν ἀνθρωπίνων ἀγαθῶν ὄντως ἕκαστον εἶναι κινδύνῳ κεκαλυμμένον, μηδέν τε ἄκρατον τοῦ ἐναντίου, καὶ λέγει τις ὀρθῶς ἄρα τῶν τοῦ γέλωτος ποιητῶν ὅτι μηδέν ἐστιν ἀγαθὸν ἐν τῷ βίῳ φυόμενον ὥσπερ δένδρον ἐκ ῥίζης μιᾶς, ἀεὶ δὲ αὐτῷ προσπέφυκε καὶ κακόν. τοῦτο d οὖν ἐστιν ὃ διόλλυσι τοὺς πολλούς, οὐκ ἔχοντας εὐκόλως ἐκλέγειν τὰ ἀμείνω τῶν φαυλοτέρων. δεώμεθα οὖν ἐγώ τε καὶ ὑμεῖς τῆς Ὁμηρικῆς Ἀθηνᾶς, ἐάν πως ἡμῶν ἀποσκεδάσῃ τὴν πολλὴν ἀχλὺν τῶν ὀμμάτων, ὄφρ' εὖ διαγινώσκοιμεν οὐ θεὸν ἐν ταῖς μάχαις καὶ ἄνδρα, ἀλλὰ φιλίαν ἀληθῆ καὶ πεπλασμένην. λεκτέον οὖν ὅσα τέ ἐστι καὶ ὁποῖα ἄττα γνωρίσματα τοῦ μέλλοντος ἐγκριθήσεσθαι. καὶ γὰρ δὴ καὶ σὺν Ἀθηνᾷ καὶ χεῖρα κινεῖν ὁ [τῆς Ἀθηνᾶς] λόγος φησί.

268 a Πρῶτον μὲν οὖν ὁ δοκιμαζόμενος ἔστω φιλόστοργός τε καὶ φιλοίκειος ὅτι μάλιστα, καὶ φύσει τόδε τὸ κέντρον ἔχων ὡς παράπτιον τῆς ξυγκολλήσεως. εἰ οὖν φαίη μέ τις ληρεῖν ἐξ αὐτῶν τῶν προοιμίων, κελεύοντα πρὸ πείρας γινώσκειν ἃ μετὰ πείρας οἷόν τε μόνης, εὖ

326, 6 ἀπότομον Iacobsius. Vulgo ἄτομον. 11 μέχρι] Vulgo μέχρις. 17 ποιητῶν] Menander p. 147. ed. Meinek. 27 καὶ χεῖρα] καὶ delet Stephanus. 28 τῆς Ἀθηνᾶς delet Petavius: in τῆς παροιμίας mutabat Stephanus.

του γινώσκειν μὴ δεῖσθαι μαντικῆς. οὐδεὶς γὰρ ἡμῶν, κατὰ τοὺς ποιητάς,

Ἀπὸ δρυός ἐστι παλαιφάτου οὐδ' ἀπὸ πέτρης,

ἀλλ' ἑκάστῳ καὶ πατὴρ καὶ μήτηρ ἐστὶ καὶ ἀδελφὸς, [b] ἴσως καὶ συγγενής. ὅταν οὖν ἐθέλῃς γινώσκειν ὅπως σοι χρήσεται φίλῳ ἄνθρωπος οὗτος, γίνωσκε πρῶτον ὅπως ἐχρήσατο τῷ πατρὶ ἢ ὅπως τῇ μητρὶ ἢ ὅπως τἀδελφῷ χρῆται ἢ ὅπως ἔχει πρὸς τὴν γυναῖκα. εἰ μὲν γὰρ τούτοις πρᾷός τε εἴη καὶ εὔνους, ἐλπίζειν χρὴ καὶ πρὸς ἑαυτὸν τὰ ἀμείνω, εἰ δὲ χαλεπὸς καὶ δυσμενής, καὶ πόρρωθεν ἂν εἴη φευκτός. ὁ γὰρ πρὸς τὰ ἔνδον πονηρὸς οὐκ ἂν γένοιτο πρὸς τὰ ἔξω χρηστός.

Μετὰ δὲ ταῦτα σκεπτέον εἰ μὴ παντελῶς ἄφορος [c] εὐχαριστίας. ὥσπερ γὰρ τῆς γῆς ἡ μὲν ἄκαρπος, ἡ δὲ πιστὴ καὶ ἀμοιβὰς ἀποδοῦναι τῷ τὸ σπέρμα καταβαλόντι, οὕτω καὶ τῶν ψυχῶν αἱ μὲν ἄγονοι χαρίτων καὶ λήμωσαι καὶ πρὸς φιλίαν ἀχρεῖοι, ταῖς δὲ ἐπανθεῖ τὸ πρόθυμον εἰς τὴν ἔκτισιν. οὐ γὰρ πάντως τὰ ἔργα ἀπαιτητέον, ἀλλὰ τὴν γνώμην μόνον ἐξεταστέον, καὶ εἰ τοσαῦτα ἀμείβουσιν ὅσα δύνανται· δύνανται δὲ πάντως ἐπαινεῖν τε καὶ μνημονεύειν. οὐδὲν γὰρ ὅλως φιλίαν [d] οὔτε συνδεῖ μᾶλλον εὐχαριστίας οὔτε διόλλυσιν ἀχαριστίας. καὶ διὰ τοῦτο ὁ Περσικὸς νόμος δίκας εἰσπράττεται ἀχαριστίας, ὅτι μάλιστα ἐμποιεῖ μῖσος ὅση ἂν ᾖ. οὗ δὲ μηδεὶς κολάζει νόμος, ἐνταῦθά περ αὐτῆς μισοῦσι μὲν ἀλλήλους, οὐ δικάζονται δέ, ἀλλὰ κρύπτουσι τὸ ἔχθος.

Σκεπτέον δὲ καὶ ὅπως ἔχει τὸ θρέμμα πρὸς ἡδονάς τε καὶ πόνους, καὶ εἰ μὴ σφόδρα τοὺς μὲν ἀπο- [269 a] φεύγει, ταῖς δὲ ἁλίσκεται. πολλοὺς μὲν γὰρ αἱρεῖσθαι πόνους, πολλὰς δὲ ὑπερβαίνειν ἡδονὰς ἐν τοῖς ὑπὲρ φιλίας ἀγῶσιν ἀνάγκη. διὰ τί ποτε ἄλλο γνώριμος ὁ

327, 3 Ἀπὸ] Odyss. τ, 163. 17 λήμωσαι] „Malim λειλήμονες.“ Stephanus. 25 ἐνταῦθά περ] ἐνταῦθα παρ' Roulenus p. 56. 29 πόνους Jacobsius apud Goellerum p. 286. Vulgo πόνους πολλούς.

τοῦ Στροφίου ἢ ὅτι τὰς ἐν Θρᾴκῃ εὐδαιμονίας τῆς οἴκοι βασιλείας περὶ πλείονος ἐποιήσατο;

Καὶ μὴν που καὶ τόδε δεῖ σκοπεῖν, εἰ βάσκανος, εἰ φθόνου κρείσσων· ἢ προσδοκῴης τινὰ ἱκανῶς ἂν
b στέρξαι φίλον, ὃς τοῦτο τὸ νόσημα ἐντὸς ἔχει; ὃ πέφυκε τοῖς μὲν ἔγγιστα πολεμεῖν, τῶν δὲ μηδὲν προσηκόντων ἀπέχεσθαι;

Οὐ μὴν οὐδὲ τόδε παραλείψεις, ὡς ἔγωμαι, ὅταν κρίνειν μέλλῃς φύσιν φιλικήν τε καὶ μή, μή σε λάθῃ μετέχουσα ἀνελευθερίας. ἐναντιώτατον γάρ που σμικρολογία ψυχῇ μελλούσῃ φιλίας ἀληθινῆς ἐπορέξασθαι. ὁρῶμεν γάρ που τοὺς καλουμένους φίλους ὅτι τέως μὲν τὰς δεξιάς τε ἀλλήλοις συμβάλλουσι καὶ συμπεριπατοῦσι
c καὶ συνδιάγουσιν, ἐπειδὰν δὲ ὀλίγα κέρματα μεταξὺ τύχη τις βάλῃ, ὥσπερ τὰ κυνάρια μεθαλλόμενοι δάκνουσί τε ἀλλήλους καὶ σπαράττουσι.

Τί οὖν ὁ πρᾷος καὶ εὔχαρις μηδὲ φιλοχρήματος μηδὲ βάσκανος; ἆρα εἰ φιλόδοξος εἴη καὶ πάνυ τοῦ πρωτεύειν ἐξηρτημένος, ἔσθ' ὅπου ἂν εὐκοινώνητος γένοιτο; καὶ τίς οὐκ οἶδεν ὅτι τὴν ἐκ φιλίας ἰσότητα οὐ σφόδρα ἀνέχεται φιλοτιμία; ὑπερόπτην δὴ καὶ ἀλαζόνα πολλὴν ἰσηγορίαν ζητοῦντι μήποτε ἐγκρίναιμεν,
d οὐ μὴν οὐδὲ ἀκρόχολον ἢ ὀργίλον. πῶς γὰρ ἐπιτήδειος εἰς συνήθειαν ὁ μεμηνώς; ἐγὼ δὲ οἶμαι τὴν ὀργὴν μανίαν ὀλιγοχρόνιον εἶναι.

Τόδε τοίνυν μετὰ ταῦτα σκεπτέον, εἰ μὴ σφόδρα ἐφ' ἕν τι νένευκε τῶν οὐ πάντη χρηστῶν, κυβείαν ἢ Θετταλὰν ἢ κιθαριστικὴν ἢ αὐλούς. ὅτῳ γὰρ ἀνδρὶ εἰς ἕν τι τοιοῦτον αἱ ἐπιθυμίαι πᾶσαι ῥέπουσι, τούτῳ
270 a δὲ οὐκ ἂν εἰς τἀμείνω γίγνοιντο φιλίαι ἰσχυραί, ὥσπερ ῥεῦμα ἐπὶ τὸ πρανέστερον ἀποτετραμμέναι. ἆρ' οὖν οὐκ εὐπετὲς ἐξευρεῖν ἄνδρα οὕτω κεκαθαρμένον; ἢ καὶ χρυσοῦ σπανιώτερον ἀρετὴ καὶ ἀγαπητὸν ὅτῳ καὶ εἴς που τοιόσδε εἰς τὴν κρίσιν ἀφίκοιτο; οὐκ ἄρα πολύφιλος οὐδὲ μυριόφιλος ἔσται ὁ τῆς ἐκλογῆς ἐπιστήμων.

328, 22 μήποτε] Vulgo μήτε. 28 Θετταλὰν] πεττείαν Petavius. ὅτῳ γὰρ —] Plato de Republ. VI. p. 485 d.

Καὶ γὰρ αὖ ἀναγκαῖον αὐτῷ μὴ ἐπ' ὀλίγων ἱσταμένῳ, μηδὲ τοῖς πλείοσιν ἔχειν ὅ τι χρήσαιτο. σκέψαι γὰρ πολλοὺς ἀνθρώπους οὔτε χαίρειν τοῖς αὐτοῖς οὔτε ἀνιᾶσθαι δυνατὸν οὔτε μὴν τύχῃ ὁμοίᾳ κεχρῆσθαι, b ἀλλὰ τῷ μὲν ἄλλο τι, τῷ δὲ ἄλλο τι ἡδύ τε ἐφ' ὃ καὶ ἀλγεινόν, καὶ τῷ μὲν εὖ ποτε, τῷ δὲ οὐχ οὕτως ὁ δαίμων χρῆται. λεγέτω οὖν ἡμῖν ἐκεῖνος ὁ τὸ πλῆθος ἐν φιλίᾳ τιμῶν, ὅταν τῶν πολλῶν αὐτοῦ φίλων τοῖς αὐτοῖς οἱ μὲν χαίρωσιν, οἱ δὲ ἄχθωνται, ποτέροις συνδιακείσεται· καὶ ὅταν ὁ μὲν συναλγεῖν αὐτόν, ὁ δὲ συνεορτάζειν ἐθέλῃ, εἰς πότερον αὐτοῖν βαδιεῖται. ἆρ' οὐκ ἀναγκαῖον αὐτῷ τιμῶντι τοὺς ἑτέρους τοῖς ἀτιμουμένοις ἀπέχθεσθαι; τὸ δὲ τοῦ Ὁμήρου πολὺ ἂν ἀραρότερον c ἐπὶ τῶν φίλων λέγειν ἢ τοῖς λαφύροις, ὅτι τοῖς φρονίμοις ὄντως ὀλίγον τὸ φίλον.

Ἀλλ' ἐπειδὴ χαλεπὰ τὰ καλὰ καὶ οὔτε αὐτοὶ κακίας ἄτερ οὔτε οὓς κρίνομεν, οὐ πάντως ἀποκριτέον ἂν εἴη τὸν ἡντιναοῦν καὶ σμικρὰν κῆρα φέροντα ἐν τῇ ψυχῇ, ἀλλὰ ζητητέον μόνον ἐπὶ τῶν τοιούτων, εἰ μή τινι παραπλησίῳ μοχθηρίας εἴδει περιπεπτώκαμεν. ἀρετὴ μὲν γὰρ πρὸς αὑτὴν ἅπασα σύμφωνος, κακία δὲ οὔτε πρὸς ἀρετὴν εὐμενὴς οὔτε δυσάρεστος ἑαυτῇ. ὅθεν d οὔτε ὀξύθυμος ὀξυθύμῳ γένοιτ' ἂν φίλος οὔτε νωθεῖ νωθὴς οὔτε αὐθάδης αὐθάδει, διαμιχθέντα δὲ ταῦτα φέροι ἂν ἄλληλα μετρίως καὶ συγκιρνῷτο. ὑβριστῇ μὲν γὰρ ἀνάλγητος προσαρμόσει, μεγαλαύχῳ δὲ μικροπρεπής, ὑπερόπτῃ δὲ καταπεπληγμένος, ὁ δὲ νωθέστερος τῷ κεκινημένῳ πλέον· ἐνέγκαι δ' ἂν καὶ φειδωλὸν ὁ περὶ τὰς δαπάνας ἐκκεχυμένος, καὶ πρὸς φιλόδοξον εὔνικτος ὁ σφόδρα τοῦ λαθεῖν ἐραστής. τοιαίδε μέν- 271 a τοι καὶ τῶν πρόσθεν ὁπόσαι μνήμης εὐκλεοῦς ἔτυχον, ἐφ' ὧν μόνιμοι αἱ συζεύξεις. Χαβρίου γὰρ καὶ Ἰφικράτους φιλίαν ᾄδουσιν· ἦν δὲ ὁ μὲν αὐτοῖν σύντονος

329, 14 τοῖς λαφύροις] τῶν λαφύρων Stephanus. 18 ἡντιναοῦν Stephanus. Vulgo ὅντιναοῦν. 22 δυσάρεστος] „Fortasse scripserat εὐάρεστος." Stephanus. 33 σύντονος Harduinus. Vulgo σύντομος.

τε καὶ δραστήριος, δυσκίνητος δὲ ὁ Χαβρίας. ὥστε ὁ μὲν χαλινοῦ δεόμενος, ὁ δὲ κέντρου, εἰς δέον ἀλλήλοις συνηρμοσάτην. Ὅμηρος δὲ ἄρα οὐ πόλεμον ποιῆσαι μόνον, ἀλλὰ καὶ φιλίαν ἠπίστατο. Ἀχιλλεῖ γὰρ Πάτροκλον ἐποίησε φίλον, τῷ μεγαλαύχῳ τὸν μείλιχον·
b Σθένελόν τε αὖ καὶ Διομήδη, τὸν μὲν ἀνεξίκακον, τὸν δὲ οὐ στέγοντα ὕβριν. ποῖ δῆτα ἄμφω ταῦτα μαρτυρεῖ τοῖν ἀνδροῖν; ὅπου ἐπέπληξε τὸν βασιλέα τῶν Ἀχαιῶν διέποντα τὸ στρατόπεδον μετὰ τὴν τοῦ Ζαλείτου τοξείαν. ὀνειδισθέντες γὰρ ὑπ' αὐτοῦ κατ' ὀργὴν ὁ μὲν οὐκ ἀνέχεται, ὁ δὲ ἡσυχάζει. ταῦτα μὲν δὴ καὶ τὰ τοιαῦτα, ὡς ἔοικεν, ἐκκριτέον τε καὶ ἀποκριτέον τῷ τῆς ἐκλέξεως ἐπιστήμονι.

Θηρεύσοντας δὲ ἡμῖν οὗτοι καὶ ἁλώσοντες τίνα
c τρόπον; οὐ γὰρ ἀφετέον ἐξευρεθέντας τοὺς ἄνδρας, ἀλλὰ πάλιν περιθρεκτέον αὐτοὺς μετὰ πλείονος προθυμίας ἢ τοὺς θάμνους κυνηγέται. ἥμερόν τε γὰρ καὶ οὐκ ἄγριον τὸ θηρίον, ἥ τε σπουδὴ ἡμῖν οὐ κρεαδίων ἕνεκεν, ἀλλὰ βίου ξύμπαντος κοινωνίας. ποίας δῆτα αὐτοῖς ἄρκυς περιστησόμεθα; ἢ ποῖον προθήσομεν δέλεαρ, ᾧ μήτε πημονὴν γευσαμένους μήτε ὕπουλον καὶ θολερὰν ἕξει τὴν ἡδονήν, ἀλλὰ προσάξεται ἀβλαβῶς καὶ γοητεύσει ξὺν ὠφελείᾳ; θηρία μὲν γὰρ καὶ ἰχθῦς ἄλλα
d ἄττα δελεάσματα προδεικνύντες αἱροῦσιν οἵ τε ἁσπαλιευταὶ καὶ οἱ κυνηγέται, μόνον δὲ τοῦτο τὸ ζῷον ὁ φίλος αὐτῷ δελεάζεται τῷ θηρεύοντι. διὸ χρὴ καλόν τε εἶναι καὶ ἀγαθόν, ὥστε αὐτοῦ γευσάμενον τὴν ἄγραν ἐνέχεσθαί τε καὶ μηκέτι εὐπετῶς ἀπολύεσθαι. τοῦτο δὲ αὐτὸ καὶ τὴν ἐκλογὴν αὐτόματον περιποιήσει. ὁ μὲν γὰρ προσιὼν καὶ γανύμενος τοιῷδε ὄντι, οὗτός ἐστιν
272 ὃν πάλαι ἐπεζητοῦμεν, ὁ δὲ ἤτοι μὴ θαυμάζων τὴν ἀρετὴν ἢ ἀποφεύγων, ὁ μὲν ὡς ἀναίσθητος φευκτός, ὁ δὲ ὡς πονηρὸς μισητέος.

Τὰ δὲ καθ' ἕκαστα ἄγκιστρα τῆς θήρας ὁποῖα ἄττα ἔσται λέγοιμι ἂν ἐφεξῆς. προσιτέον δὴ πρῶτον αὐτῷ

330, 16 ἀλλὰ πάλιν —]: Platonem de Rep. IV. p. 432 b. comparat Heusdius p. 38. 30 γανύμενος] Vulgo γαννύμενος.

πόρρωθεν, ὥσπερ δὴ τοῖς πώλοις, ἠρέμα χειροήθη ποιοῦντας, ἀπὸ τῶν σμικρῶν καὶ φαυλοτάτων ὡς ἂν δόξειεν ἀρχομένους, οἷον τοῦ προσορᾶν εὐμενῶς καὶ διαλέγεσθαι ἐπιδεξίως καὶ συμπαρακαθέζεσθαι καὶ συμ- b παραβαδίζειν, καὶ δῆλον γενέσθαι ὅτι ἥδοιτο ὁρωμένῳ. μεταδιωκτέον δὲ καὶ ἐν ἀγορᾷ τόπον οὗ τὰ πολλὰ ἐκείνῳ συνεσόμεθα, καὶ ἐν συμποσίοις καὶ ἐν βαλανείοις καὶ κατὰ θεωρίαν ἢ κατὰ στρατείαν ἢ ἐν ὁδῶν πορείαις ἢ ἐν τισιν ἄλλαις κοινωνίαις. ταῦτα γὰρ οὐ μεγάλα μὲν φαῖμεν ἄν, ἀρχαὶ δὲ ὅμως ἀεὶ τὰ ἐλάχιστα τῶν μεγίστων. εἰ μὴ ἐδεδοίκειν ἐγὼ τοὺς καταγελασομένους ἐπὶ τῇ λεπτολογίᾳ, εἶπον ἂν ὑμῖν καὶ φαυλότερα θήρατρα τῶν εἰρημένων· νῦν δὲ ἐὰν λέγω ὅτι καὶ c τὸ δεξιὰν ἐμβαλεῖν καὶ τὸ πιέσαι τοῦ θηρευομένου τὴν χεῖρα καὶ τὸ θλῖψαι τῶν δακτύλων ἐνίησί τι κέντρον μελλούσης φιλίας; ἀλλὰ καταγελάσονται γάρ, εὖ οἶδα, καὶ σμικρολόγον ἐροῦσιν· ἐγὼ δὲ ὁρῶ καὶ τοὺς πατέρας, ὅτι ἡνίκα ἂν σφόδρα ἀσπάζωνται τὰ παιδάρια, τύπτειν αὐτὰ καὶ δάκνειν ἐξ ἀπλήστου πάθους περιάγονται. ἔοικε γὰρ δὴ πᾶν τὸ τοιοῦτον σημεῖον εἶναι διανοίας ὠθιζομένης ἐνωθῆναι τῇ τοῦ στεργομένου ψυχῇ, διὰ δὲ ἀμηχανίαν τοῦ ξυγκολληθῆναι καθ' ἑαυτὸν ἐπὶ τὸ σῶμα καταντώσης· ὥστε διὰ τούτου γε ἐθέλειν ἐμφῦναι. d

Δραστικώτατόν γε μὴν πρὸς θήραν φίλου φάρμακον ἡγητέον τὸν ἔπαινον, εἰ καὶ σφόδρα ὕποπτον αὐτὸν οἱ κόλακες πεποιήκασιν, ὡς καὶ τοὔλαιον οἱ μυροποιοί. ἐπιβολῇ γὰρ τῶν πέλας οὗτοι μὲν τοὔλαιον, οἱ δὲ [πέλας] τὸν ἔπαινον διαφθείρουσιν. ὅθεν αὐτῷ ξὺν μέτρῳ καθάπερ τῷ οἴνῳ χρηστέον, οὔτε ἐκεῖσε ὑπερβαίνοντα τοὺς σωφροσύνης ὅρους οὔτε ἐνταῦθα 273 a τῆς ἀληθείας. ἥκιστα δὲ παρόντα ἐπαινετέον. μόνον γὰρ δὴ τοῦτο φαρμάκων ἐρρωμενέστερόν τε ἅπτεταί τε

331, 17 ὁρῶ Petavius. Vulgo ὁρῶν. ἐγὼ δ' ἑώρων corrigebat Iacobsius apud Goellerum p. 265. πατέρας] παιδεραστὰς Iacobsius ad Anth† log. vol. X. p. 78. 27 ἐπιβολῇ Petavius. Vulgo ἐπιβουλῇ. 28 πέλας delet Stephanus.

ὑπεράγασθαι δὲ καὶ φυτὸν ἐν Δήλῳ πεφυτευμένον, καὶ οὐδὲ ὁ συβώτης αὐτῷ ὁ χρηστὸς ἀμοιρεῖ ἐν τοῖς ἔπεσιν
b εὐφημίας, ἀλλὰ πειρᾶται πείθειν ἡμᾶς ὅτι ὁ συφορβὸς τῶν ὑῶν ὄρχαμος ἦν τῶν ἀνθρώπων. Θερσίτῃ δὲ ἄρα ἐλοιδορήσατο μόνῳ, ὅτι, οἶμαι, αὐτὸς ἐκεῖνος λοίδορός τε ἦν καὶ ὑβριστὴς καὶ ἔπη πολλὰ ἄκοσμα ᾔδει καὶ οὐκ ἐν τάξει αὐτοῖς οὐδὲ ἐν κόσμῳ ἐχρῆτο.

322, 2 αὐτῷ] αὐτὰ Monac.

XXII.

ΠΕΡΙ ΦΙΛΙΑΣ. c

Τί δή ποτε, ὦ μακάριοι, ἂν μέν τις ὑμῖν διηγῆται περὶ τῶν Τρώων καὶ Ἀχαιῶν, ὡς ἐπολέμησαν πρὸς ἀλλήλους, ἢ περὶ τῆς Ξέρξου στρατείας, ἣν ἤλασεν ὑπὲρ Ἑλλησπόντου κατὰ τῆς Ἑλλάδος, ἢ περὶ τῆς Ἑλλάδος αὐτῆς, ὁπόσα ἀνέτλη πρὸς ἑαυτὴν στασιάζουσα, ἐκ τούτων μὲν ἥδεσθε τῶν λόγων καὶ κατέχεσθε κηλούμενοι, καὶ τοὺς υἱεῖς ἀξιοῦτε μανθάνειν ἀρξαμένους d ἀπὸ τῆς μήνιδος τῆς Ἀχιλλέως, ὡς ταύτην οὖσαν ἱκανὴν παιδεύειν καὶ διὰ τοῦτο σοφωτέρους ἐσομένους, ἐὰν ἐπίστωνται πόλεών τε καὶ ἰδιωτῶν πολέμους τε καὶ ἔχθρας καὶ τὰς ἀπ' αὐτῶν συμφοράς, τῶν δὲ ὑπὲρ φιλίας λόγων καὶ ὁπόσα ἀνθρώπους ὀνίνησιν οὐδὲν πώποτε ἐφροντίσατε, οὔτε αὐτοὶ βουλόμενοι μαθεῖν οὔτε τοῖς παισὶν ὑμῶν παρακελευόμενοι; καίτοι ἔριν μὲν ἀπολέσθαι ἐκ τῶν ἀνθρώπων αὐτὸς εὔχεται ὁ τῆς ἔριδος ποιητής, ἄνευ δὲ φιλίας οὐδεὶς ἂν ἕλοιτο ζῆν 265 a ἔχων τὰ λοιπὰ ἀγαθά. ὅστις μὲν οὖν δὴ ὀλίγου ἄξιον τὸ πρᾶγμα νομίζει, ἴστω σφόδρα ὀλίγου ἄξιος ὤν, ὅτῳ δὲ εὐπετὲς εἶναι δοκεῖ, τῶν Θεόγνιδος ἀκουσάτω,

Παύρους εὑρήσεις, Πολυπαΐδη, ἄνδρας ἑταίρους,
πιστοὺς ἐν χαλεποῖς πράγμασι γινομένους.

τί οὖν ἐστιν ὃ ῥαθυμεῖτε περὶ τὸν λόγον; ἢ ὑμεῖς μὲν οὐ ῥαθυμεῖτε· φιλήκοοι γάρ ἐστε καὶ πᾶν ἀκούετε προθύμως ὅ τι ἂν τις λέγῃ· λέγουσι δὲ οὐ ταὐτὰ οἱ λέ- b

322, 3 ὡς ἐπολέμησαν πρὸς ἀλλήλους] „Ex Thucydide I, 1." Iacobsius. 11 ἐπίστωνται] Vulgo ἐπίστανται. 17 ποιητής] Iliad. ι, 256. 20 Θεόγνιδος] V. 79. 21 Πολυπαΐδη] Vulgo Πολυπαίδη. 25 ταὐτὰ Iacobsius. Vulgo ταῦτα.

γοντες, ἀλλ' οἱ μὲν ἐπαινοῦσιν ὑμᾶς συνάγοντες, οἱ δὲ
ἐμμελετῶσι τὴν δεινότητα, οἱ δὲ ᾄδουσι καὶ προσᾴδουσι
γλυκεῖάν τε καὶ μαλακὴν καταχέοντες ὑμῶν ἁρμονίαν,
λόγους δὲ δι' οὓς ἂν ἄνθρωποι ἄμεινον ζῶσιν οὐ σφό-
δρα εὐπορεῖν μοι δοκεῖτε οὐχ ὑμετέρᾳ κάκῃ, τῶν δὲ
λεγομένων φιλοσοφεῖν, οἳ σφίσιν ἀποχρῆν ὑπειλήφασιν
ἐν γωνίᾳ μόνῃ πρὸς τὰ μειράκια ψιθυρίζειν, φεύγειν
c δὲ τὰ μέσα τῆς πόλεως κατὰ τὸν Καλλικλέους ὀνει-
δισμὸν, καὶ τὰς ἀγορὰς, ἐν αἷς φησιν ὁ ποιητὴς ἀρι-
πρεπέας τελέθειν τοὺς ἄνδρας. τούτους μὲν οὖν ἐατέον
ἐνταυθοῖ μένειν οὗπερ μένειν ἐθέλουσιν, ἡμῖν δὲ προσ-
ακτέον εἰς τὸ φῶς τοὺς λόγους καὶ συνεθιστέον αὐτοὺς
ὄχλον τε ἀνέχεσθαι καὶ θόρυβον ὑπομένειν καὶ δήμου
φωνὴν συγκαθημένου. πάντως εἰ καθ' ἕνα εὖ ποιεῖν
ἱκανοὶ, καὶ πολλοὺς ἅμα δυνήσονται. οὐ γὰρ τοῖς σι-
τίοις ἴσως ἐοίκασιν, ὅσα ἑνὶ μὲν καὶ δυοῖν αὐτάρκη,
d πλείους δὲ οὐκέτ' ἂν κορέσειαν δαιτυμόνας, ἀλλὰ ταῖς
ἀκτῖσι μᾶλλον τοῦ μεγάλου θεοῦ, αἳ τοῖν δυοῖν ὀφθαλ-
μοῖν τοὺς μυρίους οὐχ ἧττον καταλάμπουσιν.
'Αλλ' ἐπιστρεπτέον τὸν λόγον οὗ προάγοντες αὐτὸν
ἀπεπλανήθημεν. καλὸν μὲν δὴ καὶ φιλίππῳ τέχνην γι-
νώσκειν, ᾗ διαγνώσεται τοὺς καλοὺς ἵππους τῶν φαυ-
λοτέρων, καλὸν δὲ καὶ φιλοχρύσῳ τὴν λίθον πεπᾶσθαι,
ᾗ βασανίζουσι τὸν χρυσόν· κτήσαιτο δ' ἂν καὶ βοῦς
266 a ἀμείνους ὁ βοῶν ἀρετὴν ἐπεσκεμμένος καὶ πλοῖον ὁ
ναυτικὸς καὶ κύνας ὁ κυνηγέτης. ἐγὼ δὲ τὰ μὲν ἄλλα
εἰμὶ φαῦλος καὶ ἄτεχνος, καὶ οὔτε ἀγαπῶ σφόδρα οὔτε
ἐπίσταμαι κρίνειν, ἑνὸς δέ εἰμι κτήματος ἐραστὴς, φι-
λίας ἀληθινῆς καὶ ἀδόλου, καὶ τοῦτο ἂν ἑλοίμην
ὑπάρξαι μοι μᾶλλον ἢ Νισαῖον ἵππον καὶ κύνα Κελτὸν
καὶ τὸ Δαρείου χρυσίον καὶ τὸν ἐν Κρήτῃ ταῦρον καὶ
τὴν Ἀχιλλέως ἀσπίδα, ἣν ἐποίησεν Ὅμηρος ἐν τῷ νώτῳ

324, 3 γλυκεῖαν — ἁρμονίαν] Imitatur Platonem de Rep. III. p. 411 a. ab Heusdio indicatum p. 127. 7 ἐν γωνίᾳ] „Conf. p. 284 b. Similia collegit Wetsten. ad N. T. II. p. 635." Iacobsius. 32 νώτῳ Iacobsius ad Antholog. vol. VI. p. 399. Vulgo οὐρανῷ.

φέρουσαν ὅλον τὸν οὐρανόν, ἥλιόν τε καὶ σελήνην, b ἀντικρὺ δὲ ἡλίου θάλασσάν τε καὶ γῆν, καὶ γεωργοῦντας καὶ γαμοῦντας καὶ δικαζομένους καὶ πολεμοῦντας, ἀλλ' οὕτως ἦν ἄρα φιλίας τὸ κτῆμα ἐκεῖνο φαυλότερον, ὡς ὅ γε Ἀχιλλεὺς οὐδ' ὁτιοῦν ῥάων ἐγένετο τῆς ἐπὶ Πατρόκλῳ λύπης, ἡνίκα ἐκόμισεν ἡ μήτηρ αὐτῷ τὴν ἀσπίδα, ἀλλὰ καὶ προήκατο ἑτέραν ἀσπίδα τοιαύτην, ἵνα ὁ φίλος μὴ ἀνιῷτο, καὶ πάλιν ἐκτήσατο τοιαύτην ἑτέραν, ἵνα ὁ φίλος μὴ ἀτιμώρητος γένοιτο.

Ἅτε γοῦν ἐρωτικῶς ἔχων τοῦ κτήματος συνελεξάμην c ἐμαυτῷ πολλὰ ἄττα βασανιστήρια, καὶ μεταλλῶ εἴ τινα δὴ καταμάθοιμι συνεπιθυμοῦντά μοι τῶν αὐτῶν παιδικῶν, σὲ δέ, ὦ τοῦ χοροῦ τοῦδε κορυφαῖε, οὕτως ὁρῶ τὸν αὐτόν μοι πόθον σπουδάζοντα, ὥστε εἰ μὴ φιλία τὸ ποθούμενον, ἐζηλοτύπησα ἄν σε καθάπερ τοὺς ἀντερῶντας. νῦν δὲ γυναικὸς μὲν ὡραίας ἤδη τινὲς ἐπιθυμοῦντες αἵματι τὸν ἔρωτα ἔκριναν, καὶ τιμῆς πέρι μαχόμενοι πρὸς ἀλλήλους οὐ παύονται οἱ φιλότιμοι. τὸν πολυάρατον πλοῦτον τί ἂν καὶ λέγοιμεν ὁποίων d ἀγωνοθέτης πολέμων ἐστί; μόνοι δὲ οἱ φιλίας ἐρῶντες οὐ μάχονται ἀλλήλοις περὶ τοῦ κτήματος, ἀλλ' εὐθὺς ἐν ἀλλήλοις ἐξευρίσκουσι τὰ παιδικά.

Τὸ ἔργον εὐτυχὲς μὲν δὴ ὅτῳ καὶ ἰδιώτῃ ὑπῆρξε γενέσθαι ἐπηβόλῳ τοῦδε τοῦ κτήματος, εὐτυχέστερον δὲ ὅτῳ πολλὰς μὲν πόλεις, πολλὴν δὲ χώραν ἐπιτροπεύοντι. ὃν γὰρ πολλὰ μὲν ἀκούειν δεῖ, πολλὰ δὲ ὁρᾶν, πολλῶν δὲ ἅμα ἐπιμελεῖσθαι, τούτῳ σφόδρα ὀλίγα τὰ 267 a δύο ὦτα καὶ τὼ δύο ὀφθαλμὼ καὶ τὸ σῶμα ἓν ὂν καὶ μία ἐνοῦσα ἡ ψυχή. εἰ δὲ φιλίαν πλουτοίη, καὶ ὄψεται θαμὰ καὶ ἀκούσεται τῶν οὐ πλησίον, καὶ εἴσεται τὰ πόρρω, καθάπερ οἱ μάντεις, καὶ πλείοσιν ἅμα παρέσται, καθάπερ οἱ θεοί.

Πῶς οὖν δή τις τό γε τοιοῦτον ἀγαθὸν εὕροι τ' ἂν καὶ εὑρὼν θηρεῦσαι καὶ θηρεύσας ἐγκρατὴς ἔσοιτο;

325, 5 ῥάων] Stephanus. Vulgo ῥᾷον. 9 ἀτιμώρητος Harduinus. Vulgo ἀτιμότερος. 26—32] Conf. p. 17 c. 33 εὕροι τ'] Vulgo εὕροιτ'.

ἆρα οὐχ ἡμᾶς δεῖ, καθάπερ τοὺς κυνηγέτας, πρῶτον
b ἁπάντων πεπαιδεῦσθαι τὰ ἴχνη τῆς ἄγρας καὶ τὰ σύμβολα καὶ σημεῖα γινώσκειν ἀκριβῶς καὶ διελέγχεσθαι, δι' ὧν καὶ αὐτοὶ μὴ λησόμεθα, καθάπερ, οἶμαι, οἱ τὰ θηρία ἰχνηλατοῦντες κρημνὸν ἀντὶ χρηστῆς ἄγρας ἐπί τινα ἀπότομον ἐξενεχθέντες; καὶ γὰρ δὴ καὶ ἐν τῇδε τῇ θηρείᾳ πολλὰ καὶ ποικίλα θηρία εὐδαίμονα φιλίαν μιμεῖται, μάλιστα δὲ τὸ πάντων ἐπιβουλότατόν τε καὶ ἀγριώτατον, ὃ καλεῖται ὑπὸ τῶν νῦν ἀνθρώπων ὑπόκρισις. τοσαύτη δὲ αὐτῆς ἡ πρὸς τὴν μίμησιν κακουργία ὥστε καὶ μέχρι εὐνῆς ἔλθοις ἂν πολλάκις τοῖς
c ἴχνεσιν ἀπατώμενος· τῇ δὲ οὐκ ἀρκεῖ βαίνειν ὁμοῦ μόνον, ἀλλὰ καὶ φωνῆς ἂν ἀκούσαις παραπλησίας, καὶ φθέγματος εἰς ἀπάτην γεγοητευμένου. ἔοικε τῶν ἀνθρωπίνων ἀγαθῶν ὄντως ἕκαστον εἶναι κινδύνῳ κεκαλυμμένον, μηδέν τε ἄκρατον τοῦ ἐναντίου, καὶ λέγει τις ὀρθῶς ἄρα τῶν τοῦ γέλωτος ποιητῶν ὅτι μηδέν ἐστιν ἀγαθὸν ἐν τῷ βίῳ φυόμενον ὥσπερ δένδρον ἐκ ῥίζης μιᾶς, ἀεὶ δὲ αὐτῷ προσπέφυκε καὶ κακόν. τοῦτο
d οὖν ἐστιν ὃ διόλλυσι τοὺς πολλούς, οὐκ ἔχοντας εὐκόλως ἐκλέγειν τὰ ἀμείνω τῶν φαυλοτέρων. δεώμεθα οὖν ἐγώ τε καὶ ὑμεῖς τῆς Ὁμηρικῆς Ἀθηνᾶς, ἐάν πως ἡμῶν ἀποσκεδάσῃ τὴν πολλὴν ἀχλὺν τῶν ὀμμάτων, ὄφρ' εὖ διαγινώσκοιμεν οὐ θεὸν ἐν ταῖς μάχαις καὶ ἄνδρα, ἀλλὰ φιλίαν ἀληθῆ καὶ πεπλασμένην. λεκτέον οὖν ὅσα τέ ἐστι καὶ ὁποῖα ἄττα γνωρίσματα τοῦ μέλλοντος ἐγκριθήσεσθαι. καὶ γὰρ δὴ καὶ σὺν Ἀθηνᾷ καὶ χεῖρα κινεῖν ὁ [τῆς Ἀθηνᾶς] λόγος φησί:

268 a Πρῶτον μὲν οὖν ὁ δοκιμαζόμενος ἔστω φιλόστοργός τε καὶ φιλοίκειος ὅτι μάλιστα, καὶ φύσει τόδε τὸ κέντρον ἔχων ὡς παράσιτον τῆς ξυγκολλήσεως. εἰ οὖν φαίη μέ τις ληρεῖν ἐξ αὐτῶν τῶν προοιμίων, κελεύοντα πρὸ πείρας γινώσκειν ἃ μετὰ πείρας οἷόν τε μόνης, εὖ

326, 6 ἀπότομον Iacobsius. Vulgo ἄτομον. 11 μέχρι] Vulgo μέχρις. 17 Κωμικῶν] Menander p. 147. ed. Meinek. 27 καὶ χεῖρα] καὶ delet Stephanus. 28 τῆς Ἀθηνᾶς delet Petavius: in τῆς παροιμίας mutabat Stephanus.

του γινώσκειν μὴ δεήσεσθαι μαντικῆς. οὐδεὶς γὰρ ἡμῶν κατὰ τοὺς ποιητὰς

Ἀπὸ δρυός ἐστι παλαιφάτου οὐδ' ἀπὸ πέτρης,

ἀλλ' ἑκάστῳ καὶ πατὴρ καὶ μήτηρ ἐστὶ καὶ ἀδελφὸς b ἴσως καὶ συγγενής. ὅταν οὖν ἐθέλῃς γινώσκειν ὅπως σοι χρήσεται φίλῳ ἄνθρωπος οὗτος, γινώσκειν πρῶτον ὅπως ἐχρήσατο τῷ πατρὶ ἢ ὅπως τῇ μητρὶ ἢ ὅπως τἀδελφῷ χρῆται ἢ ὅπως ἔχει πρὸς τὴν γυναῖκα. εἰ μὲν γὰρ τούτοις πρᾶός τε εἴη καὶ εὔνους, ἐλπίζειν χρὴ καὶ πρὸς ἑαυτὸν τὰ ἀμείνω, εἰ δὲ χαλεπὸς καὶ δυσμενής, σοὶ πόρρωθεν ἂν εἴη φευκτός. ὁ γὰρ πρὸς τὰ οἴκοι πονηρὸς οὐκ ἂν γένοιτο πρὸς τὰ ἔξω χρηστός.

Μετὰ δὲ ταῦτα σκεπτέον εἰ μὴ παντελῶς ἄφορος c εὐχαριστίας. ὥσπερ γὰρ τῆς γῆς ἡ μὲν ἄκαρπος, ἡ δὲ πιστὴ καὶ ἀμοιβὰς ἀποδοῦναι τῷ τὸ σπέρμα καταβαλόντι, οὕτω καὶ τῶν ψυχῶν αἱ μὲν ἄγονοι χάριτος καὶ λήμονες καὶ πρὸς φιλίαν ἀχρεῖοι, ταῖς δὲ ἐπανθεῖ τὸ πρόθυμον εἰς τὴν ἔκτισιν. οὐ γὰρ πάντως τὰ ἔργα ἀπαιτητέον, ἀλλὰ τὴν γνώμην μόνον ἐξεταστέον, καὶ εἰ τοσαῦτα ἀνταμείβουσιν ὅσα δύνανται· δύνανται δὲ πάντως ἐπαινεῖν τε καὶ μνημονεύειν. οὐδὲν γὰρ ὅλως φιλίαν d οὔτε συνδεῖ μᾶλλον εὐχαριστίας οὔτε διόλλυσιν ἀχαριστίας· καὶ διὰ τοῦτο ὁ Περσικὸς νόμος δίκας εἰσπράττεται ἀχαριστίας, ὅτι μάλιστα ἐμποιεῖ μῖσος ὅσῃ ἂν ᾖ. οὗ δὲ μηδεὶς κολάζει νόμος, ἐνταῦθά περ αὐτῆς μισοῦσι μὲν ἀλλήλους, οὐ δικάζονται δέ, ἀλλὰ κρύπτουσι τὸ ἔχθος.

Σκεπτέον δὲ καὶ ὅπως ἔχει τὸ θήραμα πρὸς ἡδονάς τε καὶ πόνους, καὶ εἰ μὴ σφόδρα τοὺς μὲν ἀπο- 269 a φυγγάνει, ταῖς δὲ ἁλίσκεται. πολλοὺς μὲν γὰρ αἱρεῖσθαι πόνους, πολλὰς δὲ ὑπερβαίνειν ἡδονὰς ἐν τοῖς ὑπὲρ φιλίας ἀγῶσιν ἀνάγκη. διὰ τί ποτε ἄλλο γνώριμος ὁ

327, 3 Ἀπὸ] Odyss. τ, 163. 17 λήμονες] „Malim λήσμονες." Stephanus. 25 ἐνταῦθά περ] ἐνταῦθα παρ' Boulenius p. 56. 29 πόνους Iacobsius apud Spellatum p. 286. Vulgo πόνους πολλούς.

τοῦ Στροφίου ἢ ὅτι τὰς ἐν Θρᾴκῃ ταλαιπωρίας τῆς οἴκοι βασιλείας περὶ πλείονος ἐποιήσατο;

Καὶ μὴν πού καὶ τόδε δεῖ σκοπεῖν, εἰ βάσκανος, εἰ φθόνου κρείσσων· ἢ προσδοκᾷς τινα ἱκανῶς ἂν
b στέρξαι φίλον, ὃς τοῦτο τὸ νόσημα ἐντὸς ἔχει, ὃ πέφυκε τοῖς μὲν ἔγγιστα πολεμεῖν, τῶν δὲ μηδὲν προσηκόντων ἀπέχεσθαι;

Οὐ μὴν οὐδὲ τόδε παραλείψεις, ὡς ἐγῷμαι, ὅταν κρίνειν μέλλῃς φύσιν φιλικήν τε καὶ μή, μή σε λάθῃ μετέχουσα ἀνελευθερίας. ἐναντιώτατον γάρ που σμικρολογία ψυχῇ μελλούσῃ φιλίας ἀληθινῆς ἐπορέξασθαι. ὁρῶμεν γάρ που τοὺς καλουμένους φίλους ὅτι τέως μὲν τὰς δεξιάς τε ἀλλήλοις συμβάλλουσι καὶ συμπεριπατοῦσι
c καὶ συνδιάγουσιν, ἐπειδὰν δὲ ὀλίγα κέρματα μεταξὺ τύχῃ τις βάλῃ, ὥσπερ τὰ κυνάρια μαθαλλόμενοι δάκνουσί τε ἀλλήλους καὶ σπαράττουσι.

Τί οὖν ὁ πρᾷος καὶ εὔχαρις μηδὲ φιλοχρήματος μηδὲ βάσκανος; ἆρα εἰ φιλόδοξος εἴη καὶ πάνυ τοῦ πρωτεύειν ἐξηρτημένος, ἔσθ᾿ ὅπου ἂν εὐκοινώνητος γένοιτο; καὶ τίς οὐκ οἶδεν ὅτι τὴν ἐκ φιλίας ἰσότητα οὐ σφόδρα ἀνέχεται φιλοτιμία; ὑπερόπτην δὴ καὶ ἀλαζόνα πολλὴν ἰσηγορίαν ζητοῦντι μήποτε ἐγκρίνωμεν,
d οὐ μὴν οὐδὲ ἀκρόχολον ἢ ὀργίλον. πῶς γὰρ ἐπιτήδειος εἰς συνήθειαν ὁ μεμηνώς; ἐγὼ δὲ οἶμαι τὴν ὀργὴν μανίαν ὀλιγοχρόνιον εἶναι.

Τόδε τοίνυν μετὰ ταῦτα σκεπτέον, εἰ μὴ σφόδρα ἐφ᾿ ἕν τι νένευκε τῶν οὐ πάντη χρηστῶν, κυβείαν ἢ Θετταλὰν ἢ κιθαριστικὴν ἢ αὐλούς. ὅτῳ γὰρ ἀνδρὶ εἰς ἕν τι τοιοῦτον αἱ ἐπιθυμίαι πᾶσαι ῥέπουσι, τούτῳ
270 a δὲ οὐκ ἂν εἰς τἀμεῖνον γίγνοιντο φιλίαι ἰσχυραί, ὥσπερ ῥεῦμα ἐπὶ τὸ πρανέστερον ἀποτετραμμέναι. ἆρ᾿ οὖν οὐκ εὐπετὲς ἐξευρεῖν ἄνδρα οὕτω κεκαθαρμένον; ἢ καὶ χρυσοῦ σπανιώτερον ἀρετὴ καὶ ἀγαπητὸν ὅτῳ καὶ εἴς που τοιόσδε εἰς τὴν κρίσιν ἀφίκοιτο; οὐκ ἄρα πολύφιλος οὐδὲ μυριόφιλος ἔσται ὁ τῆς ἐκλογῆς ἐπιστήμων.

328, 22 μήποτε] Vulgo μήτε. 28. Θετταλὰν] [illegible] Petavius. ὅτῳ γὰρ —] Plato de Republ. VI. p. 485d.

Καὶ γὰρ αὖ ἀναγκαῖον αὐτῷ μὴ ἐπ' ὀλίγων ἱσταμένῳ, μηδὲ τοῖς πλείοσιν ἔχειν ὅ, τι χρήσαιτο. σκέψαι γὰρ πολλοὺς ἀνθρώπους οὔτε χαίρειν τοῖς αὐτοῖς οὔτε ἀνιᾶσθαι δυνατὸν οὔτε μὴν τύχῃ ὁμοίᾳ κεχρῆσθαι, b ἀλλὰ τῷ μὲν ἄλλο τι, τῷ δὲ ἄλλο τι ἡδύ τε ἔφυ καὶ ἀλγεινόν, καὶ τῷ μὲν εὖ ποτε, τῷ δὲ οὐχ οὕτως ὁ δαίμων χρῆται. λεγέτω οὖν ἡμῖν ἐκεῖνος ὁ τὸ πλῆθος ἐν φιλίᾳ τιμῶν, ὅταν τῶν πολλῶν αὐτοῦ φίλων τοῖς αὐτοῖς οἱ μὲν χαίρωσιν, οἱ δὲ ἄχθωνται, ποτέροις συνδιακείσεται· καὶ ὅταν ὁ μὲν συναλγεῖν αὐτόν, ὁ δὲ συνεορτάζειν ἐθέλῃ, εἰς πότερον αὐτοῖν βαδιεῖται. ἆρ' οὐκ ἀναγκαῖον αὐτῷ τιμῶντι τοὺς ἑτέρους τοῖς ἀτιμουμένοις ἀπέχθεσθαι; τὸ δὲ τοῦ Ὁμήρου πολὺ ἂν ἀραρότερον c ἐπὶ τῶν φίλων λέγειν ἢ τοῖς λαφύροις, ὅτι τοῖς φρονίμοις ὄντως ὀλίγον τὸ φίλον.

Ἀλλ' ἐπειδὴ χαλεπὰ τὰ καλὰ καὶ οὔτε αὐτοὶ κακίας ἄτερ οὔτε οὓς κρίνομεν, οὐ πάντως ἀποκριτέον ἂν εἴη τὸν ἡντιναοῦν καὶ σμικρὰν κῆρα φέροντα ἐν τῇ ψυχῇ, ἀλλὰ ζητητέον μόνον ἐπὶ τῶν τοιούτων, εἰ μή τινι παραπλησίῳ μοχθηρίας εἴδει περιπεπτώκαμεν. ἀρετὴ μὲν γὰρ πρὸς αὑτὴν ἅπασα σύμφωνος, κακία δὲ οὔτε πρὸς ἀρετὴν εὐμενὴς οὔτε δυσάρεστος ἑαυτῇ. ὅθεν d οὔτε ὀξύθυμος ὀξυθύμῳ γένοιτ' ἂν φίλος οὔτε νωθεῖ νωθὴς οὔτε αὐθάδης αὐθάδει, διαμιχθέντα δὲ ταῦτα φέροι ἂν ἄλληλα μετρίως καὶ συγκιρνῷτο. ὑβριστῇ μὲν γὰρ ἀνάλγητος προσαρμόσει, μεγαλαύχῳ δὲ μικροπρεπής, ὑπερόπτῃ δὲ καταπεπληγμένος, ὁ δὲ νωθέστερος τῷ κεκινημένῳ πλέον· ἐνέγκαι δ' ἂν καὶ φειδωλὸν ὁ περὶ τὰς δαπάνας ἐκκεχυμένος, καὶ πρὸς φιλόδοξον εὔμικτος ὁ σφόδρα τοῦ λαθεῖν ἐραστής. τοιαίδε μέν- 271 a τοι καὶ τῶν πρόσθεν ὁπόσαι μνήμης εὐκλεοῦς ἔτυχον, ἐφ' ὧν μόνιμοι αἱ συζεύξεις. Χαβρίου γὰρ καὶ Ἰφικράτους φιλίαν ᾄδουσιν· ἦν δὲ ὁ μὲν αὐτοῖν σύντονος

329, 14 τοῖς λαφύροις] τῶν λαφύρων Stephanus. 18 ἡντιναοῦν Stephanus. Vulgo ὁντιναοῦν. 22 δυσάρεστος] „Fortasse scripserat εὐάρεστος." Stephanus. 33 σύντονος Harduinus. Vulgo σύντομος.

τε καὶ δραστήριος, δυσκίνητος δὲ ὁ Χαβρίας. ὥστε ὁ μὲν χαλινοῦ δεόμενος, ὁ δὲ κέντρου, εἰς δέον ἀλλήλοις συνηρμοσάτην. Ὅμηρος δὲ ἄρα οὐ πόλεμον ποιῆσαι μόνον, ἀλλὰ καὶ φιλίαν ἠπίστατο. Ἀχιλλεῖ γὰρ Πάτροκλον ἐποίησε φίλον, τῷ μεγαλαύχῳ τὸν μείλιχον· b Σθένελόν τε αὖ καὶ Διομήδῃ, τὸν μὲν ἀνεξίκακον, τὸν δὲ οὐ στέργοντα ὕβριν. ποῖ δῆτα ἄμφω ταῦτα μαρτυρεῖ τοῖν ἀνδροῖν; ὅπου ἐπιπωλεῖ τὸν βασιλέα τῶν Ἀχαιῶν διέποντα τὸ στρατόπεδον μετὰ τὴν τοῦ Ζελείτου τοξείαν· ὀνειδισθέντες γὰρ ὑπ' αὐτοῦ κατ' ὀργὴν ὁ μὲν οὐκ ἀνέχεται, ὁ δὲ ἡσυχάζει. ταῦτα μὲν δὴ καὶ τὰ τοιαῦτα, ὡς ἔοικεν, ἐκκριτέον τε καὶ ἀποκριτέον τῷ τῆς ἐκλέξεως ἐπιστήμονι.

Θηρεύσοντας δὲ ἡμῖν οὗτοι καὶ ἁλώσονται τίνα c τρόπον; οὐ γὰρ ἀφετέον ἐξευρεθέντας τοὺς ἄνδρας, ἀλλὰ πάλιν περιθρεκτέον αὐτοὺς μετὰ πλείονος προθυμίας ἢ τοὺς θάμνους κυνηγέται. ἥμερόν τε γὰρ καὶ οὐκ ἄγριον τὸ θηρίον, ἥ τε σπουδὴ ἡμῖν οὐ κρεαδίων ἕνεκεν, ἀλλὰ βίου ξύμπαντος κοινωνίας. ποίας δῆτα αὐτοῖς ἄρκυς περιστησόμεθα; ἢ ποῖον προθήσομεν δέλεαρ, οὗ μήτε πημονὴν γευσαμένους μήτε ὕπουλον καὶ θολερὰν ἕξει τὴν ἡδονήν, ἀλλὰ προσάξεται ἀβλαβῶς καὶ γοητεύσει ξὺν ὠφελείᾳ; θηρία μὲν γὰρ καὶ ἰχθῦς ἄλλα d ἄττα δελεάσματα προδεικνύντες αἱροῦσιν οἵ τε ἁσπαλιευταὶ καὶ οἱ κυνηγέται, μόνον δὲ τοῦτο τὸ ζῷον ὁ φίλος αὐτῷ δελεάζεται τῷ θηρεύοντι. διὸ χρὴ καλόν τε εἶναι καὶ ἀγαθόν, ὥστε αὐτοῦ γευσάμενον τὴν ἄγραν ἐνέχεσθαί τε καὶ μηκέτι εὐπετῶς ἀπολύεσθαι. τοῦτο δὲ αὐτὸ καὶ τὴν ἐκλογὴν αὐτόματον περιποιήσει. ὁ μὲν γὰρ προσιὼν καὶ γανύμενος τοιῷδε ὄντι, οὗτός ἐστιν 272 ὃν πάλαι ἐπεζητοῦμεν, ὁ δὲ ἤτοι μὴ θαυμάζων τὴν ἀρετὴν ἢ ἀποφεύγων, ὁ μὲν ὡς ἀναίσθητος φευκτός, ὁ δὲ ὡς πονηρὸς μισητέος.

Τὰ δὲ καθ' ἕκαστα ἄγκιστρα τῆς θήρας ὁποῖα ἄττα ἔσται λέγοιμι ἂν ἐφεξῆς. προσιτέον δὴ πρῶτον αὐτῷ

330, 16 ἀλλὰ πάλιν —] Platonem de Rep. IV. p. 432 b. comparat Heusdius p. 38. 30 γανύμενος] Vulgo γινόμενος.

πόρρωθεν, ὥσπερ δὴ τοῖς πώλοις, ἠρέμα χειροήθη ποιοῦντας, ἀπὸ τῶν σμικρῶν καὶ φαυλοτάτων ὡς ἂν δόξειεν ἀρχομένους, οἷον τοῦ προσορᾶν εὐμενῶς καὶ διαλέγεσθαι ἐπιδεξίως καὶ συμπαρακαθέζεσθαι καὶ συμ- b παραβαδίζειν, καὶ δῆλον γενέσθαι ὅτι ἥδοιτο ὁρώμενος· μεταδιωκτέον δὲ καὶ ἐν ἀγορᾷ τόπον οὗ τὰ πολλὰ ἐκείνῳ συνεσόμεθα, καὶ ἐν συμποσίοις καὶ ἐν βαλανείοις καὶ κατὰ θεωρίαν ἢ κατὰ στρατείαν ἢ ἐν ὁδῶν πορείαις ἢ ἐν τισὶν ἄλλαις κοινωνίαις. ταῦτα γὰρ οὐ μεγάλα μὲν φαῖμεν ἄν, ἀρχαὶ δὲ ὅμως ἀεὶ τὰ ἐλάχιστα τῶν μεγίστων. εἰ μὴ ἐδεδοίκειν ἐγὼ τοὺς καταγελασομένους ἐπὶ τῇ λεπτολογίᾳ, εἶπον ἂν ὑμῖν καὶ φαυλότερα θήρατρα τῶν εἰρημένων· νῦν δὲ ἐὰν λέγω ὅτι καὶ c τὸ δεξιὰν ἐμβαλεῖν καὶ τὸ πιέσαι τοῦ θηρευομένου τὴν χεῖρα καὶ τὸ θλῖψαι τῶν δακτύλων ἐνίησί τι κέντρον μελλούσης φιλίας; ἀλλὰ καταγελάσονται γάρ, εὖ οἶδα, καὶ σμικρολόγον ἐροῦσιν· ἐγὼ δὲ ὁρῶ καὶ τοὺς πατέρας, ὅτι ἡνίκα ἂν σφόδρα ἀσπάζωνται τὰ παιδάρια, τύπτειν αὐτὰ καὶ δάκνειν ἐξ ἀπλήστου πάθους περιάγονται. ἔοικε γὰρ δὴ πᾶν τὸ τοιοῦτον σημεῖον εἶναι διανοίας ὠθιζομένης ἐνωθῆναι τῇ τοῦ στεργομένου ψυχῇ, διὰ δὲ ἀμηχανίαν τοῦ ξυγκολληθῆναι καθ' ἑαυτὸν ἐπὶ τὸ σῶμα καταντώσης· ὥστε διά τούτου γε ἐθέλειν ἐμφῦναι. d

Δραστικώτατόν γε μὴν πρὸς θήραν φίλου φάρμακον ἡγητέον τὸν ἔπαινον, εἰ καὶ σφόδρα ὕποπτον αὐτὸν οἱ κόλακες πεποιήκασιν, ὡς καὶ τοὔλαιον οἱ μυροποιοί. ἐπιβολῇ γὰρ τῶν πέλας οὗτοι μὲν τοὔλαιον, οἱ δὲ [πέλας] τὸν ἔπαινον διαφθείρουσιν. ὅθεν αὐτῷ ξὺν μέτρῳ καθάπερ τῷ οἴνῳ χρηστέον, οὔτε ἐκεῖσε ὑπερβαίνοντα τοὺς σωφροσύνης ὅρους οὔτε ἐνταῦθα 273 a τῆς ἀληθείας. ἥκιστα δὲ παρόντα ἐπαινετέον. μόνον γὰρ δὴ τοῦτο φαρμάκων ἐρρωμενέστερόν τε ἅπτεταί τε

331, 17 ὁρῶ Petavius. Vulgo ὁρῶν. ἐγὼ δ' ἑώρων corrigebat Iacobsius apud Goellerum p. 265. πατέρας] παιδεραστὰς Iacobsius ad Antholog. vol. 2. p. 78. 27 ἐπιβολῇ Petavius. Vulgo ἐπιβουλῇ. 28 πέλας delet Stephanus.

καὶ ἐνδύνεται, ὅταν μὴ αὐτῷ προσφέρηται τῷ φαρμασσομένῳ τηνικάδε· καὶ αὐτὸ ὥσπερ ὕποπτόν τε καὶ ἐπίβουλον ἀπωθοῦνται οἱ ἄνθρωποι. οὐδὲν οὖν, οἶμαι, τῶν τοξευόντων διαφέρουσιν οἱ ἐπαινοῦντες. ἐντονώτερα γὰρ καὶ τούτων τὰ βέλη πόρρωθεν ἀφιέντων ἢ σφόδρα ἐγγύθεν.

b Προσακτέον δὲ οὐκ αὐτῷ μόνῳ τῷ θηρευομένῳ τὰς μηχανάς, ἀλλὰ κἀκείνοις οἳ προαλόντες ἐπιβατὸν ἡμῖν ἔργον ποιήσουσι, παῖδάς τε σὺν αὐτῷ καὶ ἀδελφοὺς καὶ γονέας εὖ ποιοῦντάς γε καὶ ἀσπαζομένους. εἰ γὰρ κατὰ τὴν παροιμίαν καὶ τὸν εὐνοοῦντα καὶ κύων σαίνει, πόσῳ δὴ μᾶλλον εὖ πάσχοντες ἄνθρωποι ἥμεροί τε καὶ τιθασοὶ γίνονται πρὸς τὸν εὖ ἐργαζόμενον; ἐπεὶ καὶ μέγας ὁ ἀγών, τό τε θηρευόμενον οὐ λαγωὸς οὐδὲ σῦς οὐδὲ ἔλαφος, ἀλλὰ τὸ πάντων ζῴων εὐκολώ-
c τατόν τε καὶ ἡμερώτατον. μιμητέα οὖν πρὸς τὴν ἄγραν αὐτοῦ τοὺς κούφους θηρευτάς· καθάπερ οὖν ἐκεῖνοι φάττιά τε καὶ τρυγόνια τιθασεύοντες διὰ τούτων τὰ ὁμόφυλα γοητεύουσι καὶ ἑκόντα ὑπάγονται εἰς τὸν ἰξὸν ἢ τοὺς βρόχους, ὧδε ἄρα δεῖ καὶ ἡμῖν διὰ τῶν ἤδη προηλωκότων φίλων τοὺς οὔπω τεθηρευμένους. οὐ γὰρ δὴ τῶν περιστερῶν μὲν αἱ ἐθάδες πολλάκις τινὰς καὶ ξένας ἐπάγονται, ***

Εἶεν. τὸ δὲ μετὰ τοῦτο λεκτέον ἡμῖν φυλακῆς πέρι
d καὶ ξυντηρήσεως τῶν θηρευθέντων. τί γὰρ ἂν εἴη κέρδος τῆς ἄγρας, εἰ κρατήσαντες αὐτῆς μὴ κατάσχοιμεν; φυλακτέα δὴ εὐθὺς ἐξ ἀρχῆς προθεμένοις σκοπόν, ᾧ ἂν χρώμενοι μάλιστα ἐπιτυγχάνοιμεν. ἔστι δὲ οὗτος τὸ κοινῇ συμφέρον, καθάπερ ἐν οἰκίᾳ καὶ ἐν πόλει καὶ ἐν ταῖς ἄλλαις κοινωνίαις. οὐδὲν γὰρ δὴ τούτων σῴζοιτ' ἄν, μὴ μετεχόντων ἑκάστου παντὸς τῶν πραττομένων εἰς ἓν τοῦτο κεφάλαιον ἀναφέροντος. καὶ μὲν δὴ ἅπαντα
274 a ἐπιμελείας μὲν ἀπολαύοντα ἀμείνονά τε καὶ ὠφελιμώ-

332, 13 τιθασοὶ] Vulgo τιθασσοί, et paullo post τιθασσεύοντες. 16 μιμητέα Pierson. ad Moer. p. 447. Vulgo μιμεῖται. 20 διὰ τῶν Harduinus. Aberat διά. Lacunam post ἐπάγονται indicavit Stephanus.

τερα γίνεται αὐτά τε αὐτοῖς καὶ τοῖς πεπαμένοις. ἀμείνων μὲν ἵππος, ἀμείνων δὲ βοῦς, ἀμείνων δὲ κύων, εἰ τὸν μὲν ἱπποκόμος, τὸν δὲ γεώργος θεραπεύει, τὸν δὲ κυνηγέτης. ἀκομιστία δὲ οὐχ ἵππον μόνον καὶ κύνα, ἀλλὰ καὶ ἀσπίδα καὶ λύραν καὶ δρέπανον διολλύει. οὕτω δὴ καὶ φιλίαν ἐπιμέλεια μὲν εὖ διατίθησι, ῥαθυμία δὲ ἀκροσφαλῆ καὶ σαθρὰν ἀπεργάζεται. μὴ γὰρ δὴ οἴου, εἰ μὲν οἰκίαν οἰκονομήσαις, δεῖσθαι αὐτὴν καὶ συνεχοῦς θεραπείας, εἰ μὴ μέλλει τάχιστα διαρρυήσεσθαι, εἰ δὲ φίλον σεαυτῷ κατασκευάσαις, τοῦτον b
οὐ χρῄζειν συντηρούσης ἐπιμελείας. ἀλλ' ἄρα τὸ μὲν δωμάτιον οὐκ ἐάσεις ἀτημελές, εἴ τι αὐτοῦ κινηθείη ἢ χειμῶνος ἐπιβρίσαντος ἢ πνεύματος ἐπιγενομένου ἢ ὕδατος λάβρου καταρραγέντος, τὸν φίλον δὲ ἀφήσεις εἰκῇ λύπης ἢ νόσου καταλαβούσης, ἤ τινος ἄλλης ξυμφορᾶς οὐκ εὐδαίμονος; καίτοι γε ὁ μὲν τοῖχος διαρρυεὶς οὐδὲν ἄν σε πλέον λυπήσειε τοῦ διερρυηκέναι, οὐδὲ τῶν ἄλλων ὀργάνων ἢ κτημάτων οὐδὲν αὐτοῦ τοῦ διολέσθαι χαλεπώτερον ἐργάσοιτο ἄν τι τὸν ῥαθυμήσαντα· φιλία δὲ c
παροφθεῖσα οὐ διαφθείρεται μόνον, ἀλλὰ καὶ γίγνεται ἔχθρα, ἐξ ἧς μάλιστα τὰ κακὰ τοῖς ἀνθρώποις συμβαίνει, ὅταν συμβαίνῃ.

Πολεμήσεις δὲ τῷ μετὰ ταῦτα ἀνδρὶ καλῷ τε καὶ ἀγαθῷ καὶ οἷόν σοι μικρῷ πρόσθεν ἐξεκαθήραμεν. ὥστε σοι πανταχόθεν ἀπορριπτέον τὸν ὄκνον καὶ κοινωνητέον πόνων τε καὶ ἀγρυπνιῶν, κινδύνων τε αὖ καὶ δαπάνης καὶ ἀτιμίας, οὐ κληθῆναι ἀναμένοντι εἰς τὴν κοινωνίαν, ἀλλ' αὐτομάτῳ θέοντι καὶ προμαντευομένῳ d
τοῦ καιροῦ πολλάκις καὶ πειρωμένῳ πρὸς ἑκάστην χρείαν τοῦ φίλου τὸ πρόσωπον οἰκεῖον μεταλαμβάνειν, ἐν ἀρρωστίᾳ μὲν ἰατροῦ, ἐν δίκαις δὲ συνηγόρου, συμβούλου δὲ ἁπανταχοῦ καὶ συνεργοῦ ἐπὶ τῇ γνώμῃ.

Πολλοῦ δὲ ὄντος τοῦ κατὰ τὸν βίον ἀνίσου τε καὶ ἀνωμάλου καὶ τῆς ἀκριβοῦς ὁμοιότητος οὐδὲ πάμπαν εὑρισκομένης· — οὔπω λέγω κατὰ τὰ πρόσωπα· οὐδὲ γὰρ δέομαι ταύτης νῦν τῆς ποικιλίας· ἀλλὰ κατὰ 275 a
τὴν ἔξωθεν τύχην πλούτου τε καὶ πενίας, ἀφανείας

τῇ οὐ καὶ ἀδοξίας. τούτων γὰρ ἀνάγκη μὲν οὐδὲ τοὺς πάνυ φίλους ἴσην ἑκάστου μοῖραν μεταλαγχάνειν — φιλίᾳ δὲ τὰ πολλὰ τὸ πλέον ὑπεροψίαν κατὰ τοῦ ἐλάσσονος ἐπίκειται. ὅθεν εἴ σε ἄγει προσωτέρω τούτων ἡ τύχη, συμπαρακτέον σοι καὶ τὸν φίλον· ἀπολειφθέντα γὰρ οὐ ῥᾳδίως ὄψει τοῖς αὐτοῖς ὀφθαλμοῖς. εἰ δὲ σὺ

b μὲν ἐφέλκοιο, τὸν δὲ ἂν ἀνάγκη τις ἀντισπῴη, θαμὰ ἐπιστρέφεσθαι πρὸς τὸ καὶ βλέμμα ὅμοιον τηρεῖν. εἰ γάρ σε λάθῃ παραδῦσα ἀλαζονεία, πάντα ἐκεῖνα ὀξέως τὰ δεσμὰ διαλύσει, μετέωρον ἄρασα. συμβαίνει γὰρ ὥσπερ πλάστιγγος ἐπὶ θάτερα κουφισθείσης τὴν ἰσορροπίαν τοῦ ζυγοῦ μὴ διαμένειν. ὁ μὲν οὖν τραγικὸς ποιητὴς καὶ τὸν ἀγνῶτα μέν, ἀγαθὸν δέ, ἐπαινεῖ καὶ φίλον ἡγεῖται, ἐγὼ δὲ καὶ τοῦτο μὲν τὸ ἔπος ὡς πάνυ

c κομψὸν ἐκδέχομαι, παραινέσαιμι δ' ἂν τοῖς φιλίαν τηρεῖν βουλομένοις, τὴν συνήθειαν εἰς δύναμιν ἐπιπλέκειν καὶ τὸ συνδιατρίβειν ἀλλήλοις πολλοῦ ἄξιον εἰς τὸν σύνδεσμον ἡγεῖσθαι. εἰ γὰρ τὸ πᾶν εἰς ἅπαντα ἡ μελέτη, καὶ φιλίας μελέτην νομιστέον τὴν συνουσίαν.

Φιλονεικίαν γε μὴν καὶ τὸ δύσερι καὶ πᾶσαν ** ἐκποδὼν μεταστατέον, οἷον σπέρματα ἔχθρας εὐλαβουμένους. οὐ γὰρ ἐν ἀνταγωνισταῖς, ἀλλ' ἐν συναγω-

d νισταῖς ἡ φιλία. τῷ τοι οὐδὲ ταῖς αὐταῖς ἐπιστήμαις ἢ τέχναις ἐνευδοκιμεῖν εἰκὸς τοὺς ἀσφαλῶς τὴν κοινωνίαν φυλάξοντας. σφαλερὰ γὰρ ἡ ὁμοιότης, ἔρωτα ἐντιθεῖσα τῶν αὐτῶν ἐπαίνων ἠρέμα, ἀντιπαρεξάγειν εἰς ἅμιλλαν. εἰ δ' οὖν σε δαίμων ξυζεύξειεν ἢ ῥήτορα ὄντα ῥήτορι ἢ ἰατρὸν ἰατρῷ ἢ γραμματιστὴν γραμματιστῇ,

276 a μήτοι πρὸς τὸν φίλον φιλονεικεῖν, ἀλλὰ μᾶλλον πρὸς τὸν Ἡσίοδον· μηδὲ ἐκεῖνον χείρω σεαυτοῦ διελέγχειν, ἀλλὰ τὸν ποιητὴν μᾶλλον ἀπολειφθέντα τῆς ἀληθείας, ἀεὶ μὲν παραχωροῦντα τῆς πλείονος δόξης, εἰ ἄρα τι

334, 3 φιλίᾳ] ἐν φιλίᾳ Roulezius p. 58. 9 παραδῦσα] παρεισδῦσα Stephanus, comparata p. 278 a. 20 Lacunam post πᾶσαν indicavit Stephanus. πᾶσαν ἄνοιαν Iacobsius. 25 ἐντιθεῖσα Petavius. Vulgo [illegible].

καὶ σαφέστερον ἐπίστασο, ἀεὶ δὲ ἐν χώρᾳ δευτέρᾳ τῆς τιμῆς ἱστάμενον, εἰ ἄρα σοι καὶ μᾶλλον ἢ πρώτη προσήκει. καὶ εἰ ταῦτα οὕτως πράξεις, οὐκέτι ἐκεῖνα τὰ ἔπη θαυμασόμεθα, ἀλλ' ἐροῦμεν πρὸς τὸν πατέρα τῶν στίχων ὅτι, ὦ θαυμάσιε καὶ αὐτοδίδακτε ποιητά, οὐχ ἡ τῶν τεχνῶν ὁμοιότης τὸν κότον ποιεῖ καὶ τὴν (b) ἔριν, ἀλλ' ὁ τρόπος τῶν ἀνθρώπων. ἂν μὲν γὰρ κόσμιοι καὶ εὔκολοι ὦσι, καὶ ἡ τέχνη μετρίως αὐτοὺς παραμυνήσει· εἰ δὲ μή, καὶ τέχνη καὶ ἀτεχνία χαλεπὴ κοινωνεῖν τοῖς τοιούτοις ξυμβαίνει.

Ἐπεὶ δὲ τὸ μηδὲν ἁμαρτάνειν ἔξω τῆς φύσεως κεῖται τῆς ἀνθρωπίνης — οὐ γὰρ πείθομαι ἐγὼ τοῖς ἐκ τῆς ποικίλης φυῆναί ποτε ἐν ἀνθρώποις οἵους τινὰς ἐκεῖνοι πλάττουσι σοφούς τε καὶ σπουδαίους, οὐκέτι ἀνθρώπους, ἀλλὰ τάχα δὴ τὸ ἐπίγραμμα ἀληθέστερον ὃ Ἀθήνησιν ἐπιγέγραπται ἐν τῷ τάφῳ τῷ δημοσίῳ· (c) καὶ γὰρ τοῖς θεοῖς μόνοις τὸ πάντα κατορθοῦν ἀπονέμει — λεκτέον δὴ καὶ περὶ τῶν ἐν φιλίᾳ γιγνομένων ἁμαρτημάτων, ὅπως τε αὐτὰ χρὴ κολούειν καὶ ὅπως ἰᾶσθαι, εἰ ξυμβαίνοι. ὁ γὰρ δὴ φίλος τοῦ κόλακος ἄλλῃ μὲν οὐδαμῇ ἐγγύς, ταύτῃ δὲ μάλιστα πορρωτάτω, ὅτι ὁ μὲν ἅπαντα ἐπαινεῖ, ὁ δὲ οὐκ ἂν σφαλλομένῳ σοι συγχωρήσειε. τῷ μὲν γὰρ πρόκειται κερδαίνειν ἢ γαστρίζεσθαι ἐκ τοῦ ἔργου, καὶ οὐ σὲ τεθαύμακεν, ἀλλὰ τὰ χρήματά σου ἢ τὴν δυναστείαν. οὐκοῦν οὐδὲ (d) αὐτῷ μέλει ὅπως ἂν ἔχῃς· μέλει μὲν οὖν ὅπως ἂν μὴ ἄριστα ἔχῃς, ἵνα αὐτὸς ὡς ῥᾷστα ἐργάζοιτο. ὁ δὲ φίλος, σοὶ μόνῳ προσέχει τὸν νοῦν καὶ σοῦ μόνου ἥλω, καὶ βούλοιτο ἄν γε μηδὲν κακὸν ἔχειν. ἀφαιρετέον οὖν τὰ νοσήματα ἠρέμα καὶ ὡς μὴ σφόδρα λυποῦντας μηδὲ ἐνδιδόντας, ἀλλ' ὥσπερ οἱ ἰατροὶ τὸ μὲν σιδήριον πολλάκις ἐῶσι, προστιθέμενοι δὲ φάρμακα ἄττα οὐ ξὺν ἀλγηδόνι τὸ πάθος ἰῶνται, οὕτω καὶ σοὶ τὸν φίλον (277 a) θεραπευτέον. ἔχεις δὲ καὶ σὺ φαρμάκοις ἀντὶ καύσεων καὶ τομῶν εἰς τὴν ἰατρείαν κεχρῆσθαι. τὰ δὲ φάρ-

---

335, 19 κολούειν] κωλύειν Reiskius p. 47.

*μακα ταῦτα λόγοι εἰσὶ μεστοὶ εὐνοίας καὶ παρρησίας,
οὐχ οἱ γλυκεῖς καὶ πρὸς χάριν· οὗτοι μὲν γὰρ τρέφουσι
καὶ ἄρδουσι τὸ νόσημα· ἀλλ' οἱ στρυφνοὶ καὶ ἀληθινοὶ
καὶ μεστοὶ παρρησίας οὐκ ὀνειδίζουσι — πάμπολυ γὰρ
διαφέρει νουθεσία μὲν λοιδορίας, ἐπίπληξις δὲ ὀνείδους,
οὐ τῇ διανοίᾳ μόνῃ τοῦ λέγοντος, ἀλλὰ καὶ αὐτῷ τῷ
b λόγῳ εὐνοίας καὶ παρρησίας — νουθετοῦντες, οὐ λοι-
δορούμενοι, καὶ ἐπανορθοῦντες, οὐκ ὀνειδίζοντες. φυ-
λακτέον δὴ ἐν τῷ τοιῷδε μὴ ἀκράτους προσάγειν τοὺς
δάκνοντας λόγους, ἀλλὰ προσπλέκοντα αὐτοῖς ἠπίου
τινὸς καὶ προσηνοῦς, οἷον μέλιτος, πικρῷ μέν, ὠφε-
λίμῳ δὲ πόματι. ὁ τοιοῦτος οὐκ ἐάσει δι' ἀηδίαν τό
τε φάρμακον ἀπορρίπτειν καὶ τὸν ἰατρὸν ἀποκλείειν.
ἰατροῦ δὲ ἐγὼ κακίαν λέγω τοιαῦτά τε καὶ οὕτως εὑ-
ρίσκειν τὰ ἐπίκουρα τῶν νόσων ὥστε ἐρεθίζειν τὰ ἀρρω-
c στήματα. οὔκουν οὐδὲ ἐκεῖνον ἐπαινῶ τὸν ἅπαντα ἐπι-
νεύοντα τῷ κάμνοντι σιτία τε καὶ ποτά, τὰ αὔξοντα
καὶ ποικίλλοντα τὴν νόσον, οἰνοχόον ἢ τραπεζοποιὸν
ἀντὶ θεραπευτοῦ γιγνόμενον. οὐκ ἄρα οὐδὲ ἐν φιλίᾳ
τὸ σφόδρα. ἑκατέρα γὰρ ταῖν ὁδοῖν ἄλλοσέ ποι ἐκφέρει
ἢ ὅποι δεῖ καταλῦσαι. ἡ μὲν γὰρ ἐπὶ κολακείαν ἄγει,
τῆς δὲ ἐπ' ἔχθραν ἡ τελευτή.*

*Διαβολὴ δὲ χαλεπὸν μὲν ἁπανταχοῦ καὶ πολεμο-
ποιὸν οὗ ἂν παρεισρυῇ, καὶ πρὸς παῖδα πατρὶ καὶ
d πρὸς ἀδελφὸν ἀδελφῷ, καὶ τὸ δρᾶμα ἐκείνης καὶ ὁ
Ἱππόλυτος καὶ ἅμα ἀδικεῖ ἀμφοτέρους, ᾧ τε ἐπιβου-
λεύει καὶ ὃν ἐξαπατᾷ· τὸν μέν, ὅτι πάσχει ὑπὲρ δίκην,
τὸν δέ, ὅτι ἐργάζεσθαι ἀναγκάζει. ἀλλὰ φιλίας ἐχθρό-
τατόν τε φύσει καὶ ἐπιβουλότατον ὑπὲρ τὰ ἄλλα, καὶ
ὅπου ἂν αἴσθηται αὐτὴν εὐπραγοῦσαν, ἠρέμα εἰσοικισα-
278 a μένη κατὰ σμικρὸν ὑπορύττει καὶ ἐλέγχει τὸν ἄφρα-
κτόν τε καὶ ἀσθενῆ. ἀποτειχιστέον οὖν αὐτὴν καὶ ἀπο-
κρουστέον τῇ ἀπιστίᾳ, ἰσχυρὸν ἐν ταῖς ἀκοαῖς οἰκοδο-
μησαμένους τὸ φυλακτήριον, ὥστε πόρρωθεν αὐτῆς*

336, 20 ὁδοῖν addidit Petavius. 24 ἂν παρεισρυῇ Iacobsius apud Goellerum p. 265. Vulgo οὐ ἀντιπαρεισρυῇ.

ἀφεστάναι τὰς ἐπιβουλάς, καὶ μάλιστα μὲν ἀποκλείειν προσιοῦσαν καὶ ἀπωθεῖσθαι· εἰ δὲ οὖν σε λάθῃ παρεισδῦσα, μήτοι κατακρύπτειν εἰσδεξάμενον μηδὲ ἐντὸς ἔχειν ἐργαζόμενον, ἀλλ' εἰς φανερὸν προάγειν καὶ διελέγχειν. ὄψει γὰρ ἰλιγγιῶσαν εὐθέως καὶ λυγιζομένην καὶ βατταρίζουσαν, καὶ οὐκ ἔχουσαν ὅ τι χρήσεται. καὶ εἰ b τοῦτο ὑπομείνειεν ἅπαξ, οὐ μή ποτε ἐνοχλήσει λοιπόν, ἀλλ' οὐδ' ἂν ἀποπειράσειεν οὐδ' ἂν προσέλθοι πλησίον. ὅσοι δὲ αὐτῇ τῶν ἀνοήτων ἥσθησάν τε προσιούσῃ καὶ τὸ θύριον εὐμενῶς ἀνεπέτασαν, οὗτοι δὲ ἥκιστα ἀπολαύουσι τῆς φιλανθρωπίας. ἐξίστανται γὰρ ὑπ' αὐτῆς καὶ οὐδὲν διαφέρουσι τῶν μεμηνότων. ἄθρει δὲ ὡς ὅμοια πάντα τὰ ἔργα αὐτῶν καὶ τὰ πάθη. δεδίασι γὰρ καὶ ὑφορῶνται οὓς ἥκιστα ἐχρῆν, ὥσπερ οἱ τὰ ὑδάτια εὐλαβούμενοι ἢ ὥσπερ ὁ μελαγχολῶν Ὀρέστης ἐν ταῖς τραγῳδίαις πρὸς τὴν ἀδελφὴν βοᾷ θεραπεύουσαν τὸ νόσημα. c τὸ δὲ ἁπάντων ἐλεεινότατον, ὁπλίζονται ἐπὶ τοὺς φιλτάτους καὶ ἥδιστα ἂν κατακτάνοιεν. τοῦτο αὖ πάλιν ἑτέρου λυττῶντος ἔργον καὶ ἑτέρας τραγῳδίας. Αἰσώπου δὲ τοῦ μυθοποιοῦ πολλαχῇ τε ἄλλῃ μνημονεύειν ἐπωφελῶς καὶ ὅσα εἰς διαβολὴν εὖ ἔχοντα ἀπολέλοιπεν. ἀεὶ μὲν γὰρ αὐτὴν τῇ ἀλώπεκι περιτίθησι, δολερῷ καὶ ἀνάνδρῳ θηρίῳ, ποιεῖ δὲ ὑπ' αὐτῆς ἁλισκόμενα τῶν ζῴων τὰ ἀλκιμώτατα. d

Καὶ ὅντινα ἔχω πρόχειρον μῦθον εἴποιμ' ἂν ὑμῖν, εἰ μὴν πρᾴως ἀνέξεσθε παραβαλλομένου τοῖς σοφισταῖς. ταύρω δύο μιᾶς ἡγεῖσθον ἀγέλης, ξυννόμω τε ὄντε καὶ ὅτι μάλιστα φίλω. ὁ λέων δὲ αὐτοῖν τὴν ξύστασιν ἐδεδίει, καὶ οὔτε αὐτοὺς ἐθάρσει οὔτε δι' αὐτοὺς τὴν ἀγέλην. κακῶς οὖν ὑπὸ λιμοῦ διακείμενος ἔρχεται ἐπὶ τὴν κερδὼ καὶ ξυμμαχίαν ὁμολογοῦσι. τῇ δὲ ἄρα τοσοῦτον κακουργίας καὶ δεινότητος περιῆν ὥστε προσενεγκοῦσα

337, 20 ἐπωφελῶς] ἐπωφελὲς Stephanus, recte, nisi ἔχει excidit. 29 οὔτε αὐτοὺς ἐθάρσει] „Si retineatur haec lectio, significat, non audebat aggredi ipsos." Stephanus.

279 a τὴν μηχανὴν διέστησέ τε αὐτὼ καὶ ἐξέμηνε κατ' ἀλλή-
λοιν, καὶ παραδέδωκε τῷ λέοντι δίχα ἑκάτερον εὐτρεπῆ
καὶ εὔκολον θήραν. τοῦτο μὲν ἡ τοῦ Αἰσώπου κερδώ.
φύονται δέ τινες καὶ ἐν ἀνθρώποις ἀλώπεκες, μᾶλλον
δὲ ἀνθρώπια σμικρά τε καὶ ἀνελεύθερα, τὰς ἀλώπεκας
ὄπισθεν ἐφελκόμενα. οἱ δὲ αὐτῶν οὐκ ἀλώπεκας, ἀλλὰ
δράκοντας ἰοῦ χαλεποῦ καὶ ἀτόπου μεστοὺς ὑφέρποντας
καὶ κρυπτομένους εὐνοίας καὶ φιλανθρωπίας παραπε-
τάσμασιν, οὓς ἀπελαύνειν χρεὼν καὶ ἀποσοβεῖν πορρω-
b τάτω. κηλούμεθα γὰρ πολλάκις καὶ γανύμεθα δάκνουσι,
τὰ ἄκρα τῆς γλώττης μόνον ὁρῶντες, τὰ δὲ ἐντὸς οὐκ
ἐθέλοντες ὁιιδεῖν.

Ὧι δέ μοι δοκοῦσιν ὅμοιοι εἶναι, ἐθέλω ἀπεικάσαι,
εἰ βούλεσθε. τεθέαμαι, οἶμαι, πολλαχοῦ Σκύλλης εἰκόνα
οὐχ οἵαν Ὅμηρος διηγεῖται· Ὅμηρος μὲν γὰρ οὐδέν τι
λέγει πλέον περὶ τῆς μορφῆς ἢ ὅτι τὸ θηρίον ἦν ἐν
σπηλαίῳ διαιτώμενον ἓξ κεφαλὰς ἔχον καὶ δυοκαίδεκα
χεῖρας· οἱ πλάσται δὲ ἐπὶ μᾶλλον κομψεύονται ἐν τῷ
ἔργῳ. ποιοῦσι γὰρ αὐτῆς τὰ μὲν ἀπ' ἄχρι κεφαλῆς
c ἄχρι λαγόνων παρθένον, ἀπὸ δὲ τῆς ἰξύος εὐθὺς εἰς
τοὺς κύνας ἐκφερομένην, δεινοὺς ὄντας καὶ σμερδα-
λέους· καὶ τρίστοιχοι μὲν αὐτοῖς οἱ ὀδόντες, ἀνεστή-
κασι δὲ αἱ κεφαλαί, ζητοῦσι δὲ ἰσάριθμον θήραν. μαν-
τεύομαι οὖν ἐγὼ καὶ Ὅμηρον βούλεσθαι λέγειν ὅτι ὁ
μὲν σοφὸς καὶ πολύμητις οἶδέ τε ὅλην ἀκριβῶς καὶ οὐκ
ἐγοήτευσεν αὐτὸν τὰ ἄνωθεν τοῦ θηρίου, ἀλλὰ παρε-
τάξατο καὶ ὡπλίσατο καὶ μάχεσθαι ἕτοιμος ἦν· οἱ δὲ
ἀφύλακτοι τῶν ἀνθρώπων ἁλίσκονται. ὅτῳ δὲ μὴ δοκεῖ
οὕτως ὁ Ὅμηρος λέγειν, ἀλλ' ὁρᾷ μόνον τὸ φαινόμε-
d νον τοῦ μύθου, οὗτος ἐμοὶ δοκεῖ καὶ τὴν Σκύλλαν

338, 2 εὐτρεπῆ Iacobsius ad Ach. Tat. p. 579. Vulgo εὐπρεπῆ. 10 γανύμεθα] Vulgo γαννύμεθα. 18 ἐπὶ μᾶλλον Roulezius p. 36. Vulgo ἔτι μᾶλλον. 19 ἀπ' ἄχρι] ἀπ' ἄκρας Petavius. 22 τρίστοιχοι] Vulgo τρίστιχοι. Correctum ex Odyss. μ, 91. αὐτοῖς Iacobsius ad Antholog. vol. XII. p. 32. Vulgo αὐτῆς.

ἰδὼν τὴν μὲν ἄνθρωπον θεάσασθαι, τοὺς κύνας δὲ οὐκ ἂν δυνηθῆναι. πῶς οὖν δὴ φυλαξόμεθα καὶ κρινοῦμεν φιλίας τε ἐτήτυμον πρόσωπον καὶ κακουργίας εὔνοιαν ὑποδυομένης; βούλεσθε, ἵνα μὴ σφόδρα ὦ φορτικός, σύμβολα αὖ πάλιν καὶ σημεῖα διδοὺς μῦθόν τινα ὑφαπλώσας τῷ λόγῳ καταλίπω διορᾶν ὑμῖν αὐτοῖς τὰ ἐμφαινόμενα;

Ὥσπερ γὰρ Πρόδικος λέγει, καθημένῳ τῷ Ἡρα- 280 a
κλεῖ ἐφ' ἡσυχίας, ὁπηνίκα ἐξῆλθε τῶν μειρακίων καὶ διασκοπουμένῳ ποῖός τις τῶν ἀνθρώπων καὶ ποίᾳ χρησάμενος ἀτραπῷ τὸν βίον ὡς ἄριστα διέλθοι, ἐφάνησαν δύο γυναῖκες, ὧν τὴν μὲν ἀρετὴν ἐκεῖνος ὀνομάζει, τὴν δὲ κακίαν. ἐπεὶ γοῦν εἰπάτην ἑκατέρα τὰ αὑτῆς ἀγαθὰ καὶ ἔδοξε τῷ Ἡρακλεῖ τὴν ἀρετὴν ποιήσασθαι ἡγεμόνα, λέγει αὐτὸν ἐκείνη παραλαβοῦσα, ἵν' ἔτι καὶ μᾶλλον ἴδῃς, φησίν, ὅτι ὀρθῶς δοκιμάζεις· ἄγει οὖν ἐπί τινα τόπον ὑψηλόν τε καὶ ἀνεστηκότα ἐξ εὐρέος τε b
καὶ ἀναπεπταμένου πεδίου, οὗ δύο μὲν ἦσαν αἱ κορυφαί, πόρρωθεν δὲ ἐδόκει τοῖς θεωμένοις εἰς μίαν τελευτὴν ἀπολήγειν. ἀλλ' ἥ γε ἀρετὴ προσάγουσα τὸν Ἡρακλέα πλησίον, ἔδειξέ τε τὰ ἄκρα πλεῖστον ἀπέχοντα ἀπ' ἀλλήλων· καὶ αὕτη μέν, φησίν, ἐπὶ δεξιᾷ κορυφὴ καλεῖται φιλίας ἱερὸς χῶρος, ἐμῆς ξυνοπαδοῦ τε καὶ ἀδελφῆς, αὕτη δὲ ἡ ἐπὶ θατέρᾳ ὑποκρίσεως, κακίας ξυννόμου δαίμονος. πρόσιθι οὖν ἄγχου καὶ ἐπισκόπει τὴν φύσιν ἑκατέρου τοῦ χωρίου, μή ποτε ἓν αὐτὸ πόρρωθεν ὁρῶν ὑπολάβοις. καὶ ἅμα ἐκέλευσε τὴν φρό- c
νησιν συμπαροῦσαν ἐπιδεικνύναι τὰ ἕκαστα καὶ ἐξηγεῖσθαι.

Ἐδείκνυεν οὖν ἐκείνη τοὺς μὲν προπόδας τοῖν λόφοιν σφόδρα τε ὁμοίους καὶ προσεοικότας ἀλλήλοιν, τοῖς αὐτοῖς μὲν ἄνθεσι βρύοντας, τοῖς αὐτοῖς δὲ φυτοῖς, εἰ μὴ ὅσον τὰ μὲν τὸν ἅπαντα ἔρρωτο χρόνον,

339, 24 ἐπὶ θατέρᾳ] „Malim ἐπὶ θάτερα." Stephanus.

τὰ δὲ εὐθὺς ἐβλάστανέ τε καὶ ἐμαραίνετο. ἔρρει δὲ καὶ νᾶμα ἐξ ἑκατέρας τῆς ἄκρας ψυχροῦ τε καὶ διαυγοῦς ὕδατος, ἀλλὰ τὰ μὲν δι' ὅλου τοῦ ῥείθρου γλυ-
d κέα τε ἦν καὶ προσηνῆ, τὰ δὲ κάτωθεν μὲν γευομένῳ γλυκύτερά τε ἐδόκει, προσιόντι δὲ ἐγγὺς τῆς πηγῆς πικρά τε καὶ φαρμακώδη, σπασμὸν ἐμποιοῦντα καὶ ἴλιγγον τοῖς πιεῖν ἐκ τῆς χρόας ἀπατηθεῖσι, τὰς κορυφάς τε αὐτὰς οὐκέτι ὁμοίας, ἀλλὰ πάμπαν διαφερούσας. ἐδείκνυέ τε τὴν ἐπὶ δεξιᾷ πρώτην ἄλσει τε σύσκιον δένδρων ἀειθαλῶν κυπαρίττου καὶ δάφνης καὶ φυτῶν εὐκάρπων μεστήν, λεπταὶ δὲ αὐτὰ περιέπνεον αὖραι, οἷαι
281 a τρέφειν τε καὶ αὔξειν, οὐχ οἷαι καταρρηγνύναι καὶ διασπᾶν. πολὺ δὲ ἀθόρυβος ἡσυχία καὶ εὐφροσύνη κατεῖχε τὸν τόπον, καί τινες ἐφαίνοντο ἄνθρωποι σφόδρα ὀλίγοι, προσιόντες τε καὶ ἀπιόντες μεθ' ἡδονῆς τῷ αὐτῷ προσώπῳ.

Καθῆστο δὲ ἐπ' ἄκρας τῆς κορυφῆς παρθένος εὐειδὴς μὲν οὔ, ὡραία δὲ ἀληθινοῦ καὶ ἀρχαίου γέμουσα κάλλους, ὁποῖα τὰ ἀγάλματα τῆς παλαιᾶς τέχνης, ἃ χρόνου δεῖται εἰς τὸ θαυμάσαι καὶ ὀφθαλμῶν ἀκριβεστέρων, ἀμφιέστο δὲ λευκόν τινα κόσμον ἰκέον
b διαφανῶν καὶ λεπτῶν ἱματίων, ὥστε πολλαχῇ καὶ τοῦ σώματος διαφαίνειν. καὶ τὴν ψυχὴν εἶχε τοῦ σώματος φανερωτέραν. ἦν γὰρ αὐτῆς τὸ μὲν βλέμμα ἁπλοῦν καὶ γενναῖον, τὸ μειδίαμα δὲ ἑστηκὸς καὶ οὐ μεταστρεφόμενον. εἰ δέ τις αὐτῇ προσέλθοι, σεβασθείς τε καὶ θαυμάσας, οὐ χρυσίον ἢ ἀργύριον προτείνει, ἀλλ' αὐτὸν καλλίω καὶ μείζω, διπλασίονα πολλάκις ἢ τριπλασίονα. ὁ γοῦν Ἡρακλῆς ἠγάσθη τε αὐτῆς καὶ προσηύξατο ἵλεων τυγχάνειν, καὶ ἐπήρετο τὴν φρόνησιν,
c τίνες δὲ αἱ πλησίον αὗται γυναῖκες, ὡς καλαί τε καὶ

340, 13 πολὺ] „Legendum puto πολλή, nisi forte πολὺ pro ἐπιπολὺ sumatur." Stephanus. 21 ἰκέον] εἰκαῖον Petavius. οἰκεῖον Hemsterhusius in Anecd. vol. I. p. 7. 28 μείζω] „Fort. ἔθηκε addendum." Iacobsius.

πρέπουσαι ὀπαδοὶ τῆς θεοῦ· αὕτη μὲν εἰπεῖν ἡ τὸ πολὺ φῶς κατέχουσα καὶ ἐπὶ τοῦ ἀδάμαντος καθημένη, Διὸς θυγάτηρ ἀλήθεια· ἡ δὲ ἐπικλίνουσα τὴν κεφαλὴν αὕτη καὶ ἐπαναπαυομένη καλεῖται μὲν εὔνοια, χρῆται δὲ ἡ θεὸς αὐτῇ πρὸς ἅπαντα διακόνῳ· τὸ δὲ παιδίον ἐκεῖνο τὸ σεμνότερον τῆς ἡλικίας, ὃ τὰ χρυσέα φέρει δεσμὰ ταῖν χεροῖν, ἔρως φιλίας ἐστὶν ὑπουργός. οὐκ ἔχει δὲ οὐδὲ πτερὰ οὐδὲ βέλη. οὔτε γὰρ πέτεσθαι βούλεται καὶ ἀναίμακτον αὐτοῦ τὸ ἔργον. ἀλλ' οἵους ἂν καλούς τε καὶ ἀγαθοὺς καὶ οὕτως ἁρμόζοντας ἴδῃ, τούτους ξυγκολλᾷ d καὶ συνδεῖ, καὶ αὐτοῦ τὰ δεσμὰ ἄλυτα καὶ ἄρρηκτα παντελῶς καὶ μόνοις γάννυνται οἱ δεδεμένοι. ἀλλὰ δεῦρο, ἔφη, καὶ θέασαι τὴν ἑτέραν, εἰς ἣν ἐμπίπτουσιν οἱ πολλοί.

Καὶ δῆτα πρῶτα μὲν αὐτῷ τὰ περὶ τὴν εἴσοδον ὑπεδείκνυε, τοῖς προτέροις, ὥσπερ ἔφην, ἐξεικασμένα· ἔπειτα αὐτὸ τὸ πέρας, ὄρθιον καὶ ἀπότομον πάγον, κυανῇ νεφέλῃ τὰ ἄκρα κεκαλυμμένον· κρημνοὶ δὲ αὐτὸ καὶ φάραγγες περιεῖχον καὶ θῖνες ὀστῶν ἀνθρωπίνων 282 a σεσωρευμένοι, μεστὰ δὲ ἅπαντα δακετῶν θανασίμων καὶ ἰοβόλων. ἔπειτα αὐτὴν τὴν ὑπόκρισιν προσποιουμένην καὶ ἀφομοιοῦσαν ἑαυτὴν τῇ φιλίᾳ· ἀλλ' ὅμως ἀντὶ μὲν ἀληθινοῦ κάλλους τὸ πρόσωπον ὑπεγέγραπτο, ἀντὶ δὲ γαληνοῦ μειδιάματος ὕπουλον ἐσεσήρει· ἵνα δὲ φαίνοιτο ἐρασμία, ἐρᾶν αὐτὴ προσεποιεῖτο τῶν εἰσιόντων. οὐδενὸς δὲ αὐτομάτου προσερχομένου πόρρωθεν ἐκτρέχουσα ὑπέκυπτε καὶ ἀπήντα καὶ λιπαροῦσα ἀνῆγε. παρῆν δὲ αὐτῇ καὶ γυναικῶν ὅμιλος οὐδὲ ταῖς προτέραις ὅμοιαι, ἀπάτη καὶ ἐπιβουλὴ καὶ δόλος ἀγεννής· ἀντὶ δὲ ἀληθείας ἐπιορκία παρῆν, ἰταμὴ καὶ θρασεῖα καὶ ἄσπονδος, μάλιστα δὲ ἁπασῶν συμπράττουσα ἐκείνῃ b καὶ συνεργοῦσα. ἰδὼν δὲ Ἡρακλῆς γυναῖκά τινα κατὰ

341, 1 αὕτη] αὐτῇ Iacobsius. 9 οἵους] οὓς Iacobsius apud Goellerum p. 265. ὅσους Roulezius p. 66. 12 καὶ μόνοις] „Fort. οἷς καὶ μόνοις.“ Iacobsius. γάννυνται] Vulgo γάννυται. 19 μεστὰ Iacobsius ad Antholog. vol. XII. p. 296.

τὰ δὲ εὐθὺς ἐβλάστανέ τε καὶ ἐμαραίνετο. ἐρρεῖ δὲ καὶ νᾶμα ἐξ ἑκατέρας τῆς ἄκρας ψυχροῦ τε καὶ διαυγοῦς ὕδατος, ἀλλὰ τὰ μὲν δι' ὅλου τοῦ ῥείθρου γλυ-
d κέα τε ἦν καὶ προσηνῆ, τὰ δὲ κάτωθεν μὲν γενομένῳ γλυκύτερά τε ἐδόκει, προσιόντι δὲ ἐγγὺς τῆς πηγῆς πικρά τε καὶ φαρμακώδη, σπασμὸν ἐμποιοῦντα καὶ ἴλιγγον τοῖς πιεῖν ἐκ τῆς χρόας ἀπατηθεῖσι, τὰς κορυφάς τε αὐτὰς οὐκέτι ὁμοίας, ἀλλὰ πάμπαν διαφερούσας. ἐδείκνυέ τε τὴν ἐπὶ δεξιᾷ πρώτην ἄλσει τε σύσκιον δένδρων ἀειθαλῶν κυπαρίττου καὶ δάφνης καὶ φυτῶν εὐκάρπων μεστήν, λεπταὶ δὲ αὐτὰ περιέπνεον αὖραι, οἷαι
281 a τρέφειν τε καὶ αὔξειν, οὐχ οἷαι καταρρηγνύναι καὶ διασπᾶν. πολὺ δὲ ἀθόρυβος ἡσυχία καὶ εὐφροσύνη κατεῖχε τὸν τόπον, καί τινες ἐφαίνοντο ἄνθρωποι σφόδρα ὀλίγοι, προσιόντες τε καὶ ἀπιόντες μεθ' ἡδονῆς τῷ αὐτῷ προσώπῳ.

Καθῆστο δὲ ἐπ' ἄκρας τῆς κορυφῆς παρθένος εὐειδὴς μὲν οὔ, ὡραία δέ· ἀληθινοῦ καὶ ἀρχαίου γέμουσα κάλλους, ὁποῖα τὰ ἀγάλματα τῆς παλαιᾶς τέχνης, ἃ χρόνου δεῖται εἰς τὸ θαυμάσαι καὶ ὀφθαλμῶν ἀκριβεστέρων, ἀμφίεστο δὲ λευκόν τινα κόσμον ἰκέον
b διαφανῶν καὶ λεπτῶν ἱματίων, ὥστε πολλαχῇ καὶ τοῦ σώματος διαφαίνειν. καὶ τὴν ψυχὴν εἶχε τοῦ σώματος φανερωτέραν. ἦν γὰρ αὐτῆς τὸ μὲν βλέμμα ἁπλοῦν καὶ γενναῖον, τὸ μειδίαμα δὲ ἑστηκὸς καὶ οὐ μετατρεπόμενον. εἰ δέ τις αὐτῇ προσέλθοι σεβασθείς τε καὶ θαυμάσας, οὐ χρυσίον ἢ ἀργύριον προέτεινεν, ἀλλ' αὐτὸν καλλίω καὶ μείζω, διπλασίονα πολλάκις ἢ τριπλασίονα. ὁ γοῦν Ἡρακλῆς ἠγάσθη τε αὐτῆς καὶ προσηύξατο ἵλεων τυγχάνειν, καὶ ἐπήρετο τὴν φρόνησιν,
c τίνες δὲ αἱ πλησίον αὗται γυναῖκες, ὡς καλαί τε καὶ

340, 13 πολὺ] „Legendum puto πολλή, nisi forte πολὺ pro ἐπιπολὺ sumatur." Stephanus. 21 ἰκέον] εἰκαῖον Petavius. οἰκεῖον Hemsterhusius in Anecd. vol. 1. p. 7. 28 μείζω] „Fort. ἔθηκε addendum." Iacobsius.

πρέπουσαι ὀπαδοὶ τῆς θεοῦ. αὕτη μὲν εἰπεῖν ἡ τὸ πολὺ φῶς κατέχουσα καὶ ἐπὶ τοῦ ἀδάμαντος καθημένη, Διὸς θυγάτηρ ἀλήθεια· ἡ δὲ ἐπικλίνουσα τὴν κεφαλὴν αὕτη καὶ ἐπαναπαυομένη καλεῖται μὲν εὔνοια, χρῆται δὲ ἡ θεὸς αὐτῇ πρὸς ἅπαντα διακόνῳ. τὸ δὲ παιδίον ἐκεῖνο τὸ σεμνότερον τῆς ἡλικίας, ὃ τὰ χρυσέα φέρει δεσμὰ ταῖν χεροῖν, ἔρως φιλίας ἐστὶν ὑπουργός. οὐκ ἔχει δὲ οὐδὲ πτερὰ οὐδὲ βέλη. οὔτε γὰρ πέτεσθαι βούλεται καὶ ἀναίμακτον αὐτοῦ τὸ ἔργον. ἀλλ' οἵους ἂν καλούς τε καὶ ἀγαθοὺς καὶ οὕτως ἁρμόζοντας ἴδῃ, τούτους ξυγκολλᾷ d
καὶ συνδεῖ, καὶ αὐτοῦ τὰ δεσμὰ ἄλυτα καὶ ἄρρηκτα παντελῶς καὶ μόνοις γάνυνται οἱ δεδεμένοι. ἀλλὰ δεῦρο, ἔφη, καὶ θέασαι τὴν ἑτέραν, εἰς ἣν ἐμπίπτουσιν οἱ πολλοί.

Καὶ δῆτα πρῶτα μὲν αὐτῷ τὰ περὶ τὴν εἴσοδον ὑπεδείκνυε, τοῖς προτέροις, ὥσπερ ἔφην, ἐξεικασμένα· ἔπειτα αὐτὸ τὸ πέρας, ὄρθιον καὶ απότομον πάγον, κυανῇ νεφέλῃ τὰ ἄκρα κεκαλυμμένον· κρημνοὶ δὲ αὐτὸ καὶ φάραγγες περιεῖχον καὶ θῖνες ὀστῶν ἀνθρωπίνων 282 a
σεσωρευμένοι, μεστὰ δὲ ἅπαντα δακετῶν θανασίμων καὶ ἰοβόλων. ἔπειτα αὐτὴν τὴν ὑπόκρισιν προσποιουμένην καὶ ἀφομοιοῦσαν ἑαυτὴν τῇ φιλίᾳ· ἀλλ' ὅμως ἀντὶ μὲν ἀληθινοῦ κάλλους τὸ πρόσωπον ὑπεγέγραπτο, ἀντὶ δὲ γαληνοῦ μειδιάματος ὕπουλον ἐσεσήρει· ἵνα δὲ φαίνοιτο ἐρασμία, ἐρᾶν αὐτὴ προσεποιεῖτο τῶν εἰσιόντων. οὐδενὸς δὲ αὐτομάτου προσερχομένου πόρρωθεν ἐκτρέχουσα ὑπέκυπτε καὶ ἀπήντα καὶ λιπαροῦσα ἀνῆγε. παρῆν δὲ αὐτῇ καὶ γυναικῶν ὅμιλος οὐδὲ ταῖς προτέ- b
ραις ὅμοιαι, ἀπάτη καὶ ἐπιβουλὴ καὶ δόλος ἀγεννής· ἀντὶ δὲ ἀληθείας ἐπιορκία παρῆν, ἰταμὴ καὶ θρασεῖα καὶ ἄσπονδος, μάλιστα δὲ ἁπασῶν συμπράττουσα ἐκείνῃ καὶ συνεργοῦσα. ἰδὼν δὲ Ἡρακλῆς γυναῖκά τινα κατὰ

341, 1 αἴτη] αὐτῇ Iacobsius. 9 οἵους] οὓς Iacobsius apud Goellerum p. 265. ὅσους Roulezius p. 66. 12 καὶ μόνοις] „Fort. οἷς καὶ μόνοις." Iacobsius. γάνυνται] Vulgo γάνυωται. 19 μεστὰ Iacobsius ad Antholog. vol. XII. p. 296.

τὰς εἰσόδους οἷον χωλῶσαν ἤρετο τὴν φρόνησιν ἥτις
εἴη. κολακεία, ἔφη, πρόδρομος ὑποκρίσεως. δαίμων
αὕτη, ὡς ὁρᾷς, ἐνεδρεύουσα τοὺς εἰσιόντας, προσπλέ-
κεται καὶ θαυμαστὰ δρᾷ γοητεύουσα, πείθουσα θαρ-
C σεῖν τε καὶ ἀνιέναι. τίς δὲ ἡ σκυθρωπὴ ἐκείνη καὶ
σύννους, ἡ τοὺς ὀλίγους κατάγουσα κοπτομένους τε καὶ
ἀνοιμώζοντας; μετάνοια, ἔφη, βραδεῖα καὶ οὐ σφόδρα
εὔκαιρος δαίμων. ὅμως δέ τινας οὐκ ἐᾷ πάμπαν ὑπὸ
τῶν ἑρπετῶν ἀπομυζηθῆναι, ἀλλ' ἀνίστησιν ἔτι πνέον-
τας καὶ οἴκαδε ἀποσώζει.

342, 8 ὅμως Stephanus. Vulgo ὅπως. 9 ἀπομυζηθῆναι] Vide Hemsterhus. ad Lucian. vol. I. p. 114.

XXIII.

ΣΟΦΙΣΤΗΣ. d

Ἆρα οἴεσθέ με, ὦ ἄνδρες, ἐπιδεῶς ἔχοντα ἔτι κρότου τε καὶ ἐκβομβήσεων, ὧν δαψιλῶς μοι εἰώθατε χορηγεῖν ἑκάστοτε, ὅταν λέγω, ἐγεῖραί τε αὖ καὶ τήμερον ἀγεῖραι ἀναβῆναι ἐπὶ τοῦ βήματος καὶ ἑτοίμως δέχεσθαι καὶ ἀγαπᾶν τοὺς θορύβους, οὓς ἂν διδῶτε ἐπὶ τοῖς ῥήμασιν; ἐμοὶ δὲ ἡδὺ μὲν δοκεῖ εἶναι καὶ πολλοῦ ἄξιον 283 a
ἄκουσμα ἔπαινος ἄδολος καὶ ἀληθινός, ὁποῖος ὁ παρ' ὑμῶν ἀπαντᾷ μοι ἀεί, αὐτοκέλευστος καὶ ἄνευ παραγγελίας, οὐ μὴν τούτου γε ἕνεκα φανείην ἂν πράγματα παρασχὼν ὑμῖν καὶ διοχλήσας. ἀλλ' ἐγὼ μὲν εἴσειμι, ὅταν εἰσίω, ὅπως ἄν τι νουθετήσαιμι ἢ διδάξαιμι ἢ προσαξοίμην ὑμῖν εἰς εὔνοιαν πλείω τὸν ἀρχηγέτην, ἢ καὶ εὐθύνας ὑπόσχοιμι οὐδὲν δεομένοις· ὑμεῖς δὲ ὑπὸ δεξιότητος καὶ φιλανθρωπίας θέατρά μοι ποιεῖτε τὰς ἐκκλησίας. οὐδὲν οὖν θαυμαστὸν εἰ καὶ τήμερον ἐγὼ b
μὲν ξυνήγαγον ὑμᾶς ὡς δικαστάς μοι καθεδουμένους ὑπὲρ ὧν αἰτίαν ἔχω παρανομεῖν, ὑμεῖς δὲ τὸ εἰωθὸς ἀποδώητε καὶ βοήσεσθε ἀναπηδῶντες, ἐπιλαθόμενοι ὅτι ψήφου κύριοι ἥκετε καὶ οὐ πανήγυρις τοῦτό ἐστιν, ἀλλὰ δικαστήριον ἐμμελέστερον καὶ σοφώτερον τοῦ εἰς ἕνα καὶ χιλίους, οἷς ἐπιτέτραπται ἐκ τῆς ψήφου ἐξενεγκεῖν ὅ τι χρὴ παθεῖν τὸν ἁλόντα ἢ ἀποτῖσαι.

Καὶ πρῶτον δὲ ἐκεῖνο μὴ θορυβεῖσθε, ὅτι οὔτε c
φεύγων ἐγὼ οὔτε διώκων οὔτε προσκεκλημένος ὑπό του

343, 11 εἴσειμι Petavius. Vulgo ἴσημι. 24 ἐκεῖνο] πρὸς ἐκεῖνο Stephanus.

οὔτε ἕτερόν τινα πρὸς ὑμᾶς εἰσάγων, ὑμᾶς τε δικαστὰς ποιοῦμαι καὶ αὐτός φημι ἀγωνιεῖσθαι. τὸ γὰρ δὴ λίαν ἄτοπον τοῦτο καὶ θαυμαστὸν οὐ παρ' ἐμὲ ὄψεσθε συμβαῖνον, ἀλλὰ παρὰ τοὺς ἐμοὺς κατηγόρους, οἳ οὕτως ἄρα δεινοί εἰσιν ὥστε οἵτινες μέν εἰσιν οὐδὲ ἐγὼ οἶδα. τοξεύουσι δὲ ἀφανῶς, ὥσπερ οἱ Πλαταιεῖς ποτε Πελο-
d ποννησίους, ἀποδιδράσκοντες ἐν νυκτὶ τὴν πολιορκίαν, ἔβαλλον ἀπὸ τοῦ σκότους διώκοντας μετὰ λαμπάδων. καὶ δὴ τὰ μὲν βέλη περικέχυταί μοι ἔνθεν καὶ ἔνθεν ἀθρόα καὶ πολλὰ καὶ ποικίλα καὶ οὐδὲ ἐκ μιᾶς λοδόχης, τοὺς δὲ βάλλοντας οὔτε γινώσκω οὔτ' ἂν βουλοίμην, ἀλλὰ ἀγαπῶ ὅτι πολέμιοι ὄντες οὕτω φαῦλοί εἰσι καὶ οὐδεὶς αὐτῶν ἥψατο τῆς ψυχῆς, ἀλλ' οὐδὲ ἐπέ-
284a γραψέ τι τοῦ σώματος οὐδὲ ἤλεγξέ τι τῶν φραγμάτων, ἀλλ' ὅσῳπερ ἂν πλείω καὶ ἐντονώτερά μοι ἐπιτοξάζωνται, τοσῷδε ἐκφαίνουσι μᾶλλον τῶν ὅπλων τὸ στεγανόν τε καὶ ἄρρηκτον, ἃ Ἥφαιστος μὲν οὐκ ἐχαλκεύσατό μοι ἐν τῷ Ὀλύμπῳ, θεοὶ δὲ οἱ φιλοσοφίας δοτῆρες καὶ προστάται, οἳ ὅντινα ἂν περιφράξωνται, ἀκριβῶς ἄτρωτον ποιοῦσι μᾶλλον ἢ τὸν Καινέα, καὶ οὐδὲν ἀνύτουσιν οἱ μιξάνθρωποι ἢ μιξόθηροι ἀλιζόμενοι καὶ παίοντες δρυσὶ καὶ ἐλάταις, ἀλλὰ ἀκέραιος διαμένει καὶ ἀκλινής.
b καὶ προσήκει αὐτῷ μεῖζον φρονεῖν φέροντι ῥᾳδίως ἀγνωμοσύνας ἀνθρώπων ἢ ἐφρόνει ἐκεῖνος ὁ ἐξαμύνας φέρων ἐπὶ τῶν ὤμων τὸν λίθον τὸν ἑπτατάλαντον. ἐπεὶ οὖν οἱ μὲν βάλλοντες εἰς τοὐμφανὲς προελθεῖν οὐκ ἐθέλουσι καὶ στῆναι ἐν μέσῳ παρ' ὑμῖν οὑτωσὶ καὶ ἐν περιόπτῳ, ἀλλ' ἐν γωνίαις που καταδεδύκασιν ἢ χηραμοῖς, τοὺς δὲ οἰστοὺς ὁρῶ πίπτοντας οὐκ οἶδα ὅθεν καὶ ἐν ποσὶ κυλινδομένους, φέρε ἐξαριθμήσωμαί τε αὐ-
c τοὺς ἀνελόμενος ἐκ τῆς γῆς καὶ πειραθῶ διακλάσαι,

344, 24 ἐξαμύνας] In hoc verbo latere videtur nomen proprium aliquod, velut Ἐξαμύας, de quo nomine ad Georgium Syncellum dixi vol. I. p. 402. 451. Quibus nunc adde grammaticum in Anecdotis Boissonadii vol. I. p. 144. ubi vitiose scriptum Ἐξαμύλου.

ἣν δύναμαι, καὶ ἐπιδεῖξαι τῶν ὄγκων τὴν μαλακότητα καὶ διαθρῆσαι εἰ δή τινες εἶεν φαρμάκῳ ἀληλιμμένοι. ἴσως δ' ἂν καὶ πυκνὰ ἐπαφώμενοι καὶ μεταστρέφοντες εὕροιμεν ἀγχοῦ τῶν γλυφίδων καὶ τοὔνομα τοῦ βάλλοντος ἐγκεχαραγμένον· ὅθενπερ καὶ Φιλίππῳ ἐφωράθη τῷ Μακεδόνι πολιορκοῦντι Μεθώνην ὁ βαλὼν ἐκ τοῦ τείχους τοξότης. Ἀστὴρ ὄνομα ἦν τῷ ἀνθρώπῳ, καὶ ἐγκέκαυστο ἐν τῷ βέλει. εἶεν. ἀλλ' ἀνάγειν χρὴ ἐκ τῆς εἰκόνος καὶ ἅπτεσθαι ἀληθινῶς τοῦ ἀγῶνος. d

Δοκεῖ οὖν μοι χρήσασθαι προοιμίῳ, ὥσπερ οἱ ῥήτορες ποιοῦσι καθιστάμενοι τὸν λόγον. καὶ δὴ ἐχέτω ὡδί μοι τὸ προοίμιον, ὅτι μηδὲν καινὸν οὗτοι νῦν οἱ ἐμοὶ κατήγοροι διαπράττονται, ἀλλ' ὅπερ πάλαι εἴωθε καὶ ἐν τῇ φύσει ἐστὶ τῇ ἀνθρωπίνῃ, ἐξ οὗ φιλοσοφία παρὰ θεῶν ἐν γῇ ἐφάνη, τοῦτο αὖθις καὶ νῦν ὥσπερ νόσημα περιτρεπόμενον ἀνακυκλεῖται. ποιεῖται μὲν γάρ που καὶ τἄλλα ἀγαθὰ τοὺς κεκτημένους ἐπιφθόνους 285 a
τε καὶ ἐπιβούλους καὶ βαρεῖς τοῖς τῶν αὐτῶν οὐ μετέχουσι, κἂν μηδ' ὁτιοῦν ἀδικῶνται· καὶ τῷ πένητι οὐχ ἡδὺ ὁρᾶν τὸν πλούτῳ σεμνυνόμενον καὶ τῷ ἀφίππῳ τὸν ἱππικὸν καὶ τῷ ἀσθενεῖ τὸν ῥωμαλέον· σοφία δὲ ὅσῳ μεῖζον καὶ τελεώτερον ἀγαθόν, τοσούτῳ πλείους ἐγείρει τε καὶ ἀνίστησι πρὸς τὸν ἔχοντα ἢ δοκοῦντα. καὶ τοῦτο ἄνωθεν ἀρξάμενον ἐκ Πυθαγόρου, ὥσπερ κλῆρός τις ἀναγκαῖος διαδόσιμος, συμπαρέμεινε τοῖς ἀπ' ἐκείνου ἐκγόνοις. αὐτός τε γὰρ ὁ Μνησάρχου τοσόνδε ἄρα ἀπέλαυσε τῆς πολυυμνήτου σοφίας ὥστε μετανάστης b
ἀεὶ διεβίω, διὰ τοὺς βασκαίνοντας καὶ κολούοντας, ἐκ Σάμου μὲν εἰς Κρότωνα διὰ Πολυκράτην, ἐκ Κρότωνος δὲ εἰς Λοκροὺς διὰ Γύλωνα· Λοκρῶν δὲ οὐχ εἷς ἤδη, ἀλλὰ πάντες Λοκροὶ οὐχ ὑπέμειναν Πυθαγόρου τὴν ἀρετήν, ἀλλὰ μετεστήσαντο εἰς Τάραντα καὶ παρέπεμψαν· Ταραντῖνοι δὲ αὖθις, ὥσπερ φορτίον, εἰς

345, 14 ἐστὶ τῇ Roulezius p. 78. Vulgo ἐστὶ καὶ τῇ. 26 ἐκγόνοις] Vulgo ἐγγόνοις. 30 Γύλωνα] Κύλωνα Menagius ad Diogenem Laert. II, 46.

Μετάποντον· οὗ δὴ καὶ ἐτελεύτησεν ἐν τῷ τεμένει τῶν
Μουσῶν, τετταράκοντα, ὥς φασιν, ἡμέρας φεισάμενος
c σίτου. τὰ δ' ἀμφὶ Σωκράτους τί ἂν θρυλοῖτο; ἐμπέ-
πλησται γὰρ τὰ ὦτα τοῦ Μελήτου καὶ Ἀνύτου καὶ
Λύκωνος. Πλάτωνος δὲ οὐ μέχρι νῦν καταβοῶσιν ὡς
τρὶς πλεύσαντος εἰς Σικελίαν ἐπὶ χρήμασι καὶ τραπέζῃ;
Κηφισοδώρους δὲ καὶ Εὐβουλίδας καὶ Τιμαίους, Δικαι-
άρχους καὶ στρατὸν ὅλον τῶν ἐπιθεμένων Ἀριστοτέλει
τῷ Σταγειρίτῃ πότ' ἂν καταλέξαιμι εὐπετῶς, ὧν καὶ
λόγοι ἐξικνοῦνται εἰς τόνδε τὸν χρόνον, διατηροῦντες
τὴν ἀπέχθειαν καὶ φιλονεικίαν;

Τί ἂν οὖν ἐγώ, ὦ ἄνδρες, ἀγανακτοίην, εἰ πάντα
d τὸν βίον σπουδάσας ὅπως ἂν τοῖς ἀνδράσιν ἐκείνοις εἰς
ἐμὴν δύναμιν συνεποίμην, ἔπειτα ἀπέλαυσα τῶν ὁμοίων
τοῖς ἡγεμόσι καὶ προσέπταισα τοῖς αὐτοῖς ἕρμασι τὰ
αὐτὰ ἴχνη μεταδιώκων, ἠρέθισά τε ἐπ' ἐμαυτὸν καὶ
ἐπεσπασάμην οἷον ἑσμόν τινα κηφήνων κεκεντρωμένων,
οὔτι μάλα ἑκὼν οὐδὲ προαιρούμενος, ἀλλ' ὅτι φύσει τὸ
πρᾶγμα τοιόνδε ἐστίν, ὃ λιπαρῶ τε καὶ ἀγαπῶ, καὶ
ἧττον ἂν μεθείμην ἢ τὴν ψυχήν; οὐ γὰρ εἰ ἐμπορίας
286 a μετεποιούμην, ἵλεων ἀεὶ τὴν θάλατταν λογίζεσθαι
ἐχρῆν, καὶ τὰ πνεύματα ἐξ οὐρίας, καὶ τὸ χρυσίον ἀεὶ
προσαυξόμενον ἐκ τοῦ φορτίου, ἀλλὰ καὶ χειμῶνας καὶ
προβόλους καὶ ἐκβολήν· ἔστι δὲ ὅτε καὶ πειρατικὴν ὁμι-
λίαν, χειμῶνα ἕτερον τοῦτον τοῦ κλύδωνος χαλεπώτερον.
ἀλλ' αὐτὸ δὴ τοῦτο χρεὼν λαμβάνειν σημεῖον τοῦ κατὰ
πόδας ἐκείνων βαδίζειν καὶ μὴ πόρρω ἀποπλανᾶσθαι,
ὅτι καὶ αἱ διαβολαὶ καὶ αἱ λοιδορίαι, ἃς οἱ νῦν με
b διαβάλλουσιν, οὐκ ἄλλαι εἰσὶν ἢ ἃς τοὺς κλεινοὺς ἐκεί-
νους καὶ θεσπεσίους οἱ πάλαι Τελχῖνες. ὁ γὰρ σοφι-
στὴς καὶ ἀλαζὼν καὶ ὁ καινοτόμος πρῶτον μὲν Σω-
κράτους ὀνείδη ἦν, ἔπειτα Πλάτωνος ἐφεξῆς, εἶθ' ὕστε-
ρον Ἀριστοτέλους καὶ Θεοφράστου.

346, 3 θρυλοῖτο] Vulgo θρυλλοῖτο. 4 Μελήτου] Vulgo Μελίτου. 7 Δικαιάρχους] καὶ Δικαιάρχους Roulezius p. 79. Δημοχάρεις Luzacius in Lect. Att. p. 123. 15 ἕρμασι] Platonem de Rep. VIII. p. 553 b. comparat Iacobsius.

Καὶ δὴ ἐντεῦθέν μοι τῆς ἀπολογίας ἀρκτέον, εἰ τοὔνομα τοῦτο ὁ σοφιστὴς ἔντιμον μέν ἐστι καὶ προσέχεταί μοι ἐκ τῶν πραγμάτων, ἢ ἀποσείεται αὐτὸ ἡ ἀλήθεια, κἂν πάνυ ἐπιρρίπτηται. ὅτι μὲν δὴ πάλαι σεμνόν τε ἦν καὶ ἐπ' ἀξιώσει καὶ ὅτι Σόλωνα σοφιστὴν ὠνόμαζον οἱ τότε ἄνθρωποι καὶ Πυθαγόραν, ἀπειρόκαλον c ἂν εἴη κωμῳδοποιῶν ὑμᾶς ὑπομιμνήσκειν καὶ ξυγγραφέων. καὶ οὗτοι δήπου οὐ ταύτῃ ἄν με τῇ ὁρμῇ οὕτω καλοῖεν· οὐ γάρ τιμᾶν με ἐθέλουσιν, ἀλλὰ λοιδορεῖσθαι. ἀλλ' ἐπειδὴ τοῦ ὀνόματος ὥσπερ νομίσματος μετέπεσεν ἡ δύναμις κατὰ τοὺς ὕστερον χρόνους, ἐξ οὗ Πρωταγόρας τε αὐτοῦ ἠμφισβήτει καὶ Πρόδικος ὁ Κεῖος καὶ Γοργίας ὁ Λεοντῖνος, οἳ ὥσπερ ἄλλο τι τῶν ὠνίων χρημάτων ἐκήρυττον τὴν σοφίαν καὶ ἐπράττοντο πολὺ ἀργύριον τοὺς προσφοιτῶντας, ἐκεῖσε ἂν δήπου ἕλκοιεν d τοὔνομα καὶ οἱ νῦν ἐμὲ ἐπισκώπτοντες.

Σκοπεῖτε οὖν ὡς δικαίαν ποιήσομαι τὴν ἐξέτασιν. εἰσί που ὑμῖν κείμενοι νόμοι, μᾶλλον δὲ ἴσως καὶ πᾶσιν ἀνθρώποις, καθ' οὓς ἅπαντα ἐπιεικῶς ὑμῖν ἀναγκαῖον καὶ πράττειν καὶ ὀνομάζειν, καὶ εἰ περί του ἀμφισβητοίητε, ἰόντες ἐπὶ τοὺς νόμους διακρίνεσθε οὐ χαλεπῶς ἐκ τῶν γραμμάτων. καὶ τοῖς φιλοσόφοις τοίνυν οἱ 287 a νόμοι εἰσὶ γεγραμμένοι, ἐξηγούμενοι καὶ διδάσκοντες ὑπὲρ ὅτου ἂν αὐτοὶ πυνθανώμεθα. καὶ ἄλλῳ δὴ φιλοσόφῳ ἄλλοι νόμοι εἰσίν, ὁπόσους συνέγραψεν ὁ ἀρχηγέτης τῶν λόγων, οὓς διώκει τε καὶ προὐστήσατο. τῷ μὲν γὰρ τὰ Πλάτωνος αἱρουμένῳ, ὁπόσους Πλάτων, τῷ δὲ τὴν ποικίλην ἀγαπῶντι, ὁπόσους Ζήνων ὁ Κιτιεύς, ὅτῳ δὲ μέλει ὁ κῆπος, ὁπόσους Ἐπίκουρος ὁ Νεοκλέους, καθάπερ Σόλωνος μὲν τῷ Ἀθηναίῳ, Λυκούργου δὲ τῷ Σπαρτιάτῃ. ξυμβαίνει οὖν τὸν αὐτὸν b ἄνδρα πολλάκις τοῖς μὲν τῆς πόλεως νόμοις ἀθῷον εἶναι, τοῖς δὲ Πλάτωνος ἁλίσκεσθαι ἢ τοῖς Ζήνωνος.

347, 27 ὁπόσους Πλάτων Harduinus. Vulgo ὁπόσα Πλάτων. 28 Κιτιεὺς] Vulgo Κιττιεύς. 30 Σόλωνος — Λυκούργου Petavius. Vulgo Σόλων — Λυκούργῳ.

Τοιοῦτον τοίνυν ἐστὶ καὶ ὃ νῦν ἐμοὶ ἐπικαλοῦσι. τὸν γὰρ σοφιστὴν καὶ ὁποῖόν τι παρανόμημα ὁ σοφιστὴς οἱ μὲν ἡμέτεροι νόμοι οὔτε λέγουσιν οὔτε διώκουσιν, ἀλλὰ καὶ ἔντιμον ὑπολαμβάνουσιν ἔστιν ᾗ καὶ οὐ πάντῃ ἀχρεῖον τῇ πολιτείᾳ. ἡ δὲ Ἀκαδημία καὶ τὸ
c *Λύκειον ἀποκλείει καὶ οὔ φασι τοῖς ἀνακτόροις προσήκειν τὸν ἄνδρα ἐκεῖνον, ὃς τοῦτο τὸ ὄνομα ἀγαπᾷ καὶ ἐξεργάζεται. δῆλον οὖν ὅτι καὶ ὑμῖν τήμερον, ἐπειδὴ ξυνήκετε ἐμὴν χάριν, οὐ τοῦ Σόλωνος ἢ Δράκοντος ἢ Κλεισθένους ἢ Λυκούργου, ἀλλὰ τοὺς ἐντεῦθεν νόμους ἐξεταστέον καὶ τὰ σύμβολα ἐκεῖνα βασανιστέον καὶ τὰ γνωρίσματα ἃ διδόασι τοῦ πράγματος οὗτοι οἱ νόμοι· καὶ εἰ μὲν δὴ τούτοις φανείην ἔνοχος καὶ ὑπεύθυνος, κατέχειν καὶ ἐνδιδόναι τοῖς κατηγόροις*
d *χρήσασθαι τῇ ἄγρᾳ ὅ τι ἂν βούλωνται· εἰ δὲ ἄλλῃ πῃ ἀποφέροι τὰ ἴχνη ἐκεῖνα καὶ τὰ σημεῖα, ἀθῷόν με ἐᾶν τοῦ ὀνόματος.*

Ἔστι τοίνυν Πλάτωνι τῷ θεσπεσίῳ κύρβις ἀνάπλεως τούτων τῶν νόμων καὶ τεκμήρια ἐξευρημένα πολλὰ ἐφεξῆς καὶ οὐ δύσφραστα, ὧν χρὴ ἐχομένους ἰχνηλατεῖν τοὺς μαστεύοντας τὸν σοφιστήν. ταῦτα οὖν, ὡς ἔοικεν, εἰς μέσον ἡμῖν θετέον, καὶ ἐξεταστέον πότερον
288 a *ἅπαντά μοι οἰκεῖα καὶ τὰ πλείω, ἢ τὰ ἐλάττω. ἀνάσχεσθε οὖν μου πρὸς Χαρίτων ἀτρέμας ἐξαριθμουμένου ὁποσάκις οὗτος ὁ νομοθέτης οἷον κυνηγέτης κύκλῳ θηρίον περιδραμὼν αἱρεῖ τὸν ἄνδρα καὶ σαγηνεύει. δείκνυσι δὴ πρῶτον μὲν θηρευτὴν ἔμμισθον νέων πλουσίων· δεύτερον δὲ ἔμπορον περὶ τὰ μαθήματα τῆς ψυχῆς· τρίτον δὲ αὖ κάπηλον τῶν αὐτῶν τούτων, τέταρτον δὲ αὐτουργόν τε καὶ αὐτοπώλην, πέμπτον δὲ ἀγωνιστὴν περὶ λόγους τὴν ἐριστικὴν ἔχοντα τέχνην·*
b *καὶ ὃν δὴ τελευταῖον κολοφῶνα ἐπέθηκε τῷ λόγῳ καὶ συνεδήσατο, δοξαστικόν τινα περὶ τὸ μὴ ὂν καὶ μιμητὴν διὰ φαντασμάτων καὶ τεχνίτην τῶν εἰδώλων τῆς ἀλη-*

348, 26 *ἔμπορον περὶ τὰ μαθήματα* ex Platonis Sophista p. 231 d. Petavius. Vulgo *ἔμπειρον περὶ τὰ μαθήματα.*

θείας καὶ θαυματοποιὸν ἐν λόγοις. τουτονὶ γὰρ δὴ ἅπαντα τὸν ὁρμαθὸν τῶν λόγων τε καὶ τῶν ὀνομάτων τῷ σοφιστῇ περιίστησι τῷ γενναίῳ, εἴ πως αὐτοῦ τὸ πολυειδὲς καὶ πολύπλοκον ἐνδείξαιτο καὶ παραστήσειε κατὰ δύναμιν. εἶεν. χωρὶς δὴ ἕκαστον τούτων προχειριζόμενοι ἀπὸ τοῦ πρώτου, σκοπῶμεν ὅστις ἄν μοι αὐτῷ προσαρμόσαι, καὶ ὅ τι ἂν εὕροιτε ὥσπερ ἴχνος τηλαυγὲς τῆς ἐμῆς πορείας. c

Ὅτι μὲν δὴ οὐδένα πω ἐγὼ πλούσιον νέον ἐθήρευσά τε καὶ μισθὸν ἐπραξάμην τῆς ὁμιλίας ἴστε που ἅπαντες. ἴστε γὰρ ἅπαντες τοὺς ὁμιλητὰς τοὺς ἐμούς, ὅτι μήτε νέοι οὕτως εἰσὶν ὥστε εὐκόλως ἐξαπατᾶσθαι μήτε οὕτως ἄγαν πολύσαρκοι ὥστε καὶ μισθὸν προσφέρειν τοῦ φενακίζεσθαι. καὶ οὔ τί που θρύπτομαι ἐπὶ τῷ πράγματι, οὐδ' αὖ σεμνὸν ἡγοῦμαι καὶ ὑπέρογκον τὸ μὴ μισθωτός ποτε γενέσθαι. εἰ γὰρ δὴ ἐδεόμην ἐγὼ d χρημάτων καὶ τῆς πρὸς τὰ ἀναγκαῖα ἐπικουρίας, μισθὸν μὲν οὐκ ἂν ὡμολόγησα οὐδὲ ἐγραψάμην, οὐκ ἀπώκνησα δ' ἄν, εὖ ἴστε, Κρίτωνα ποιήσασθαι τῶν ἐμῶν ἐπιτηδείων καὶ ταμιεῖον, οἷον Κρίτων ηὐτρέπιζε τῷ Σωφρονίσκου, γεμίζων ὄστρακον κοῖλον τῆς ἐφημέρου δαπάνης. ἀλλ' οὔτε δέομαι, ἀλλ' ἐξαρκεῖ μοι τὰ ὄντα, ὅ τε μισθὸς ἱκανός μοι ἐστὶν ὃν φέρουσιν ἐμοὶ ξυνόντες, κοσμιότητα καὶ αἰδῶ καὶ σωφροσύνην καὶ τὸ 289 a μέτρια φρονεῖν καὶ τὸ μὴ σκαιοὺς εἶναι μηδὲ πλαγίους μηδὲ ἠλιθίους, μηδὲ ἀχάριτας, μηδὲ ἄνω καὶ κάτω θρυλεῖν καὶ σεμνύνεσθαι ἐπὶ βιβλίῳ, ὃ διαπαράττοντες ἐν ζόφῳ πλείω κατέτριψαν χρόνον ἢ οἱ Ἕλληνες πορθοῦντες τὴν Τροίαν. καὶ οὐδεὶς αὐτῶν ἕπεταί μοι ὥσπερ ἀκόλουθος οὐδὲ συμπαραθεῖ τοῦ τρίβωνος ἐξημμένος, οἷα τοῖς σοφισταῖς ἔθος πολλὰ ἀπολαύειν τῆς τέχνης, καὶ οὕτως ἄρα πόρρω εἰμὶ τοῦ κερδαίνειν τι ἀπὸ τῆς ἀγέλης ὥστε τοῦτό γε οὐδ' ὅσοι με σοφιστὴν b ὀνομάζουσι τολμῶσι προσλοιδορεῖσθαι, ἀλλὰ καὶ τοὐναντίον πάλιν φασὶ ζημιούμενον καὶ σιτοδοτοῦντα καὶ ἀριθμοῦντα

349, 22. ὅ τε Stephanus. Vulgo οὔτε. 26 θρυλεῖν] Vulgo θρυλλεῖν.

ἀργύριον οὕτω προσάγεσθαι καὶ συνέχειν τὸ ποιμνίον. καὶ εἴην ἄν, ὡς ἔοικεν, ἐγὼ κατὰ τούτους ἕτερον τρόπον ἔμμισθος θηρευτής, οὐκ ἐπειδὴ λαμβάνω μισθὸν, ἀλλ' ὅτι προσδαπανῶμαι.

Ἐγὼ οὖν καὶ περὶ ταύτης τῆς βλασφημίας ἢ εὐφημίας, ὦ ἄνδρες, ὧδε ἔχω γνώμης. τὸ μὲν ἐπαρκεῖν b ἁπλῶς καὶ ἀναλίσκειν τοῖς ὁμιληταῖς δεομένοις πολύ μοι φαίνεται ἐλευθεριώτερόν τε καὶ μεγαλοπρεπέστερον ἢ στρεβλοῦν τε αὐτοὺς καὶ κατατείνειν καὶ ἄγχειν ἀναγκάζοντα ἀποτιννύναι μὴ οἵους τε ὄντας. ἀτὰρ οὔτ' ἐκεῖνο καθ' αὑτὸ ἀξιέπαινον οὔτε τόδε, ἀλλὰ τόδε μὲν οὐδεπώποτε ἀρετῆς σημεῖον, ἀλλὰ φιλοκερδοῦς καὶ ἐρασιχρημάτου ψυχῆς καὶ ἀτεχνῶς σοφιστικῆς καὶ ἐμμίσθου, εἴθ' ὑπὲρ τῶν Δημοσθένους δικῶν εἴθ' ὑπὲρ τῶν Ἀρι- c στοφάνους δραμάτων εἴθ' ὑπὲρ τῶν πάντων ῥημάτων τε καὶ ὀνομάτων ὑπέχειν τὴν χεῖρα ἔξω τῆς χρείας καὶ d χαλεπώτερον εἶναι τῶν δημοσίων πρακτόρων. ἐπεὶ καὶ Πρόδικος καὶ Πρωταγόρας ὁ Ἀβδηρίτης ὁ μὲν ὀρθοέπειάν τε καὶ ὀρθορρημοσύνην μισθοῦ ἐκδιδάσκων τοὺς νέους, ὁ δὲ τὰ Σιμωνίδου τε καὶ ἄλλων ποιήματα ἐξηγούμενος, σοφισταὶ ὅμως καὶ ἤστην καὶ ἐλεγέσθην. τὸ γὰρ ἐφ' οἵῳ δὴ σχήματι παιδείας ἀργυρολογεῖν παρὰ e τῶν νέων τε καὶ πλουσίων, τοῦτο εἶναί φησι σοφιστὴν ὁ πρωτοστάτης τοῦ καταλόγου τῶν λόγων οὓς Πλάτων 290 a ἀπ' αὐτῶν διεστήσατο. τούτου οὐδὲ Ἴκκον τὸν γυμναστὴν τὸν Ταραντῖνον οὐδὲ Ἡρόδικον τὸν Σηλυμβριανὸν παιδοτρίβην ἀφίησι τοῦ ὀνόματος, ἀλλὰ παραπετάσματα μὲν φησι ποιεῖσθαι τὼ ἄνδρε ἐκείνω τὰς τέχνας, τῇ δὲ ἀληθείᾳ σοφιστὰς ἱκανῶς εἶναι, ὅτι ἐχρηματίζοντο ἀπὸ τῶν νέων. καὶ ἴσως οὐκ ἂν μεθεῖτο οὐδὲ ὀκνήσειεν οὐδὲ τὸν Ἀριστοτέλους προσποιούμενον εἶναι προφήτην, εἰ μισθὸν b πράττοιτο τῆς προφητείας, ἀλλὰ καθέξει τε καὶ ἀμφισβητήσει ὡς ὑπευθύνου. καὶ γὰρ εἰ σεμνὸν τὸ σχῆμα

350, 25 τούτου οὐδὲ Iacobsius in append. ad Pors. Advers. p. 290. Vulgo τοῦ τοιοῦδε. 27 Σηλυμβριανὸν Wesselingius ad Diodori S. XIII, 66. Vulgo Συλημβριανὸν.

ἀληθινὴ ἡ σοφία, ἀλλ' οὐ χρή γε αὐτὴν καταβάλλειν b
καὶ ἀργυρίου δεικνύναι ἄξιον. ἀλλ' ὅπερ λέγω, τὸ μὲν ἐφ' ὅτῳ δὴ μαθήματι, εἴτε σπουδαιοτέρῳ εἴτε φαυλοτέρῳ, μισθοφορεῖν παρὰ τῶν νέων σοφιστικὸν νομιοῦμεν, εἰ τῷ λόγῳ ξυνεποίμεθα· ὁ δὲ χεῖρα ὀρέγων καὶ ἐπανορθῶν τὴν ἔνδειαν τῶν δεομένων, εἰ μὲν τὴν ψυχὴν βελτίω κατασκευάζων καὶ τῷ σώματι ἐπικουροίη, οὗτος ἂν ὁ τέλειος νομίζοιτο καὶ ὁλόκληρος σωτήρ τε καὶ εὐεργέτης· εἰ δὲ τῆς σαρκὸς ἐπιμελοῖτο, ἐπιβουλεύοι δὲ τῇ διανοίᾳ, σοφιστὴς μὲν ἂν εἴη καὶ ἀλαζών, μετριώ- c
τερος δὲ τοῦ ἀμφότερα λαβομένου.

Σκοπεῖσθαι οὖν χρὴ τοὐμὸν ὅπως ἔχει καὶ ἀναθεάσασθαι. καὶ δὴ συγχωρήσωμεν αὐτοῖς τὴν πρώτην, ὡς ἄρα ἐγὼ πολλῶν ἀργυρίων τοὺς ὁμιλητὰς μεμίσθωμαι καὶ ἐώνημαι, καὶ εἰσὶν οἱ μὲν πολλοὶ ἄρα μνααῖοι, οἱ δὲ διμναῖοι, οἱ δὲ δὴ ἄχρι ταλάντου. τί οὖν; ἀνάγκη μοι παρὰ φύσιν σμικρόν τι καὶ ἀπαυθαδίσασθαι· ἔστιν ὅντινα ἴστε μετὰ τὴν ἐμὴν συνουσίαν — λέγω δὲ οὐκ εἴ τις χρόνον τινὰ εἰσέφρησεν εἰς τὸ διδασκαλεῖον ἡμιμανὴς καὶ ἐκάθητο χασμώμενος ἐπὶ τοῦ d
ξύλου, ὃν οὐχ οἷόν τε ἦν ἐξελαύνειν κύνα λυττῶντα καὶ ῥόπαλον ἐπηρμένον· οὗτος γὰρ οὐκ ἐμοὶ ξυγγέγονε καὶ συνωμίλησεν, ἀλλὰ τῷ βάθρῳ τῷ ἐμῷ καὶ τῷ δωματίῳ· οὓς δὲ ἐγὼ ἐγκρίνω τε καὶ περὶ πλείστου ποιοῦμαι — ἔστιν ὅντινα μετὰ τὴν ἐμὴν συνουσίαν διαφθαρέντα καὶ χείρω ἐξ ἀμείνονος γεγενημένον; καὶ πρόσθεν μὲν ἐπιεικῆ καὶ πρᾷον δοκοῦντα, νῦν δὲ τύφου με- 291 a
στὸν καὶ ἀποπληξίας; καὶ πάλαι μὲν τοὺς πολλοὺς αὐτὸν ἀποδεχομένους, νῦν δὲ δυσχεραίνοντάς τε καὶ ναυτιῶντας; ἠκούσατε δὲ αὖ τινος τῶν ἐμῶν ἐπιτηδείων ὑψηλολογουμένου καὶ βρενθυομένου ἐπὶ τοῖς συνωνύμοις ἢ ὁμωνύμοις ἢ παρωνύμοις; ἢ αὐτοὶ μὲν μέτριοι φύσει εἰσίν, ἐγὼ δὲ αὐτοὺς ὄγκου ἐμπίπλημι καὶ χαυ-

351, 11 λαβομένου] λωβωμένου Stephanus. 23 βάθρῳ Petavius. Vulgo βόθρῳ. 30 ἠκούσατε Stephanus. Vulgo ἀκούσατε.

νότητος, μαρτυρόμενός τε καὶ ἐγγυώμενος πρὸς πάντας
ἀνθρώπους, ὅτι ἄμεινον ξυνιᾶσι τῶν Ἀριστοτέλους· ἐξ
b ὧν ἐμὲ μᾶλλον ἀγαπῶσι καὶ θεραπεύουσι καὶ ἐμπιπλᾶσι
τὴν οἰκίαν ἅλις χρυσοῦ καὶ ἀργύρου, αὐτοὶ δὲ ἐπαχθεῖς
καὶ φορτικοὶ γίνονται πολλοῖς οὐδὲν δεομένοις; καίτοι
ὑπὲρ ἑκάστου αὐτῶν πολλὰ ἔχω λέγειν καὶ ἀγαθά, ἀλλ'
ὅμως οὐκ οἶμαι δεῖν τὸν μάρτυρα οἴκοθεν εἶναι. οὐδὲ
γὰρ ἀθλητὴν ὁρῶ τὸν τοιοῦτον στεφανούμενον καὶ εὐ-
δοκιμοῦντα, ὃν ὁ παιδοτρίβης ἐπαινεῖ μόνος καὶ οἱ
συνδειπνοῦντες, ἀλλ' ὃν πολλοὶ ἐθεάσαντο ἐν τοῖς γυ-
μνασίοις τραχηλιζόμενόν τε ῥᾳδίως καὶ μεταφέροντα τοὺς
c ἁλτῆρας. ὅστις οὖν χρήματα μὲν οὐ πράττεται, ἀλλὰ
δωρεῖται, ἐπιδίδωσι δὲ καὶ ἀρετὴν τοῖς χρωμένοις, πόρ-
ρω ἂν οὗτος σοφιστοῦ ἀποκρίνοιτο.

Ἀλλ' ἐγὼ ὄναρ ὑμῖν ἀλλότριον ἀπαγγέλλω. καὶ
μὴ πείθεσθε, ὦ ἄνδρες, τοῖς ὀνειρώττουσιν ὑπὲρ τῶν
ἐμῶν θησαυρῶν, ὅτι μοι ταμιεῖον ὑπερχειλές τε ἄγαν
ἐστὶ καὶ ἐξαντλοῦσιν οἱ βουλόμενοι ἀφθόνως. καίτοι
ὤφελεν αὐτῶν ὕπαρ εἶναι τὸ ὄναρ. οὐ γὰρ ἂν φαύλην
ἦν ἐλευθεριότητα καὶ μεγαλοπρέπειαν ἐπιδείκνυσθαι οὐ
μόνον ἐν λόγῳ καλῷ καὶ ἔργῳ, μάλιστα ἐκ πλούτου
δικαίου ἄνωθεν κατιόντος· οὗ αἱ πηγαὶ πόρρωθεν ῥέου-
d σιν ἄγαν διαφανεῖς καὶ πρᾳεῖαι, καὶ οὐδαμόσε αὐτὰς
μολύνει ῥεῦμα ξυμμιγνύμενον ἀδικίας. ἀλλ' οὔτε μου
τὰ πατρῷα τοσάδε ἐστὶν οὔτε ἐγὼ χρηματιστὴς καὶ
ποριστικός.

Ὅ τε αὖ λέγουσιν οἱ κατήγοροι, καὶ τοῦτο ἄλλο
ὄναρ ἐστίν, ὡς ἄρα πυρῶν βασιλικῶν σωροὺς ἀθρόους
292 δαπανῶ τοῖς ὁμιληταῖς καὶ διανέμω. δαπανῶ μὲν γὰρ
πυροὺς βασιλικοὺς ἐκ τῶν σιτοφυλακίων τῶν δημοσίων,
καὶ εἰ τοῦτο σημεῖον τοῦ σοφιστὴν εἶναι, πάντες ἂν εἴητε
σοφισταί, οὐ μόνον ὑμεῖς οἱ ἐνθάδε συγκαθήμενοι, ἀλλὰ
καὶ οἱ νευρορράφοι καὶ οἱ βαλανεῖς καὶ οἱ σκυτοτόμοι
καὶ πάντες ὅσοι καλαμηφοροῦσιν ὄρθριοι ἐπὶ τὰς ἐργα-

352, 21. καλῷ] ἀλλὰ Petavius. 30. ἐκ τῶν Petavius. Vulgo ἐκ καὶ τῶν. ἐκ δὲ τῶν Iacobsius apud Goellerum p. 272.

ταῖς. ἀλλ' ἐκεῖνο δίκαιον ὑμᾶς ἐξετάζειν, ὅτι μοι ἐξὸν
οὐ σίτου μόνον διακοσίους μεδίμνους οὐδὲ ἐλαίου ἴσα
κεράμια — καίτοι τοὔλαιόν γε οὔπω ἴσασιν οἱ κατή- b
γοροι, ἀλλ' ἐξέφυγέ με οὐκ οἶδ' ὅπως, ἵνα μᾶλλον
σφαδάζοιεν καὶ ἀγανακτοῖεν — ἀλλ' ὅτι μοι οὐ ταῦτα
μόνα ἐξὸν παρὰ βασιλέως καρποῦσθαι, ἀλλ' ἐκείνου τοῦ
μακροῦ καταλόγου τῆς τρυφῆς καὶ τῆς εὐπαθείας,
ὁπόσα ταῖς δέλτοις ἀκολουθεῖ ταῖς σφυρηλάτοις, καὶ
ταῦτα οὔτε λιπαρήσαντα οὔτε θωπεύσαντα οὔτε ἑτέρῳ
προστάτῃ χρησάμενον καὶ προσηγόρῳ, ἀλλ' αὐτοῦ πα-
ρόντος ἐπὶ τοῖς λόγοις, ὧν αὐτήκοος ἐγένετο οὐχ ἅπαξ
οὐδὲ δίς, ἀλλὰ πολλάκις, ὥστε ἀξιῶσαι τῶν μεγίστων c
γερῶν, ὅμως ταῦτά μοι ἐξὸν οὐχ ὑπεῖξα οὐδ' ὑπή-
κουσα, καὶ πάνυ προθυμουμένου. εἰ δὲ ὀρθῶς ἢ μή,
κοινωνοὶ γένεσθε τῆς γνώμης.

Φαίνεταί μοι αἴσχιστον εἶναι καὶ ἀλλότριον ἀνδρὸς
ἐλευθέρου τὸ ψεύδεσθαι εἰς τὸ κυριώτατον τῶν ἑαυτοῦ
καὶ ἐξαπατᾶν τοὺς ἀνθρώπους· κυριώτατον δὲ τῶν
ἑαυτοῦ καὶ ἔργων καὶ παθημάτων ὁ τύπος τοῦ βίου
καὶ ὁ χαρακτὴρ ὃν ὑποδύεται. ὅστις οὖν φιλοσοφίας
μεταποιούμενος, καὶ τοῦτο τοὔνομα ἕλκων τε καὶ ἀναγ-
κάζων, ἱστᾷ τε ὕεια ταρίχη καὶ ζυγομαχεῖ τοῖς ταμίαις,
τὸν οἶνον καὶ τὰ ὄψα ἀπαργυρίζων, οὗτος ψεύδεται d
μὲν τὸ τριβώνιον, ἅπτει δὲ ἐπὶ τὴν ζώνην καὶ τὴν
χλαμύδα, καὶ φορτικώτερός ἐστι τῶν τὰ ὅπλα φερόντων
στρατιωτῶν. διὰ ταῦτα οὖν ὅσα μὲν τὴν χρείαν μοι
ἀναγκαίαν εἶχε καὶ οἷς σιτοδοτεῖ βασιλεὺς τοὺς οἰκήτο-
ρας τῆς πόλεως, οὐ τοὺς στρατιώτας, ἀπολαύω καὶ
αὐτός, ὦ ἄνδρες, τὸ μέρος· μετέχω γὰρ τῆς πολιτείας
καὶ τὴν ἐνθάδε ξυνοίκησιν προὐτίμησα τῆς ἐνεγκούσης,
ἐν ᾗ εἴπερ τις διάγειν ἐφήν, κατατέμνεσθαι ἂν ἄξιος 293 a
εἴην, εἰ πυρῶν ἑτέρωθι προσδεοίμην. ὅσα δέ μοι τὸ
βαλάντιον ἔμελλε γεμιεῖν, οὐ τὸν λιμὸν ἀκεῖσθαι τῶν
ἀνδραπόδων, καὶ ὅσα ἀνάγκη εἰσδεχόμενον ἦν εὐθὺς

353, 22 ἱστᾷ τε ὕεια Petavius. Vulgo ἱσταιτεύει. 31 ἐφήν] Aut ἐφῇ scribendum, aut ἐφίμην deleto τις. Vidit Petavius.

καὶ τοὔνομα περιῆφθαι οὐξοδαπὸν τῷ τριβωνίῳ, ἀπισχυρισάμην τε ἀτενῶς καὶ οὐκ ᾔσχυνα τοὺς προγόνους, οὐ τὰ αὐτὰ ἐφρόνουν περὶ βασιλέως καὶ φιλοσόφου καὶ ἄμφω ἐνόμιζον κατοικεῖν ὁμοίως ἐν ταῖς κορυφαῖς τῆς ἀνθρωπίνης εὐδαιμονίας καὶ προσωτέρω οὐκ ἔχειν ᾗ
b προβήσεται. τὸν δὲ οἰόμενον καὶ μεῖζόν τι ἕτερον ὀνειροπολοῦντα κάτω που ἐστὶ πλανᾶσθαι οὐδὲ ἀνελθεῖν εἰς ἐκείνην τὴν σκοπιάν, ἣ ὑψηλοτάτη τέ ἐστι καὶ ὑπερκύπτει τὸν οὐρανόν· ἔνθεν οὐ μόνον γῆ καὶ θάλαττα ἄποπτος πᾶσα, ἀλλὰ καὶ ὁ θρόνος αὐτοῦ τοῦ Διὸς καὶ ἡ ἀληθινὴ προεδρία καὶ αἱ πηγαὶ τοῦ νέκταρος καὶ ὁ λειμὼν τῆς ἀμβροσίας· οὗ ἀναβῆναι οὐκ ἔστι δέλτῳ χρυσῇ ἐποχουμένους, ἀλλ᾽ εἴ τις ἐκείνης κρατήσειε καὶ ἐπαύροιτο τῆς ἀρχαίας καὶ ἀθριπηδέστου, ἐν ᾗ Πλάτων καὶ Πυθαγόρας τὰ γράμματα ἐχαράξα-
c την. ποῖον οὖν ἐγὼ σιτοφυλάκιον ἐκκενῶ τοῖς ὁμιληταῖς τοῖς ἐμοῖς; ποίους δὲ πυροὺς ἐπιχέω, καθάπερ τοῖς νεωνήτοις τὰ καταχύματα; καὶ Ἀρίστιππον μὲν τὸν Κυρηναῖον καὶ ταῦτα δεκαπλάσιοι ὄντες οἱ Διονυσίου πυροὶ οὐκ ἐποίησαν σοφιστήν· ἐγὼ δὲ ὑπερακοντίζω καὶ τὸν Γοργίαν, ὡς ἔοικεν, ἐπὶ ταῖς τριάκοντα χοίνιξιν.

Ἀλλὰ δῆτα αὐτὸς μὲν ἀποκλείω τὸ ταμιεῖον καὶ ἧττον ἂν χαλκοῦν τῳ προείμην ἢ ξύμπασαν ὁμοῦ γεωμετρίαν καὶ ἀριθμούς· ἀπεβουκόλησα δὲ ἕνα τῶν νέων
d χρηστόν τε ἄγαν καὶ τεθραμμένον ἐν ὀρφανίᾳ, ὃς οἰκουρεῖ ὑπὲρ ἐμοῦ καὶ προτίθεται δύο τραπέζας, τὴν μὲν τρυφῆς γέμουσαν, τὴν δὲ ἀργυρίων· κᾆτα προΐσχονται αὐταῖς καὶ ἐκκρέμανται οἱ Ἀριστοτέλους μὲν οὐδὲν δεόμενοι, βίου δὲ χρῄζοντες καὶ τοῦ γεμίζεσθαι τὴν γαστέρα· καὶ δορυφορεῖ με ἐμβάλλοντα εἰς τὴν ἀγορὰν καὶ συρφετὸς οὗτος καὶ ἡ γρυμαία, κεκραγότες

354, 1 οὐξοδαπὸν] οὐ ξυνοπαδὸν Harduinus. 3 οὐ τὰ] ὅτι τὰ Petavius. 25 ἀριθμούς Petavius. Vulgo ἀριθμοῦ. 28 κᾆτα προΐσχονται Stephanus. Vulgo καταπροΐσχονται. 30 χρῄζοντες Petavius. Vulgo χρῄζεσθαι.

καὶ ἐκβοῶντες ἐφ᾽ ἑκάστῳ ῥήματι ὧν ἂν λέγω, καὶ 294 a
παραβαλλόμενοι πρὸς ἀλλήλους ὅστις ἄμεινον ἀποδοίη
τὸ ἔργον ἐφ᾽ ὃ θητεύουσιν. εἰ τοιοῦτον ἐγὼ χορόν τε
καὶ χορηγὸν συνεστησάμην, πάνυ ἂν εἴην σοφιστὴς καὶ
οὐδέν τι μεῖον ἢ Πρωταγόρας ἀποχρώμενος Καλλίᾳ τῷ
λακκοπλούτῳ· ἀλλ᾽ οὐδεὶς οὕτως εὐδόκιμος τῶν ἐμῶν
μαθητῶν οὐδὲ ὑπερβάλλων σιναμωρίᾳ, ἀλλὰ προσέρ-
χονται μέν μοι καὶ ἀγαπῶσι, μισθὸν δὲ οὔτε εἰσφέ-
ρουσιν οὔτε ἀποφέρονται. b

Τῷ μὲν οὖν αὐτὸς θηρεύω τε καὶ προσάγομαι;
καὶ τίς ἡ ἐπῳδὴ καὶ ἡ μαγγανεία, δι᾽ ἣν πολλοὶ ἀπο-
λιπόντες καὶ τὴν ἀρχαίαν Ἑλλάδα καὶ τὴν πρόσοικον
Ἰωνίαν, ἐν αἷς ἀμφοτέραις διδασκαλεῖα μέγιστα φιλο-
σοφίας, ἔπειτα εἰς τὴν πόλιν ἡμῖν συμφοιτῶσι; καὶ
οὐδὲν αὐτοὺς ἀποκωλύει ἐξ ὧν ἡ πόλις μεγάλη τε ἐστὶ
καὶ εὐδαίμων, καὶ οὐχ ἡδοναὶ ἐκκεχυμέναι, οὐ πανη-
γύρεων θόρυβος, οὐ σχολῆς σπάνις καὶ ἡσυχίας, οὐκ c
αὐτοὶ οὗτοι οἱ ὀξὺ βλέποντες συκοφάνται καὶ τὰς αἰχμὰς
τῷ χρῷ ἐπισείοντες; ὀκνῶ μὲν εἰπεῖν, ὦ ἄνδρες, μὴ
καὶ ἀτεχνῶς δόξαιμι καλλωπίζεσθαι· συνελαύνουσι δὲ οἱ
κατήγοροι τὰς ἀληθινάς με ἐπαγωγάς, αἷς χρῶμαι ἐπὶ
τοὺς νέους, εἰς τὸ θέατρον ἐξενεγκεῖν ἀντὶ τῶν ψευδῶν
καὶ πεπλασμένων. καίτοι αἰσθάνεσθε αὐτῶν ἱκανῶς
καὶ οὐ σφόδρα ἀτήρητοι ὑμῖν εἰσιν· ὅμως δὲ ἔτι καὶ
μᾶλλον ἀποκαλυπτέα καὶ γυμνωτέα.

Ἐμοὶ νέῳ ὄντι συγγράμματα ἄττα πεποίηται, ἐν d
οἷς τὸν κλῆρον κατεθέμην καὶ ἐθησαύρισα, ὃν παρὰ
τῶν ἐμῶν πατέρων διεδεξάμην. καταλέγει τὰ συγγράμ-
ματα ταῦτα ἴδιον μὲν οὐδὲν οὔτε ἐμὸν οὔτε ἄλλου,
ἐμφανίζειν δὲ ἐπιχειρεῖ τὸν νοῦν τὸν Ἀριστοτέλους καὶ
ἐξάγειν ἐκ τῶν ῥημάτων ἐν οἷς ἐκεῖνος αὐτὸν καθεῖρξέ
τε καὶ ἐφράξατο, τοῦ μὴ ἐπίδρομον εἶναι τοῖς παντάπα-
σιν ἀμυήτοις. καὶ ταῦτα ἐγὼ τὰ συγγράμματα ἄλλῳ
μὲν οὐδενὶ πώποτε ᾤμην οὔτε χρείαν ἕξειν οὔτε ἔσε- 295 a

355, 7 σιναμωρίᾳ] Vulgo σιναμωρίαις. Correxit Iacobsius ad Ach. Tat. p. 609. : 9 ἀποφέρονται Iacobsius. Vulgo ἀποφέρομαι.

σθαι σπουδαῖα· οὐδὲ γὰρ οὕτω πολυτελῶς καὶ ἀνδρείως ξυντεθέντα αὐτὰ ἠπιστάμην, ἐμαυτῷ δὲ μόνῳ μνημόσυνα καὶ ἀποθήκην ὧν ἠκηκόειν, ἵν', εἴποτε ἀποφύγοι τὴν μνήμην, ἐξῇ μοι ὥσπερ ἐκ ταμιείου λαμβάνειν ἀσφαλοῦς τε καὶ ἀναλώτου ἀπὸ τῆς λήθης. διὰ ταῦτα οὖν ὀρρωδοῦντός μου ὑπὲρ αὐτῶν καὶ ἐν φυλακῇ ποιουμένου ὅπως ἂν μὴ θύραζε ἐκφοιτήσαιεν, λανθάνουσιν οἱ λόγοι οὗτοι ἀποδράντες οὐκ οἶδα ὅπως, καὶ μετὰ
b σπουδῆς κυλινδούμενοι ἐξ ἄλλου εἰς ἄλλον ἀφικνοῦνται εἰς Σικυῶνα.

Ὤικει δὲ ἐν Σικυῶνι τηνικαῦτα ἀνήρ, ὃν ἐγὼ φαίην ἂν ἀτρεκέστατά τε καὶ ἀδολώτατα τῶν γε ἐπ' ἐμοῦ Ἑλλήνων ἀντειλῆφθαι φιλοσοφίας, ἀκουστὴς μὲν γεγονὼς τοῦ Χαλκιδέως πρεσβύτου, θεραπεύων δὲ οὐ τὴν νέαν ᾠδήν, ἀλλὰ τὴν πάτριον καὶ ἀρχαίαν τῆς Ἀκαδημίας καὶ τοῦ Λυκείου· οὐχ οἷος κολούειν τε καὶ πρίεσθαι καὶ βασκαίνειν, εἰ χρηστοῦ τινος ἕτερος μεταποιοῖτο, ἀλλ' οἷος συνεξορμᾶν καὶ συνοτρύνειν οὓς ἂν
c αἴσθοιτο φυομένους πρὸς ἀρετήν. οὗτος ὁ ἀνὴρ μικρὰ ὁμιλήσας τῇ ἐμῇ εἴτε σπουδῇ εἴτε παιγνίᾳ ταυτὸν μικροῦ ὑπέμεινε πάθος Ἀξιοθέᾳ τῇ φιλοσόφῳ καὶ Ζήνωνι τῷ Κιτιεῖ καὶ τῷ γεωργῷ τῷ Κορινθίῳ. Ἀξιοθέα μὲν γὰρ ἐπιλεξαμένη τι τῶν ξυγγραμμάτων ἃ Πλάτωνι πεποίηται ὑπὲρ πολιτείας, ᾤχετο ἀπιοῦσα Ἀθήναζε ἐξ Ἀρκαδίας, καὶ Πλάτωνος ἠκροᾶτο λανθάνουσα ἄχρι πόρρω ὅτι γυνὴ εἴη, ὥσπερ ὁ Ἀχιλλεὺς τοῦ Λυκομήδους· ὁ δὲ γεωργὸς ὁ Κορίνθιος τῷ Γοργίᾳ ξυγγενόμενος — οὐκ αὐτῷ ἐκείνῳ Γοργίᾳ, ἀλλὰ τῷ λόγῳ ὃν Πλάτων ἔγρα-
d ψεν ἐπ' ἐλέγχῳ τοῦ σοφιστοῦ — αὐτίκα ἀφεὶς τὸν ἀγρὸν καὶ τὰς ἀμπέλους Πλάτωνι ὑπέθηκε τὴν ψυχὴν καὶ τὰ ἐκείνου ἐσπείρετο καὶ ἐφυτεύετο. καὶ οὗτός ἐστιν ὃν τιμᾷ ὁ Ἀριστοτέλης τῷ διαλόγῳ τῷ Κορινθίῳ. τὰ δὲ ἀμφὶ Ζήνωνος ἀρίδηλά τέ ἐστι καὶ ᾀδόμενα ὑπὸ

356, 3 ἀποφύγοι] Vulgo ἀποφύγοιτο. 18 συνοτρύνειν] Videtur συνεξοτρύνειν scripsisse ut p. 256 a. 32 τῷ Κορινθίῳ] Vide Huschkium de Annio Cimbro p. 63.

πολλῶν, ὅτι αὐτὸν ἡ Σωκράτους ἀπολογία ἐκ Φοινίκης ἤγαγεν εἰς τὴν Ποικίλην.

Αὐτὸς μὲν δὴ ἀνὴρ ἐκεῖνος οὐκ ἐδεῖτο ἐπισιτεῖ- 296 a σθαι, ἣν δὲ ἐνόμευεν ἀγέλην αὐτίκα ἐξώρμα ἅπασαν εἰς τὸν Βόσπορον. καὶ ἐπειδὴ ἠμφισβήτουν οἱ νεανίαι, πέμπει εἰς θεοῦ πευσομένους εἰ ἄρα ἄμεινόν τι ἐκεῖνος γινώσκει· καὶ φέρει τὴν αὐτὴν ψῆφον ὁ θεός, οἵαν πάλαι ἐπὶ Σωκράτην. πιστεύσατε, ὦ ἄνδρες, νὴ τὸν Ἀπόλλω ἐκεῖνον, ὅτι ταῦτα ἐγὼ οὐ μῦθον συμπλάσας ὥσπερ μειρακίοις προσάγω, οὐδὲ καταπλήττομαι ὑμᾶς τῷ κρότῳ, οὐδὲ καλλωπίζομαι καὶ ἁβρύνομαι ἄνευ ἀνάγκης, ἀλλ' ὅτι οὐκ ἔστιν ἄλλως ἀμύνασθαι τοὺς λοιδορουμένους τε καὶ τοὺς βλασφημοῦντας ἢ πολλῷ b ἀμείνους ἐπιδεικνύντα τοὺς ἀγαπῶντας καὶ εὐφημοῦντας. ἐπεὶ καὶ Σωκράτης ἐκεῖνος πρὸ μὲν τοῦ οὐκ ἐξέφαινε τοῦ Πυθίου τὴν μαρτυρίαν, ἐπεὶ δὲ αὐτὸν Λύκων τε καὶ Ἄνυτος διεβαλλέτην καὶ Μέλητος ἐφειστήκει γραψάμενος ὡς σοφιστὴν καὶ διαφθορέα τῶν νέων, τότε δὴ ξυνηναγκάσθη τοῖς δικασταῖς ἀναβιβάσασθαι μάρτυρα τὸν θεόν. ἀλλ' ἐκεῖνοι μὲν οἱ δικασταὶ ὑπ' ἀγνωμοσύνης τὸ παραυτίκα ἐξηπατήθησαν καὶ ἐγοητεύθησαν ὑπὸ τοῦ λόγου ὃν ξυνέγραψε Πολυκράτης, Ἄνυτος δὲ c ἐμισθώσατο. δῆμος γὰρ ἦσαν καὶ οὐδὲν ἱερόν· ὑμεῖς δὲ ἔκκριτοι ἁπανταχόθεν καὶ προσέτι κοινωνεῖτέ μοι τοῦ ἀγῶνος. τὸ γὰρ ἄμεινόν τι εἶναι ἐμὸν πρᾶγμα ἢ κατὰ σοφιστὴν οὐκ ἄλλοι τινὲς πρότερον ὑμῶν καὶ ὑπέλαβον καὶ ἐπεφήμισαν.

Μῶν ἄρα ἔτι θαυμαστόν, εἰ τοιούτοις ἐγὼ χρώμενος ἀρωγοῖς τε καὶ συλλήπτορσι τοῦ κυνηγεσίου, ἐθηρευσάμην ὀλίγους νέους καὶ τοιούσδε ὑπὲρ ἐμαυτοῦ κεκτημένος ἑστιάτορας καὶ μισθοδότας προσηγαγόμην d τοὺς λίχνους τῶν μαθητῶν; οὐ γὰρ λίαν, ὡς ἔοικε, φαῦλαί εἰσιν αἱ ἄρκυς τε καὶ τὰ δίκτυα ὧν μικροῦ ἔμπροσθεν ἐμνήσθην, ἅ με ἀποδράντα τῆς οἰκίας αὐ-

---

357, 8 πιστεύσατε Petavius. Vulgo ἐπιστεύσατε. 17 Μέλητος] Vulgo Μέλιτος.

τόματα περιθεῖ, ὥσπερ τὰ Δαιδάλου ἔργα, σαγηνεύοντα καὶ συμπλέκοντα τοὺς νέους ὅσοι μὴ βεβυσμένοι εἰσὶ τὰ ὦτα, καὶ προσάγει μοι τὴν ἄγραν οὔτε μέγα οὔτε μικρὸν πραγματευομένῳ. ἀλλ' ἐκεῖνο θαυμαστὸν τῶν
297 a κατηγόρων, ὅτι ἐξὸν αὐτοῖς τὰ δίκτυα ταῦτα ἐν τῷ μέσῳ οὑτωσὶ περιτρέχοντα καὶ ἐν ταῖς χερσὶ τῶν ἀνθρώπων καταγαγεῖν ἀπὸ τῶν χαλίδων καὶ διασπάσαι τὰ ἀκρωλένια καὶ ἐπιδεῖξαι τοὺς βρόχους ὅτι λαγαροὶ ἄγαν καὶ ἀσθενεῖς καὶ ὑπὸ ἀγνοίας αὐτοῖς οἱ ἄνθρωποι ἐγκαταδοῦνται· οἱ δὲ τοῦτο μὲν ἢ οὐχ οἷοί τέ εἰσιν ἢ οὐ προαιροῦνται, ὥσπερ δὲ τὰ φαῦλα τῶν κυνιδίων ὑλακτοῦντα ἀεὶ καὶ θορυβοῦντα, ταῦτα μὲν ὀνίναται οὐδὲν, ἀποσοβεῖ δὲ τὴν ἄγραν.

b Εἶεν. τὸν μὲν δὴ ἔμμισθον σοφιστὴν μόλις πως ἄρα διανενεύχαμεν. σκοπῶμεν δὲ ἐφεξῆς τὸν ἔμπορον καὶ τὸν κάπηλον καὶ τὸν αὐτοπώλην, εἰ ἄρα τούτων ἡμῖν προσήκει τι τῶν ὀνομάτων. λέγει τοίνυν ὁ θεσπέσιος Πλάτων ὅτι οὔσης τινὸς τέχνης ἀλλακτικῆς, ᾗ διαμείβεται ὧν δίδωσιν ἃ λαμβάνει, ἡ μὲν ἐξ ἄλλης πόλεως εἰς ἄλλην ὠνῇ τε καὶ πράσει χρωμένη καὶ μεταβάλλουσα τὰ ἀγώγιμα ἐμπορικὴ ὀνομάζεται ὑπὸ τῶν ἀνθρώπων, ἡ δὲ ἐν πόλει μιᾷ καθημένη ἀλλακτικὴ τῶν αὐτῶν τούτων, εἰ μὲν αὐτουργοῦσα τὰ αὑτῆς ἔργα
c νομίσματος ἀποδιδοῖτο, ὥσπερ οἱ μάγειροι καὶ οἱ βαλανεῖς, αὐτοπωλικὴ ἂν ἐν δίκῃ καλοῖτο, ἡ δὲ τὰ ἀλλότρια ὠνουμένη καπηλική· τούτων δ' οὖν τῶν τριῶν ἑκάστην μίαν οὖσαν σχίζεσθαι διχῇ τῇ αὐτῇ τομῇ καθ' ὅ τι ἀλλήλων διαφέρει τὰ ἀγοράσματα. ἔμπορον γὰρ τὸν μέν τινα εἶναι σιτίων τε καὶ ἱματίων καὶ ὑποδημάτων καὶ ἐν βραχεῖ ὅσων τὸ σῶμα τὸ ἡμέτερον ἐπιδεές· τὸν δέ τινα λόγων τε καὶ μαθημάτων οἷς ψυχὴ τρέφεται ἢ κολακεύεται· ὁμοίως δὲ αὖ κάπηλον,
d ὁμοίως δὲ καὶ αὐτοπώλην. εἴτε οὖν μουσικήν τις εἴτε

358, 15 διανενεύχαμεν] Ex Platone: vide Ruhnken. ad Timaeum p. 79. 32 κάπηλος] Platonis Protagoram p. 297 d. comparat Iacobsius apud Goellerum p. 280.

γραμματιστικὴν εἴτε ζωγραφίαν εἴτε ἄλλο τι ψυχῆς ὠφέλημα ἢ παραμύθιον ἐκ πόλεως εἰς πόλιν μετάγων, ἔνθεν μὲν ὠνοῖτο, ἑτέρωθι δὲ ἀποδιδοῖτο, ἔμπορος οὗτος οὐδέν τι μεῖον ἢ Λάμπης ὁ Αἰγινήτης· εἴτε αὐτοῦ καθιδρυμένος ἐν πόλει, καὶ τὰ μὲν ὠνούμενος μαθήματα, τὰ δὲ καὶ αὐτὸς τεκταινόμενος πωλοίη καὶ ἀλλάττοιτο ἀργυρίου, κάπηλος οὗτος ἢ αὐτοπώλης κομψότερος μικρῷ Σαράμβου καὶ Θεαρίωνος. καὶ οὕτως 298a αὖ τρικέφαλόν τινα αὖθις ὥσπερ τὸν Γηρυόνην ἀποφαίνει τὸν σοφιστήν.

Τίνι οὖν με τῶν ἀλλακτικῶν ἐγγράφουσιν οἱ κατήγοροι; μῶν τῷ πλανήτῃ, ἢ τῷ σταδιαίῳ; ἐγὼ τοίνυν πολλαῖς μὲν ὡμίλησα πόλεσι καὶ ξυνεγενόμην, καὶ ἀπεδήμησα μακρότερα ἢ ὁ Σωκράτης, οὐχ ὅσον εἰς Ποτίδαιαν στρατευόμενος. ἀλλ' ὅπλα μὲν οὐκ ἤνεγκα ὑπὲρ ὑμῶν, ὑμῶν δ' αὖ εἵνεκεν πολλὴν γῆν ἐπῆλθον καὶ πολλὰς πόλεις μεγάλας τε καὶ εὐδαίμονας, ἀτὰρ δὴ καὶ τὴν μητρόπολιν τὴν ἡμετέραν, οὐ τὰ ἀρχαῖα Μέγαρα b λέγω, ἀφ' ὧν ὡρμήθησαν οἱ τῷ Βοσπόρῳ προσοικήσαντες, ἀλλ' ἣ τῶν μὲν ἄλλων πόλεων βασιλεύει, τῇ δὲ ὑμετέρᾳ συμβασιλεύει. καὶ εἰ μέν τι καὶ ἄλλο χρηστὸν ἐξ ἐκείνης ὑμῖν ὑπῆρχε τῆς ἀποδημίας, οὐκ ἂν διισχυρισαίμην· ἤγαγον δ' οὖν αὐτοῖς τὰ ἀγώγιμα ὅσα τέ μοι πρῶτα ὑπῆρχε καὶ ὅσα παρ' ὑμῖν ἐνθένδε ἐπορισάμην ἐν εἴκοσιν ὅλοις ἐνιαυτοῖς, πολλὰ μὲν ἐκ τῶν ἀρχαίων συλλεξάμενος θησαυρῶν τῆς μνημοσύνης, ἔστι δὲ ἃ καὶ αὐτουργήσας. καὶ ὅπως δὴ οἱ πάντες ἐκεῖνοι περιφρονοῦντες καὶ οὐδὲν τῶν ἔξωθεν ἀφικνουμένων c θαυμάζειν ἢ ἐθέλοντες ἢ δυνάμενοι διὰ τὴν περιουσίαν τῶν οἴκοι θαυμάτων, ὅμως τοσόνδε ἑάλωσαν καὶ ἐκρατήθησαν ὑπὸ τῶν ἀγωγίμων τῶν ἡμετέρων, ὥστε πολλὴν μὲν χώραν καρποῦσθαι διδόντες ψιλὴν καὶ πεφυτευμένην, πολὺ δὲ ἀργύριον, πολὺ δὲ χρυσίον, ἰόντες τε εἰς τὴν κατάλυσιν ὁσημέραι καὶ θαυμαστὰ δρῶντες

359, 23 τὰ ἀγώγιμα] „Plato in Protagora p. 313 c.“ Iacobsius. 25 ὅλοις Petavius. Vulgo ὀλίγοις.

ὅπως ἂν χρόνον τινὰ ἐκεῖ διατρίψας πάλαι κεκλεισμένα
d τὰ Πυθαγόρου τεμένη καὶ τοὺς Πλάτωνος καὶ Ἀριστο-
τέλους νεὼς ἀναπετάσαιμι αὐτοῖς κατὰ δύναμιν καὶ
δείξαιμι τὰ ἀγάλματα, ἐπειδὴ πείθειν οὐχ οἷοί τε ἦσαν,
ἀλλ' ἐγὼ τὰ μὲν ἀγώγιμα προῖκα ἐδίδουν, αὐτὸς δὲ
ὀπίσω παρ' ὑμᾶς ἱέμην, χεῖράς τε ἐπειρῶντο προσάγειν
καὶ ἐπίκουρον τῷ ἔρωτι τὸν μέγαν παρακαλεῖν βασιλέα.
καὶ τούτων τίνα ἄλλον μάρτυρα ἂν ὑμῖν παρασχοίμην
ἀξιοπιστότερον αὐτοῦ βασιλέως, οὗ καὶ ἀνεγνώσθη ὑμῖν
ἐν τῇ βουλῇ ἤδη μαρτυρία; πῶς ἂν οὖν ἐμπορευοίμην
ἐγὼ τὴν σοφίαν; καὶ παρὰ τίνας ἀφικνούμενος ἄλλους
299 a ἀνθρώπους ἢ παρ' οὓς μάλιστα καὶ πλεῖστον ἐξῆν;
οὗτοι δωτίνην ἀπέλαυσαν τῆς ἐμπορίας.

Καὶ οὐ λέγω τὸ ἄστυ τοῦ Ἀντιόχου, οὐδὲ ὅσοις
ἐκεῖ ξυνέμιξα ἀνδράσι τὰ ἐμὰ φορτία μαστεύουσι καὶ
περιποιουμένοις, οὐδὲ ὅσοις ἐν Γαλατίᾳ τῇ Ἑλληνίδι.
καὶ αἱ μὲν πόλεις οὐχ οὕτω μεγάλαι, οὐδ' οἷαι τῇ με-
γίστῃ ἀμφισβητεῖν· οἱ δὲ ἄνδρες ἴστε ὅτι ὀξεῖς καὶ
ἀγχίνοι καὶ εὐμαθέστεροι τῶν ἄγαν Ἑλλήνων, καὶ τρι-
βωνίου παραφανέντος ἐκκρέμανται εὐθὺς, ὥσπερ τῆς
b λίθου τὰ σιδήρια. οὗτοι οἱ ἄνδρες τί οὐκ ἂν πρόοιντο
ὥστε κύριοι γενέσθαι τῆς ἐξαγωγῆς τῶν Πλάτωνος μα-
θημάτων, οἱ ὑπὲρ τῶν Δημοσθένους δικῶν καὶ τῆς
Θουκυδίδου ξυγγραφῆς μικροῦ ἴσα τελοῦντες τοῖς τού-
των ἐμπείροις, ὁπόσα Ξέρξης Θεμιστοκλεῖ τῷ Νεο-
κλέους; καὶ οἶδα ὅτι συγκάθηνται πολλοὶ καὶ συνδικά-
ζουσι πολλοὶ ἐξ ἐκείνων τῶν πόλεων. πυνθάνεσθε οὖν
παρὰ τούτων εἰ ταῦτα ἐγὼ ἀληθῆ λέγω.

c Καὶ ὅτι μὲν ἔμπορος οὐκ ἂν εἴην τινῶν μαθη-
μάτων, παρ' ἄλλων πυνθάνεσθε καὶ ἐπιζητεῖτε· ὅτι δὲ
οὔτε κάπηλος οὔτε αὐτοπώλης, αὐτὸ δι' ὑμᾶς αὐτοὺς
ἐρωτᾶτε, εἰ ἐγὼ κάθημαι ἐπ' ἐργαστηρίου πιπράσκων
λογάρια μικρὰ ἢ μεγάλα, καὶ προὐταξάμην τὸ ζῆν ἐκ
τοιαύτης τινὸς ἐργασίας, καὶ ταῦτα ὥσπερ οἱ ἄγαν
σοφιστεύοντες τῶν καπήλων, προδεικνύντες τὸν ἀρυστῆ-

360, 6 ἱέμην] Vulgo ἱέμην. 23 οἱ ὑπὲρ Petavius. Vulgo ἢ ὑπὲρ.

ρα, κεκράγασι καὶ ἐκβοῶσιν ὅτι τοῦ νέκταρος ὄδωδε τὸ πόμα ἐκεῖνο καὶ ἡ κοτύλη πολυχανδεστέρα * *
* * * * * * * * * d
* * * * * * * * *

φρονοῦσα ὑπὲρ ὧν λέγει, καὶ οὐδεμίαν ὑπόθεσιν ποιουμένη, ἣν οὐ μᾶλλον γινώσκει τῶν ἐφεξῆς· ἀλλὰ καὶ ἃς ἐκεῖναι δι᾽ ἀδυναμίαν ἀπίστους ἐῶσι, κινοῦσα καὶ περικρούουσα ἐκκαθαίρει καὶ βεβαιοῦται. εὖ οὖν λέγεται ἐπιστήμη εἶναι ἐπιστημῶν, ὅτι τὰ πείσματα αὐτῶν ἐνθένδε ἐξῆπται καὶ ὅτι ἀρχιτέκτων οὖσα αὐταῖς ἐπι- 300 a στατεῖ καὶ ὑφηγεῖται ᾗ μετιέναι χρὴ ἕκαστον τῶν προβλημάτων, οὐχ ὅτι αὐτὴ προὔργου ποιεῖται ἐνδιαιτᾶσθαι ταῖς γωνίαις οὐδὲ ἐντετηκέναι τοῖς ἀριθμοῖς. πρὸς δὲ δὴ τὰς τέχνας καὶ βασιλικωτέρα αὐτῆς ἡ ἐπιτροπεία τε καὶ ἐξουσία, καὶ βούλεται οἷον ὑψόθεν ὁρῶσα χαμαὶ ἐρχομένας γνωματεύειν ἑκάστην καὶ ἐξετάζειν εἴτε ὠφέλιμος ὀρθῇ πολιτείᾳ εἴτε βλαβερὰ καὶ ἀκροσφαλής· καὶ ἥντινα μὲν ὅλην παραδεκτέον ὡς ὑγιῆ, ἥντινα δὲ αὖ παντάπασιν ἐξοριστέον ὡς αἶσχος πόλεως ἐν τοῖς ἀρρωστήμασι. τῷ γὰρ ὄντι ἅπασα τέχνη τὰ μὲν ὑφ᾽ ἑαυτῇ b τεταγμένα χειρουργεῖν ἱκανὴ καὶ πᾶσι σκευάζειν τοῖς δεομένοις, ἑαυτὴν δὲ οὐχ οἵα τε ἐξετάζειν ἄχρι τοῦ ὠφέλιμος ἢ ἐπιβλαβής. ἀλλὰ καὶ τοῦτο τῶν τεχνῶν πονηρὸν καὶ ἐνδεές, ὅτι ὁμοίως μὲν ἀγαθοῖς, ὁμοίως δὲ φαύλοις ὑπηρετοῦσι τὰ σφέτερα ἔργα· καὶ οὔτε ὁ μαχαιροποιὸς δοκιμάζειν ἔχει εἰ ἀνδροφόνῳ τὴν μάχαιραν ἀποδώσεται οὔτε ὁ ναυπηγὸς εἰ ἅρπαγι ναυπηγήσεται, ὥσπερ τῷ Πάριδι Ἁρμονίδης, οὔτε ὁ κυβερνήτης εἰ σώζει ἐν τῷ πλῷ ὃν καὶ βαπτίσαι ἄμεινον ἦν. εἰ δὲ καὶ φρόνησις καὶ σοφία τὰ ἔργα αὐτῶν ἀπευθύνοι c καὶ διατάττοι, καὶ τοῦτο αὐτῶν τὸ ἔλλειμμα ἐξιάσεται καὶ οὐ ξυγχωρήσει ὥσπερ τυφλοῖς προτείνειν τὰ δημιουργήματα τοῖς ἀπαντῶσι. τοῦτ᾽ οὖν ἐστιν ὃ λέγει ὁ λόγος, ἐπιστήμην εἶναι ἐπιστημῶν καὶ τέχνην τεχνῶν, ὅτι τῶν μὲν τὰς ἀρχὰς βεβαιοῦται, τῶν δὲ ἐξετάζει τὴν χρείαν.

361, 22 ἄχρι τοῦ] ἄχρις οὗ Iacobsius ad Antholog. Palat. vol. III. p. 313.

c νότητος, μαρτυρόμενός τε καὶ ἐγγυώμενος πρὸς πάντας ἀνθρώπους, ὅτι ἄμεινον ξυνιᾶσι τῶν Ἀριστοτέλους· ἐξ
b ὧν ἐμὲ μᾶλλον ἀγαπῶσι καὶ θεραπεύουσι καὶ ἐμπιπλᾶσι τὴν οἰκίαν ἅλις χρυσοῦ καὶ ἀργύρου, αὐτοὶ δὲ ἐπαχθεῖς καὶ φορτικοὶ γίνονται πολλοῖς οὐδὲν δεομένοις; καίτοι ὑπὲρ ἑκάστου αὐτῶν πολλὰ ἔχω λέγειν καὶ ἀγαθά, ἀλλ' ὅμως οὐκ οἶμαι δεῖν τὸν μάρτυρα οἴκοθεν εἶναι. οὐδὲ γὰρ ἀθλητὴν ὁρῶ τὸν τοιοῦτον στεφανούμενον καὶ εὐδοκιμοῦντα, ὃν ὁ παιδοτρίβης ἐπαινεῖ μόνος καὶ οἱ συνδειπνοῦντες, ἀλλ' ὃν πολλοὶ ἐθεάσαντο ἐν τοῖς γυμνασίοις τραχηλιζόμενόν τε ῥᾳδίως καὶ μεταφέροντα τοὺς
c ἁλτῆρας. ὅστις οὖν χρήματα μὲν οὐ πράττεται, ἀλλὰ δωρεῖται, ἐπιδίδωσι δὲ καὶ ἀρετὴν τοῖς χρωμένοις, πόρρω ἂν οὗτος σοφιστοῦ ἀποκρίνοιτο.

Ἀλλ' ἐγὼ ὄναρ ὑμῖν ἀλλότριον ἀπαγγέλλω. καὶ μὴ πείθεσθε, ὦ ἄνδρες, τοῖς ὀνειρώττουσιν ὑπὲρ τῶν ἐμῶν θησαυρῶν, ὅτι μοι ταμιεῖον ὑπερχειλές τε ἄγαν ἐστὶ καὶ ἐξαντλοῦσιν οἱ βουλόμενοι ἀφθόνως. καίτοι ὤφελεν αὐτῶν ὕπαρ εἶναι τὸ ὄναρ. οὐ γὰρ ἂν φαύλην ἦν ἐλευθεριότητα καὶ μεγαλοπρέπειαν ἐπιδείκνυσθαι οὐ μόνον ἐν λόγῳ καλῷ καὶ ἔργῳ, μάλιστα ἐκ πλούτου δικαίου ἄνωθεν κατιόντος· οὗ αἱ πηγαὶ πόρρωθεν ῥέου-
d σιν ἄγαν διαφανεῖς καὶ πραεῖαι, καὶ οὐδαμόσε αὐτὰς μολύνει ῥεῦμα ξυμμιγνύμενον ἀδικίας. ἀλλ' οὔτε μοι τὰ πατρῷα τοσάδε ἐστὶν οὔτε ἐγὼ χρηματιστὴς καὶ ποριστικός.

Ὅ τε αὖ λέγουσιν οἱ κατήγοροι, καὶ τοῦτο ἄλλο ὄναρ ἐστίν, ὡς ἄρα πυρῶν βασιλικῶν σωροὺς ἀθρόους
292a δαπανῶ τοῖς ὁμιληταῖς καὶ διανέμω. δαπανῶ μὲν γὰρ πυροὺς βασιλικοὺς ἐκ τῶν σιτοφυλακίων τῶν δημοσίων, καὶ εἰ τοῦτο σημεῖον τοῦ σοφιστὴν εἶναι, πάντες ἂν εἶεν σοφισταί, οὐ μόνον ὑμεῖς οἱ ἐνθάδε συγκαθήμενοι, ἀλλὰ καὶ οἱ ὀνειρογράφοι καὶ οἱ βαλανεῖς καὶ οἱ σκυτοτόμοι καὶ πάντες ὅσοι καλαμηφοροῦσιν ὄρθριοι ἐπὶ τὰς ἐργα-

---

352, 21 καλῷ] ἀλλὰ Petavius. 30 ἐκ τῶν Petavius. Vulgo ἐκ καὶ τῶν. ἐκ δὲ τῶν Iacobsius apud Goellerum p. 273.

ναί. ἀλλ' ἐκεῖνο δίκαιον ὑμᾶς ἐξετάζειν, ὅτι μοι ἐξὸν οὐ σίτου μόνον διακοσίους μεδίμνους οὐδὲ ἐλαίου ἴσα κεράμια — καίτοι τοὔλαιόν γε οὔπω ἴσασιν οἱ κατή- b
γοροι, ἀλλ' ἐξέφυγέ με οὐκ οἶδ' ὅπως, ἵνα μᾶλλον σφαδάζοιεν καὶ ἀγανακτοῖεν — ἀλλ' ὅτι μοι οὐ ταῦτα μόνα ἐξὸν παρὰ βασιλέως καρποῦσθαι, ἀλλ' ἐκείνου τοῦ μακροῦ καταλόγου τῆς τρυφῆς καὶ τῆς εὐπαθείας, ὁπόσα ταῖς δέλτοις ἀκολουθεῖ ταῖς σφυρηλάτοις, καὶ ταῦτα οὔτε λιπαρήσαντα οὔτε θωπεύσαντα οὔτε ἑτέρῳ προστάτῃ χρησάμενον καὶ προσηγόρῳ, ἀλλ' αὐτοῦ παρόντος ἐπὶ τοῖς λόγοις, ὧν αὐτήκοος ἐγένετο οὐχ ἅπαξ οὐδὲ δίς, ἀλλὰ πολλάκις, ὥστε ἀξιῶσαι τῶν μεγίστων c
γερῶν, ὅμως ταῦτά μοι ἐξὸν οὐχ ὑπεῖξα οὐδ' ὑπήκουσα, καὶ πάνυ προθυμουμένου. εἰ δὲ ὀρθῶς ἢ μή, κοινωνοὶ γένεσθε τῆς γνώμης.

Φαίνεταί μοι αἴσχιστον εἶναι καὶ ἀλλότριον ἀνδρὸς ἐλευθέρου τὸ ψεύδεσθαι εἰς τὸ κυριώτατον τῶν ἑαυτοῦ καὶ ἐξαπατᾶν τοὺς ἀνθρώπους· κυριώτατον δὲ τῶν ἑαυτοῦ καὶ ἔργων καὶ παθημάτων ὁ τύπος τοῦ βίου καὶ ὁ χαρακτὴρ ὃν ὑποδύεται. ὅστις οὖν φιλοσοφίας μεταποιούμενος, καὶ τοῦτο τοὔνομα ἕλκων τε καὶ ἀναγκάζων, ἱστᾷ τε ὕεια ταρίχη καὶ ζυγομαχεῖ τοῖς ταμίαις, τὸν οἶνον καὶ τὰ ὄψα ἀπαργυρίζων, οὗτος ψεύδεται d
μὲν τὸ τριβώνιον, ἅπτει δὲ ἐπὶ τὴν ζώνην καὶ τὴν χλαμύδα, καὶ φορτικώτερός ἐστι τῶν τὰ ὅπλα φερόντων στρατιωτῶν. διὰ ταῦτα οὖν ὅσα μὲν τὴν χρείαν μοι ἀναγκαίαν εἶχε καὶ οἷς σιτοδοτεῖ βασιλεὺς τοὺς οἰκήτορας τῆς πόλεως, οὐ τοὺς στρατιώτας, ἀπολαύω καὶ αὐτός, ὦ ἄνδρες, τὸ μέρος· μετέχω γὰρ τῆς πολιτείας καὶ τὴν ἐνθάδε ξυνοίκησιν προὐτίμησα τῆς ἐνεγκούσης, ἐν ᾗ εἴπερ τις διάγειν ἐφὴν, κατατέμνεσθαι ἂν ἄξιος 293 a
εἴην, εἰ πυρῶν ἑτέρωθι προσδεοίμην. ὅσα δέ μοι τὸ βαλάντιον ἔμελλε γεμιεῖν, οὐ τὸν λιμὸν ἀκεῖσθαι τῶν ἀνδραπόδων, καὶ ὅσα ἀνάγκη εἰσδεχόμενον ἦν εὐθὺς

353, 22 ἱστᾷ τε ὕεια Petavius. Vulgo ἱσταιτεύει. 31 ἐφὴν] Aut ἐφῇ scribendum, aut ἐφίμην deleto τις. Vidit Petavius.

οὔτε ἕτερόν τινα πρὸς ὑμᾶς εἰσάγων, ὑμᾶς τε δικαστὰς ποιοῦμαι καὶ αὐτός φημι ἀγωνιεῖσθαι. τὸ γὰρ δὴ λίαν ἄτοπον τοῦτο καὶ θαυμαστὸν οὐ παρ' ἐμὲ ὄψεσθε συμβαῖνον, ἀλλὰ παρὰ τοὺς ἐμοὺς κατηγόρους, οἳ οὕτως ἄρα δεινοί εἰσιν ὥστε οἵτινες μέν εἰσιν οὐδὲ ἐγὼ οἶδα. τοξεύουσι δὲ ἀφανῶς, ὥσπερ οἱ Πλαταιεῖς ποτε Πελο- d ποννησίους, ἀποδιδράσκοντες ἐν νυκτὶ τὴν πολιορκίαν, ἔβαλλον ἀπὸ τοῦ σκότους διώκοντας μετὰ λαμπάδων. καὶ δὴ τὰ μὲν βέλη περικέχυταί μοι ἔνθεν καὶ ἔνθεν ἀθρόα καὶ πολλὰ καὶ ποικίλα καὶ οὐδὲ ἐκ μιᾶς ἰοδόκης, τοὺς δὲ βάλλοντας οὔτε γινώσκω οὔτ' ἂν βουλοίμην, ἀλλὰ ἀγαπῶ ὅτι πολέμιοι ὄντες οὕτω φαῦλοί εἰσι καὶ οὐδεὶς αὐτῶν ἥψατο τῆς ψυχῆς, ἀλλ' οὐδὲ ἐπέ- 284 a γραψέ τι τοῦ σώματος οὐδὲ ἤλεγξέ τι τῶν φραγμάτων, ἀλλ' ὅσῳπερ ἂν πλείω καὶ ἐντονώτερά μοι ἐπιτοξάζωνται, τοσῷδε ἐκφαίνουσι μᾶλλον τῶν ὅπλων τὸ στεγανόν τε καὶ ἄρρηκτον, ἃ Ἥφαιστος μὲν οὐκ ἐχαλκεύσατό μοι ἐν τῷ Ὀλύμπῳ, θεοὶ δὲ οἱ φιλοσοφίας δοτῆρες καὶ προστάται, οἳ ὅντινα ἂν περιφράξωνται, ἀκριβῶς ἄτρωτον ποιοῦσι μᾶλλον ἢ τὸν Καινέα, καὶ οὐδὲν ἀνύτουσιν οἱ μιξάνθρωποι ἢ μιξόθηροι ἀλιζόμενοι καὶ παίοντες δρυσὶ καὶ ἐλάταις, ἀλλὰ ἀκέραιος διαμένει καὶ ἀκλινής. b καὶ προσήκει αὐτῷ μεῖζον φρονεῖν φέροντι ῥᾳδίως ἀγνωμοσύνας ἀνθρώπων ἢ ἐφρόνει ἐκεῖνος ὁ ἐξαμύνας φέρων ἐπὶ τῶν ὤμων τὸν λίθον τὸν ἑπτατάλαντον. ἐπεὶ οὖν οἱ μὲν βάλλοντες εἰς τοὐμφανὲς προελθεῖν οὐκ ἐθέλουσι καὶ στῆναι ἐν μέσῳ παρ' ὑμῖν οὑτωσὶ καὶ ἐν περιόπτῳ, ἀλλ' ἐν γωνίαις που καταδεδύκασιν ἢ χηραμοῖς, τοὺς δὲ οἰστοὺς ὁρῶ πίπτοντας οὐκ οἶδα ὅθεν καὶ ἐν ποσὶ κυλινδομένους, φέρε ἐξαριθμήσωμαί τε αὐ- c τοὺς ἀνελόμενος ἐκ τῆς γῆς καὶ πειραθῶ διακλάσαι,

---

344, 24 ἐξαμύνας] In hoc verbo latere videtur nomen proprium aliquod, velut Ἐξαμύας, de quo nomine ad Georgium Syncellum dixi vol. I. p. 402. 451. Quibus nunc adde grammaticum in Anecdotis Boissonadii vol. I. p. 144. ubi vitiose scriptum Ἐξαμύλου.

ἣν δύναμαι, καὶ ἐπιδεῖξαι τῶν ὄγκων τὴν μαλακότητα
καὶ διαθρῆσαι εἰ δή τινες εἶεν φαρμάκῳ ἀληλιμμένοι.
ἴσως δ' ἂν καὶ πυκνὰ ἐπαφώμενοι καὶ μεταστρέφοντες
εὕροιμεν ἀγχοῦ τῶν γλυφίδων καὶ τοὔνομα τοῦ βάλλον-
τος ἐγκεχαραγμένον· ὅθενπερ καὶ Φιλίππῳ ἐφωράθη
τῷ Μακεδόνι πολιορκοῦντι Μεθώνην ὁ βαλὼν ἐκ τοῦ
τείχους τοξότης. Ἀστὴρ ὄνομα ἦν τῷ ἀνθρώπῳ, καὶ
ἐγκέκαυτο ἐν τῷ βέλει. εἶεν. ἀλλ' ἀνάγειν χρὴ ἐκ τῆς
εἰκόνος καὶ ἅπτεσθαι ἀληθινῶς τοῦ ἀγῶνος. d

Δοκεῖ οὖν μοι χρήσασθαι προοιμίῳ, ὥσπερ οἱ
ῥήτορες ποιοῦσι καθιστάμενοι τὸν λόγον. καὶ δὴ ἐχέτω
ὧδέ μοι τὸ προοίμιον, ὅτι μηδὲν καινὸν οὗτοι νῦν οἱ
ἐμοὶ κατήγοροι διαπράττονται, ἀλλ' ὅπερ πάλαι εἴωθε
καὶ ἐν τῇ φύσει ἐστὶ τῇ ἀνθρωπίνῃ, ἐξ οὗ φιλοσοφία
παρὰ θεῶν ἐν γῇ ἐφάνη, τοῦτο αὖθις καὶ νῦν ὥσπερ
νόσημα περιτρεπόμενον ἀνακυκλεῖται. ποιεῖται μὲν γάρ
που καὶ τἄλλα ἀγαθὰ τοὺς κεκτημένους ἐπιφθόνους 285 a
τε καὶ ἐπιβούλους καὶ βαρεῖς τοῖς τῶν αὐτῶν οὐ μετέ-
χουσι, κἂν μηδ' ὁτιοῦν ἀδικῶνται· καὶ τῷ πένητι οὐχ
ἡδὺ ὁρᾶν τὸν πλούτῳ σεμνυνόμενον καὶ τῷ ἀφίππῳ
τὸν ἱππικὸν καὶ τῷ ἀσθενεῖ τὸν ῥωμαλέον· σοφία δὲ
ὅσῳ μεῖζον καὶ τελεώτερον ἀγαθὸν, τοσούτῳ πλείους
ἐγείρει τε καὶ ἀνίστησι πρὸς τὸν ἔχοντα ἢ δοκοῦντα.
καὶ τοῦτο ἄνωθεν ἀρξάμενον ἐκ Πυθαγόρου, ὥσπερ
κλῆρός τις ἀναγκαῖος διαδόσιμος, συμπαρέμεινε τοῖς ἀπ'
ἐκείνου ἐκγόνοις. αὐτός τε γὰρ ὁ Μνησάρχου τοσόνδε
ἄρα ἀπέλαυσε τῆς πολυυμνήτου σοφίας ὥστε μετανάστης b
ἀεὶ διεβίω, διὰ τοὺς βασκαίνοντας καὶ κολούοντας, ἐκ
Σάμου μὲν εἰς Κρότωνα διὰ Πολυκράτην, ἐκ Κρότω-
νος δὲ εἰς Λοκροὺς διὰ Γύλωνα· Λοκρῶν δὲ οὐχ εἷς
ἤδη, ἀλλὰ πάντες Λοκροὶ οὐχ ὑπέμειναν Πυθαγόρου
τὴν ἀρετὴν, ἀλλὰ μετεστήσαντο εἰς Τάραντα καὶ παρέ-
πεμψαν· Ταραντῖνοι δὲ αὖθις, ὥσπερ φορτίον, εἰς

345, 14 ἐστὶ τῇ Roulezius p. 78. Vulgo ἐστὶ καὶ τῇ.
26 ἐκγόνοις] Vulgo ἐγγόνοις. 30 Γύλωνα] Κύλωνα Menagius
ad Diogenem Laert. II, 46.

Μεταπόντιον· οὗ δὴ καὶ ἐτελεύτησεν ἐν τῷ τεμένει τῶν Μουσῶν, τετταράκοντα, ὥς φασιν, ἡμέρας φεισάμενος c σίτου. τὰ δ' ἀμφὶ Σωκράτους τί ἂν θρυλοῖτο; ἐμπέπλησται γὰρ τὰ ὦτα τοῦ Μελήτου καὶ Ἀνύτου καὶ Λύκωνος. Πλάτωνος δὲ οὐ μέχρι νῦν καταβοῶσιν ὡς τρὶς πλεύσαντος εἰς Σικελίαν ἐπὶ χρήμασι καὶ τραπέζῃ; Κηφισοδώρους δὲ καὶ Εὐβουλίδας καὶ Τιμαίους, Δικαιάρχους καὶ στρατὸν ὅλον τῶν ἐπιθεμένων Ἀριστοτέλει τῷ Σταγειρίτῃ πότ' ἂν καταλέξαιμι εὐπετῶς, ὧν καὶ λόγοι ἐξικνοῦνται εἰς τόνδε τὸν χρόνον, διατηροῦντες τὴν ἀπέχθειαν καὶ φιλονεικίαν;

Τί ἂν οὖν ἐγώ, ὦ ἄνδρες, ἀγανακτοίην, εἰ πάντα d τὸν βίον σπουδάσας ὅπως ἂν τοῖς ἀνδράσιν ἐκείνοις εἰς ἐμὴν δύναμιν συνεποίμην, ἔπειτα ἀπέλαυσα τῶν ὁμοίων τοῖς ἡγεμόσι καὶ προσέπταισα τοῖς αὐτοῖς ἕρμασι τὰ αὐτὰ ἴχνη μεταδιώκων, ἠρέθισά τε ἐπ' ἐμαυτὸν καὶ ἐπεσπασάμην οἷον ἑσμόν τινα κηφήνων κεκεντρωμένων, οὔτι μάλα ἑκὼν οὐδὲ προαιρούμενος, ἀλλ' ὅτι φύσει τὸ πρᾶγμα τοιόνδε ἐστίν, ὃ λιπαρῶ τε καὶ ἀγαπῶ, καὶ ἧττον ἂν μεθείμην ἢ τὴν ψυχήν; οὐ γὰρ εἰ ἐμπορίας 286 a μετεποιούμην, ἵλεων ἀεὶ τὴν θάλατταν λογίζεσθαι ἐχρῆν, καὶ τὰ πνεύματα ἐξ οὐρίας, καὶ τὸ χρυσίον ἀεὶ προσαυξόμενον ἐκ τοῦ φορτίου, ἀλλὰ καὶ χειμῶνας καὶ προβόλους καὶ ἐκβολήν· ἔστι δὲ ὅτε καὶ πειρατικὴν ὁμιλίαν, χειμῶνα ἕτερον τοῦτον τοῦ κλύδωνος χαλεπώτερον. ἀλλ' αὐτὸ δὴ τοῦτο χρεὼν λαμβάνειν σημεῖον τοῦ κατὰ πόδας ἐκείνων βαδίζειν καὶ μὴ πόρρω ἀποπλανᾶσθαι, ὅτι καὶ αἱ διαβολαὶ καὶ αἱ λοιδορίαι, ἃς οἱ νῦν με b διαβάλλουσιν, οὐκ ἄλλαι εἰσὶν ἢ ἃς τοὺς κλεινοὺς ἐκείνους καὶ θεσπεσίους οἱ πάλαι Τελχῖνες. ὁ γὰρ σοφιστὴς καὶ ἀλαζὼν καὶ ὁ καινοτόμος πρῶτον μὲν Σωκράτους ὀνείδη ἦν, ἔπειτα Πλάτωνος ἐφεξῆς, εἶθ' ὕστερον Ἀριστοτέλους καὶ Θεοφράστου.

346, 3 θρυλοῖτο] Vulgo θρυλλοῖτο. 4 Μελήτου] Vulgo Μελίτου. 7 Δικαιάρχους] καὶ Δικαιάρχους Roulezius p. 79. Δημοχάρεις Luzacius in Lect. Att. p. 123. 15 ἕρμασι] Platonem de Rep. VIII. p. 553 b. comparat Iacobsius.

Καὶ δὴ ἐντεῦθέν μοι τῆς ἀπολογίας ἀρκτέον, εἰ τοὔνομα τοῦτο ὁ σοφιστὴς ἔντιμον μέν ἐστι καὶ προσίεταί μοι ἐκ τῶν πραγμάτων, ἢ ἀποσείεται αὐτὸ ἡ ἀλήθεια, κἂν πάνυ ἐπιρρίπτηται. ὅτι μὲν δὴ πάλαι σεμνόν τε ἦν καὶ ἐπ᾽ ἀξιώσει καὶ ὅτι Σόλωνα σοφιστὴν ὠνόμαζον οἱ τότε ἄνθρωποι καὶ Πυθαγόραν, ἀπειρο- [c] κάλου ἂν εἴη κωμῳδοποιῶν ὑμᾶς ὑπομιμνήσκειν καὶ ξυγγραφέων. καὶ οὗτοι δήπου οὐ ταύτῃ ἄν με τῇ ὁρμῇ οὕτω καλοῖεν· οὐ γὰρ τιμᾶν με ἐθέλουσιν, ἀλλὰ λοιδορεῖσθαι. ἀλλ᾽ ἐπειδὴ τοῦ ὀνόματος ὥσπερ νομίσματος μετέπεσεν ἡ δύναμις κατὰ τοὺς ὕστερον χρόνους, ἐξ οὗ Πρωταγόρας τε αὐτοῦ ἠμφισβήτει καὶ Πρόδικος ὁ Κεῖος καὶ Γοργίας ὁ Λεοντῖνος, οἳ ὥσπερ ἄλλο τι τῶν ὠνίων χρημάτων ἐκήρυττον τὴν σοφίαν καὶ ἐπράττοντο πολὺ ἀργύριον τοὺς προσφοιτῶντας, ἐκεῖσε ἂν δήπου ἕλκοιεν [d] τοὔνομα καὶ οἱ νῦν ἐμὲ ἐπισκώπτοντες.

Σκοπεῖτε οὖν ὡς δικαίαν ποιήσομαι τὴν ἐξέτασιν. εἰσί που ὑμῖν κείμενοι νόμοι, μᾶλλον δὲ ἴσως καὶ πᾶσιν ἀνθρώποις, καθ᾽ οὓς ἅπαντα ἐπιεικῶς ὑμῖν ἀναγκαῖον καὶ πράττειν καὶ ὀνομάζειν, καὶ εἰ περί του ἀμφισβητοίητε, ἰόντες ἐπὶ τοὺς νόμους διακρίνεσθε οὐ χαλεπῶς ἐκ τῶν γραμμάτων. καὶ τοῖς φιλοσόφοις τοίνυν οἱ [287 a] νόμοι εἰσὶ γεγραμμένοι, ἐξηγούμενοι καὶ διδάσκοντες ὑπὲρ ὅτου ἂν αὐτοὶ πυνθανώμεθα. καὶ ἄλλῳ δὴ φιλοσόφῳ ἄλλοι νόμοι εἰσίν, ὁπόσους συνέγραψεν ὁ ἀρχηγέτης τῶν λόγων, οὓς διώκει τε καὶ προὐστήσατο. τῷ μὲν γὰρ τὰ Πλάτωνος αἱρουμένῳ, ὁπόσους Πλάτων, τῷ δὲ τὴν ποικίλην ἀγαπῶντι, ὁπόσους Ζήνων ὁ Κιτιεύς, ὅτῳ δὲ μέλει ὁ κῆπος, ὁπόσους Ἐπίκουρος ὁ Νεοκλέους, καθάπερ Σόλωνος μὲν τῷ Ἀθηναίῳ, Λυκούργου δὲ τῷ Σπαρτιάτῃ. ξυμβαίνει οὖν τὸν αὐτὸν [b] ἄνδρα πολλάκις τοῖς μὲν τῆς πόλεως νόμοις ἀθῷον εἶναι, τοῖς δὲ Πλάτωνος ἁλίσκεσθαι ἢ τοῖς Ζήνωνος.

347, 27 ὁπόσους Πλάτων Harduinus. Vulgo ὁπόσα Πλάτων. 28 Κιτιεὺς] Vulgo Κιττιεύς. 30 Σόλωνος — Λυκούργου Petavius. Vulgo Σόλων — Λυκούργῳ.

Τοιοῦτον τοίνυν ἐστὶ καὶ ὃ νῦν ἐμοὶ ἐπικαλοῦσι. τὸν γὰρ σοφιστὴν καὶ ὁποῖόν τι παρανόμημα ὁ σοφιστὴς οἱ μὲν ἡμέτεροι νόμοι οὔτε λέγουσιν οὔτε διώκουσιν, ἀλλὰ καὶ ἔντιμον ὑπολαμβάνουσιν ἔστιν ᾗ καὶ οὐ πάντῃ ἀχρεῖον τῇ πολιτείᾳ. ἡ δὲ Ἀκαδημία καὶ τὸ
c Λύκειον ἀποκλείει καὶ οὔ φασι τοῖς ἀνακτόροις προσήκειν τὸν ἄνδρα ἐκεῖνον, ὃς τοῦτο τὸ ὄνομα ἀγαπᾷ καὶ ἐξεργάζεται. δῆλον οὖν ὅτι καὶ ὑμῖν τήμερον, ἐπειδὴ ξυνήκετε ἐμὴν χάριν, οὐ τοῦ Σόλωνος ἢ Δράκοντος ἢ Κλεισθένους ἢ Λυκούργου, ἀλλὰ τοὺς ἐντεῦθεν νόμους ἐξεταστέον καὶ τὰ σύμβολα ἐκεῖνα βασανιστέον καὶ τὰ γνωρίσματα ἃ διδόασι τοῦ πράγματος οὗτοι οἱ νόμοι· καὶ εἰ μὲν δὴ τούτοις φανείην ἔνοχος καὶ ὑπεύθυνος, κατέχειν καὶ ἐνδιδόναι τοῖς κατηγόροις
d χρήσασθαι τῇ ἄγρᾳ ὅ τι ἂν βούλωνται· εἰ δὲ ἄλλῃ πῃ ἀποφέροι τὰ ἴχνη ἐκεῖνα καὶ τὰ σημεῖα, ἀθῷόν με ἐᾶν τοῦ ὀνόματος.

Ἔστι τοίνυν Πλάτωνι τῷ θεσπεσίῳ κύρβις ἀνάπλεως τούτων τῶν νόμων καὶ τεκμήρια ἐξευρημένα πολλὰ ἐφεξῆς καὶ οὐ δύσφραστα, ὧν χρὴ ἐχομένους ἰχνηλατεῖν τοὺς μαστεύοντας τὸν σοφιστήν. ταῦτα οὖν, ὡς ἔοικεν, εἰς μέσον ἡμῖν θετέον, καὶ ἐξεταστέον πότερον
288 a ἅπαντά μοι οἰκεῖα καὶ τὰ πλείω, ἢ τὰ ἐλάττω. ἀνάσχεσθε οὖν μου πρὸς Χαρίτων ἀτρέμας ἐξαριθμουμένου ὁποσάκις οὗτος ὁ νομοθέτης οἷον κυνηγέτης κύκλῳ θηρίον περιδραμὼν αἱρεῖ τὸν ἄνδρα καὶ σαγηνεύει. δείκνυσι δὴ πρῶτον μὲν θηρευτὴν ἔμμισθον νέων πλουσίων· δεύτερον δὲ ἔμπορον περὶ τὰ μαθήματα τῆς ψυχῆς; τρίτον δὲ αὖ κάπηλον τῶν αὐτῶν τούτων, τέταρτον δὲ αὐτουργόν τε καὶ αὐτοπώλην, πέμπτον δὲ ἀγωνιστὴν περὶ λόγους τὴν ἐριστικὴν ἔχοντα τέχνην·
b καὶ ὃν δὴ τελευταῖον κολοφῶνα ἐπέθηκε τῷ λόγῳ καὶ συνεδήσατο, δοξαστικόν τινα περὶ τὸ μὴ ὂν καὶ μιμητὴν διὰ φαντασμάτων καὶ τεχνίτην τῶν εἰδώλων τῆς ἀλη-

---

348, 28 ἔμπορον περὶ τὰ μαθήματα ex Platonis Sophista p. 231 d. Petavius. Vulgo ἔμπειρον περὶ τὰ παθήματα.

θείας καὶ θαυματοποιὸν ἐν λόγοις. τοῦτον γὰρ δὴ ἅπαντα τὸν ὁρμαθὸν τῶν λόγων τε καὶ τῶν ὀνομάτων τῷ σοφιστῇ περιάπτωσι τῷ γενναίῳ, εἴ πως αὐτοῦ τὸ πολυειδὲς καὶ πολύπλοκον ἐνδείξαιτο καὶ παραστήσειε κατὰ δύναμιν. εἶεν. χωρὶς δὴ ἕκαστον τούτων προχειριζόμενοι ἀπὸ τοῦ πρώτου, σκοπῶμεν ὅστις ἄν μοι αὐτῷ προσαρμόσαι, καὶ ὅ τι ἂν εὕροιτε ὥσπερ ἴχνος τηλαυγὲς τῆς ἐμῆς πορείας. c

Ὅτι μὲν δὴ οὐδένα πω ἐγὼ πλούσιον νέον ἐθήρευσά τε καὶ μισθὸν ἐπραξάμην τῆς ὁμιλίας ἴστε που ἅπαντες. ἴστε γὰρ ἅπαντες τοὺς ὁμιλητὰς τοὺς ἐμούς, ὅτι μήτε νέοι οὕτως εἰσὶν ὥστε εὐκόλως ἐξαπατᾶσθαι μήτε οὕτως ἄγαν πολύσαρκοι ὥστε καὶ μισθὸν προσφέρειν τοῦ φενακίζεσθαι. καὶ οὔ τι που θρύπτομαι ἐπὶ τῷ πράγματι, οὐδ' αὖ σεμνὸν ἡγοῦμαι καὶ ὑπέρογκον τὸ μὴ μισθωτός ποτε γενέσθαι. εἰ γὰρ δὴ ἐδεόμην ἐγὼ d
χρημάτων καὶ τῆς πρὸς τὰ ἀναγκαῖα ἐπικουρίας, μισθὸν μὲν οὐκ ἂν ὡμολόγησα οὐδὲ ἐγραψάμην, αἰτεῖν ἀπῄτησα δ' ἄν, εὖ ἴστε, Κρίτωνα ποιήσασθαι τῶν ἐμῶν ἐπιτηδείων καὶ ταμιεῖον, οἷον Κρίτων ηὐτρέπιζε τῷ Σωφρονίσκου, γεμίζων ὄστρακον κοῖλον τῆς ἐφημέρου δαπάνης. ἀλλ' οὔτε δέομαι, ἀλλ' ἐξαρκεῖ μοι τὰ ὄντα, ὅ τε μισθὸς ἱκανός μοι ἐστὶν ὃν φέρουσιν ἐμοὶ ξυνόντες, κοσμιότητα καὶ αἰδῶ καὶ σωφροσύνην καὶ τὸ 289 a
μέτρια φρονεῖν καὶ τὸ μὴ σκαιοὺς εἶναι μηδὲ πλημμελεῖς μηδὲ ἠλιθίους, μηδὲ ἀχάριτας, μηδὲ ἄνω καὶ κάτω θρυλεῖν καὶ σεμνύνεσθαι ἐπὶ βιβλίῳ, ὃ διαπραττόμενοι ἐν ζόφῳ πλείω κατέτριψαν χρόνον ἢ οἱ Ἕλληνες πορθοῦντες τὴν Τροίαν. καὶ οὐδεὶς αὐτῶν ἕπεταί μοι ὥσπερ ἀκόλουθος οὐδὲ συμπαρέπεται τοῦ τρίβωνος ἐξημμένος, οἷα τοῖς σοφισταῖς ἔθος πολλὰ ἀπολαύειν τῆς τέχνης, καὶ οὕτως ἄρα πόρρω εἰμὶ τοῦ κερδαίνειν τι ἀπὸ τῆς ἀγέλης, ὥστε τοῦτό γε οὐδ' ὅσοι με σοφιστὴν b
ὀνομάζουσι τολμῶσι προσλοιδορεῖσθαι, ἀλλὰ καὶ τοὐμπαλὶν φασι ζημιούμενον καὶ σιτοδοτοῦντα καὶ ἀριθμοῦντα

349, 22 ὃ ex Stephanus. Vulgo [illegible]. 30 θρυλεῖν] Vulgo θρυλλεῖν.

ἀργύριον οὕτω προσάγεσθαι καὶ συνέχειν τὸ ποίμνιον.
καὶ εἴην ἄν, ὡς ἔοικεν, ἐγὼ κατὰ τούτους ἕτερον τρό-
πον ἔμμισθος θηρευτής, οὐκ ἐπειδὴ λαμβάνω μισθόν,
ἀλλ' ὅτι προσδαπανῶμαι.

Ἐγὼ οὖν καὶ περὶ ταύτης τῆς βλασφημίας ἢ εὐ-
φημίας, ὦ ἄνδρες, ὧδε ἔχω γνώμης. τὸ μὲν ἐπαρκεῖν
c ἁπλῶς καὶ ἀναλίσκειν τοῖς ὁμιληταῖς δεομένοις πολύ μοι
φαίνεται ἐλευθεριώτερόν τε καὶ μεγαλοπρεπέστερον ἢ
στρεβλοῦν τε αὐτοὺς καὶ κατατείνειν καὶ ἄγχειν ἀναγκά-
ζοντα ἀποτιννύναι μὴ οἵους τε ὄντας. ἀτὰρ οὔτ' ἐκεῖνο
καθ' αὑτὸ ἀξιέπαινον οὔτε τόδε, ἀλλὰ τόδε μὲν οὐδε-
πώποτε ἀρετῆς σημεῖον, ἀλλὰ φιλοκερδοῦς καὶ ἐρασι-
χρημάτου ψυχῆς καὶ ἀτεχνῶς σοφιστικῆς καὶ ἐμμίσθου,
εἴθ' ὑπὲρ τῶν Δημοσθένους δικῶν εἴθ' ὑπὲρ τῶν Ἀρι-
στοφάνους δραμάτων εἴθ' ὑπὲρ τῶν πάντων ῥημάτων
τε καὶ ὀνομάτων ὑπέχειν τὴν χεῖρα ἔξω τῆς χρείας καὶ
d χαλεπώτερον εἶναι τῶν δημοσίων πρακτόρων. ἐπεὶ καὶ
Πρόδικος καὶ Πρωταγόρας ὁ Ἀβδηρίτης ὁ μὲν ὀρθοέ-
πειάν τε καὶ ὀρθορρημοσύνην μισθοῦ ἐκδιδάσκων τοὺς
νέους, ὁ δὲ τὰ Σιμωνίδου τε καὶ ἄλλων ποιήματα ἐξη-
γούμενος, σοφισταὶ ὅμως καὶ ἤστην καὶ ἐλεγέσθην. τὸ
γὰρ ἐφ' οἵῳ δὴ σχήματι παιδείας ἀργυρολογεῖν παρὰ
τῶν νέων τε καὶ πλουσίων, τοῦτο εἶναί φησι σοφιστὴν
ὁ πρωτοστάτης τοῦ καταλόγου τῶν λόγων οὓς Πλάτων
290 a ἐπ' αὐτῶν διεστήσατο. τούτου οὐδὲ Ἴκκον τὸν γυμνα-
στὴν τὸν Ταραντῖνον οὐδὲ Ἡρόδικον τὸν Σηλυμβριανὸν
παιδοτρίβην ἀφίησι τοῦ ὀνόματος, ἀλλὰ παραπετάσματα
μέν φησι ποιεῖσθαι τὼ ἄνδρε ἐκείνω τὰς τέχνας, τῇ δὲ
ἀληθείᾳ σοφιστὰς ἱκανῶς εἶναι, ὅτι ἐχρηματίζοντο ἀπὸ
τῶν νέων. καὶ ἴσως οὐκ ἂν μεθεῖτο οὐδὲ ὀκνήσειεν οὐδὲ τὸν
Ἀριστοτέλους προσποιούμενον εἶναι προφήτην, εἰ μισθὸν
πράττοιτο τῆς προφητείας, ἀλλὰ καθέξει τε καὶ ἀμφισ-
βητήσει ὡς ὑπευθύνου. καὶ γὰρ εἰ σεμνὸν τὸ σχῆμα

350, 25 τούτου οὐδὲ Iacobsius in append. ad Pors. Advers. p. 300. Vulgo τοῦ τοιοῦδε. 27 Σηλυμβριανὸν Wesselingius ad Diodori S. XIII, 66. Vulgo Συλημβριανόν.

ἀληθινὴ ἡ σοφία, ἀλλ' οὐ χρή γε αὐτὴν καταβάλλειν b καὶ ἀργυρίου δεικνύναι ἄξιον. ἀλλ' ὅπερ λέγω, τὸ μὲν ἐφ' ὅτῳ δὴ μαθήματι, εἴτε σπουδαιοτέρῳ εἴτε φαυλοτέρῳ, μισθοφορεῖν παρὰ τῶν νέων σοφιστικὸν νομιοῦμεν, εἰ τῷ λόγῳ ξυνεποίμεθα· ὁ δὲ χεῖρα ὀρέγων καὶ ἐπανορθῶν τὴν ἔνδειαν τῶν δεομένων, εἰ μὲν τὴν ψυχὴν βελτίω κατασκευάζων καὶ τῷ σώματι ἐπικουροίη, οὗτος ἂν ὁ τέλειος νομίζοιτο καὶ ὁλόκληρος σωτήρ τε καὶ εὐεργέτης· εἰ δὲ τῆς σαρκὸς ἐπιμελοῖτο, ἐπιβουλεύοι δὲ τῇ διανοίᾳ, σοφιστὴς μὲν ἂν εἴη καὶ ἀλαζών, μετριώ- c τερος δὲ τοῦ ἀμφότερα λαβομένου.

Σκοπεῖσθαι οὖν χρὴ τοὐμὸν ὅπως ἔχει καὶ ἀναθεάσασθαι. καὶ δὴ συγχωρήσωμεν αὐτοῖς τὴν πρώτην, ὡς ἄρα ἐγὼ πολλῶν ἀργυρίων τοὺς ὁμιλητὰς μεμίσθωμαι καὶ ἐώνημαι, καὶ εἰσὶν οἱ μὲν πολλοὶ ἄρα μναιαῖοι, οἱ δὲ διμναιαῖοι, οἱ δὲ δὴ ἄχρι ταλάντου. τί οὖν; ἀνάγκη μοι παρὰ φύσιν σμικρόν τι καὶ ἀπαυθαδίσασθαι· ἔστιν ὅντινα ἴστε μετὰ τὴν ἐμὴν συνουσίαν — λέγω δὲ οὐκ εἴ τις χρόνον τινὰ εἰσέφρησεν εἰς τὸ διδασκαλεῖον ἡμιμανὴς καὶ ἐκάθητο χασμώμενος ἐπὶ τοῦ d ξύλου, ὃν οὐχ οἷόν τε ἦν ἐξελαύνειν κύνα λυττῶντα καὶ ῥόπαλον ἐπηρμένον· οὗτος γὰρ οὐκ ἐμοὶ ξυγγέγονε καὶ συνωμίλησεν, ἀλλὰ τῷ βάθρῳ τῷ ἐμῷ καὶ τῷ δωματίῳ· οὓς δὲ ἐγὼ ἐγκρίνω τε καὶ περὶ πλείστου ποιοῦμαι — ἔστιν ὅντινα μετὰ τὴν ἐμὴν συνουσίαν διαφθαρέντα καὶ χείρω ἐξ ἀμείνονος γεγενημένον; καὶ πρόσθεν μὲν ἐπιεικῆ καὶ πρᾷον δοκοῦντα, νῦν δὲ τύφου με- 291 a στὸν καὶ ἀποπληξίας; καὶ πάλαι μὲν τοὺς πολλοὺς αὐτὸν ἀποδεχομένους, νῦν δὲ δυσχεραίνοντάς τε καὶ ναυτιῶντας; ἠκούσατε δὲ αὖ τινος τῶν ἐμῶν ἐπιτηδείων ὑψηλολογουμένου καὶ βρενθυομένου ἐπὶ τοῖς συνωνύμοις ἢ ὁμωνύμοις ἢ παρωνύμοις; ἢ αὐτοὶ μὲν μέτριοι φύσει εἰσίν, ἐγὼ δὲ αὐτοὺς ὄγκου ἐμπίπλημι καὶ χαυ-

---

351, 11 λαβομένου] λωβωμένου Stephanus. 23 βάθρῳ Petavius. Vulgo βόθρῳ. 30 ἠκούσατε Stephanus. Vulgo ἀκούσατε.

νότητος, μαρτυρόμενός τε καὶ ἐγγυώμενος πρὸς πάντας ἀνθρώπους, ὅτι ἄμεινον ξυνιᾶσι τῶν Ἀριστοτέλους· ἐξ b ὧν ἐμὲ μᾶλλον ἀγαπῶσι καὶ θεραπεύουσι καὶ ἐμπιπλᾶσι τὴν οἰκίαν ἅλις χρυσοῦ καὶ ἀργύρου, αὐτοὶ δὲ ἐπαχθεῖς καὶ φορτικοὶ γίνονται πολλοῖς οὐδὲν δεομένοις; καίτοι ὑπὲρ ἑκάστου αὐτῶν πολλὰ ἔχω λέγειν καὶ ἀγαθά, ἀλλ' ὅμως οὐκ οἶμαι δεῖν τὸν μάρτυρα οἴκοθεν εἶναι. οὐδὲ γὰρ ἀθλητὴν ὁρῶ τὸν τοιοῦτον στεφανούμενον καὶ εὐδοκιμοῦντα, ὃν ὁ παιδοτρίβης ἐπαινεῖ μόνος καὶ οἱ συνδειπνοῦντες, ἀλλ' ὃν πολλοὶ ἐθεάσαντο ἐν τοῖς γυμνασίοις τραχηλιζόμενόν τε ῥᾳδίως καὶ μεταφέροντα τοὺς c ἁλτῆρας. ὅστις οὖν χρήματα μὲν οὐ πράττεται, ἀλλὰ δωρεῖται, ἐπιδίδωσι δὲ καὶ ἀρετὴν τοῖς χρωμένοις, πόρρω ἂν οὗτος σοφιστοῦ ἀποκρίνοιτο.

Ἀλλ' ἐγὼ ὄναρ ὑμῖν ἀλλότριον ἀπαγγέλλω. καὶ μὴ πείθεσθε, ὦ ἄνδρες, τοῖς ὀνειρώττουσιν ὑπὲρ τῶν ἐμῶν θησαυρῶν, ὅτι μοι ταμιεῖον ὑπερχειλές τε ἄγαν ἐστὶ καὶ ἐξαντλοῦσιν οἱ βουλόμενοι ἀφθόνως. καίτοι ὤφελεν αὐτῶν ὕπαρ εἶναι τὸ ὄναρ. οὐ γὰρ ἂν φαῦλον ἦν ἐλευθεριότητα καὶ μεγαλοπρέπειαν ἐπιδείκνυσθαι οὐ μόνον ἐν λόγῳ καλῷ καὶ ἔργῳ, μάλιστα ἐκ πλούτου δικαίου ἄνωθεν κατιόντος· οὗ αἱ πηγαὶ πόρρωθεν ῥέου- d σιν ἄγαν διαφανεῖς καὶ πραεῖαι, καὶ οὐδαμόσε αὐτὰς μολύνει ῥεῦμα ξυμμιγνύμενον ἀδικίας. ἀλλ' οὔτε μου τὰ πατρῷα τοσάδε ἐστὶν οὔτε ἐγὼ χρηματιστὴς καὶ ποριστικός.

Ὅ τε αὖ λέγουσιν οἱ κατήγοροι, καὶ τοῦτο ἄλλο ὄναρ ἐστίν, ὡς ἄρα πυρῶν βασιλικῶν σωροὺς ἀθρόους 292a δαπανῶ τοῖς ὁμιληταῖς καὶ διανέμω. δαπανῶ μὲν γὰρ πυροὺς βασιλικοὺς ἐκ τῶν σιτοφυλακίων τῶν δημοσίων, καὶ εἰ τοῦτο σημεῖον τοῦ σοφιστὴν εἶναι, πάντες ἂν εἶητε σοφισταί, οὐ μόνον ὑμεῖς οἱ ἐνθάδε συγκαθήμενοι, ἀλλὰ καὶ οἱ νευρορράφοι καὶ οἱ βαλανεῖς καὶ οἱ σκυτοτόμοι καὶ πάντες ὅσοι καλαμηφοροῦσιν ὄρθριοι ἐπὶ τὰς ἐργα-

---

352, 21 καλῷ] ἀλλὰ Petavius. 30 ἐκ τῶν Petavius. Vulgo ἐκ καὶ τῶν. ἐκ δὲ τῶν Iacobsius apud Goellerum p. 272.

ναῦς. ἀλλ' ἐκεῖνο δίκαιον ὑμᾶς ἐξετάζειν, ὅτι μοι ἐξὸν οὐ σίτου μόνον διακοσίους μεδίμνους οὐδὲ ἐλαίου ἴσα κεράμια — καίτοι τοὔλαιόν γε οὔπω ἴσασιν οἱ κατή- b
γοροι, ἀλλ' ἐξέφυγέ με οὐκ οἶδ' ὅπως, ἵνα μᾶλλον σφαδάζοιεν καὶ ἀγανακτοῖεν — ἀλλ' ὅτι μοι οὐ ταῦτα μόνα ἐξὸν παρὰ βασιλέως καρποῦσθαι, ἀλλ' ἐκείνου τοῦ μακροῦ καταλόγου τῆς τρυφῆς καὶ τῆς εὐπαθείας, ὁπόσα ταῖς δέλτοις ἀκολουθεῖ ταῖς σφυρηλάτοις, καὶ ταῦτα οὔτε λιπαρήσαντα οὔτε θωπεύσαντα οὔτε ἑτέρῳ προστάτῃ χρησάμενον καὶ προσηγόρῳ, ἀλλ' αὐτοῦ παρόντος ἐπὶ τοῖς λόγοις, ὧν αὐτήκοος ἐγένετο οὐχ ἅπαξ οὐδὲ δὶς, ἀλλὰ πολλάκις, ὥστε ἀξιῶσαι τῶν μεγίστων c
γερῶν, ὅμως ταῦτά μοι ἐξὸν οὐχ ὑπεῖξα οὐδ' ὑπήκουσα, καὶ πάνυ προθυμουμένου. εἰ δὲ ὀρθῶς ἢ μὴ, κοινωνοὶ γίνεσθε τῆς γνώμης.

Φαίνεταί μοι αἴσχιστον εἶναι καὶ ἀλλότριον ἀνδρὸς ἐλευθέρου τὸ ψεύδεσθαι εἰς τὸ κυριώτατον τῶν ἑαυτοῦ καὶ ἐξαπατᾶν τοὺς ἀνθρώπους· κυριώτατον δὲ τῶν ἑαυτοῦ καὶ ἔργων καὶ παθημάτων ὁ τύπος τοῦ βίου καὶ ὁ χαρακτὴρ ὃν ὑποδύεται. ὅστις οὖν φιλοσοφίας μεταποιούμενος, καὶ τοῦτο τοὔνομα ἕλκων τε καὶ ἀναγκάζων, ἱστᾷ τε ὕεια ταρίχη καὶ ζυγομαχεῖ τοῖς ταμίαις, τὸν οἶνον καὶ τὰ ὄψα ἀπαργυρίζων, οὗτος ψεύδεται d
μὲν τὸ τριβώνιον, ᾄττει δὲ ἐπὶ τὴν ζώνην καὶ τὴν χλαμύδα, καὶ φορτικώτερός ἐστι τῶν τὰ ὅπλα φερόντων στρατιωτῶν. διὰ ταῦτα οὖν ὅσα μὲν τὴν χρείαν μοι ἀναγκαίαν εἶχε καὶ οἷς σιτοδοτεῖ βασιλεὺς τοὺς οἰκήτορας τῆς πόλεως, οὐ τοὺς στρατιώτας, ἀπολαύω καὶ αὐτὸς, ὦ ἄνδρες, τὸ μέρος· μετέχω γὰρ τῆς πολιτείας καὶ τὴν ἐνθάδε ξυνοίκησιν προυτίμησα τῆς ἐνεγκούσης, ἐν ᾗ εἴπερ τις διάγειν ἐῴην, κατατέμνεσθαι ἂν ἄξιος 293 a
εἴην, εἰ πυρῶν ἑτέρωθι προσδεοίμην. ὅσα δέ μοι τὸ βαλάντιον ἔμελλε γεμιεῖν, οὐ τὸν λιμὸν ἀκεῖσθαι τῶν ἀνδραπόδων, καὶ ὅσα ἀνάγκη εἰσδεχόμενον ἦν εὐθὺς

353, 22 ἱστᾷ τε ὕεια Petavius. Vulgo ἱσταιτεύει. 31 ἐῴην] Aut ἐῴη scribendum, aut ἐῴμην deleto τις. Vidit Petavius.

καὶ τοὔνομα περιῆφθαι οὐξοδαπὸν τῷ τριβωνίῳ, ἀπισχυρισάμην τε ἀτενῶς καὶ οὐκ ᾔσχυνα τοὺς προγόνους, οὐ τὰ αὐτὰ ἐφρόνουν περὶ βασιλέως καὶ φιλοσόφου καὶ ἄμφω ἐνόμιζον κατοικεῖν ὁμοίως ἐν ταῖς κορυφαῖς τῆς ἀνθρωπίνης εὐδαιμονίας καὶ προσωτέρω οὐκ ἔχειν ᾗ
b προβήσετον. τὸν δὲ οἰόμενον καὶ μεῖζόν τι ἕτερον ὀνειροπολοῦντα κάτω που ἐστὶ πλανᾶσθαι οὐδὲ ἀνελθεῖν εἰς ἐκείνην τὴν σκοπιάν, ἣ ὑψηλοτάτη τέ ἐστι καὶ ὑπερκύπτει τὸν οὐρανόν· ἔνθεν οὐ μόνον γῆ καὶ θάλαττα ἄποπτος πᾶσα, ἀλλὰ καὶ ὁ θρόνος αὐτοῦ τοῦ Διὸς καὶ ἡ ἀληθινὴ προεδρία καὶ αἱ πηγαὶ τοῦ νέκταρος καὶ ὁ λειμὼν τῆς ἀμβροσίας· οὗ ἀναβῆναι οὐκ ἔστι δέλτῳ χρυσῇ ἐποχουμένους, ἀλλ' εἴ τις ἐκείνης κρατήσειε καὶ ἐπαύροιτο τῆς ἀρχαίας καὶ ἀθριπηδέστου, ἐν ᾗ Πλάτων καὶ Πυθαγόρας τὰ γράμματα ἐχαραξά-
c την. ποῖον οὖν ἐγὼ σιτοφυλάκιον ἐκκενῶ τοῖς ὁμιληταῖς τοῖς ἐμοῖς; ποίους δὲ πυροὺς ἐπιχέω, καθάπερ τοῖς νεωνήτοις τὰ καταχύματα; καὶ Ἀρίστιππον μὲν τὸν Κυρηναῖον καὶ ταῦτα δεκαπλάσιοι ὄντες οἱ Διονυσίου πυροὶ οὐκ ἐποίησαν σοφιστήν· ἐγὼ δὲ ὑπερακοντίζω καὶ τὸν Γοργίαν, ὡς ἔοικεν, ἐπὶ ταῖς τριάκοντα χοίνιξιν.

Ἀλλὰ δῆτα αὐτὸς μὲν ἀποκλείω τὸ ταμιεῖον καὶ ἧττον ἂν χαλκοῦν τῳ προείμην ἢ ξύμπασαν ὁμοῦ γεωμετρίαν καὶ ἀριθμούς· ἀπεβουκόλησα δὲ ἕνα τῶν νέων
d χρηστόν τε ἄγαν καὶ τεθραμμένον ἐν ὀρφανίᾳ, ὃς οἰκουρεῖ ὑπὲρ ἐμοῦ καὶ προτίθεται δύο τραπέζας, τὴν μὲν τρυφῆς γέμουσαν, τὴν δὲ ἀργυρίων· κᾆτα προΐσχονται αὐταῖς καὶ ἐκκρέμανται οἱ Ἀριστοτέλους μὲν οὐδὲν δεόμενοι, βίου δὲ χρῄζοντες καὶ τοῦ γεμίζεσθαι τὴν γαστέρα· καὶ δορυφορεῖ με ἐμβάλλοντα εἰς τὴν ἀγορὰν καὶ συρφετὸς οὗτος καὶ ἡ γρυμαία, κεκραγότες

354, 1 οὐξοδαπὸν] οὐ ξυνοπαδὸν Harduinus. 3 οὐ τὰ] ὅτι τὰ Petavius. 25 ἀριθμούς Petavius. Vulgo ἀριθμοῦ. 28 κᾆτα προΐσχονται Stephanus. Vulgo καταπροΐσχονται. 30 χρῄζοντες Petavius. Vulgo χρῄζεσθαι.

καὶ ἐκβοῶντες ἐφ' ἑκάστῳ ῥήματι ὧν ἂν λέγω, καὶ 294 a
παραβαλλόμενοι πρὸς ἀλλήλους ὅστις ἄμεινον ἀποδοίη
τὸ ἔργον ἐφ' ὃ θηρεύουσιν. εἰ τοιοῦτον ἐγὼ χορόν τε
καὶ χορηγὸν συνεστησάμην, πάνυ ἂν εἴην σοφιστὴς καὶ
οὐδέν τι μεῖον ἢ Πρωταγόρας ἀποχρώμενος Καλλίᾳ τῷ
λακκοπλούτῳ· ἀλλ' οὐδεὶς οὕτως εὐδόκιμος τῶν ἐμῶν
μαθητῶν οὐδὲ ὑπερβάλλων σιναμωρίᾳ, ἀλλὰ προσέρ-
χονται μέν μοι καὶ ἀγαπῶσι, μισθὸν δὲ οὔτε εἰσφέ-
ρουσιν οὔτε ἀποφέρονται. b

Τῷ μὲν οὖν αὐτὸς θηρεύω τε καὶ προσάγομαι;
καὶ τίς ἡ ἐπῳδὴ καὶ ἡ μαγγανεία, δι' ἣν πολλοὶ ἀπο-
λιπόντες καὶ τὴν ἀρχαίαν Ἑλλάδα καὶ τὴν πρόσοικον
Ἰωνίαν, ἐν αἷς ἀμφοτέραις διδασκαλεῖα μέγιστα φιλο-
σοφίας, ἔπειτα εἰς τὴν πόλιν ἡμῖν συμφοιτῶσι; καὶ
οὐδὲν αὐτοὺς ἀποκωλύει ἐξ ὧν ἡ πόλις μεγάλη τε ἐστὶ
καὶ εὐδαίμων, καὶ οὐχ ἡδοναὶ ἐκκεχυμέναι, οὐ πανη-
γύρεων θόρυβος, οὐ σχολῆς σπάνις καὶ ἡσυχίας, οὐχ c
αὐτοὶ οὗτοι οἱ ὀξὺ βλέποντες συκοφάνται καὶ τὰς αἰχμὰς
τῷ χρῷ ἐπισείοντες; ὀκνῶ μὲν εἰπεῖν, ὦ ἄνδρες, μὴ
καὶ ἀτεχνῶς δόξαιμι καλλωπίζεσθαι· συνελαύνουσι δὲ οἱ
κατήγοροι τὰς ἀληθινάς με ἐπαγωγάς, αἷς χρῶμαι ἐπὶ
τοὺς νέους, εἰς τὸ θέατρον ἐξενεγκεῖν ἀντὶ τῶν ψευδῶν
καὶ πεπλασμένων. καίτοι αἰσθάνεσθε αὐτῶν ἱκανῶς
καὶ οὐ σφόδρα ἀτήρητοι ὑμῖν εἰσιν· ὅμως δὲ ἔτι καὶ
μᾶλλον ἀποκαλυπτέα καὶ γυμνωτέα.

Ἐμοὶ νέῳ ὄντι συγγράμματα ἄττα πεποίηται, ἐν d
οἷς τὸν κλῆρον κατεθέμην καὶ ἐθησαύρισα, ὃν παρὰ
τῶν ἐμῶν πατέρων διεδεξάμην. καταλέγει τὰ συγγράμ-
ματα ταῦτα ἴδιον μὲν οὐδὲν οὔτε ἐμὸν οὔτε ἄλλου,
ἐμφανίζειν δὲ ἐπιχειρεῖ τὸν νοῦν τὸν Ἀριστοτέλους καὶ
ἐξάγειν ἐκ τῶν ῥημάτων ἐν οἷς ἐκεῖνος αὐτὸν καθεῖρξέ
τε καὶ ἐφράξατο, τοῦ μὴ ἐπίδρομον εἶναι τοῖς παντάπα-
σιν ἀμυήτοις. καὶ ταῦτα ἐγὼ τὰ συγγράμματα ἄλλῳ
μὲν οὐδενὶ πώποτε ᾤμην οὔτε χρείαν ἕξειν οὔτε ἔσε- 295 a

355, 7 σιναμωρίᾳ] Vulgo σιναμωρίαις. Correxit Iacobsius ad Ach. Tat. p. 609. 9 ἀποφέρονται Iacobsius. Vulgo ἀποφέρομαι.

σθαι σπουδαῖα· οὐδὲ γὰρ οὕτω πολυτελῶς καὶ ἀνδρείως ξυντεθέντα αὐτὰ ἠπιστάμην, ἐμαυτῷ δὲ μόνῳ μνημόσυνα καὶ ἀποθήκην ὧν ἠκηκόειν, ἵν', εἴποτε ἀποφύγοι τὴν μνήμην, ἐξῇ μοι ὥσπερ ἐκ ταμιείου λαμβάνειν ἀσφαλοῦς τε καὶ ἀναλώτου ἀπὸ τῆς λήθης. διὰ ταῦτα οὖν ὀρρωδοῦντός μου ὑπὲρ αὐτῶν καὶ ἐν φυλακῇ ποιουμένου ὅπως ἂν μὴ θύραζε ἐκφοιτήσειαν, λανθάνουσιν οἱ λόγοι οὗτοι ἀποδράντες οὐκ οἶδα ὅπως, καὶ μετὰ
b σπουδῆς κυλινδούμενοι ἐξ ἄλλου εἰς ἄλλον ἀφικνοῦνται εἰς Σικυῶνα.

Ὤικει δὲ ἐν Σικυῶνι τηνικαῦτα ἀνήρ, ὃν ἐγὼ φαίην ἂν ἀτρεκέστατά τε καὶ ἀδολώτατα τῶν γε ἐπ' ἐμοῦ Ἑλλήνων ἀντειλῆφθαι φιλοσοφίας, ἀκουστὴς μὲν γεγονὼς τοῦ Χαλκιδέως πρεσβύτου, θεραπεύων δὲ οὐ τὴν νέαν ᾠδήν, ἀλλὰ τὴν πάτριον καὶ ἀρχαίαν τῆς Ἀκαδημίας καὶ τοῦ Λυκείου· οὐχ οἷος κολούειν τε καὶ πρίεσθαι καὶ βασκαίνειν, εἰ χρηστοῦ τινος ἕτερος μεταποιοῖτο, ἀλλ' οἷος συνεξορμᾶν καὶ συνοτρύνειν οὓς ἂν
c αἴσθοιτο φυομένους πρὸς ἀρετήν. οὗτος ὁ ἀνὴρ μικρὰ ὁμιλήσας τῇ ἐμῇ εἴτε σπουδῇ εἴτε παιγνίᾳ ταυτὸν μικροῦ ὑπέμεινε πάθος Ἀξιοθέᾳ τῇ φιλοσόφῳ καὶ Ζήνωνι τῷ Κιτιεῖ καὶ τῷ γεωργῷ τῷ Κορινθίῳ. Ἀξιοθέα μὲν γὰρ ἐπιλεξαμένη τι τῶν ξυγγραμμάτων ἃ Πλάτωνι πεποίηται ὑπὲρ πολιτείας, ᾤχετο ἀπιοῦσα Ἀθήναζε ἐξ Ἀρκαδίας, καὶ Πλάτωνος ἠκροᾶτο λανθάνουσα ἄχρι πόρρω ὅτι γυνὴ εἴη, ὥσπερ ὁ Ἀχιλλεὺς τοῦ Λυκομήδους· ὁ δὲ γεωργὸς ὁ Κορίνθιος τῷ Γοργίᾳ ξυγγενόμενος — οὐκ αὐτῷ ἐκείνῳ Γοργίᾳ, ἀλλὰ τῷ λόγῳ ὃν Πλάτων ἔγρα-
d φεν ἐπ' ἐλέγχῳ τοῦ σοφιστοῦ — αὐτίκα ἀφεὶς τὸν ἀγρὸν καὶ τὰς ἀμπέλους Πλάτωνι ὑπέθηκε τὴν ψυχὴν καὶ τὰ ἐκείνου ἐσπείρετο καὶ ἐφυτεύετο. καὶ οὗτός ἐστιν ὃν τιμᾷ ὁ Ἀριστοτέλης τῷ διαλόγῳ τῷ Κορινθίῳ. τὰ δὲ ἀμφὶ Ζήνωνος ἀρίδηλά τέ ἐστι καὶ ᾀδόμενα ὑπὸ

356, 3 ἀποφύγοι] Vulgo ἀποφύγοιτο. 18 συνοτρύνειν] Videtur συνεξοτρύνειν scripsisse ut p. 256 a. 32 τῷ Κορινθίῳ] Vide Huschkium de Annio Cimbro p. 63.

πολλῶν, ὅτι αὐτὸν ἡ Σωκράτους ἀπολογία ἐκ Φοινίκης ἤγαγεν εἰς τὴν Ποικίλην.

Αὐτὸς μὲν δὴ ἀνὴρ ἐκεῖνος οὐκ ἐδεῖτο ἐπισιτεῖ- 296 a σθαι, τὴν δὲ ἑπομένην ἀγέλην αὐτίκα ἐξώρμα ἅπασαν εἰς τὸν Βόσπορον. καὶ ἐπειδὴ ἠμφισβήτουν οἱ νεανίαι, πέμπει εἰς θεοῦ πευσομένους εἰ ἄρα ἄμεινόν τι ἐκεῖνος γιγνώσκει· καὶ φέρει τὴν αὐτὴν ψῆφον ὁ θεὸς, οἵαν πάλαι ἐπὶ Σωκράτην. πιστεύσατε, ὦ ἄνδρες, νὴ τὸν Ἀπόλλω ἐκεῖνον, ὅτι ταῦτα ἐγὼ οὐ μῦθον συμπλάσας ὥσπερ μειρακίοις προσάγω, οὐδὲ καταπλήττομαι ὑμᾶς τῷ κριτῇ, οὐδὲ καλλωπίζομαι καὶ ἁβρύνομαι ἄνευ ἀνάγκης, ἀλλ' ὅτι οὐκ ἔστιν ἄλλως ἀμύνασθαι τοὺς λοιδορουμένους τε καὶ τοὺς βλασφημοῦντας ἢ πολλῷ b ἀμείνους ἐπιδεικνύντα τοὺς ἀγαπῶντας καὶ εὐφημοῦντας. ἐπεὶ καὶ Σωκράτης ἐκεῖνος πρὸ μὲν τοῦ οὐκ ἐξέφαινε τοῦ Πυθίου τὴν μαρτυρίαν, ἐπεὶ δὲ αὐτὸν Λύκων τε καὶ Ἄνυτος διεβαλλέτην καὶ Μέλητος ἐφειστήκει γραψάμενος ὡς σοφιστὴν καὶ διαφθορέα τῶν νέων, τότε δὴ ξυνηναγκάσθη τοῖς δικασταῖς ἀναβιβάσασθαι μάρτυρα τὸν θεόν. ἀλλ' ἐκεῖνοι μὲν οἱ δικασταὶ ὑπ' ἀγνωμοσύνης τὸ παραυτίκα ἐξηπατήθησαν καὶ ἐγοητεύθησαν ὑπὸ τοῦ λόγου ὃν ξυνέγραψε Πολυκράτης, Ἄνυτος δὲ c ἐμισθώσατο. δῆμος γὰρ ἦσαν καὶ οὐδὲν ἱερόν· ὑμεῖς δὲ ἔκκριτοι ἁπανταχόθεν καὶ προσέτι κοινωνεῖτέ μοι τοῦ ἀγῶνος. τὸ γὰρ ἄμεινόν τι εἶναι ἐμὸν πρᾶγμα ἢ κατὰ σοφιστὴν οὐκ ἄλλοι τινὲς πρότερον ὑμῶν καὶ ὑπέλαβον καὶ ἐπεφήμισαν.

Μῶν ἄρα ἔτι θαυμαστὸν, εἰ τοιούτοις ἐγὼ χρώμενος ἀρωγοῖς τε καὶ συλλήπτορσι τοῦ κυνηγεσίου, ἐθηρευσάμην ὀλίγους νέους καὶ τοιούσδε ὑπὲρ ἐμαυτοῦ κεκτημένος ἑστιάτορας καὶ μισθοδότας προσηγαγόμην d τοὺς λίχνους τῶν μαθητῶν; οὐ γὰρ λίαν, ὡς ἔοικε, φαῦλαί εἰσιν αἱ ἄρκυς τε καὶ τὰ δίκτυα ὧν μικροῦ ἔμπροσθεν ἐμνήσθην, ἅ με ἀποδράντα τῆς οἰκίας αὐ-

---

357, 8 πιστεύσατε Petavius. Vulgo ἐπιστεύσατε. 17 Μέλητος] Vulgo Μέλιτος.

τόματα περιθεῖ, ὥσπερ τὰ Δαιδάλου ἔργα, σαγηνεύοντα καὶ συμπλέκοντα τοὺς νέους ὅσοι μὴ βεβυσμένοι εἰσὶ τὰ ὦτα, καὶ προσάγει μοι τὴν ἄγραν οὔτε μέγα οὔτε μικρὸν πραγματευομένῳ. ἀλλ' ἐκεῖνο θαυμαστὸν τῶν
297 a κατηγόρων, ὅτι ἐξὸν αὐτοῖς τὰ δίκτυα ταῦτα ἐν τῷ μέσῳ οὑτωσὶ περιτρέχοντα καὶ ἐν ταῖς χερσὶ τῶν ἀνθρώπων καταγαγεῖν ἀπὸ τῶν χαλίδων καὶ διασπάσαι τὰ ἀκρωλένια καὶ ἐπιδεῖξαι τοὺς βρόχους ὅτι λαγαροὶ ἄγαν καὶ ἀσθενεῖς καὶ ὑπὸ ἀγνοίας αὐτοῖς οἱ ἄνθρωποι ἐγκαταδοῦνται· οἱ δὲ τοῦτο μὲν ἢ οὐχ οἷοί τέ εἰσιν ἢ οὐ προαιροῦνται, ὥσπερ δὲ τὰ φαῦλα τῶν κυνιδίων ὑλακτοῦντα ἀεὶ καὶ θορυβοῦντα, ταῦτα μὲν ὀνίναται οὐδὲν, ἀποσοβεῖ δὲ τὴν ἄγραν.

b Εἶεν. τὸν μὲν δὴ ἔμμισθον σοφιστὴν μόλις πως ἄρα διανενεύκαμεν. σκοπῶμεν δὲ ἐφεξῆς τὸν ἔμπορον καὶ τὸν κάπηλον καὶ τὸν αὐτοπώλην, εἰ ἄρα τούτων ἡμῖν προσήκει τι τῶν ὀνομάτων. λέγει τοίνυν ὁ θεσπέσιος Πλάτων ὅτι οὔσης τινὸς τέχνης ἀλλακτικῆς, ἣ διαμείβεται ὧν δίδωσιν ἃ λαμβάνει, ἡ μὲν ἐξ ἄλλης πόλεως εἰς ἄλλην ὠνῇ τε καὶ πράσει χρωμένη καὶ μεταβάλλουσα τὰ ἀγώγιμα ἐμπορικὴ ὀνομάζεται ὑπὸ τῶν ἀνθρώπων, ἡ δὲ ἐν πόλει μιᾷ καθημένη ἀλλακτικὴ τῶν αὐτῶν τούτων, εἰ μὲν αὐτουργοῦσα τὰ αὑτῆς ἔργα
c νομίσματος ἀποδιδοῖτο, ὥσπερ οἱ μάγειροι καὶ οἱ βαλανεῖς, αὐτοπωλικὴ ἂν ἐν δίκῃ καλοῖτο, ἡ δὲ τὰ ἀλλότρια ὠνουμένη καπηλική· τούτων δ' οὖν τῶν τριῶν ἑκάστην μίαν οὖσαν σχίζεσθαι διχῇ τῇ αὐτῇ τομῇ καθ' ὅ τι ἀλλήλων διαφέρει τὰ ἀγοράσματα. ἔμπορον γὰρ τὸν μέν τινα εἶναι σιτίων τε καὶ ἱματίων καὶ ὑποδημάτων καὶ ἐν βραχεῖ ὅσων τὸ σῶμα τὸ ἡμέτερον ἐπιδεές· τὸν δέ τινα λόγων τε καὶ μαθημάτων οἷς ψυχὴ τρέφεται ἢ κολακεύεται· ὁμοίως δὲ αὖ κάπηλον,
d ὁμοίως δὲ καὶ αὐτοπώλην. εἴτε οὖν μουσικήν τις εἴτε

358, 15 διανενεύκαμεν] Ex Platone: vide Ruhnken. ad Timaeum p. 79. 32 κάπηλος] Platonis Protagoram p. 297 d. comparat Iacobsius apud Goellerum p. 280.

γραμματιστικὴν εἴτε ζωγραφίαν εἴτε ἄλλο τι ψυχῆς ὠφέλημα ἢ παραμύθιον ἐκ πόλεως εἰς πόλιν μετάγων, ἔνθεν μὲν ὠνοῖτο, ἑτέρωθι δὲ ἀποδιδοῖτο, ἔμπορος οὗτος οὐδέν τι μεῖον ἢ Λάμπης ὁ Αἰγινήτης· εἴτε αὐτοῦ καθιδρυμένος ἐν πόλει, καὶ τὰ μὲν ὠνούμενος μαθήματα, τὰ δὲ καὶ αὐτὸς τεκταινόμενος πωλοίη καὶ ἀλλάττοιτο ἀργυρίου, κάπηλος οὗτος ἢ αὐτοπώλης κομψότερος μικρῷ Σαράμβου καὶ Θεαρίωνος. καὶ οὕτως 298a *αὖ τρικέφαλόν τινα αὖθις ὥσπερ τὸν Γηρυόνην ἀποφαίνει τὸν σοφιστήν.*

Τίνι οὖν με τῶν ἀλλακτικῶν ἐγγράφουσιν οἱ κατήγοροι; μῶν τῷ πλανήτῃ, ἢ τῷ σταδιαίῳ; ἐγὼ τοίνυν πολλαῖς μὲν ὡμίλησα πόλεσι καὶ ξυνεγενόμην, καὶ ἀπεδήμησα μακρότερα ἢ ὁ Σωκράτης, οὐχ ὅσον εἰς Ποτίδαιαν στρατευόμενος. ἀλλ' ὅπλα μὲν οὐκ ἤνεγκα ὑπὲρ ὑμῶν, ὑμῶν δ' αὖ εἵνεκεν πολλὴν γῆν ἐπῆλθον καὶ πολλὰς πόλεις μεγάλας τε καὶ εὐδαίμονας, ἀτὰρ δὴ καὶ τὴν μητρόπολιν τὴν ἡμετέραν, οὐ τὰ ἀρχαῖα Μέγαρα b *λέγω, ἀφ' ὧν ὡρμήθησαν οἱ τῷ Βοσπόρῳ προσοικήσαντες, ἀλλ' ἣ τῶν μὲν ἄλλων πόλεων βασιλεύει, τῇ δὲ ὑμετέρᾳ συμβασιλεύει. καὶ εἰ μέν τι καὶ ἄλλο χρηστὸν ἐξ ἐκείνης ὑμῖν ὑπῆρχε τῆς ἀποδημίας, οὐκ ἂν δυσχυρισαίμην· ἤγαγον δ' οὖν αὐτοῖς τὰ ἀγώγιμα ὅσα τέ μοι πρῶτα ὑπῆρχε καὶ ὅσα παρ' ὑμῖν ἐνθένδε ἐπορισάμην ἐν εἴκοσιν ὅλοις ἐνιαυτοῖς, πολλὰ μὲν ἐκ τῶν ἀρχαίων συλλεξάμενος θησαυρῶν τῆς μνημοσύνης, ἔστι δὲ ἃ καὶ αὐτουργήσας. καὶ ὅπως δὴ οἱ πάντες ἐκεῖνοι περιφρονοῦντες καὶ οὐδὲν τῶν ἔξωθεν ἀφικνουμένων* c *θαυμάζειν ἢ ἐθέλοντες ἢ δυνάμενοι διὰ τὴν περιουσίαν τῶν οἴκοι θαυμάτων, ὅμως τοσόνδε ἑάλωσαν καὶ ἐκρατήθησαν ὑπὸ τῶν ἀγωγίμων τῶν ἡμετέρων, ὥστε πολλὴν μὲν χώραν καρποῦσθαι διδόντες ψιλὴν καὶ πεφυτευμένην, πολὺ δὲ ἀργύριον, πολὺ δὲ χρυσίον, ἰόντες τε εἰς τὴν κατάλυσιν ὁσημέραι καὶ θαυμαστὰ δρῶντες*

359, 23 *τὰ ἀγώγιμα*] „Plato in Protagora p. 313 c.“ Iacobsius. **25** *ὅλοις* Petavius. Vulgo *ὀλίγοις*.

ἀργύριον οὕτω προσάγεσθαι καὶ συνέχειν τὸ ποίμνιον. καὶ εἴην ἄν, ὡς ἔοικεν, ἐγὼ κατὰ τούτους ἕτερον τρόπον ἔμμισθος θηρευτής, οὐκ ἐπειδὴ λαμβάνω μισθόν, ἀλλ' ὅτι προσδαπανῶμαι.

Ἐγὼ οὖν καὶ περὶ ταύτης τῆς βλασφημίας ἢ εὐφημίας, ὦ ἄνδρες, ὧδε ἔχω γνώμης. τὸ μὲν ἐπαρκεῖν c ἁπλῶς καὶ ἀναλίσκειν τοῖς ὁμιληταῖς δεομένοις πολύ μοι φαίνεται ἐλευθεριώτερόν τε καὶ μεγαλοπρεπέστερον ἢ στρεβλοῦν τε αὐτοὺς καὶ κατατείνειν καὶ ἄγχειν ἀναγκάζοντα ἀποτιννύναι μὴ οἵους τε ὄντας. ἀτὰρ οὔτ' ἐκεῖνο καθ' αὑτὸ ἀξιέπαινον οὔτε τόδε, ἀλλὰ τόδε μὲν οὐδεπώποτε ἀρετῆς σημεῖον, ἀλλὰ φιλοκερδοῦς καὶ ἐρασιχρημάτου ψυχῆς καὶ ἀτεχνῶς σοφιστικῆς καὶ ἐμμίσθου, εἴθ' ὑπὲρ τῶν Δημοσθένους δικῶν εἴθ' ὑπὲρ τῶν Ἀριστοφάνους δραμάτων εἴθ' ὑπὲρ τῶν πάντων ῥημάτων τε καὶ ὀνομάτων ὑπέχειν τὴν χεῖρα ἔξω τῆς χρείας καὶ d χαλεπώτερον εἶναι τῶν δημοσίων πρακτόρων. ἐπεὶ καὶ Πρόδικος καὶ Πρωταγόρας ὁ Ἀβδηρίτης ὁ μὲν ὀρθοέπειάν τε καὶ ὀρθορρημοσύνην μισθοῦ ἐκδιδάσκων τοὺς νέους, ὁ δὲ τὰ Σιμωνίδου τε καὶ ἄλλων ποιήματα ἐξηγούμενος, σοφισταὶ ὅμως καὶ ἤστην καὶ ἐλεγέσθην. τὸ γὰρ ἐφ' οἵῳ δὴ σχήματι παιδείας ἀργυρολογεῖν παρὰ τῶν νέων τε καὶ πλουσίων, τοῦτο εἶναί φησι σοφιστὴν ὁ πρωτοστάτης τοῦ καταλόγου τῶν λόγων οὓς Πλάτων 290 a ἐπ' αὐτῶν διεστήσατο. τούτου οὐδὲ Ἴκκον τὸν γυμναστὴν τὸν Ταραντῖνον οὐδὲ Ἡρόδικον τὸν Σηλυμβριανὸν παιδοτρίβην ἀφίησι τοῦ ὀνόματος, ἀλλὰ παραπετάσματα μέν φησι ποιεῖσθαι τὼ ἄνδρε ἐκείνω τὰς τέχνας, τῇ δὲ ἀληθείᾳ σοφιστὰς ἱκανῶς εἶναι, ὅτι ἐχρηματίζοντο ἀπὸ τῶν νέων. καὶ ἴσως οὐκ ἂν μεθεῖτο οὐδὲ ὀκνήσειεν οὐδὲ τὸν Ἀριστοτέλους προσποιούμενον εἶναι προφήτην, εἰ μισθὸν πράττοιτο τῆς προφητείας, ἀλλὰ καθέξει τε καὶ ἀμφισβητήσει ὡς ὑπευθύνου. καὶ γὰρ εἰ σεμνὸν τὸ σχῆμα

350, 25 τούτου οὐδὲ Iacobsius in append. ad Pors. Advers. p. 290. Vulgo τοῦ τοιοῦδε. 27 Σηλυμβριανὸν Wesselingius ad Diodori S. XIII, 66. Vulgo Συλημβριανόν.

ἀληθινὴ ἡ σοφία, ἀλλ' οὐ χρή γε αὐτὴν καταβάλλειν b καὶ ἀργυρίου δεικνύναι ἄξιον. ἀλλ' ὅπερ λέγω, τὸ μὲν ἐφ' ὅτῳ δὴ μαθήματι, εἴτε σπουδαιοτέρῳ εἴτε φαυλοτέρῳ, μισθοφορεῖν παρὰ τῶν νέων σοφιστικὸν νομιοῦμεν, εἰ τῷ λόγῳ ξυνεποίμεθα· ὁ δὲ χεῖρα ὀρέγων καὶ ἐπανορθῶν τὴν ἔνδειαν τῶν δεομένων, εἰ μὲν τὴν ψυχὴν βελτίω κατασκευάζων καὶ τῷ σώματι ἐπικουροίη, οὗτος ἂν ὁ τέλειος νομίζοιτο καὶ ὁλόκληρος σωτήρ τε καὶ εὐεργέτης· εἰ δὲ τῆς σαρκὸς ἐπιμελοῖτο, ἐπιβουλεύοι δὲ τῇ διανοίᾳ, σοφιστὴς μὲν ἂν εἴη καὶ ἀλαζών, μετριώ- c τερος δὲ τοῦ ἀμφότερα λαβομένου.

Σκοπεῖσθαι οὖν χρὴ τοὐμὸν ὅπως ἔχει καὶ ἀναθεάσασθαι. καὶ δὴ συγχωρήσωμεν αὐτοῖς τὴν πρώτην, ὡς ἄρα ἐγὼ πολλῶν ἀργυρίων τοὺς ὁμιλητὰς μεμίσθωμαι καὶ ἐώνημαι, καὶ εἰσὶν οἱ μὲν πολλοὶ ἄρα μναιαῖοι, οἱ δὲ διμναιαῖοι, οἱ δὲ δὴ ἄχρι ταλάντου. τί οὖν; ἀνάγκη μοι παρὰ φύσιν σμικρόν τι καὶ ἀπανθαδίσασθαι· ἔστιν ὅντινα ἴστε μετὰ τὴν ἐμὴν συνουσίαν — λέγω δὲ οὐκ εἴ τις χρόνιον τινὰ εἰσέφρησεν εἰς τὸ διδασκαλεῖον ἡμιμανὴς καὶ ἐκάθητο χασμώμενος ἐπὶ τοῦ d ξύλου, ὃν οὐχ οἷόν τε ἦν ἐξελαύνειν κύνα λυττῶντα καὶ ῥόπαλον ἐπηρμένον· οὗτος γὰρ οὐκ ἐμοὶ ξυγγέγονε καὶ συνωμίλησεν, ἀλλὰ τῷ βάθρῳ τῷ ἐμῷ καὶ τῷ δωματίῳ· οὓς δὲ ἐγὼ ἐγκρίνω τε καὶ περὶ πλείστου ποιοῦμαι — ἔστιν ὅντινα μετὰ τὴν ἐμὴν συνουσίαν διεφθαρέντα καὶ χείρω ἐξ ἀμείνονος γεγενημένον; καὶ πρόσθεν μὲν ἐπιεικῆ καὶ πρᾶον δοκοῦντα, νῦν δὲ τύφου μεστὸν 291 a καὶ ἀποπληξίας; καὶ πάλαι μὲν τοὺς πολλοὺς αὐτὸν ἀποδεχομένους, νῦν δὲ δυσχεραίνοντάς τε καὶ ναυτιῶντας; ἠκούσατε δὲ αὖ τινος τῶν ἐμῶν ἐπιτηδείων ὑψηλολογουμένου καὶ βρενθυομένου ἐπὶ τοῖς συνωνύμοις ἢ ὁμωνύμοις ἢ παρωνύμοις; ἢ αὐτοὶ μὲν μέτριοι φύσει εἰσίν, ἐγὼ δὲ αὐτοὺς ὄγκου ἐμπίπλημι καὶ χαυ-

351, 11 λαβομένου] λωβωμένου Stephanus. 23 βάθρῳ Petavius. Vulgo βόθρῳ. 30 ἠκούσατε Stephanus. Vulgo ἀκούσατε.

τὰς εἰσόδους οἷαν χωλῶσαν ἤρετο τὴν φρόνησιν ἥτις εἴη. κολακεία, ἔφη, πρόδρομος ὑποκρίσεως. δαίμων αὕτη, ὡς ὁρᾷς, ἐνεδρεύουσα τοὺς εἰσιόντας, προσπλέκεται καὶ θαυμαστὰ δρᾷ γοητεύουσα, πείθουσα θαρ-
c σεῖν τε καὶ ἀνιέναι. τίς δὲ ἡ σκυθρωπὴ ἐκείνη καὶ σύννους, ἡ τοὺς ὀλίγους κατάγουσα κοπτομένους τε καὶ ἀνοιμώζοντας; μετάνοια, ἔφη, βραδεῖα καὶ οὐ σφόδρα εὔκαιρος δαίμων. ὅμως δέ τινας οὐκ ἐᾷ πάμπαν ὑπὸ τῶν ἑρπετῶν ἀπομυζηθῆναι, ἀλλ' ἀνίστησιν ἔτι πνέοντας καὶ οἴκαδε ἀποσώζει.

342, 8 ὅμως Stephanus. Vulgo ὅπως. 9 ἀπομυζηθῆναι] Vide Hemsterhus. ad Lucian. vol. I. p. 114.

XXIII.

ΣΟΦΙΣΤΗΣ. d

Ἆρα οἴεσθέ με, ὦ ἄνδρες, ἐπιδεῶς ἔχοντα ἔτι κρότου τε καὶ ἐκβομβήσεων, ὧν δαψιλῶς μοι εἰώθατε χορηγεῖν ἑκάστοτε, ὅταν λέγω, ἐγεῖραί τε αὖ καὶ τήμερον ἀγεῖραι ἀναβῆναι ἐπὶ τοῦ βήματος καὶ ἑτοίμως δέχεσθαι καὶ ἀγαπᾶν τοὺς θορύβους, οὓς ἂν διδῶτε ἐπὶ τοῖς ῥήμασιν; ἐμοὶ δὲ ἡδὺ μὲν δοκεῖ εἶναι καὶ πολλοῦ ἄξιον 283 a *ἄκουσμα ἔπαινος ἄδολος καὶ ἀληθινὸς, ὁποῖος ὁ παρ' ὑμῶν ἀπαντᾷ μοι ἀεὶ, αὐτοκέλευστος καὶ ἄνευ παραγγελίας, οὐ μὴν τούτου γε ἕνεκα φανείην ἂν πράγματα παρασχὼν ὑμῖν καὶ διοχλήσας. ἀλλ' ἐγὼ μὲν εἴσειμι, ὅταν εἰσίω, ὅπως ἄν τι νουθετήσαιμι ἢ διδάξαιμι ἢ προσαξοίμην ὑμῖν εἰς εὔνοιαν πλείω τὸν ἀρχηγέτην, ἢ καὶ εὐθύνας ὑπόσχοιμι οὐδὲν δεομένοις· ὑμεῖς δὲ ὑπὸ δεξιότητος καὶ φιλανθρωπίας θέατρά μοι ποιεῖτε τὰς ἐκκλησίας. οὐδὲν οὖν θαυμαστὸν εἰ καὶ τήμερον ἐγὼ* b *μὲν ξυνήγαγον ὑμᾶς ὡς δικαστάς μοι καθεδουμένους ὑπὲρ ὧν αἰτίαν ἔχω παρανομεῖν, ὑμεῖς δὲ τὸ εἰωθὸς ἀποδῴητε καὶ βοήσεσθε ἀναπηδῶντες, ἐπιλαθόμενοι ὅτι ψήφου κύριοι ἥκετε καὶ οὐ πανήγυρις τουτό ἐστιν, ἀλλὰ δικαστήριον ἐμμελέστερον καὶ σοφώτερον τοῦ εἰς ἕνα καὶ χιλίους, οἷς ἐπιτέτραπται ἐκ τῆς ψήφου ἐξενεγκεῖν ὅ τι χρὴ παθεῖν τὸν ἁλόντα ἢ ἀποτῖσαι.*

Καὶ πρῶτον δὲ ἐκεῖνο μὴ θορυβεῖσθε, ὅτι οὔτε c *φεύγων ἐγὼ οὔτε διώκων οὔτε προσκεκλημένος ὑπό του*

343, 11 *εἴσειμι* Petavius. Vulgo *ἴσημι*. 24 *ἐκεῖνο*] *πρὸς ἐκεῖνο* Stephanus.

γῇ σοῦ καὶ ἀδοξίας. τούτου γὰρ ἀνάγκη μὲν οὐδὲ τοὺς πάνυ φίλους ἴσην ἑκάστου μοῖραν μεταλαγχάνειν — φιλίᾳ δὲ τὰ πολλὰ τὸ πλέον ὑπεροψίαν κατὰ τοῦ ἐλάσσονος ἐπείγει. ὅθεν εἴ σε ἄγει προσωτέρω τούτων ἡ τύχη, συμπαρακτέον σοι καὶ τὸν φίλον· ἀπολειφθέντα γὰρ οὐ ῥᾳδίως ὄψει τοῖς αὐτοῖς ὀφθαλμοῖς. εἰ δὲ σὺ
b μὲν ἐφέλκοιο, τὸν δὲ ἂν ἀνάγκη τις ἀντισπῴη, θαμὰ ἐπιστρέφεσθαι πρὸς τὸ καὶ βλέμμα ὅμοιον τηρεῖν. εἰ γάρ σε λάθῃ παραδῦσα ἀλαζονεία, πάντα ἐκεῖνα ὀξέως τὰ δεσμὰ διαλύσει, μετέωρον ἄρασα. συμβαίνει γὰρ ὥσπερ πλάστιγγος ἐπὶ θάτερα κουφισθείσης τὴν ἰσορροπίαν τοῦ ζυγοῦ μὴ διαμένειν. ὁ μὲν οὖν τραγικὸς ποιητὴς καὶ τὸν ἀγνῶτα μέν, ἀγαθὸν δέ, ἐπαινεῖ καὶ φίλον ἡγεῖται, ἐγὼ δὲ καὶ τοῦτο μὲν τὸ ἔπος ὡς πάνυ
c κομψὸν ἐκδέχομαι, παραινέσαιμι δ᾽ ἂν τοῖς φιλίαν τηρεῖν βουλομένοις, τὴν συνήθειαν εἰς δύναμιν ἐπιπλέκειν καὶ τὸ συνδιατρίβειν ἀλλήλοις πολλοῦ ἄξιον εἰς τὸν σύνδεσμον ἡγεῖσθαι. εἰ γὰρ τὸ πᾶν εἰς ἅπαντα ἡ μελέτη, καὶ φιλίας μελέτην νομιστέον τὴν συνουσίαν.

Φιλονεικίαν γε μὴν καὶ τὸ δύσερι καὶ πᾶσαν ** ἐκποδὼν μεταστατέον, οἷον σπέρματα ἔχθρας εὐλαβουμένους. οὐ γὰρ ἐν ἀνταγωνισταῖς, ἀλλ᾽ ἐν συναγω-
d νισταῖς ἡ φιλία. τῷ τοι οὐδὲ ταῖς αὐταῖς ἐπιστήμαις ἢ τέχναις ἐνευδοκιμεῖν εἰκὸς τοὺς ἀσφαλῶς τὴν κοινωνίαν φυλάξοντας. σφαλερὰ γὰρ ἡ ὁμοιότης, ἔρωτα ἐντιθεῖσα τῶν αὐτῶν ἐπαίνων ἠρέμα, ἀντιπαρεξάγειν εἰς ἅμιλλαν. εἰ δ᾽ οὖν σε δαίμων ξυζεύξειεν ἢ ῥήτορα ἄντα ῥήτορι ἢ ἰατρὸν ἰατρῷ ἢ γραμματιστὴν γραμματιστῇ,
276 a μήτοι πρὸς τὸν φίλον φιλονεικεῖν, ἀλλὰ μᾶλλον πρὸς τὸν Ἡσίοδον· μηδὲ ἐκεῖνον χείρω σεαυτοῦ διελέγχειν, ἀλλὰ τὸν ποιητὴν μᾶλλον ἀπολειφθέντα τῆς ἀληθείας, ἀεὶ μὲν παραχωροῦντα τῆς πλείονος δόξης, εἰ ἄρα τι

334, 3 φιλίᾳ] ἐν φιλίᾳ Roulezius p. 58. 9 παραδῦσα] παρεισδῦσα Stephanus, comparata p. 278 a. 20 Lacunam post πᾶσαν indicavit Stephanus. πᾶσαν ἄνοιαν Iacobsius. 24 [illegible] Petavius. Vulgo [illegible].

καὶ σοφώτερον ἐκείνου, ἀεὶ δὲ ἐν χώρᾳ δευτέρᾳ τῆς τιμῆς ἱστάμενον, εἰ ἄρα σοι καὶ μᾶλλον ἢ πρώτη προσήκει· καὶ εἰ ταῦτα οὕτως πράξεις, οὐκέτι ἐκεῖνα τὰ ἔπη θαυμασόμεθα, ἀλλ' ἐροῦμεν πρὸς τὸν πατέρα τῶν στίχων ὅτι, ὦ θαυμάσιε καὶ αὐτοδίδακτε ποιητά, οὐχ ἡ τῶν τεχνῶν ὁμοιότης τὸν κότον ποιεῖ καὶ τὴν b ἔριν, ἀλλ' ὁ τρόπος τῶν ἀνθρώπων. ἂν μὲν γὰρ κόσμιοι καὶ εὔκολοι ὦσι, καὶ ἡ τέχνη μετρίως αὐτοὺς παραμυνήσει· εἰ δὲ μή, καὶ τέχνη καὶ ἀτεχνία χαλεπὴ κοινωνὸν τοῖς τοιούτοις ξυμβαίνει.

Ἐπεὶ δὲ τὸ μηδὲν ἁμαρτάνειν ἔξω τῆς φύσεως κεῖται τῆς ἀνθρωπίνης — οὐ γὰρ πείθομαι ἐγὼ τοῖς ἐκ τῆς ποικίλης φυῆναί ποτε ἐν ἀνθρώποις οἵους τινὰς ἐκεῖνοι πλάττουσι σοφούς τε καὶ σπουδαίους, οὐκέτι ἀνθρώπους, ἀλλὰ τάχα δὴ τὸ ἐπίγραμμα ἀληθέστερον ὃ Ἀθήνησιν ἐπιγέγραπται ἐν τῷ τάφῳ τῷ δημοσίῳ· c καὶ γὰρ τοῖς θεοῖς μόνοις τὰ πάντα κατορθοῦν ἀπονέμει — λεκτέον δὴ καὶ περὶ τῶν ἐν φιλίᾳ γιγνομένων ἁμαρτημάτων, ὅπως τε αὐτὰ χρὴ κολούειν καὶ ὅπως ἰᾶσθαι, εἰ ξυμβαίνοι. ὁ γὰρ δὴ φίλος τοῦ κόλακος οὐδὲν μὲν οὐδαμῇ ἐγγύς, ταύτῃ δὲ μάλιστα πορρωτάτω, ὅτι ὁ μὲν ἅπαντα ἐπαινεῖ, ὁ δὲ οὐκ ἂν σφαλλομένῳ σοι συγχωρήσειε. τῷ μὲν γὰρ πρόκειται κερδαίνειν ἢ γαστρίζεσθαι ἐκ τοῦ ἔργου, καὶ οὐ σὲ τεθαύμακεν, ἀλλὰ τὰ χρήματά σου ἢ τὴν δυναστείαν. οὐκοῦν οὐδὲ d αὐτῷ μέλει ὅπως ἂν ἔχῃς· μέλει μὲν οὖν ὅπως ἂν μὴ ἄριστα ἔχῃς, ἵνα αὐτὸς ὡς ῥᾷστα ἐργάζοιτο. ὁ δὲ φίλος, σοὶ μόνῳ προσέχει τὸν νοῦν καὶ σοῦ μόνου ἥλω, καὶ βούλοιτο ἄν γε μηδὲν κακὸν ἔχειν. ἀφαιρετέον οὖν τὰ νοσήματα ἠρέμα καὶ ὡς μὴ σφόδρα λυποῦντας μηδὲ ἐνδιδόντας, ἀλλ' ὥσπερ οἱ ἰατροὶ τὸ μὲν σιδήριον πολλάκις ἐῶσι, προστιθέασι δὲ φάρμακα ἅττα οὐ ξὺν ἀλγηδόνι τὸ πάθος ἰῶνται, οὕτω καὶ σοὶ τὸν φίλον 277 a θεραπευτέον. ἔχεις δὲ καὶ σὺ φαρμάκοις ἀντὶ καύσεων καὶ τομῶν εἰς τὴν ἰατρείαν κεχρῆσθαι. τὰ δὲ φάρ-

---

335, 19 κολούειν] κωλύειν Reuleius p. 47.

μακα. ταῦτα λόγοι εἰσὶ μεστοὶ εὐνοίας καὶ παρρησίας, οὐχ οἱ γλυκεῖς καὶ πρὸς χάριν· οὗτοι μὲν γὰρ τρέφουσι καὶ ἄρδουσι τὸ νόσημα· ἀλλ' οἱ στρυφνοὶ καὶ ἀληθινοὶ καὶ μεστοὶ παρρησίας οὐκ ὀνειδίζουσι — πάμπολυ γὰρ διαφέρει νουθεσία μὲν λοιδορίας, ἐπίπληξις δὲ ὀνείδους, οὐ τῇ διανοίᾳ μόνῃ τοῦ λέγοντος, ἀλλὰ καὶ αὐτῷ τῷ
b λόγῳ εὐνοίας καὶ παρρησίας — νουθετοῦντες, οὐ λοιδορούμενοι, καὶ ἐπανορθοῦντες, οὐκ ὀνειδίζοντες. φυλακτέον δὴ ἐν τῷ τοιῷδε μὴ ἀκράτους προσάγειν τοὺς δάκνοντας λόγους, ἀλλὰ προσπλέκοντα αὐτοῖς ἠπίου τινὸς καὶ προσηνοῦς, οἷον μέλιτος, πικρῷ μέν, ὠφελίμῳ δὲ πόματι. ὁ τοιοῦτος οὐκ ἐάσει δι' ἀηδίαν τό τε φάρμακον ἀπορρίπτειν καὶ τὸν ἰατρὸν ἀποκλείειν. ἰατροῦ δὲ ἐγὼ κακίαν λέγω τοιαῦτά τε καὶ οὕτως εὑρίσκειν τὰ ἐπίκουρα τῶν νόσων ὥστε ἐρεθίζειν τὰ ἀρρω-
c στήματα. οὐκοῦν οὐδὲ ἐκεῖνον ἐπαινῶ τὸν ἅπαντα ἐπινεύοντα τῷ κάμνοντι σιτία τε καὶ ποτά, τὰ αὔξοντα καὶ ποικίλλοντα τὴν νόσον, οἰνοχόον ἢ τραπεζοποιὸν ἀντὶ θεραπευτοῦ γιγνόμενον. οὐκ ἄρα οὐδὲ ἐν φιλίᾳ τὸ σφόδρα. ἑκατέρα γὰρ ταῖν ὁδοῖν ἄλλοσέ ποι ἐκφέρει ἢ ὅποι δεῖ καταλῦσαι. ἡ μὲν γὰρ ἐπὶ κολακείαν ἄγει, τῆς δὲ ἐπ' ἔχθραν ἡ τελευτή.

Διαβολὴ δὲ χαλεπὸν μὲν ἁπανταχοῦ καὶ πολεμοποιὸν οὗ ἂν παρεισρυῇ, καὶ πρὸς παῖδα πατρὶ καὶ
d πρὸς ἀδελφὸν ἀδελφῷ, καὶ τὸ δρᾶμα ἐκείνης καὶ ὁ Ἱππόλυτος καὶ ἅμα ἀδικεῖ ἀμφοτέρους, ᾧ τε ἐπιβουλεύει καὶ ὃν ἐξαπατᾷ· τὸν μέν, ὅτι πάσχει ὑπὲρ δίκην, τὸν δέ, ὅτι ἐργάζεσθαι ἀναγκάζει. ἀλλὰ φιλίας ἐχθρότατόν τε φύσει καὶ ἐπιβουλότατον ὑπὲρ τὰ ἄλλα, καὶ ὅπου ἂν αἴσθηται αὐτὴν εὐπραγοῦσαν, ἠρέμα εἰσοικισα-
278 a μένη κατὰ σμικρὸν ὑπορύττει καὶ ἐλέγχει τὸν ἄφρακτόν τε καὶ ἀσθενῆ. ἀποτειχιστέον οὖν αὐτὴν καὶ ἀποκρουστέον τῇ ἀπιστίᾳ, ἰσχυρὸν ἐν ταῖς ἀκοαῖς οἰκοδομησαμένους τὸ φυλακτήριον, ὥστε πόρρωθεν αὐτῆς

336, 20 ὁδοῖν addidit Petavius. 24 ἂν παρεισρυῇ Iacobsius apud Goellerum p. 265. Vulgo οὐ ἀντιπαρεισρυῇ.

ἀφεστάναι τὰς ἐπιβουλάς, καὶ μάλιστα μὲν ἀποκλείειν
προσιοῦσαν καὶ ἀπωθεῖσθαι· εἰ δὲ οὖν σε λάθῃ παρεισ-
δῦσα, μήτοι κατακρύπτειν εἰσδεξάμενον μηδὲ ἐντὸς ἔχειν
ἐργαζόμενον, ἀλλ' εἰς φανερὸν προάγειν καὶ διελέγχειν.
ὄψει γὰρ ἰλιγγιῶσαν εὐθέως καὶ λυγιζομένην καὶ βατ-
ταρίζουσαν, καὶ οὐκ ἔχουσαν ὅ τι χρήσεται. καὶ εἰ b
τοῦτο ὑπομείνειεν ἅπαξ, σὺ μή ποτε ἐνοχλήσει λοιπόν,
ἀλλ' οὐδ' ἂν ἀποπειράσειεν οὐδ' ἂν προσέλθοι πλησίον.
ὅσοι δὲ αὐτῇ τῶν ἀνοήτων ἥσθησάν τε προσιούσῃ καὶ τὸ
θύριον εὐμενῶς ἀνεπέτασαν, οὗτοι δὲ ἥκιστα ἀπολαύουσι
τῆς φιλανθρωπίας. ἐξίστανται γὰρ ὑπ' αὐτῆς καὶ οὐδὲν
διαφέρουσι τῶν μεμηνότων. ἄθρει δὲ ὡς ὅμοια πάντα
τὰ ἔργα αὐτῶν καὶ τὰ πάθη. δεδίασι γὰρ καὶ ὑφο-
ρῶνται οὓς ἥκιστα ἐχρῆν, ὥσπερ οἱ τὰ ὑδάτια εὐλα-
βούμενοι ἢ ὥσπερ ὁ μελαγχολῶν Ὀρέστης ἐν ταῖς τρα- c
γῳδίαις πρὸς τὴν ἀδελφὴν βοᾷ θεραπεύουσαν τὸ νόσημα.
τὸ δὲ ἁπάντων ἐλεεινότατον, ὁπλίζονται ἐπὶ τοὺς φιλτά-
τους καὶ ἥδιστα ἂν κατακτάνοιεν. τοῦτο αὖ πάλιν ἑτέ-
ρου λυττῶντος ἔργον καὶ ἑτέρας τραγῳδίας. Αἰσώπου
δὲ τοῦ μυθοποιοῦ πολλαχῇ τε ἄλλῃ μνημονεύειν ἐπω-
φελῶς καὶ ὅσα εἰς διαβολὴν εὖ ἔχοντα ἀπολέλοιπεν. ἀεὶ
μὲν γὰρ αὐτὴν τῇ ἀλώπεκι περιτίθησι, δολερῷ καὶ
ἀνάνδρῳ θηρίῳ, ποιεῖ δὲ ὑπ' αὐτῆς ἁλισκόμενα τῶν
ζῴων τὰ ἀλκιμώτατα. d

Καὶ ὅντινα ἔχω πρόχειρον μῦθον εἴποιμ' ἂν ὑμῖν, εἴ μου πρᾴως ἀνέξεσθε παραβαλλομένου τοῖς σοφισταῖς. ταύρω δύο μιᾶς ἡγεῖσθον ἀγέλης, ξυννόμω τε ὄντε καὶ ὅτι μάλιστα φίλω. ὁ λέων δὲ αὐτοῖν τὴν ξύστασιν ἐδεδίει, καὶ οὔτε αὐτοὺς ἐθάρσει οὔτε δι' αὐτοὺς τὴν ἀγέλην. κακῶς οὖν ὑπὸ λιμοῦ διακείμενος ἔρχεται ἐπὶ τὴν κερδὼ καὶ ξυμμαχίαν ὁμολογοῦσι. τῇ δὲ ἄρα τοσοῦτον κακουργίας καὶ δεινότητος περιῆν ὥστε προσενεγκοῦσα

337, 20 ἐπωφελῶς] ἐπωφελὲς Stephanus, recte, nisi ἔχει excidit. 29 οὔτε αὐτοὺς ἐθάρσει] „Si retineatur haec lectio, significat, non audebat aggredi ipsos." Stephanus.

279 a τὴν μηχανὴν διέστησέ τε αὐτὼ καὶ ἐξέμιξε κατ' ἀλλήλοιν, καὶ παραδέδωκε τῷ λέοντι δίχα ἑκάτερον εὐτρεπῆ καὶ εὔκολον θήραν. τοῦτο μὲν ἡ τοῦ Αἰσώπου κερδώ. φύονται δέ τινες καὶ ἐν ἀνθρώποις ἀλώπεκες, μᾶλλον δὲ ἀνθρώπια σμικρά τε καὶ ἀνελεύθερα, τὰς ἀλώπεκας ὄπισθεν ἐφελκόμενα. οἱ δὲ αὐτῶν οὐκ ἀλώπεκας, ἀλλὰ δράκοντας ἰοῦ χαλεποῦ καὶ ἀτόπου μεστοὺς ὑφέρποντας καὶ κρυπτομένους εὐνοίας καὶ φιλανθρωπίας παραπετάσμασιν, οὓς ἀπελαύνειν χρεὼν καὶ ἀποσοβεῖν
b πορρωτάτω. κηλούμεθα γὰρ πολλάκις καὶ γανύμεθα δάκνουσι, τὰ ἄκρα τῆς γλώττης μόνον ὁρῶντες, τὰ δὲ ἐντὸς οὐκ ἐθέλοντες ἰδεῖν.

Ὧι δέ μοι δοκοῦσιν ὅμοιοι εἶναι, ἐθέλω ἀπεικάσαι, εἰ βούλεσθε. τεθέαμαι, οἶμαι, πολλαχοῦ Σκύλλης εἰκόνα οὐχ οἵαν Ὅμηρος διηγεῖται· Ὅμηρος μὲν γὰρ οὐδέν τι λέγει πλέον περὶ τῆς μορφῆς ἢ ὅτι τὸ θηρίον ἦν ἐν σπηλαίῳ διαιτώμενον ἓξ κεφαλὰς ἔχον καὶ δυοκαίδεκα χεῖρας· οἱ πλάσται δὲ ἐπὶ μᾶλλον κομψεύονται ἐν τῷ ἔργῳ. ποιοῦσι γὰρ αὐτῆς τὰ μὲν ἀπ' ἄχρι κεφαλῆς
c ἄχρι λαγόνων παρθένον, ἀπὸ δὲ τῆς ἰξύος εὐθὺς εἰς τοὺς κύνας ἐκφερομένην, δεινοὺς ὄντας καὶ σμερδαλέους· καὶ τρίστοιχοι μὲν αὐτοῖς οἱ ὀδόντες, ἀνεστήκασι δὲ αἱ κεφαλαί, ζητοῦσι δὲ ἰσάριθμον θήραν. μαντεύομαι οὖν ἐγὼ καὶ Ὅμηρον βούλεσθαι λέγειν ὅτι ὁ μὲν σοφὸς καὶ πολύμητις οἶδέ τε ὅλην ἀκριβῶς καὶ οὐκ ἐγοήτευσεν αὐτὸν τὰ ἄνωθεν τοῦ θηρίου, ἀλλὰ παρετάξατο καὶ ὡπλίσατο καὶ μάχεσθαι ἕτοιμος ἦν· οἱ δὲ ἀφύλακτοι τῶν ἀνθρώπων ἁλίσκονται. ὅτῳ δὲ μὴ δοκεῖ οὕτως ὁ Ὅμηρος λέγειν, ἀλλ' ὁρᾷ μόνον τὸ φαινόμε-
d νον τοῦ μύθου, οὗτος ἐμοὶ δοκεῖ καὶ τὴν Σκύλλαν

338, 2 εὐτρεπῆ Iacobsius ad Ach. Tat. p. 579. Vulgo εὐπρεπῆ. 10 γανύμεθα] Vulgo γαννύμεθα. 18 ἐπὶ μᾶλλον Roulezius p. 36. Vulgo ἔτι μᾶλλον. 19 ἀπ' ἄχρι] ἀπ' ἄκρας Petavius. 22 τρίστοιχοι] Vulgo τρίστιχοι. Correctum ex Odyss. μ, 91. αὐτοῖς Iacobsius ad Antholog. vol. XII. p. 32. Vulgo αὐτῆς.

ἰδὼν τὴν μὲν ἄνθρωπον θεάσασθαι, τοὺς κύνας δὲ οὐκ ἂν δυνηθῆναι. πῶς οὖν δὴ φυλαξόμεθα καὶ κρινοῦμεν φιλίας τε ἐτήτυμον πρόσωπον καὶ κακουργίας εὔνοιαν ὑποδυομένης; βούλεσθε, ἵνα μὴ σφόδρα ὦ φορτικός, σύμβολα αὖ πάλιν καὶ σημεῖα διδοὺς μῦθόν τινα ὑφαπλώσας τῷ λόγῳ καταλίπω διορᾶν ὑμῖν αὐτοῖς τὰ ἐμφαινόμενα;

Ὥσπερ γὰρ Πρόδικος λέγει, καθημένῳ τῷ Ἡρα- 280 a κλεῖ ἐφ' ἡσυχίας, ὁπηνίκα ἐξῆλθε τῶν μειρακίων καὶ διασκοπουμένῳ ποῖός τις τῶν ἀνθρώπων καὶ ποίᾳ χρησάμενος ἀτραπῷ τὸν βίον ὡς ἄριστα διέλθοι, ἐφάνησαν δύο γυναῖκες, ὧν τὴν μὲν ἀρετὴν ἐκεῖνος ὀνομάζει, τὴν δὲ κακίαν. ἐπεὶ γοῦν εἰπάτην ἑκατέρα τὰ αὑτῆς ἀγαθὰ καὶ ἔδοξε τῷ Ἡρακλεῖ τὴν ἀρετὴν ποιήσασθαι ἡγεμόνα, λέγει αὐτὸν ἐκείνη παραλαβοῦσα, ἵν' ἔτι καὶ μᾶλλον ἴδῃς, φησίν, ὅτι ὀρθῶς δοκιμάζεις· ἄγει οὖν ἐπί τινα τόπον ὑψηλόν τε καὶ ἀνεστηκότα ἐξ εὐρέος τε b καὶ ἀναπεπταμένου πεδίου, οὗ δύο μὲν ἦσαν αἱ κορυφαί, πόρρωθεν δὲ ἐδόκει τοῖς θεωμένοις εἰς μίαν τελευτὴν ἀπολήγειν. ἀλλ' ἥ γε ἀρετὴ προσάγουσα τὸν Ἡρακλέα πλησίον, ἔδειξέ τε τὰ ἄκρα πλεῖστον ἀπέχοντα ἀπ' ἀλλήλων· καὶ αὕτη μέν, φησίν, ἐπὶ δεξιᾷ κορυφὴ καλεῖται φιλίας ἱερὸς χῶρος, ἐμῆς ξυνοπαδοῦ τε καὶ ἀδελφῆς, αὕτη δὲ ἡ ἐπὶ θατέρᾳ ὑποκρίσεως, κακίας ξυννόμου δαίμονος. πρόσιθι οὖν ἄγχου καὶ ἐπισκόπει τὴν φύσιν ἑκατέρου τοῦ χωρίου, μή ποτε ἓν αὐτὸ πόρρωθεν ὁρῶν ὑπολάβοις. καὶ ἅμα ἐκέλευσε τὴν φρό- c νησιν συμπαροῦσαν ἐπιδεικνύναι τὰ ἕκαστα καὶ ἐξηγεῖσθαι.

Ἐδείκνυεν οὖν ἐκείνη τοὺς μὲν πρόποδας τοῖν λόφοιν σφόδρα τε ὁμοίους καὶ προσεοικότας ἀλλήλοιν, τοῖς αὐτοῖς μὲν ἄνθεσι βρύοντας, τοῖς αὐτοῖς δὲ φυτοῖς, εἰ μὴ ὅσον τὰ μὲν τὸν ἅπαντα ἔρρωτο χρόνον,

---

339, 24 ἐπὶ θατέρᾳ] „Malim ἐπὶ θάτερα.“ Stephanus.

τὰ δὲ εὐθὺς ἐβλάστανέ τε καὶ ἐμαραίνετο. ἔρρει δὲ καὶ νᾶμα ἐξ ἑκατέρας τῆς ἄκρας ψυχροῦ τε καὶ διαυγοῦς ὕδατος, ἀλλὰ τὰ μὲν δι᾽ ὅλου τοῦ ῥείθρου γλυ-
d κέα τε ἦν καὶ προσηνῆ, τὰ δὲ κάτωθεν μὲν γενομένῳ γλυκύτερά τε ἐδόκει, προσιόντι δὲ ἐγγὺς τῆς πηγῆς πικρά τε καὶ φαρμακώδη, σπασμὸν ἐμποιοῦντα καὶ ἴλιγγον τοῖς πιεῖν ἐκ τῆς χρόας ἀπατηθεῖσι, τὰς κορυφάς τε αὐτὰς οὐκέτι ὁμοίας, ἀλλὰ πάμπαν διαφερούσας. ἐδείκνυέ τε τὴν ἐπὶ δεξιᾷ πρώτην ἄλσει τε σύσκιον δένδρων ἀειθαλῶν κυπαρίττου καὶ δάφνης καὶ φυτῶν εὐκάρπων μεστήν, λεπταὶ δὲ αὐτὰ περιέπνεον αὖραι, οἷαι
281 τρέφειν τε καὶ αὔξειν, οὐχ οἷαι καταρρηγνύναι καὶ διασπᾶν. πολὺ δὲ ἀθόρυβος ἡσυχία καὶ εὐφροσύνη κατεῖχε τὸν τόπον, καί τινες ἐφαίνοντο ἄνθρωποι σφόδρα ὀλίγοι, προσιόντες τε καὶ ἀπιόντες μεθ᾽ ἡδονῆς τῷ αὐτῷ προσώπῳ.

Καθῆστο δὲ ἐπ᾽ ἄκρας τῆς κορυφῆς παρθένος εὐειδὴς μὲν οὔ, ὡραία δὲ ἀληθινοῦ καὶ ἀρχαίου γέμουσα κάλλους, ὁποῖα τὰ ἀγάλματα τῆς παλαιᾶς τέχνης, ἃ χρόνου δεῖται εἰς τὸ θαυμάσαι καὶ ὀφθαλμῶν ἀκριβεστέρων, ἀμφίεστο δὲ λευκόν τινα κόσμον ἰκέον
b διαφανῶν καὶ λεπτῶν ἱματίων, ὥστε πολλαχῇ καὶ τοῦ σώματος διαφαίνειν. καὶ τὴν ψυχὴν εἶχε τοῦ σώματος φανερωτέραν. ἦν γὰρ αὐτῆς τὸ μὲν βλέμμα ἁπλοῦν καὶ γενναῖον, τὸ μειδίαμα δὲ ἑστηκὸς καὶ οὐ μετατρεπόμενον. εἰ δέ τις αὐτῇ προσέλθοι σεβασθείς τε καὶ θαυμάσας, οὐ χρυσίον ἢ ἄργυρον προαιτεῖν, ἀλλ᾽ αὐτὸν καλλίω καὶ μείζω, διπλασίονα πολλάκις ἢ τριπλασίονα. ὁ γοῦν Ἡρακλῆς ἠγάσθη τε αὐτῆς καὶ προσηύξατο ἵλεων τυγχάνειν, καὶ ἐπήρετο τὴν φρόνησιν,
c τίνες δὲ αἱ πλησίον αὗται γυναῖκες; ὡς καλαί τε καὶ

340, 13 πολὺ] „Legendum puto πολλή, nisi forte πολὺ pro ἐπιπολὺ sumatur." Stephanus. 21 ἰκέον] εἰκαῖον Petavius. οἰκεῖον Hemsterhusius in Anecd. vol. I. p. 7. 28 μείζω] „Fort. ἐποίει addendum." Iacobsius.

πρέπουσαι ὀπαδοὶ τῆς θεοῦ. αὕτη μὲν εἰπεῖν ἡ τὸ πολὺ φῶς κατέχουσα καὶ ἐπὶ τοῦ ἀδάμαντος καθημένη, Διὸς θυγάτηρ ἀλήθεια· ἡ δὲ ἐπικλίνουσα τὴν κεφαλὴν αὕτη καὶ ἐπαναπαυομένη καλεῖται μὲν εὔνοια, χρῆται δὲ ἡ θεὸς αὐτῇ πρὸς ἅπαντα διακόνῳ. τὸ δὲ παιδίον ἐκεῖνο τὸ σεμνότερον τῆς ἡλικίας, ὃ τὰ χρυσέα φέρει δεσμὰ ταῖν χεροῖν, ἔρως φιλίας ἐστὶν ὑπουργός. οὐκ ἔχει δὲ οὐδὲ πτερὰ οὐδὲ βέλη. οὔτε γὰρ πέτεσθαι βούλεται καὶ ἀναίμακτον αὐτοῦ τὸ ἔργον. ἀλλ' οἵους ἂν καλούς τε καὶ ἀγαθοὺς καὶ οὕτως ἁρμόζοντας ἴδῃ, τούτους ξυγκολλᾷ d
καὶ συνδεῖ, καὶ αὐτοῦ τὰ δεσμὰ ἄλυτα καὶ ἄρρηκτα παντελῶς καὶ μόνοις γάννυνται οἱ δεδεμένοι. ἀλλὰ δεῦρο, ἔφη, καὶ θέασαι τὴν ἑτέραν, εἰς ἣν ἐμπίπτουσιν οἱ πολλοί.

Καὶ δῆτα πρῶτα μὲν αὐτῷ τὰ περὶ τὴν εἴσοδον ὑπεδείκνυε, τοῖς προτέροις, ὥσπερ ἔφην, ἐξεικασμένα· ἔπειτα αὐτὸ τὸ πέρας, ὄρθιον καὶ ἀπότομον πάγον, κυανῇ νεφέλῃ τὰ ἄκρα κεκαλυμμένον· κρημνοὶ δὲ αὐτὸ καὶ φάραγγες περιεῖχον καὶ θῖνες ὀστῶν ἀνθρωπίνων 282 a
σεσωρευμένοι, μεστὰ δὲ ἅπαντα δακετῶν θανασίμων καὶ ἰοβόλων. ἔπειτα αὐτὴν τὴν ὑπόκρισιν προσποιουμένην καὶ ἀφομοιοῦσαν ἑαυτὴν τῇ φιλίᾳ· ἀλλ' ὅμως ἀντὶ μὲν ἀληθινοῦ κάλλους τὸ πρόσωπον ὑπεγέγραπτο, ἀντὶ δὲ γαληνοῦ μειδιάματος ὕπουλον ἐσεσήρει· ἵνα δὲ φαίνοιτο ἐρασμία, ἐρᾶν αὐτὴ προσεποιεῖτο τῶν εἰσιόντων. οὐδενὸς δὲ αὐτομάτου προσερχομένου πόρρωθεν ἐκτρέχουσα ὑπέκυπτε καὶ ἀπήντα καὶ λιπαροῦσα ἀνῆγε. παρῆν δὲ αὐτῇ καὶ γυναικῶν ὅμιλος οὐδὲ ταῖς προτέ- b
ραις ὅμοιαι, ἀπάτη καὶ ἐπιβουλὴ καὶ δόλος ἀγεννής· ἀντὶ δὲ ἀληθείας ἐπιορκία παρῆν, ἰταμὴ καὶ θρασεῖα καὶ ἄσπονδος, μάλιστα δὲ ἁπασῶν συμπράττουσα ἐκείνῃ καὶ συνεργοῦσα. ἰδὼν δὲ Ἡρακλῆς γυναῖκά τινα κατὰ

341, 1 αὕτη] αὐτὴ Iacobsius. 9 οἵους] οὓς Iacobsius apud Goellerum p. 265. ὅσους Roulezius p. 66. 12 καὶ μόνοις] „Fort. οἷς καὶ μόνοις." Iacobsius. γάννυνται] Vulgo γάνυνται. 19 μεστὰ Iacobsius ad Antholog. vol. XII. p. 296.

τὰς εἰσόδους οἵαν χωλῶσαν ἤρετο τὴν φρόνησιν ἥτις εἴη. κολακεία, ἔφη, πρόδρομος ὑποκρίσεως. δαίμων αὕτη, ὡς ὁρᾷς, ἐνεδρεύουσα τοὺς εἰσιόντας, προσπλέκεται καὶ θαυμαστὰ δρᾷ γοητεύουσα, πείθουσα θαρ-
C σεῖν τε καὶ ἀνιέναι. τίς δὲ ἡ σκυθρωπὴ ἐκείνη καὶ σύννους, ἡ τοὺς ὀλίγους κατάγουσα κοπτομένους τε καὶ ἀνοιμώζοντας; μετάνοια, ἔφη, βραδεῖα καὶ οὐ σφόδρα εὔκαιρος δαίμων. ὅμως δέ τινας οὐκ ἐᾷ πάμπαν ὑπὸ τῶν ἑρπετῶν ἀπομυζηθῆναι, ἀλλ' ἀνίστησιν ἔτι πνέοντας καὶ οἴκαδε ἀποσώζει.

342, 8 ὅμως Stephanus. Vulgo ὅπως. 9 ἀπομυζηθῆναι] Vide Hemsterhus. ad Lucian. vol. I. p. 114.

XXIII.

ΣΟΦΙΣΤΗΣ. d

Ἆρα οἴεσθέ με, ὦ ἄνδρες, ἐπιδεῶς ἔχοντα ἔτι κρότου
τε καὶ ἐκβομβήσεων, ὧν δαψιλῶς μοι εἰώθατε χορηγεῖν
ἑκάστοτε, ὅταν λέγω, ἐγεῖραί τε αὖ καὶ τήμερον ἀγεῖ-
ραι ἀναβῆναι ἐπὶ τοῦ βήματος καὶ ἑτοίμως δέχεσθαι
καὶ ἀγαπᾶν τοὺς θορύβους, οὓς ἂν διδῶτε ἐπὶ τοῖς
ῥήμασιν; ἐμοὶ δὲ ἡδὺ μὲν δοκεῖ εἶναι καὶ πολλοῦ ἄξιον 283 a
ἄκουσμα ἔπαινος ἄδολος καὶ ἀληθινός, ὁποῖος ὁ παρ'
ὑμῶν ἀπαντᾷ μοι ἀεί, αὐτοκέλευστος καὶ ἄνευ παραγ-
γελίας, οὐ μὴν τούτου γε ἕνεκα φανείην ἂν πράγματα
παρασχὼν ὑμῖν καὶ διοχλήσας. ἀλλ' ἐγὼ μὲν εἴσειμι,
ὅταν εἰσίω, ὅπως ἄν τι νουθετήσαιμι ἢ διδάξαιμι ἢ
προσαξοίμην ὑμῖν εἰς εὔνοιαν πλείω τὸν ἀρχηγέτην, ἢ
καὶ εὐθύνας ὑπόσχοιμι οὐδὲν δεομένοις· ὑμεῖς δὲ ὑπὸ
δεξιότητος καὶ φιλανθρωπίας θέατρά μοι ποιεῖτε τὰς
ἐκκλησίας. οὐδὲν οὖν θαυμαστὸν εἰ καὶ τήμερον ἐγὼ b
μὲν ξυνήγαγον ὑμᾶς ὡς δικαστάς μοι καθεδουμένους
ὑπὲρ ὧν αἰτίαν ἔχω παρανομεῖν, ὑμεῖς δὲ τὸ εἰωθὸς
ἀποδῷητε καὶ βοήσεσθε ἀναπηδῶντες, ἐπιλαθόμενοι ὅτι
ψήφου κύριοι ἥκετε καὶ οὐ πανήγυρις τοῦτό ἐστιν,
ἀλλὰ δικαστήριον ἐμμελέστερον καὶ σοφώτερον τοῦ εἰς
ἕνα καὶ χιλίους, οἷς ἐπιτέτραπται ἐκ τῆς ψήφου ἐξενεγ-
κεῖν ὅ τι χρὴ παθεῖν τὸν ἁλόντα ἢ ἀποτῖσαι.

Καὶ πρῶτον δὲ ἐκεῖνο μὴ θορυβεῖσθε, ὅτι οὔτε c
φεύγων ἐγὼ οὔτε διώκων οὔτε προσκεκλημένος ὑπό του

343, 11 εἴσειμι Petavius. Vulgo ἴσειμι. 24 ἐκεῖνο] πρὸς ἐκεῖνο Stephanus.

οὔτε ἕτερόν τινα πρὸς ὑμᾶς εἰσάγων, ὑμᾶς τε δικαστὰς ποιοῦμαι καὶ αὐτός φημι ἀγωνιεῖσθαι. τὸ γὰρ δὴ λίαν ἄτοπον τοῦτο καὶ θαυμαστὸν οὐ παρ' ἐμὲ ὄψεσθε συμβαῖνον, ἀλλὰ παρὰ τοὺς ἐμοὺς κατηγόρους, οἳ οὕτως ἄρα δεινοί εἰσιν ὥστε οἵτινες μέν εἰσιν οὐδὲ ἐγὼ οἶδα. τοξεύουσι δὲ ἀφανῶς, ὥσπερ οἱ Πλαταιεῖς ποτε Πελο-
d ποννησίους, ἀποδιδράσκοντες ἐν νυκτὶ τὴν πολιορκίαν, ἔβαλλον ἀπὸ τοῦ σκότους διώκοντας μετὰ λαμπάδων. καὶ δὴ τὰ μὲν βέλη περικέχυταί μοι ἔνθεν καὶ ἔνθεν ἀθρόα καὶ πολλὰ καὶ ποικίλα καὶ οὐδὲ ἐκ μιᾶς ἰοδόκης, τοὺς δὲ βάλλοντας οὔτε γινώσκω οὔτ' ἂν βουλοίμην, ἀλλὰ ἀγαπῶ ὅτι πολέμιοι ὄντες οὕτω φαῦλοί εἰσι καὶ οὐδεὶς αὐτῶν ἥψατο τῆς ψυχῆς, ἀλλ' οὐδὲ ἐπέ-
284 a γραψέ τι τοῦ σώματος οὐδὲ ἤλεγξέ τι τῶν φραγμάτων, ἀλλ' ὅσῳπερ ἂν πλείω καὶ ἐντονώτερά μοι ἐπιτοξάζωνται, τοσῷδε ἐκφαίνουσι μᾶλλον τῶν ὅπλων τὸ στεγανόν τε καὶ ἄρρηκτον, ἃ Ἥφαιστος μὲν οὐκ ἐχαλκεύσατό μοι ἐν τῷ Ὀλύμπῳ, θεοὶ δὲ οἱ φιλοσοφίας δοτῆρες καὶ προστάται, οἳ ὅντινα ἂν περιφράξωνται, ἀκριβῶς ἄτρωτον ποιοῦσι μᾶλλον ἢ τὸν Καινέα, καὶ οὐδὲν ἀνύτουσιν οἱ μιξάνθρωποι ἢ μιξόθηροι ἀλιζόμενοι καὶ παίοντες δρυσὶ καὶ ἐλάταις, ἀλλὰ ἀκέραιος διαμένει καὶ ἀκλινής.
b καὶ προσήκει αὐτῷ μεῖζον φρονεῖν φέροντι ῥᾳδίως ἀγνωμοσύνας ἀνθρώπων ἢ ἐφρόνει ἐκεῖνος ὁ ἐξαμύνας φέρων ἐπὶ τῶν ὤμων τὸν λίθον τὸν ἑπτατάλαντον. ἐπεὶ οὖν οἱ μὲν βάλλοντες εἰς τοὐμφανὲς προελθεῖν οὐκ ἐθέλουσι καὶ στῆναι ἐν μέσῳ παρ' ὑμῖν οὑτωσὶ καὶ ἐν περιόπτῳ, ἀλλ' ἐν γωνίαις που καταδεδύκασιν ἢ χηραμοῖς, τοὺς δὲ οἰστοὺς ὁρῶ πίπτοντας οὐκ οἶδα ὅθεν καὶ ἐν ποσὶ κυλινδομένους, φέρε ἐξαριθμήσωμαί τε αὐ-
c τοὺς ἀνελόμενος ἐκ τῆς γῆς καὶ πειραθῶ διακλάσαι,

344, 24 ἐξαμύνας] In hoc verbo latere videtur nomen proprium aliquod, velut Ἐξαμύας, de quo nomine ad Georgium Syncellum dixi vol. I. p. 402. 451. Quibus nunc adde grammaticum in Anecdotis Boissonadii vol. I. p. 144. ubi vitiose scriptum Ἐξαμύλου.

ἣν δύναμαι, καὶ ἐπιδεῖξαι τῶν ὄγκων τὴν μαλακότητα καὶ διαθρῆσαι εἰ δή τινες εἶεν φαρμάκῳ ἀληλιμμένοι. ἴσως δ' ἂν καὶ πυκνὰ ἐπαφώμενοι καὶ μεταστρέφοντες εὕροιμεν ἀγχοῦ τῶν γλυφίδων καὶ τοὔνομα τοῦ βάλλοντος ἐγκεχαραγμένον· ὅθενπερ καὶ Φιλίππῳ ἐφωράθη τῷ Μακεδόνι πολιορκοῦντι Μεθώνην ὁ βαλὼν ἐκ τοῦ τείχους τοξότης. Ἀστὴρ ὄνομα ἦν τῷ ἀνθρώπῳ, καὶ ἐγκέκαυτο ἐν τῷ βέλει. εἶεν. ἀλλ' ἀνάγειν χρὴ ἐκ τῆς εἰκόνος καὶ ἅπτεσθαι ἀληθινῶς τοῦ ἀγῶνος. d

Δοκεῖ οὖν μοι χρήσασθαι προοιμίῳ, ὥσπερ οἱ ῥήτορες ποιοῦσι καθιστάμενοι τὸν λόγον. καὶ δὴ ἐχέτω ὡδί μοι τὸ προοίμιον, ὅτι μηδὲν καινὸν οὗτοι νῦν οἱ ἐμοὶ κατήγοροι διαπράττονται, ἀλλ' ὅπερ πάλαι εἴωθε καὶ ἐν τῇ φύσει ἐστὶ τῇ ἀνθρωπίνῃ, ἐξ οὗ φιλοσοφία παρὰ θεῶν ἐν γῇ ἐφάνη, τοῦτο αὖθις καὶ νῦν ὥσπερ νόσημα περιτρεπόμενον ἀνακυκλεῖται. ποιεῖται μὲν γάρ που καὶ τἄλλα ἀγαθὰ τοὺς κεκτημένους ἐπιφθόνους 285 a
τε καὶ ἐπιβούλους καὶ βαρεῖς τοῖς τῶν αὐτῶν οὐ μετέχουσι, κἂν μηδ' ὁτιοῦν ἀδικῶνται· καὶ τῷ πένητι οὐχ ἡδὺ ὁρᾶν τὸν πλούτῳ σεμνυνόμενον καὶ τῷ ἀφίππῳ τὸν ἱππικὸν καὶ τῷ ἀσθενεῖ τὸν ῥωμαλέον· σοφία δὲ ὅσῳ μεῖζον καὶ τελειότερον ἀγαθόν, τοσούτῳ πλείους ἐγείρει τε καὶ ἀνίστησι πρὸς τὸν ἔχοντα ἢ δοκοῦντα. καὶ τοῦτο ἄνωθεν ἀρξάμενον ἐκ Πυθαγόρου, ὥσπερ κλῆρός τις ἀναγκαῖος διαδόσιμος, συμπαρέμεινε τοῖς ἀπ' ἐκείνου ἐκγόνοις. αὐτός τε γὰρ ὁ Μνησάρχου τοσόνδε ἄρα ἀπέλαυσε τῆς πολυυμνήτου σοφίας ὥστε μετανάστης b
ἀεὶ διεβίω, διὰ τοὺς βασκαίνοντας καὶ κολούοντας, ἐκ Σάμου μὲν εἰς Κρότωνα διὰ Πολυκράτην, ἐκ Κρότωνος δὲ εἰς Λοκροὺς διὰ Γύλωνα· Λοκρῶν δὲ οὐχ εἷς ἤδη, ἀλλὰ πάντες Λοκροὶ οὐχ ὑπέμειναν Πυθαγόρου τὴν ἀρετήν, ἀλλὰ μετεστήσαντο εἰς Τάραντα καὶ παρέπεμψαν· Ταραντῖνοι δὲ αὖθις, ὥσπερ φορτίον, εἰς

345, 14 ἐστὶ τῇ Roulezius p. 78. Vulgo ἐστὶ καὶ τῇ. 26 ἐκγόνοις] Vulgo ἐγγόνοις. 30 Γύλωνα] Κύλωνα Menagius ad Diogenem Laert. II, 46.

Μεταπόντιον· οὗ δὴ καὶ ἐτελεύτησεν ἐν τῷ τεμένει τῶν Μουσῶν, τετταράκοντα, ὥς φασιν, ἡμέρας φεισάμενος c σίτου. τὰ δ' ἀμφὶ Σωκράτους τί ἂν θρυλοῖτο; ἐμπέπλησται γὰρ τὰ ὦτα τοῦ Μελήτου καὶ Ἀνύτου καὶ Λύκωνος. Πλάτωνος δὲ οὐ μέχρι νῦν καταβοῶσιν ὡς τρὶς πλεύσαντος εἰς Σικελίαν ἐπὶ χρήμασι καὶ τραπέζῃ; Κηφισοδώρους δὲ καὶ Εὐβουλίδας καὶ Τιμαίους, Δικαιάρχους καὶ στρατὸν ὅλον τῶν ἐπιθεμένων Ἀριστοτέλει τῷ Σταγειρίτῃ πότ' ἂν καταλέξαιμι εὐπετῶς, ὧν καὶ λόγοι ἐξικνοῦνται εἰς τόνδε τὸν χρόνον, διατηροῦντες τὴν ἀπέχθειαν καὶ φιλονεικίαν;

Τί ἂν οὖν ἐγώ, ὦ ἄνδρες, ἀγανακτοίην, εἰ πάντα d τὸν βίον σπουδάσας ὅπως ἂν τοῖς ἀνδράσιν ἐκείνοις εἰς ἐμὴν δύναμιν συνεποίμην, ἔπειτα ἀπέλαυσα τῶν ὁμοίων τοῖς ἡγεμόσι καὶ προσέπταισα τοῖς αὐτοῖς ἕρμασι τὰ αὐτὰ ἴχνη μεταδιώκων, ἠρέθισά τε ἐπ' ἐμαυτὸν καὶ ἐπεσπασάμην οἷον ἑσμόν τινα κηφήνων κεκεντρωμένων, οὔτι μάλα ἑκὼν οὐδὲ προαιρούμενος, ἀλλ' ὅτι φύσει τὸ πρᾶγμα τοιόνδε ἐστίν, ὃ λιπαρῶ τε καὶ ἀγαπῶ, καὶ ἧττον ἂν μεθείμην ἢ τὴν ψυχήν; οὐ γὰρ εἰ ἐμπορίας 286 a μετεποιούμην, ἴλεων ἂν καὶ τὴν θάλατταν λογίζεσθαι ἐχρῆν, καὶ τὰ πνεύματα ἐξ οὐρίας, καὶ τὸ χρυσίον ἀεὶ προσαυξόμενον ἐκ τοῦ φορτίου, ἀλλὰ καὶ χειμῶνας καὶ προβόλους καὶ ἐκβολήν· ἔστι δὲ ὅτε καὶ πειρατικὴν ὁμιλίαν, χειμῶνα ἕτερον τοῦτον τοῦ κλύδωνος χαλεπώτερον. ἀλλ' αὐτὸ δὴ τοῦτο χρεὼν λαμβάνειν σημεῖον τοῦ κατὰ πόδας ἐκείνων βαδίζειν καὶ μὴ πόρρω ἀποπλανᾶσθαι, ὅτι καὶ αἱ διαβολαὶ καὶ αἱ λοιδορίαι, ἃς οἱ νῦν με b διαβάλλουσιν, οὐκ ἄλλαι εἰσὶν ἢ ἃς τοὺς κλεινοὺς ἐκείνους καὶ θεσπεσίους οἱ πάλαι Τελχῖνες. ὁ γὰρ σοφιστὴς καὶ ἀλαζὼν καὶ ὁ καινοτόμος πρῶτον μὲν Σωκράτους ὀνείδη ἦν, ἔπειτα Πλάτωνος ἐφεξῆς, εἶθ' ὕστερον Ἀριστοτέλους καὶ Θεοφράστου.

346, 3 θρυλοῖτο] Vulgo θρυλλοῖτο. 4 Μελήτου] Vulgo Μελίτου. 7 Δικαιάρχους] καὶ Δικαιάρχους Ro... mlesius p. 79. Δημοχάρους Luzacius in Lect. Att. p. 123. 15 ἕρμασι] Platonem de Rep. VIII. p. 553 b. comparat Iacobsius.

Καὶ δὴ ἐντεῦθέν μοι τῆς ἀπολογίας ἀρκτέον, εἰ τοὔνομα τοῦτο ὁ σοφιστὴς ἔντιμον μέν ἐστι καὶ προσέχεταί μοι ἐκ τῶν πραγμάτων, ἢ ἀποσείεται αὐτὸ ἡ ἀλήθεια, κἂν πάνυ ἐπιρρίπτηται. ὅτι μὲν δὴ πάλαι σεμνόν τε ἦν καὶ ἐπ᾿ ἀξιώσει καὶ ὅτι Σόλωνα σοφιστὴν ὠνόμαζον οἱ τότε ἄνθρωποι καὶ Πυθαγόραν, ἀπειρό- c καλος ἂν εἴη κωμῳδοποιῶν ὑμᾶς ὑπομιμνήσκειν καὶ ξυγγραφέων. καὶ οὗτοι δήπου οὐ ταύτῃ ἄν με τῇ ὁρμῇ οὕτω καλοῖεν· οὐ γὰρ τιμᾶν με ἐθέλουσιν, ἀλλὰ λοιδορεῖσθαι. ἀλλ᾿ ἐπειδὴ τοῦ ὀνόματος ὥσπερ νομίσματος μετέπεσεν ἡ δύναμις κατὰ τοὺς ὕστερον χρόνους, ἐξ οὗ Πρωταγόρας τε αὐτοῦ ἠμφισβήτει καὶ Πρόδικος ὁ Κεῖος καὶ Γοργίας ὁ Λεοντῖνος, οἳ ὥσπερ ἄλλο τι τῶν ὠνίων χρημάτων ἐκήρυττον τὴν σοφίαν καὶ ἐπράττοντο πολὺ ἀργύριον τοὺς προσφοιτῶντας, ἐκεῖσε ἂν δήπου ἕλκοιεν d τοὔνομα καὶ οἱ νῦν ἐμὲ ἐπισκώπτοντες.

Σκοπεῖτε οὖν ὡς δικαίαν ποιήσομαι τὴν ἐξέτασιν. εἰσί που ὑμῖν κείμενοι νόμοι, μᾶλλον δὲ ἴσως καὶ πᾶσιν ἀνθρώποις, καθ᾿ οὓς ἅπαντα ἐπιεικῶς ὑμῖν ἀναγκαῖον καὶ πράττειν καὶ ὀνομάζειν, καὶ εἰ περί του ἀμφισβητοίητε, ἰόντες ἐπὶ τοὺς νόμους διακρίνεσθε οὐ χαλεπῶς ἐκ τῶν γραμμάτων. καὶ τοῖς φιλοσόφοις τοίνυν οἱ 287 a νόμοι εἰσὶ γεγραμμένοι, ἐξηγούμενοι καὶ διδάσκοντες ὑπὲρ ὅτου ἂν αὐτοὶ πυνθανώμεθα. καὶ ἄλλῳ δὴ φιλοσόφῳ ἄλλοι νόμοι εἰσίν, ὁπόσους συνέγραψεν ὁ ἀρχηγέτης τῶν λόγων, οὓς διώκει τε καὶ προυστήσατο. τῷ μὲν γὰρ τὰ Πλάτωνος αἱρουμένῳ, ὁπόσους Πλάτων, τῷ δὲ τὴν ποικίλην ἀγαπῶντι, ὁπόσους Ζήνων ὁ Κιτιεύς, ὅτῳ δὲ μέλει ὁ κῆπος, ὁπόσους Ἐπίκουρος ὁ Νεοκλέους, καθάπερ Σόλωνος μὲν τῷ Ἀθηναίῳ, Λυκούργου δὲ τῷ Σπαρτιάτῃ. ξυμβαίνει οὖν τὸν αὐτὸν b ἄνδρα πολλάκις τοῖς μὲν τῆς πόλεως νόμοις ἀθῷον εἶναι, τοῖς δὲ Πλάτωνος ἁλίσκεσθαι ἢ τοῖς Ζήνωνος.

347, 27 ὁπόσους Πλάτων Harduinus. Vulgo ὁπόσα Πλάτων. 28 Κιτιεὺς] Vulgo Κιττιεύς. 30 Σόλωνος — Λυκούργου Petavius. Vulgo Σόλων — Λυκούργῳ.

Τοιοῦτον τοίνυν ἐστὶ καὶ ὃ νῦν ἐμοὶ ἐπικαλοῦσι. τὸν γὰρ σοφιστὴν καὶ ὁποῖόν τι παρανόμημα ὁ σοφιστὴς οἱ μὲν ἡμέτεροι νόμοι οὔτε λέγουσιν οὔτε διώκουσιν, ἀλλὰ καὶ ἔντιμον ὑπολαμβάνουσιν ἔστιν ᾗ καὶ οὐ πάντη ἀχρεῖον τῇ πολιτείᾳ. ἡ δὲ Ἀκαδημία καὶ τὸ
c Λύκειον ἀποκλείει καὶ οὔ φασι τοῖς ἀνακτόροις προσήκειν τὸν ἄνδρα ἐκεῖνον, ὃς τοῦτο τὸ ὄνομα ἀγαπᾷ καὶ ἐξεργάζεται. δῆλον οὖν ὅτι καὶ ὑμῖν τήμερον, ἐπειδὴ ξυνήκετε ἐμὴν χάριν, οὐ τοῦ Σόλωνος ἢ Δράκοντος ἢ Κλεισθένους ἢ Λυκούργου, ἀλλὰ τοὺς ἐντεῦθεν νόμους ἐξεταστέον καὶ τὰ σύμβολα ἐκεῖνα βασανιστέον καὶ τὰ γνωρίσματα ἃ διδόασι τοῦ πράγματος οὗτοι οἱ νόμοι· καὶ εἰ μὲν δὴ τούτοις φανείην ἔνοχος καὶ ὑπεύθυνος, κατέχειν καὶ ἐνδιδόναι τοῖς κατηγόροις
d χρήσασθαι τῇ ἄγρᾳ ὅ τι ἂν βούλωνται· εἰ δὲ ἄλλῃ πῃ ἀποφέροι τὰ ἴχνη ἐκεῖνα καὶ τὰ σημεῖα, ἀθῷόν με ἐᾶν τοῦ ὀνόματος.

Ἔστι τοίνυν Πλάτωνι τῷ θεσπεσίῳ κύρβις ἀνάπλεως τούτων τῶν νόμων καὶ τεκμήρια ἐξευρημένα πολλὰ ἐφεξῆς καὶ οὐ δύσφραστα, ὧν χρὴ ἐχομένους ἐχνηλατεῖν τοὺς μαστεύοντας τὸν σοφιστήν. ταῦτα οὖν, ὡς ἔοικεν, εἰς μέσον ἡμῖν θετέον, καὶ ἐξεταστέον πότερον
288 a ἅπαντά μοι οἰκεῖα καὶ τὰ πλείω, ἢ τὰ ἐλάττω. ἀνάσχεσθε οὖν μου πρὸς Χαρίτων ἀτρέμας ἐξαριθμουμένου ὁποσάκις οὗτος ὁ νομοθέτης οἷον κυνηγέτης κύκλῳ θηρίον περιδραμὼν αἱρεῖ τὸν ἄνδρα καὶ σαγηνεύει. δείκνυσι δὴ πρῶτον μὲν θηρευτὴν ἔμμισθον νέων πλουσίων· δεύτερον δὲ ἔμπορον περὶ τὰ μαθήματα τῆς ψυχῆς, τρίτον δὲ αὖ κάπηλον τῶν αὐτῶν τούτων, τέταρτον δὲ αὐτουργόν τε καὶ αὐτοπώλην, πέμπτον δὲ ἀγωνιστὴν περὶ λόγους τὴν ἐριστικὴν ἔχοντα τέχνην·
b καὶ ὃν δὴ τελευταῖον κολοφῶνα ἐπέθηκε τῷ λόγῳ καὶ συνεδήσατο, δοξαστικόν τινα περὶ τὸ μὴ ὂν καὶ μιμητὴν διὰ φαντασμάτων καὶ τεχνίτην τῶν εἰδώλων τῆς ἀλη-

---

348, 28 ἔμπορον περὶ τὰ μαθήματα ex Platonis Sophista p. 231 d. Petavius. Vulgo ἔμπειρον περὶ τὰ μαθήματα.

θείας καὶ θαυματοποιὸν ἐν λόγοις. τούτου γὰρ δὴ ἅπαντα τὸν ὁρμαθὸν τῶν λόγων τε καὶ τῶν ὀνομάτων τῷ σοφιστῇ περιίστησι τῷ γενναίῳ, εἴ πως αὐτοῦ τὸ πολυειδὲς καὶ πολύπλοκον ἐνδείξαιτο καὶ παραστήσειε κατὰ δύναμιν. εἶεν. χωρὶς δὴ ἕκαστον τούτων προχειριζόμενοι ἀπὸ τοῦ πρώτου, σκοπῶμεν ὅστις ἂν μοι αὐτῷ προσαρμόσαι, καὶ ὅ τι ἂν εὕροιτε ὥσπερ ἴχνος τηλαυγὲς τῆς ἐμῆς πορείας. c

Ὅτι μὲν δὴ οὐδένα πω ἐγὼ πλούσιον νέον ἐθήρευσά τε καὶ μισθὸν ἐπραξάμην τῆς ὁμιλίας ἴστε που ἅπαντες. ἴστε γὰρ ἅπαντες τοὺς ὁμιλητὰς τοὺς ἐμούς, ὅτι μήτε νέοι οὕτως εἰσὶν ὥστε εὐκόλως ἐξαπατᾶσθαι μήτε οὕτως ἄγαν πολύσαρκοι ὥστε καὶ μισθὸν προσφέρειν τοῦ φενακίζεσθαι. καὶ οὔ τι που θρύπτομαι ἐπὶ τῷ πράγματι, οὐδ' αὖ σεμνὸν ἡγοῦμαι καὶ ὑπέρογκον τὸ μὴ μισθωτός ποτε γενέσθαι. εἰ γὰρ δὴ ἐδεόμην ἐγὼ d χρημάτων καὶ τῆς πρὸς τὰ ἀναγκαῖα ἐπικουρίας, μισθὸν μὲν οὐκ ἂν ὡμολόγησα οὐδὲ ἐγραψάμην, αἰτεῖν ἀπώκνησα δ' ἄν, εὖ ἴστε, Κρίτωνα ποιήσασθαι τῶν ἐμῶν ἐπιτηδείων καὶ ταμιεῖον, οἷον Κρίτων ηὐτρέπιζε τῷ Σωφρονίσκου, γεμίζων ὄστρακον κοῖλον τῆς ἐφημέρου δαπάνης. ἀλλ' οὔτε δέομαι, ἀλλ' ἐξαρκεῖ μοι τὰ ὄντα, ὅ τε μισθὸς ἱκανός μοι ἐστὶν ὃν φέρουσιν ἐμοὶ ξυνόντες, κοσμιότητα καὶ αἰδῶ καὶ σωφροσύνην καὶ τὸ 289 a μέτρια φρονεῖν καὶ τὸ μὴ σκαιοὺς εἶναι μηδὲ πλασμίους μηδὲ ἠλιθίους, μηδὲ ἀχάριτας, μηδὲ ἄνω καὶ κάτω θρυλεῖν καὶ σεμνύνεσθαι ἐπὶ βιβλίῳ, ὃ διαπαράττοντες ἐν ζόφῳ πλείω κατέτριψαν χρόνον ἢ οἱ Ἕλληνες πορθοῦντες τὴν Τροίαν. καὶ οὐδεὶς αὐτῶν ἕπεταί μοι ὥσπερ ἀκόλουθος οὐδὲ συμπαραθεῖ τοῦ τρίβωνος ἐξημμένος, οἷα τοῖς σοφισταῖς ἔθος πολλὰ ἀπολαύειν τῆς τέχνης, καὶ οὕτως ἄρα πόρρω εἰμὶ τοῦ κερδαίνειν τι ἀπὸ τῆς ἀγέλης ὥστε τοὐπό γε οὐδ' ὅσοι με σοφιστὴν b ὀνομάζουσι τολμῶσι προσλοιδορεῖσθαι, ἀλλὰ καὶ τοὔμπαλίν φασι ζημιούμενον καὶ σιτοδοτοῦντα καὶ ἀριθμοῦντα

349, 22 δ' ex Stephanus. Vulgo [illegible]. 26 θρυλεῖν] Vulgo θρυλλεῖν.

ἀργυρίῳ οὕτω προσάγεσθαι καὶ συνέχειν τὸ ποίμνιον. καὶ εἴην ἄν, ὡς ἔοικεν, ἐγὼ κατὰ τούτους ἕτερον τρόπον ἔμμισθος θηρευτής, οὐκ ἐπειδὴ λαμβάνω μισθόν, ἀλλ' ὅτι προσδαπανῶμαι.

Ἐγὼ οὖν καὶ περὶ ταύτης τῆς βλασφημίας ἢ εὐφημίας, ὦ ἄνδρες, ὧδε ἔχω γνώμης. τὸ μὲν ἐπαρκεῖν
c ἁπλῶς καὶ ἀναλίσκειν τοῖς ὁμιληταῖς δεομένοις πολύ μοι φαίνεται ἐλευθεριώτερόν τε καὶ μεγαλοπρεπέστερον ἢ στρεβλοῦν τε αὐτοὺς καὶ κατατείνειν καὶ ἄγχειν ἀναγκάζοντα ἀποτιννύναι μὴ οἵους τε ὄντας. ἀτὰρ οὔτ' ἐκεῖνο καθ' αὑτὸ ἀξιέπαινον οὔτε τόδε, ἀλλὰ τόδε μὲν οὐδεπώποτε ἀρετῆς σημεῖον, ἀλλὰ φιλοκερδοῦς καὶ ἐρασιχρημάτου ψυχῆς καὶ ἀτεχνῶς σοφιστικῆς καὶ ἐμμίσθου, εἴθ' ὑπὲρ τῶν Δημοσθένους δικῶν εἴθ' ὑπὲρ τῶν Ἀριστοφάνους δραμάτων εἴθ' ὑπὲρ τῶν πάντων ῥημάτων τε καὶ ὀνομάτων ὑπέχειν τὴν χεῖρα ἔξω τῆς χρείας καὶ
d χαλεπώτερον εἶναι τῶν δημοσίων πρακτόρων. ἐπεὶ καὶ Πρόδικος καὶ Πρωταγόρας ὁ Ἀβδηρίτης ὁ μὲν ὀρθοέπειάν τε καὶ ὀρθορρημοσύνην μισθοῦ ἐκδιδάσκων τοὺς νέους, ὁ δὲ τὰ Σιμωνίδου τε καὶ ἄλλων ποιήματα ἐξηγούμενος, σοφισταὶ ὅμως καὶ ἤστην καὶ ἐλεγέσθην. τὸ γὰρ ἐφ' οἵῳ δὴ σχήματι παιδείας ἀργυρολογεῖν παρὰ τῶν νέων τε καὶ πλουσίων, τοῦτο εἶναί φησι σοφιστὴν ὁ πρωτοστάτης τοῦ καταλόγου τῶν λόγων οὓς Πλάτων
290 a ἐπ' αὐτῶν διεστήσατο. τούτου οὐδὲ Ἴκκον τὸν γυμναστὴν τὸν Ταραντῖνον οὐδὲ Ἡρόδικον τὸν Σηλυμβριανὸν παιδοτρίβην ἀφίησι τοῦ ὀνόματος, ἀλλὰ παραπετάσματα μέν φησι ποιεῖσθαι τὼ ἄνδρε ἐκείνω τὰς τέχνας, τῇ δὲ ἀληθείᾳ σοφιστὰς ἱκανῶς εἶναι, ὅτι ἐχρηματίζοντο ἀπὸ τῶν νέων. καὶ ἴσως οὐκ ἂν μεθεῖτο οὐδὲ ὀκνήσειεν οὐδὲ τὸν Ἀριστοτέλους προσποιούμενον εἶναι προφήτην, εἰ μισθὸν
b πράττοιτο τῆς προφητείας, ἀλλὰ καθέξει τε καὶ ἀμφισβητήσει ὡς ὑπευθύνου. καὶ γὰρ εἰ σεμνὸν τὸ σχῆμα

350, 25 τούτου οὐδὲ Iacobsius in append. ad Pors. Advers. p. 290. Vulgo τοῦ τοιοῦδε. 27 Σηλυμβριανὸν Wesselingius ad Diodori S. XIII, 66. Vulgo Συλημβριανόν.

ἀληθινὴ ἡ σοφία, ἀλλ᾽ οὐ χρή γε αὐτὴν καταβάλλειν b καὶ ἀργυρίου δεικνύναι ἄξιον. ἀλλ᾽ ὅπερ λέγω, τὸ μὲν ἐφ᾽ ὅτῳ δὴ μαθήματι, εἴτε σπουδαιοτέρῳ εἴτε φαυλοτέρῳ, μισθοφορεῖν παρὰ τῶν νέων σοφιστικὸν νομιοῦμεν, εἰ τῷ λόγῳ ξυνεποίμεθα· ὁ δὲ χεῖρα ὀρέγων καὶ ἐπανορθῶν τὴν ἔνδειαν τῶν δεομένων, εἰ μὲν τὴν ψυχὴν βελτίω κατασκευάζων καὶ τῷ σώματι ἐπικουροίη, οὗτος ἂν ὁ τέλειος νομίζοιτο καὶ ὁλόκληρος σωτήρ τε καὶ εὐεργέτης· εἰ δὲ τῆς σαρκὸς ἐπιμελοῖτο, ἐπιβουλεύοι δὲ τῇ διανοίᾳ, σοφιστὴς μὲν ἂν εἴη καὶ ἀλαζών, μετριώτερος c δὲ τοῦ ἀμφότερα λαβομένου.

Σκοπεῖσθαι οὖν χρὴ τοὐμὸν ὅπως ἔχει καὶ ἀναθεάσασθαι. καὶ δὴ συγχωρήσωμεν αὐτοῖς τὴν πρώτην, ὡς ἄρα ἐγὼ πολλῶν ἀργυρίων τοὺς ὁμιλητὰς μεμίσθωμαι καὶ ἐώνημαι, καὶ εἰσὶν οἱ μὲν πολλοὶ ἄρα μναιαῖοι, οἱ δὲ διμναιαῖοι, οἱ δὲ δὴ ἄχρι ταλάντου. τί οὖν; ἀνάγκη μοι παρὰ φύσιν σμικρόν τι καὶ ἀπαυθαδίσασθαι· ἔστιν ὅντινα ἴστε μετὰ τὴν ἐμὴν συνουσίαν — λέγω δὲ οὐκ εἴ τις χρόνον τινὰ εἰσέφρησεν εἰς τὸ διδασκαλεῖον ἡμιμανὴς καὶ ἐκάθητο χασμώμενος ἐπὶ τοῦ d ξύλου, ὃν οὐχ οἷόν τε ἦν ἐξελαύνειν κύνα λυττῶντα καὶ ῥόπαλον ἐπηρμένον· οὗτος γὰρ οὐκ ἐμοὶ ξυγγέγονε καὶ συνωμίλησεν, ἀλλὰ τῷ βάθρῳ τῷ ἐμῷ καὶ τῷ δωματίῳ· οὓς δὲ ἐγὼ ἐγκρίνω τε καὶ περὶ πλείστου ποιοῦμαι — ἔστιν ὅντινα μετὰ τὴν ἐμὴν συνουσίαν διαφθαρέντα καὶ χείρω ἐξ ἀμείνονος γεγενημένον; καὶ πρόσθεν μὲν ἐπιεικῆ καὶ πρᾷον δοκοῦντα, νῦν δὲ τύφου μεστὸν 291 a καὶ ἀποπληξίας; καὶ πάλαι μὲν τοὺς πολλοὺς αὐτὸν ἀποδεχομένους, νῦν δὲ δυσχεραίνοντάς τε καὶ ναυτιῶντας; ἠκούσατε δὲ αὖ τινος τῶν ἐμῶν ἐπιτηδείων ὑψηλολογουμένου καὶ βρενθυομένου ἐπὶ τοῖς συνωνύμοις ἢ ὁμωνύμοις ἢ παρωνύμοις; ἢ αὐτοὶ μὲν μέτριοι φύσει εἰσίν, ἐγὼ δὲ αὐτοὺς ὄγκου ἐμπίπλημι καὶ χαυ-

---

351, 11 λαβομένου] λωβωμένου Stephanus. 23 βάθρῳ Petavius. Vulgo βόθρῳ. 30 ἠκούσατε Stephanus. Vulgo ἀκούσατε.

νότητος, μαρτυρόμενός τε καὶ ἐγγυώμενος πρὸς πάντας ἀνθρώπους, ὅτι ἄμεινον ξυνιᾶσι τῶν Ἀριστοτέλους· ἐξ
b ὧν ἐμὲ μᾶλλον ἀγαπῶσι καὶ θεραπεύουσι καὶ ἐμπιπλᾶσι τὴν οἰκίαν ἅλις χρυσοῦ καὶ ἀργύρου, αὐτοὶ δὲ ἐπαχθεῖς καὶ φορτικοὶ γίνονται πολλοῖς οὐδὲν δεομένοις; καίτοι ὑπὲρ ἑκάστου αὐτῶν πολλὰ ἔχω λέγειν καὶ ἀγαθά, ἀλλ' ὅμως οὐκ οἶμαι δεῖν τὸν μάρτυρα οἴκοθεν εἶναι. οὐδὲ γὰρ ἀθλητὴν ὁρῶ τὸν τοιοῦτον στεφανούμενον καὶ εὐδοκιμοῦντα, ὃν ὁ παιδοτρίβης ἐπαινεῖ μόνος καὶ οἱ συνδειπνοῦντες, ἀλλ' ὃν πολλοὶ ἐθεάσαντο ἐν τοῖς γυμνασίοις τραχηλιζόμενόν τε ῥᾳδίως καὶ μεταφέροντα τοὺς
c ἁλτῆρας. ὅστις οὖν χρήματα μὲν οὐ πράττεται, ἀλλὰ δωρεῖται, ἐπιδίδωσι δὲ καὶ ἀρετὴν τοῖς χρωμένοις, πόρρω ἂν οὗτος σοφιστοῦ ἀποκρίνοιτο.

Ἀλλ' ἐγὼ ὄναρ ὑμῖν ἀλλότριον ἀπαγγέλλω. καὶ μὴ πείθεσθε, ὦ ἄνδρες, τοῖς ὀνειρώττουσιν ὑπὲρ τῶν ἐμῶν θησαυρῶν, ὅτι μοι ταμιεῖον ὑπερχειλές τε ἄγαν ἐστὶ καὶ ἐξαντλοῦσιν οἱ βουλόμενοι ἀφθόνως. καίτοι ὤφελεν αὐτῶν ὕπαρ εἶναι τὸ ὄναρ. οὐ γὰρ ἂν φαῦλον ἦν ἐλευθεριότητα καὶ μεγαλοπρέπειαν ἐπιδείκνυσθαι οὐ μόνον ἐν λόγῳ καλῷ καὶ ἔργῳ, μάλιστα ἐκ πλούτου δικαίου ἄνωθεν κατιόντος· οὗ αἱ πηγαὶ πόρρωθεν ῥέου-
d σιν ἄγαν διαφανεῖς καὶ πραεῖαι, καὶ οὐδαμόσε αὐτὰς μολύνει ῥεῦμα ξυμμιγνύμενον ἀδικίας. ἀλλ' οὔτε μου τὰ πατρῷα τοσάδε ἐστὶν οὔτε ἐγὼ χρηματιστὴς καὶ ποριστικός.

Ὅ τε αὖ λέγουσιν οἱ κατήγοροι, καὶ τοῦτο ἄλλο ὄναρ ἐστίν, ὡς ἄρα πυρῶν βασιλικῶν σωροὺς ἀθρόους
292a δαπανῶ τοῖς ὁμιληταῖς καὶ διανέμω. δαπανῶ μὲν γὰρ πυροὺς βασιλικοὺς ἐκ τῶν σιτοφυλακίων τῶν δημοσίων, καὶ εἰ τοῦτο σημεῖον τοῦ σοφιστὴν εἶναι, πάντες ἂν εἶτε σοφισταί, οὐ μόνον ὑμεῖς οἱ ἐνθάδε συγκαθήμενοι, ἀλλὰ καὶ οἱ τοιχογράφοι καὶ οἱ βαλανεῖς καὶ οἱ σιτοπόμποι καὶ πάντες ὅσοι καλαμηφοροῦσιν ὄρθριοι ἐπὶ τὰς ἐργά-

352, 21 καλῷ] ἄλλῳ Petavius. 30 ἐκ τῶν Petavius. Vulgo ἐκ καὶ τῶν. ἐκ δὲ τῶν Iacobsius apud Goellerum p. 272.

ναῷ. ἀλλ' ἐκεῖνο δίκαιον ὑμᾶς ἐξετάζειν, ὅτι μοι ἐξὸν οὐ σίτου μόνον διακοσίους μεδίμνους οὐδὲ ἐλαίου ἴσα κεράμια — καίτοι τοὔλαιόν γε οὔπω ἴσασιν οἱ κατή- b
γοροι, ἀλλ' ἐξέφυγέ με οὐκ οἶδ' ὅπως, ἵνα μᾶλλον σφαδάζοιεν καὶ ἀγανακτοῖεν — ἀλλ' ὅτι μοι οὐ ταῦτα μόνα ἐξὸν παρὰ βασιλέως καρποῦσθαι, ἀλλ' ἐκείνου τοῦ μακροῦ καταλόγου τῆς τρυφῆς καὶ τῆς εὐπαθείας, ὁπόσα ταῖς δέλτοις ἀκολουθεῖ ταῖς σφυρηλάτοις, καὶ ταῦτα οὔτε λιπαρήσαντα οὔτε θωπεύσαντα οὔτε ἑτέρῳ προστάτῃ χρησάμενον καὶ προσηγόρῳ, ἀλλ' αὐτοῦ παρόντος ἐπὶ τοῖς λόγοις, ὧν αὐτήκοος ἐγένετο οὐχ ἅπαξ οὐδὲ δίς, ἀλλὰ πολλάκις, ὥστε ἀξιῶσαι τῶν μεγίστων c
γερῶν, ὅμως ταῦτά μοι ἐξὸν οὐχ ὑπεῖξα οὐδ' ὑπήκουσα, καὶ πάνυ προθυμουμένου. εἰ δὲ ὀρθῶς ἢ μή, κοινωνοὶ γένεσθε τῆς γνώμης.

Φαίνεταί μοι αἴσχιστον εἶναι καὶ ἀλλότριον ἀνδρὸς ἐλευθέρου τὸ ψεύδεσθαι εἰς τὸ κυριώτατον τῶν ἑαυτοῦ καὶ ἐξαπατᾶν τοὺς ἀνθρώπους· κυριώτατον δὲ τῶν ἑαυτοῦ καὶ ἔργων καὶ παθημάτων ὁ τύπος τοῦ βίου καὶ ὁ χαρακτὴρ ὃν ὑποδύεται. ὅστις οὖν φιλοσοφίας μεταποιούμενος, καὶ τοῦτο τοὔνομα ἕλκων τε καὶ ἀναγκάζων, ἱστᾷ τε ὕεια ταρίχη καὶ ζυγομαχεῖ τοῖς ταμίαις, τὸν οἶνον καὶ τὰ ὄψα ἀπαργυρίζων, οὗτος ψεύδεται d
μὲν τὸ τριβώνιον, ᾄττει δὲ ἐπὶ τὴν ζώνην καὶ τὴν χλαμύδα, καὶ φορτικώτερός ἐστι τῶν τὰ ὅπλα φερόντων στρατιωτῶν. διὰ ταῦτα οὖν ὅσα μὲν τὴν χρείαν μοι ἀναγκαίαν εἶχε καὶ οἷς σιτοδοτεῖ βασιλεὺς τοὺς οἰκήτορας τῆς πόλεως, οὐ τοὺς στρατιώτας, ἀπολαύω καὶ αὐτός, ὦ ἄνδρες, τὸ μέρος· μετέχω γὰρ τῆς πολιτείας καὶ τὴν ἐνθάδε ξυνοίκησιν προὐτίμησα τῆς ἐνεγκούσης, ἐν ᾗ εἴπερ τις διάγειν ἐφῆν, κατατέμνεσθαι ἂν ἄξιος 293 a
εἴην, εἰ πυρῶν ἑτέρωθι προσδεοίμην. ὅσα δέ μοι τὸ βαλάντιον ἔμελλε γεμιεῖν, οὐ τὸν λιμὸν ἀκεῖσθαι τῶν ἀνδραπόδων, καὶ ὅσα ἀνάγκη εἰσδεχόμενον ἦν εὐθὺς

353, 22 ἱστᾷ τε ὕεια Petavius. Vulgo ἱσταιτεύει. 31 ἐφῆν] Aut ἐφῇ scribendum, aut ἐφίμην deleto τις. Vidit Petavius.

καὶ τοὔνομα περιῇφθαι οὐξοδαπὸν τῷ τριβωνίῳ, ἀπεσχυρισάμην τε ἀτενῶς καὶ οὐκ ᾔσχυνα τοὺς προγόνους, οὐ τὰ αὐτὰ ἐφρόνουν περὶ βασιλέως καὶ φιλοσόφου καὶ ἄμφω ἐνόμιζον κατοικεῖν ὁμοίως ἐν ταῖς κορυφαῖς τῆς ἀνθρωπίνης εὐδαιμονίας καὶ προσωτέρω οὐκ ἔχειν ᾗ
b προβήσετον. τὸν δὲ οἰόμενον καὶ μεῖζόν τι ἕτερον ὀνειροπολοῦντα κάτω που ἐστὶ πλανᾶσθαι οὐδὲ ἀνελθεῖν εἰς ἐκείνην τὴν σκοπιάν, ἣ ὑψηλοτάτη τέ ἐστι καὶ ὑπερκύπτει τὸν οὐρανόν· ἔνθεν οὐ μόνον γῆ καὶ θάλαττα ἄποπτος πᾶσα, ἀλλὰ καὶ ὁ θρόνος αὐτοῦ τοῦ Διὸς καὶ ἡ ἀληθινὴ προεδρία καὶ αἱ πηγαὶ τοῦ νέκταρος καὶ ὁ λειμὼν τῆς ἀμβροσίας· οὗ ἀναβῆναι οὐκ ἔστι δέλτῳ χρυσῇ ἐποχουμένους, ἀλλ᾽ εἴ τις ἐκείνης κρατήσειε καὶ ἐπαύροιτο τῆς ἀρχαίας καὶ ἀθριπηδέστου, ἐν ᾗ Πλάτων καὶ Πυθαγόρας τὰ γράμματα ἐχαράξα-
c στην. ποῖον οὖν ἐγὼ σιτοφυλάκιον ἐκκενῶ τοῖς ὁμιληταῖς τοῖς ἐμοῖς; ποίους δὲ πυροὺς ἐπιχέω, καθάπερ τοῖς νεωνήτοις τὰ καταχύματα; καὶ Ἀρίστιππον μὲν τὸν Κυρηναῖον καὶ ταῦτα δεκαπλάσιοι ὄντες οἱ Διονυσίου πυροὶ οὐκ ἐποίησαν σοφιστήν· ἐγὼ δὲ ὑπερακοντίζω καὶ τὸν Γοργίαν, ὡς ἔοικεν, ἐπὶ ταῖς τριάκοντα χοίνιξιν.

Ἀλλὰ δῆτα αὐτὸς μὲν ἀποκλείω τὸ ταμιεῖον καὶ ἧττον ἂν χαλκοῦν τῳ προείμην ἢ ξύμπασαν ὁμοῦ γεωμετρίαν καὶ ἀριθμούς· ἀπεβουκόλησα δὲ ἕνα τῶν νέων
d χρηστόν τε ἄγαν καὶ τεθραμμένον ἐν ὀρφανίᾳ, ὃς οἰκουρεῖ ὑπὲρ ἐμοῦ καὶ προτίθεται δύο τραπέζας, τὴν μὲν τρυφῆς γέμουσαν, τὴν δὲ ἀργυρίων· κᾆτα προΐσχονται αὐταῖς καὶ ἐκκρέμανται οἱ Ἀριστοτέλους μὲν οὐδὲν δεόμενοι, βίου δὲ χρῄζοντες καὶ τοῦ γεμίζεσθαι τὴν γαστέρα· καὶ δορυφορεῖ με ἐμβάλλοντα εἰς τὴν ἀγορὰν καὶ συρφετὸς οὗτος καὶ ἡ γρυμαία, κεκραγότες

354, 1 οὐξοδαπὸν] οὐ ξυνοπαδὸν Harduinus. 3 οὐ τὰ] ὅτι τὰ Petavius. 25 ἀριθμούς Petavius. Vulgo ἀριθμοῦ. 28 κᾆτα προΐσχονται Stephanus. Vulgo καταπροΐσχονται. 30 χρῄζοντες Petavius. Vulgo χρῄζεσθαι.

καὶ ἐκβοῶντες ἐφ' ἑκάστῳ ῥήματι ὧν ἂν λέγω, καὶ a 294 *παραβαλλόμενοι πρὸς ἀλλήλους ὅστις ἄμεινον ἀποδοίη τὸ ἔργον ἐφ' ὃ θηρεύουσιν. εἰ τοιοῦτον ἐγὼ χορόν τε καὶ χορηγὸν συνεστησάμην, πάνυ ἂν εἴην σοφιστὴς καὶ οὐδέν τι μεῖον ἢ Πρωταγόρας ἀποχρώμενος Καλλίᾳ τῷ λακκοπλούτῳ· ἀλλ' οὐδεὶς οὕτως εὐδόκιμος τῶν ἐμῶν μαθητῶν οὐδὲ ὑπερβάλλων σιναμωρίᾳ, ἀλλὰ προσέρχονταί μέν μοι καὶ ἀγαπῶσι, μισθὸν δὲ οὔτε εἰσφέρουσιν οὔτε ἀποφέρονται.* b

Τῷ μὲν οὖν αὐτὸς θηρεύω τε καὶ προσάγομαι; καὶ τίς ἡ ἐπῳδὴ καὶ ἡ μαγγανεία, δι' ἣν πολλοὶ ἀπολιπόντες καὶ τὴν ἀρχαίαν Ἑλλάδα καὶ τὴν πρόσοικον Ἰωνίαν, ἐν αἷς ἀμφοτέραις διδασκαλεῖα μέγιστα φιλοσοφίας, ἔπειτα εἰς τὴν πόλιν ἡμῖν συμφοιτῶσι; καὶ οὐδὲν αὐτοὺς ἀποκωλύει ἐξ ὧν ἡ πόλις μεγάλη τε ἐστὶ καὶ εὐδαίμων, καὶ οὐχ ἡδοναὶ ἐκκεχυμέναι, οὐ πανηγύρεων θόρυβος, οὐ σχολῆς σπάνις καὶ ἡσυχίας, οὐκ c *αὐτοὶ οὗτοι οἱ ὀξὺ βλέποντες συκοφάνται καὶ τὰς αἰχμὰς τῷ χρῷ ἐπισείοντες; ὀκνῶ μὲν εἰπεῖν, ὦ ἄνδρες, μὴ καὶ ἀτεχνῶς δόξαιμι καλλωπίζεσθαι· συνελαύνουσι δὲ οἱ κατήγοροι τὰς ἀληθινάς με ἐπαγωγάς, αἷς χρῶμαι ἐπὶ τοὺς νέους, εἰς τὸ θέατρον ἐξενεγκεῖν ἀντὶ τῶν ψευδῶν καὶ πεπλασμένων. καίτοι αἰσθάνεσθε αὐτῶν ἱκανῶς καὶ οὐ σφόδρα ἀτήρητοι ὑμῖν εἰσιν· ὅμως δὲ ἔτι καὶ μᾶλλον ἀποκαλυπτέα καὶ γυμνωτέα.*

Ἐμοὶ νέῳ ὄντι συγγράμματα ἄττα πεποίηται, ἐν d *οἷς τὸν κλῆρον κατεθέμην καὶ ἐθησαύρισα, ὃν παρὰ τῶν ἐμῶν πατέρων διεδεξάμην. καταλέγει τὰ συγγράμματα ταῦτα ἴδιον μὲν οὐδὲν οὔτε ἐμὸν οὔτε ἄλλου, ἐμφανίζειν δὲ ἐπιχειρεῖ τὸν νοῦν τὸν Ἀριστοτέλους καὶ ἐξάγειν ἐκ τῶν ῥημάτων ἐν οἷς ἐκεῖνος αὐτὸν καθεῖρξέ τε καὶ ἐφράξατο, τοῦ μὴ ἐπίδρομον εἶναι τοῖς παντάπασιν ἀμυήτοις. καὶ ταῦτα ἐγὼ τὰ συγγράμματα ἄλλῳ μὲν οὐδενὶ πώποτε ᾤμην οὔτε χρείαν ἕξειν οὔτε ἔσε-* 295 a

---

355, 7 *σιναμωρίᾳ*] Vulgo *σιναμωρίαις*. Correxit Iacobsius ad Ach. Tat. p. 609. : 9 *ἀποφέρονται* Iacobsius. Vulgo *ἀποφέρομαι*.

σθαι σπουδαῖα· οὐδὲ γὰρ οὕτω πολυτελῶς καὶ ἀνδρείως
ξυντεθέντα αὐτὰ ἠπιστάμην, ἐμαυτῷ δὲ μόνῳ μνημό-
συνα καὶ ἀποθήκην ὧν ἠκηκόειν, ἵν᾽, εἴποτε ἀποφύγοι
τὴν μνήμην, ἐξῇ μοι ὥσπερ ἐκ ταμιείου λαμβάνειν
ἀσφαλοῦς τε καὶ ἀναλώτου ἀπὸ τῆς λήθης. διὰ ταῦτα
οὖν ὀρρωδοῦντός μου ὑπὲρ αὐτῶν καὶ ἐν φυλακῇ ποιου-
μένου ὅπως ἂν μὴ θύραζε ἐκφοιτήσειαν, λανθάνουσιν
οἱ λόγοι οὗτοι ἀποδράντες οὐκ οἶδα ὅπως, καὶ μετὰ
b σπουδῆς κυλινδούμενοι ἐξ ἄλλου εἰς ἄλλον ἀφικνοῦνται
εἰς Σικυῶνα.

Ὤικει δὲ ἐν Σικυῶνι τηνικαῦτα ἀνήρ, ὃν ἐγὼ φαίην
ἂν ἀτρεκέστατά τε καὶ ἀδολώτατα τῶν γε ἐπ᾽ ἐμοῦ
Ἑλλήνων ἀντειλῆφθαι φιλοσοφίας, ἀκουστὴς μὲν γεγο-
νὼς τοῦ Χαλκιδέως πρεσβύτου, θεραπεύων δὲ οὐ τὴν
νέαν ᾠδήν, ἀλλὰ τὴν πάτριον καὶ ἀρχαίαν τῆς Ἀκαδη-
μίας καὶ τοῦ Λυκείου· οὐχ οἷος κολούειν τε καὶ πρίε-
σθαι καὶ βασκαίνειν, εἰ χρηστοῦ τινος ἕτερος μετα-
ποιοῖτο, ἀλλ᾽ οἷος συνεξορμᾶν καὶ συνοτρύνειν οὓς ἂν
c αἴσθοιτο φυομένους πρὸς ἀρετήν. οὗτος ὁ ἀνὴρ μικρὰ
ὁμιλήσας τῇ ἐμῇ εἴτε σπουδῇ εἴτε παιγνίᾳ ταυτὸν μικροῦ
ὑπέμεινε πάθος Ἀξιοθέᾳ τῇ φιλοσόφῳ καὶ Ζήνωνι τῷ
Κιτιεῖ καὶ τῷ γεωργῷ τῷ Κορινθίῳ. Ἀξιοθέα μὲν γὰρ
ἐπιλεξαμένη τι τῶν ξυγγραμμάτων ἃ Πλάτωνι πεποίηται
ὑπὲρ πολιτείας, ᾤχετο ἀπιοῦσα Ἀθήναζε ἐξ Ἀρκαδίας,
καὶ Πλάτωνος ἠκροᾶτο λανθάνουσα ἄχρι πόρρω ὅτι
γυνὴ εἴη, ὥσπερ ὁ Ἀχιλλεὺς τοῦ Λυκομήδους· ὁ δὲ
γεωργὸς ὁ Κορίνθιος τῷ Γοργίᾳ ξυγγενόμενος — οὐκ
αὐτῷ ἐκείνῳ Γοργίᾳ, ἀλλὰ τῷ λόγῳ ὃν Πλάτων ἔγρα-
d ψεν ἐπ᾽ ἐλέγχῳ τοῦ σοφιστοῦ — αὐτίκα ἀφεὶς τὸν
ἀγρὸν καὶ τὰς ἀμπέλους Πλάτωνι ὑπέθηκε τὴν ψυχὴν
καὶ τὰ ἐκείνου ἐσπείρετο καὶ ἐφυτεύετο. καὶ οὗτός ἐστιν
ὃν τιμᾷ ὁ Ἀριστοτέλης τῷ διαλόγῳ τῷ Κορινθίῳ. τὰ
δὲ ἀμφὶ Ζήνωνος ἀρίδηλά τέ ἐστι καὶ ᾀδόμενα ὑπὸ

356, 3 ἀποφύγοι] Vulgo ἀποφύγοιτο. 18 συνοτρύνειν] Videtur συνεξοτρύνειν scripsisse ut p. 256 a. 32 τῷ Κορινθίῳ] Vide Huschkium de Annio Cimbro p. 63.

πολλῶν, ὅτι αὐτὸν ἡ Σωκράτους ἀπολογία ἐκ Φοινίκης ἤγαγεν εἰς τὴν Ποικίλην.

Αὐτὸς μὲν δὴ ἀνὴρ ἐκεῖνος οὐκ ἐδεῖτο ἐπισιτεῖσθαι, 296 a ἣν δὲ ἐνόμιζεν ἀγέλην αὐτίκα ἐξώρμα ἅπασαν εἰς τὸν Βόσπορον. καὶ ἐπειδὴ ἠμφισβήτουν οἱ νεανίαι, πέμπει εἰς θεοῦ πευσομένους εἰ ἄρα ἄμεινόν τι ἐκεῖνος γινώσκει· καὶ φέρει τὴν αὐτὴν ψῆφον ὁ θεός, οἵαν πάλαι ἐπὶ Σωκράτην. πιστεύσατε, ὦ ἄνδρες, νὴ τὸν Ἀπόλλω ἐκεῖνον, ὅτι ταῦτα ἐγὼ οὐ μῦθον συμπλάσας ὥσπερ μειρακίοις προσάγω, οὐδὲ καταπλήττομαι ὑμᾶς τῷ κροτῇ, οὐδὲ καλλωπίζομαι καὶ ἁβρύνομαι ἄνευ ἀνάγκης, ἀλλ' ὅτι οὐκ ἔστιν ἄλλως ἀμύνασθαι τοὺς λοιδορουμένους τε καὶ τοὺς βλασφημοῦντας ἢ πολλῷ b ἀμείνους ἐπιδεικνύντα τοὺς ἀγαπῶντας καὶ εὐφημοῦντας. ἐπεὶ καὶ Σωκράτης ἐκεῖνος πρὸ μὲν τοῦ οὐκ ἐξέφαινε τοῦ Πυθίου τὴν μαρτυρίαν, ἐπεὶ δὲ αὐτὸν Λύκων τε καὶ Ἄνυτος διεβαλλέτην καὶ Μέλητος ἐφειστήκει γραψάμενος ὡς σοφιστὴν καὶ διαφθορέα τῶν νέων, τότε δὴ ξυνηναγκάσθη τοῖς δικασταῖς ἀναβιβάσασθαι μάρτυρα τὸν θεόν. ἀλλ' ἐκεῖνοι μὲν οἱ δικασταὶ ὑπ' ἀγνωμοσύνης τὸ παραυτίκα ἐξηπατήθησαν καὶ ἐγοητεύθησαν ὑπὸ τοῦ λόγου ὃν ξυνέγραψε Πολυκράτης, Ἄνυτος δὲ c ἐμισθώσατο. δῆμος γὰρ ἦσαν καὶ οὐδὲν ἱερόν· ὑμεῖς δὲ ἔκκριτοι ἁπανταχόθεν καὶ προσέτι κοινωνεῖτέ μοι τοῦ ἀγῶνος. τὸ γὰρ ἄμεινόν τι εἶναι ἐμὸν πρᾶγμα ἢ κατὰ σοφιστὴν οὐκ ἄλλοι τινὲς πρότερον ὑμῶν καὶ ὑπέλαβον καὶ ἐπεφήμισαν.

Μῶν ἄρα ἔτι θαυμαστόν, εἰ τοιούτοις ἐγὼ χρώμενος ἀρωγοῖς τε καὶ συλλήπτορσι τοῦ κυνηγεσίου, ἐθηρευσάμην ὀλίγους νέους καὶ τοιούσδε ὑπὲρ ἐμαυτοῦ κεκτημένος ἑστιάτορας καὶ μισθοδότας προσηγαγόμην d τοὺς λίχνους τῶν μαθητῶν; οὐ γὰρ λίαν, ὡς ἔοικε, φαῦλαί εἰσιν αἱ ἄρκυς τε καὶ τὰ δίκτυα ὧν μικροῦ ἔμπροσθεν ἐμνήσθην, ἅ με ἀποδράντα τῆς οἰκίας αὐ-

357, 8 πιστεύσατε Petavius. Vulgo ἐπιστεύσατε. 17 Μέλητος] Vulgo Μέλιτος.

τόματα περιθεῖ, ὥσπερ τὰ Δαιδάλου ἔργα, σαγηνεύοντα καὶ συμπλέκοντα τοὺς νέους ὅσοι μὴ βεβυσμένοι εἰσὶ τὰ ὦτα, καὶ προσάγει μοι τὴν ἄγραν οὔτε μέγα οὔτε μικρὸν πραγματευομένῳ. ἀλλ' ἐκεῖνο θαυμαστὸν τῶν 297 a *κατηγόρων, ὅτι ἐξὸν αὐτοῖς τὰ δίκτυα ταῦτα ἐν τῷ μέσῳ οὑτωσὶ περιτρέχοντα καὶ ἐν ταῖς χερσὶ τῶν ἀνθρώπων καταγαγεῖν ἀπὸ τῶν χαλίδων καὶ διασπάσαι τὰ ἀκρωλένια καὶ ἐπιδεῖξαι τοὺς βρόχους ὅτι λαγαροὶ ἄγαν καὶ ἀσθενεῖς καὶ ὑπὸ ἀγνοίας αὐτοῖς οἱ ἄνθρωποι ἐγκαταδοῦνται· οἱ δὲ τοῦτο μὲν ἢ οὐχ οἷοί τέ εἰσιν ἢ οὐ προαιροῦνται, ὥσπερ δὲ τὰ φαῦλα τῶν κυνιδίων ὑλακτοῦντα ἀεὶ καὶ θορυβοῦντα, ταῦτα μὲν ὀνίναται οὐδὲν, ἀποσοβεῖ δὲ τὴν ἄγραν.*

b *Εἶεν. τὸν μὲν δὴ ἔμμισθον σοφιστὴν μόλις πως ἄρα διανενεύκαμεν. σκοπῶμεν δὲ ἐφεξῆς τὸν ἔμπορον καὶ τὸν κάπηλον καὶ τὸν αὐτοπώλην, εἰ ἄρα τούτων ἡμῖν προσήκει τι τῶν ὀνομάτων. λέγει τοίνυν ὁ θεσπέσιος Πλάτων ὅτι οὔσης τινὸς τέχνης ἀλλακτικῆς, ἣ διαμείβεται ὧν δίδωσιν ἃ λαμβάνει, ἡ μὲν ἐξ ἄλλης πόλεως εἰς ἄλλην ὠνῇ τε καὶ πράσει χρωμένη καὶ μεταβάλλουσα τὰ ἀγώγιμα ἐμπορικὴ ὀνομάζεται ὑπὸ τῶν ἀνθρώπων, ἡ δὲ ἐν πόλει μιᾷ καθημένη ἀλλακτικὴ τῶν αὐτῶν τούτων, εἰ μὲν αὐτουργοῦσα τὰ αὐτῆς ἔργα* c *νομίσματος ἀποδιδοῖτο, ὥσπερ οἱ μάγειροι καὶ οἱ βαλανεῖς, αὐτοπωλικὴ ἂν ἐν δίκῃ καλοῖτο, ἡ δὲ τὰ ἀλλότρια ὠνουμένη καπηλική· τούτων δ' οὖν τῶν τριῶν ἑκάστην μίαν οὖσαν σχίζεσθαι διχῇ τῇ αὐτῇ τομῇ καθ' ὅ τι ἀλλήλων διαφέρει τὰ ἀγοράσματα. ἔμπορον γὰρ τὸν μέν τινα εἶναι σιτίων τε καὶ ἱματίων καὶ ὑποδημάτων καὶ ἐν βραχεῖ ὅσων τὸ σῶμα τὸ ἡμέτερον ἐπιδεές· τὸν δέ τινα λόγων τε καὶ μαθημάτων οἷς ψυχὴ τρέφεται ἢ κολακεύεται· ὁμοίως δὲ αὖ κάπηλον,* d *ὁμοίως δὲ καὶ αὐτοπώλην. εἴτε οὖν μουσικήν τις εἴτε*

358, 15 *διανενεύκαμεν*] Ex Platone: vide Ruhnken. ad Timaeum p. 79. 32 *κάπηλος*] Platonis Protagoram p. 297 d. comparat Iacobsius apud Goellerum p. 280.

γραμματιστικὴν εἴτε ζωγραφίαν εἴτε ἄλλο τι ψυχῆς ὠφέλημα ἢ παραμύθιον ἐκ πόλεως εἰς πόλιν μετάγων, ἔνθεν μὲν ὠνοῖτο, ἑτέρωθι δὲ ἀποδιδοῖτο, ἔμπορος οὗτος οὐδέν τι μεῖον ἢ Λάμπης ὁ Αἰγινήτης· εἴτε αὐτοῦ καθιδρυμένος ἐν πόλει, καὶ τὰ μὲν ὠνούμενος μαθήματα, τὰ δὲ καὶ αὐτὸς τεκταινόμενος πωλοίη καὶ ἀλλάττοιτο ἀργυρίου, κάπηλος οὗτος ἢ αὐτοπώλης κομψότερος μικρῷ Σαράμβου καὶ Θεαρίωνος. καὶ οὕτως 298 a αὖ τρικέφαλόν τινα αὖθις ὥσπερ τὸν Γηρυόνην ἀποφαίνει τὸν σοφιστήν.

Τίνι οὖν με τῶν ἀλλακτικῶν ἐγγράφουσιν οἱ κατήγοροι; μῶν τῷ πλανήτῃ, ἢ τῷ σταδιαίῳ; ἐγὼ τοίνυν πολλαῖς μὲν ὡμίλησα πόλεσι καὶ ξυνεγενόμην, καὶ ἀπεδήμησα μακρότερα ἢ ὁ Σωκράτης, οὐχ ὅσον εἰς Ποτίδαιαν στρατευόμενος. ἀλλ' ὅπλα μὲν οὐκ ἤνεγκα ὑπὲρ ὑμῶν, ὑμῶν δ' αὖ εἵνεκεν πολλὴν γῆν ἐπῆλθον καὶ πολλὰς πόλεις μεγάλας τε καὶ εὐδαίμονας, ἀτὰρ δὴ καὶ τὴν μητρόπολιν τὴν ἡμετέραν, οὐ τὰ ἀρχαῖα Μέγαρα b λέγω, ἀφ' ὧν ὡρμήθησαν οἱ τῷ Βοσπόρῳ προσοικήσαντες, ἀλλ' ἣ τῶν μὲν ἄλλων πόλεων βασιλεύει, τῇ δὲ ὑμετέρᾳ συμβασιλεύει. καὶ εἰ μέν τι καὶ ἄλλο χρηστὸν ἐξ ἐκείνης ὑμῖν ὑπῆρχε τῆς ἀποδημίας, οὐκ ἂν δυσχυρισαίμην· ἤγαγον δ' οὖν αὐτοῖς τὰ ἀγώγιμα ὅσα τέ μοι πρῶτα ὑπῆρχε καὶ ὅσα παρ' ὑμῖν ἐνθένδε ἐπορισάμην ἐν εἴκοσιν ὅλοις ἐνιαυτοῖς, πολλὰ μὲν ἐκ τῶν ἀρχαίων συλλεξάμενος θησαυρῶν τῆς μνημοσύνης, ἔστι δὲ ἃ καὶ αὐτουργήσας. καὶ ὅπως δὴ οἱ πάντες ἐκεῖνοι περιφρονοῦντες καὶ οὐδὲν τῶν ἔξωθεν ἀφικνουμένων c θαυμάζειν ἢ ἐθέλοντες ἢ δυνάμενοι διὰ τὴν περιουσίαν τῶν οἴκοι θαυμάτων, ὅμως τοσόνδε ἑάλωσαν καὶ ἐκρατήθησαν ὑπὸ τῶν ἀγωγίμων τῶν ἡμετέρων, ὥστε πολλὴν μὲν χώραν καρποῦσθαι διδόντες ψιλὴν καὶ πεφυτευμένην, πολὺ δὲ ἀργύριον, πολὺ δὲ χρυσίον, ἰόντες τε εἰς τὴν κατάλυσιν ὁσημέραι καὶ θαυμαστὰ δρῶντες

359, 23 τὰ ἀγώγιμα] „Plato in Protagora p. 313 c.“ Iacobsius. 25 ὅλοις Petavius. Vulgo ὀλίγοις.

ὅπως ἂν χρόνον τινὰ ἐκεῖ διατρίψας πάλαι κεκλεισμένα
d τὰ Πυθαγόρου τεμένη καὶ τοὺς Πλάτωνος καὶ Ἀριστοτέλους νεὼς ἀναπετάσαιμι αὐτοῖς κατὰ δύναμιν καὶ δείξαιμι τὰ ἀγάλματα, ἐπειδὴ πείθειν οὐχ οἷοί τε ἦσαν, ἀλλ' ἐγὼ τὰ μὲν ἀγώγιμα προῖκα ἐδίδουν, αὐτὸς δὲ ὀπίσω παρ' ὑμᾶς ἱέμην, χεῖράς τε ἐπειρῶντο προσάγειν καὶ ἐπίκουρον τῷ ἔρωτι τὸν μέγαν παρακαλεῖν βασιλέα. καὶ τούτων τίνα ἄλλον μάρτυρα ἂν ὑμῖν παρασχοίμην ἀξιοπιστότερον αὐτοῦ βασιλέως, οὗ καὶ ἀνεγνώσθη ὑμῖν ἐν τῇ βουλῇ ἤδη μαρτυρία; πῶς ἂν οὖν ἐμπορευοίμην ἐγὼ τὴν σοφίαν; καὶ παρὰ τίνας ἀφικνούμενος ἄλλους
299 a ἀνθρώπους ἢ παρ' οὓς μάλιστα καὶ πλεῖστον ἐξῆν; οὗτοι δωτίνην ἀπέλαυσαν τῆς ἐμπορίας.

Καὶ οὐ λέγω τὸ ἄστυ τοῦ Ἀντιόχου, οὐδὲ ὅσοις ἐκεῖ ξυνέμιξα ἀνδράσι τὰ ἐμὰ φορτία μαστεύουσι καὶ περιποιουμένοις, οὐδὲ ὅσοις ἐν Γαλατίᾳ τῇ Ἑλληνίδι. καὶ αἱ μὲν πόλεις οὐχ οὕτω μεγάλαι, οὐδ' οἵαι τῇ μεγίστῃ ἀμφισβητεῖν· οἱ δὲ ἄνδρες ἴστε ὅτι ὀξεῖς καὶ ἀγχίνοι καὶ εὐμαθέστεροι τῶν ἄγαν Ἑλλήνων, καὶ τριβωνίου παραφανέντος ἐκκρέμανται εὐθὺς, ὥσπερ τῆς
b λίθου τὰ σιδήρια. οὗτοι οἱ ἄνδρες τί οὐκ ἂν πρόοιντο ὥστε κύριοι γενέσθαι τῆς ἐξαγωγῆς τῶν Πλάτωνος μαθημάτων, οἱ ὑπὲρ τῶν Δημοσθένους δικῶν καὶ τῆς Θουκυδίδου ξυγγραφῆς μικροῦ ἴσα τελοῦντες τοῖς τούτων ἐμπείροις, ὁπόσα Ξέρξης Θεμιστοκλεῖ τῷ Νεοκλέους; καὶ οἶδα ὅτι συγκάθηνται πολλοὶ καὶ συνδικάζουσι πολλοὶ ἐξ ἐκείνων τῶν πόλεων. πυνθάνεσθε οὖν παρὰ τούτων εἰ ταῦτα ἐγὼ ἀληθῆ λέγω.

c Καὶ ὅτι μὲν ἔμπορος οὐκ ἂν εἴην τινῶν μαθημάτων, παρ' ἄλλων πυνθάνεσθε καὶ ἐπιζητεῖτε· ὅτι δὲ οὔτε κάπηλος οὔτε αὐτοπώλης, αὐτὸ δι' ὑμᾶς αὐτοὺς ἐρωτᾶτε, εἰ ἐγὼ κάθημαι ἐπ' ἐργαστηρίου πιπράσκων λογάρια μικρὰ ἢ μεγάλα, καὶ προὐταξάμην τὸ ζῆν ἐκ τοιαύτης τινὸς ἐργασίας, καὶ ταῦτα ὥσπερ οἱ ἄγαν σοφιστεύοντες τῶν καπήλων, προδεικνύντες τὸν ἀρυστῆ-

360, 6 ἱέμην] Vulgo ἵεμην. 23 οἱ ὑπὲρ Petavius. Vulgo ἢ ὑπέρ.

ρα, κεκράγασι καὶ ἐκβοῶσιν ὅτι τοῦ νέκταρος ὄδωδε τὸ πόμα ἐκεῖνο καὶ ἡ κοτύλη πολυχανδεστέρα * *

* * * * * * * * * d

* * * * * * * * *

φρονοῦσα ὑπὲρ ὧν λέγει, καὶ οὐδεμίαν ὑπόθεσιν ποιουμένη, ἣν οὐ μᾶλλον γινώσκει τῶν ἐφεξῆς· ἀλλὰ καὶ ἃς ἐκεῖναι δι' ἀδυναμίαν ἀπίστους ἐῶσι, κινοῦσα καὶ περικρούουσα ἐκκαθαίρει καὶ βεβαιοῦται. εὖ οὖν λέγεται ἐπιστήμη εἶναι ἐπιστημῶν, ὅτι τὰ πείσματα αὐτῶν ἐνθένδε ἐξῆπται καὶ ὅτι ἀρχιτέκτων οὖσα αὐταῖς ἐπι- 300 a στατεῖ καὶ ὑφηγεῖται ᾗ μετιέναι χρὴ ἕκαστον τῶν προβλημάτων, οὐχ ὅτι αὐτὴ προὔργου ποιεῖται ἐνδιαιτᾶσθαι ταῖς γωνίαις οὐδὲ ἐντετηκέναι τοῖς ἀριθμοῖς. πρὸς δὲ δὴ τὰς τέχνας καὶ βασιλικωτέρα αὐτῆς ἡ ἐπιτροπεία τε καὶ ἐξουσία, καὶ βούλεται οἷον ὑψόθεν ὁρῶσα χαμαὶ ἐρχομένας γνωματεύειν ἑκάστην καὶ ἐξετάζειν εἴτε ὠφέλιμος ὀρθῇ πολιτείᾳ εἴτε βλαβερὰ καὶ ἀκροσφαλής· καὶ ἥντινα μὲν ὅλην παραδεκτέον ὡς ὑγιῆ, ἥντινα δὲ αὖ παντάπασιν ἐξοριστέον ὡς αἶσχος πόλεως ἐν τοῖς ἀρρωστήμασι. τῷ γὰρ ὄντι ἅπασα τέχνη τὰ μὲν ὑφ' ἑαυτῇ b τεταγμένα χειρουργεῖν ἱκανὴ καὶ πᾶσι σκευάζειν τοῖς δεομένοις, ἑαυτὴν δὲ οὐχ οἵα τε ἐξετάζειν ἄχρι τοῦ ὠφέλιμος ἢ ἐπιβλαβής. ἀλλὰ καὶ τοῦτο τῶν τεχνῶν πονηρὸν καὶ ἐνδεές, ὅτι ὁμοίως μὲν ἀγαθοῖς, ὁμοίως δὲ φαύλοις ὑπηρετοῦσι τὰ σφέτερα ἔργα· καὶ οὔτε ὁ μαχαιροποιὸς δοκιμάζειν ἔχει εἰ ἀνδροφόνῳ τὴν μάχαιραν ἀποδώσεται οὔτε ὁ ναυπηγὸς εἰ ἅρπαγι ναυπηγήσεται, ὥσπερ τῷ Πάριδι Ἁρμονίδης, οὔτε ὁ κυβερνήτης εἰ σώζει ἐν τῷ πλῷ ὃν καὶ βαπτίσαι ἄμεινον ἦν. εἰ δὲ καὶ φρόνησις καὶ σοφία τὰ ἔργα αὐτῶν ἀπευθύνοι c καὶ διατάττοι, καὶ τοῦτο αὐτῶν τὸ ἔλλειμμα ἐξιάσεται καὶ οὐ ξυγχωρήσει ὥσπερ τυφλοῖς προτείνειν τὰ δημιουργήματα τοῖς ἀπαντῶσι. τοῦτ' οὖν ἐστιν ὃ λέγει ὁ λόγος, ἐπιστήμην εἶναι ἐπιστημῶν καὶ τέχνην τεχνῶν, ὅτι τῶν μὲν τὰς ἀρχὰς βεβαιοῦται, τῶν δὲ ἐξετάζει τὴν χρείαν.

361, 22 ἄχρι τοῦ] ἄχρις οὗ Iacobsius ad Antholog. Palat. vol. III. p. 318.

XXIV.

d ## ΠΡΟΤΡΕΠΤΙΚΟΣ ΝΙΚΟΜΗΔΕΥΣΙΝ ΕΙΣ ΦΙΛΟΣΟΦΙΑΝ.

Ἀλλὰ καὶ Προδίκου ποτὲ καὶ Γοργίου διατριβόντων
Ἀθήνησι προσεῖχόν τινες οὐ φαύλως καὶ Σωκράτει τῷ
Σωφρονίσκου. καίτοι Πρόδικος μὲν καὶ Γοργίας πολυ-
301 τελεῖς τε ἐπεδείκνυντο καὶ γέμοντας ἡδονῆς λόγους,
ὥστε καὶ μισθὸν εἰσεπράττοντο τοὺς ἀκροωμένους, Σω-
κράτης δὲ οὐδὲν ποικίλον οὐδὲ σοφὸν, ἀλλὰ ἁπλᾶ τινα
καὶ συνήθη καὶ ὅπως ἔτυχε διεξῄει, καὶ ἡδέως ἂν καὶ
ἀργύριον ἔδωκεν, εἴ τις αὐτῷ προσέχειν ἐβούλετο. μὴ
οὖν δὴ καὶ ὑμεῖς ὑπερίδητε τοῦ ξενίζειν ἐπιχειροῦντος
οὐ λίαν κεχαρισμένοις ξενίοις οὐδὲ γοητεύειν δυναμένοις
τὰς ἀκοάς, οἵων θαμὰ ἀπολαύετε συλλεγόμενοι, καὶ
τοὺς ἑστιάτορας ἀγαπᾶτε, ὅτι δὴ δεξιοὶ καὶ φιλάνθρω-
b ποι καὶ οὐ σμικρολόγοι ταῖς παρασκευαῖς, ἀλλὰ Συρα-
κοσίαν τράπεζαν [ἢ Σικελικήν τινα] ἀεὶ προτιθέντες
πολλὰς καὶ ποικίλας ἡδονὰς ἡμῖν μηχανῶνται, καὶ οἱ
μέν τινες ἐπιχώριον ᾄδοντες μέλος, οἱ δὲ Ἀσσύριον καὶ
ἐκ Λιβάνου, κηλοῦσιν ὑμᾶς τῇ τε οἴκοθεν ἁρμονίᾳ καὶ
τῇ θύραθεν.

Εἰ μὲν δή τι καὶ παρ' ἡμῶν τοιόνδε προσδοκῶντες συνεληλύθατε, ὥρα ὑμῖν ἀπιέναι μηδ' ἐνοχλεῖσθαι

362, 4 οὐ φαύλως] οὐ om. A. 5 πολυτελεῖς] „Conf. p. 323 c.“ Iacobsius. 11 ὑπερίδητε A. ὑπερίδοιτε H. 14 ὅτι δὴ] δὴ om. A. 15 Συρακοσίαν] Vulgo Συρακουσίαν. 16 τράπεζαν] Vulgo ἀεὶ τράπεζαν. ἢ Σικελικήν τινα] ἢ et τινα om. A. Ego totum hoc seclusi; nam aut Σικελικὴν abesse debet aut Συρακοσίαν. Σικελικὴν τράπεζαν dixit supra p. 238. ἀεὶ προτιθέντες A. ἀεὶ om. H. 17 ἡδονὰς] μηχανὰς A. 22 μηδ' ἐνοχλεῖσθαι] μηδὲν ὀχλεῖσθαι A. μηδὲ ἐνοχλεῖσθαι H.

μάτην· εἰ δὲ δή ποτε καὶ Λυκοῦργον ἑστιάτορα ὑπομεῖναι δυνήσεσθε, τάχα ἂν ὑμᾶς ὑποδεξαίμεθα οὐχ οὕτω μὲν πολυτελέσι ξενίοις, ὑγιεινοτέροις δὲ ἴσως, ἃ c *μὴ θαυμάσαι μόνον ἔστιν, ἀλλὰ καὶ ὄνασθαί τι θαυμάσαντας. εἰσὶ γὰρ οἱ παρ' ἡμῶν λόγοι Μνημοσύνης τε καὶ Διὸς ἔκγονοι, καθάπερ οἱ κομψοί τε ἐκεῖνοι καὶ φιλοπαίγμονες, πάμπολυ δὲ διαφέρουσι τῶν ἀδελφῶν· καὶ τὴν διαφοράν, εἰ βούλεσθε ἀκούειν, ἔχοιμ' ἂν λέγειν. ἀλλ' ὅπως μή με ἀδολέσχην καὶ περιττολόγον νομίσητε καὶ ἀποπλανώμενον εἰκῇ τῶν προκειμένων· καὶ γὰρ δὴ καὶ τοῦτο τοῖς ἡμετέροις μάλιστα πρόσεστι λόγοις. ἐλεύθεροι σφόδρα εἰσὶν ὁμοῦ καὶ αὐτόνομοι, καὶ ἔξεστιν αὐτοῖς ἐκ τοῦ πατρὸς μὴ μίαν τινὰ ὁδὸν* d *ἠναγκασμένην βαδίζειν, ἀλλ' ἐὰν αὐτοὺς ἑτέρα τῆς προκειμένης ἀρέσῃ, μεταβαίνουσιν εὐθέως καὶ οὐ πλανῶνται. τὴν δ' οὖν μάλιστα διαφορὰν ὧδε ῥᾳδίως ἂν μάθοιτε.*

Πάντα ὅσα ἐπίκηρα καὶ τῆς ἀσθενοῦς φύσεως μέτοχα δυοῖν μάλιστα τούτων ἴσμεν δεόμενα, ἀναπαύλης τε τῶν ξυνεχῶν πόνων καὶ αὖ ἐπιμελείας, εἰς τὸ μὴ χείρω γίνεσθαι. καὶ ψυχὴν τοίνυν οὕτως οἰηθῶμεν 302 a *τῶν μέν τινων ἀναπαυόντων λόγων, τῶν δέ τινων ἐπιμελουμένων προσδεῖσθαι. διὰ τοῦτο οἱ μὲν ὅταν παρέλθωσιν εἰς τὸ τῶν Μουσῶν θέατρον — ποιοῦσι δὲ τοῦτο συνεχῶς καὶ πολλάκις — προσμειδιῶσί τε ὑμᾶς καὶ περισαίνουσι καὶ περιχυθέντες ἀσπάζονται τὸν κορυφαῖον τῶν θεατῶν, οἱ δὲ τὰ μὲν πολλὰ οἰκουροῦσι καὶ ἰδίᾳ βούλονται τὰς ἐπιμελείας ποιεῖσθαι, ἢν δέ ποτε καὶ πρὸς δῆμον αὐτοὺς ὁ θεὸς κινήσῃ, αὐστηρότεροί τε*

363, 1 *Λυκοῦργον ἑστιάτορα*] *λυκουργεῖ ἑστιάτορι* A. 2 *ὑποδεξαίμεθα*] *ἀποδεξαίμεθα* A. *ὑποδεξώμεθα* H. 5 *εἰσὶ γὰρ οἱ* A. *εἰσὶ μὲν γὰρ καὶ οἱ* H. 11 *γὰρ δὴ*] *δὴ* om. A. *μάλιστα* add. A. 12 *εἰσὶν ὁμοῦ καὶ* A. *εἰσὶ καὶ* H. 14 *αὐτοὺς*] *αὐτοῖς* A. 15 *ἀρέσῃ* A. *μᾶλλον ἀρέσαι* H. 17 *μάθοιτε. Πάντα*] *μάθητε πάντες* A. 22 *ἀναπαυόντων*] *ἀπολαυόντων* A. 23 *οἱ μὲν*] *οἱ* om. A. 26 *καὶ περισαίνουσι* om. A. 28 *ποτε καὶ* om. A. 29 *αὐστηρότεροι* A. *αὐστηροί* H.

εἰσὶ καὶ οὐχ ἡδεῖς εὐθέως, καὶ τοσοῦτον ἀπέχουσι τοῦ
b θωπεύειν ὥστε καὶ πολλάκις ἐπιτιμῶσι τοῖς θεαταῖς, ὅταν τι πλημμελὲς αὐτοῖς συγγινώσκωσιν. ἀλλ' ἡμῖν γε, ἅτε πρὸς ἄνδρας φιλοσόφους ποιουμένοις τοὺς λόγους καὶ τὰ πολλὰ ὑγιαίνοντας, τοὺς σοφωτέρους μιμητέον τῶν ἰατρῶν, οἳ τὰ πικρότερα τῶν φαρμάκων μέλιτι τὴν κύλικα περιχρίσαντες πίνειν διδόασι. τάχα δ' ἂν καὶ ὑμεῖς ἑαυτοὺς πειθηνίους μᾶλλον παράσχοιτε μεθ' ἡδονῆς θεραπεύοντι τῷ λόγῳ, καθάπερ ἡνιόχῳ δεξιῷ τὴν τέχνην, ἐξ ἠπίας ἄγειν ἐπιχειροῦντι τὸ ἅρμα, κέν-
c τρου δὲ φειδομένῳ καὶ μάστιγος. τί ἂν οὖν λέγοντες ἅμα τε ὠφελοίημεν ὑμᾶς καὶ ἀρέσκοιμεν; πολλὴ γάρ μοι ἀνάγκη τὸν τοιόνδε τρόπον τῆς εἰς ὑμᾶς ὁμιλίας τηρεῖν. αἰτία δὲ τῆς ἀνάγκης ἥδε.

Ἐπεὶ θεῶν ὁ τῇδε τῇ πόλει προσθεῖναι βουληθεὶς καὶ τὸν ἔρωτά μοι τὸν καλὸν τοῦτον κινήσας οὔτε μένειν ἀξύμβολον ὑμῖν εἰκῇ ξυγχωρεῖ τὰ αὐτὰ πράττοντα καθάπερ τοὺς πολλοὺς ὑμῶν ἐραστάς, οὔτε μὴν πικροτέροις φαρμάκοις πρὸς τὴν βοήθειαν ἕλκεσθαι, μὴ λάθωμεν πρὸ τῆς θεραπείας δι' ἀηδίαν ὑπὸ τῶν
d ἐρωμένων ἀποσεισθέντες. καὶ γὰρ εἰ μὲν μόνος ὑμῶν ἑάλων ἐγώ, κἂν ὑπῆρχεν ἄν μοι μετ' ἐξουσίας τοῖς παιδικοῖς ἐναβρύνεσθαι, προτίμησιν ἀντεραστοῦ μὴ δεδιότι· νῦν δέ· ὁρᾶτε γὰρ ἤδη καὶ ἑτέρους ὁμοίως κεκινημένους, καί μοι τὸ σφόδρα αὐτῶν ἐπιδέξιόν τε καὶ εὔχαρι οἰχήσεσθαι ἄγον ὑμᾶς δοκεῖ, ὥστε ἡμῶν δὴ τῶν ἀμυνοτέρων ὑπερορᾶν. διόπερ ἀναγκάζομαι πρὸς ὑμᾶς ἐξειπεῖν ἃ πάλαι κατέχειν ἐδόκουν ἐν ἐμαυτῷ. οὐκ ἔστι χαρίτων ἔρημος παντελῶς ἡ φιλοσοφίας αὐλή, οὐδὲ
303 a ἀποσκηνοῦσιν αἱ θεαὶ πόρρω που τῶν ἡμετέρων μουσείων, οὐδ' ἂν στήσαιμέν ποτε ὑμῖν χορὸν ἀμοιροῦντα

364; 13 εἰς ὑμᾶς A. πρὸς ὑμᾶς H. 17 ὑμῖν] ἡμῖν A. εἰκῇ A. ἡσυχῇ H. αὐτὰ A. αὐτοῦ H. 19 φαρμάκοις A. φαρμάκοις ἐᾷ κεχρῆσθαι H. ἕλκεσθαι add. A. 20 πρὸ A. σοι H. 23 δεδιότι A. δεδιότα H. 24 ὁμοίως] ὁμοίους A. 26 ἡμῶν] ἡμῖν A. 28 ἐξειπεῖν — ἐμαυτῷ] [illegible]. 29 παντελῶς add. A. 31 ὑμῖν] ἡμῖν A.

σώφρονος ἡδονῆς, ἀλλὰ τὴν Ἀφροδίτην ἀεὶ συμπλέκειν ταῖς Μούσαις προθυμησόμεθα· ἀδελφαὶ γὰρ ἀλλήλων καὶ ἀσπάζονται τὴν κοινωνίαν.

Ὡς δ' ἂν ὅτι καὶ οὐκ ἀδύνατος ἡμῖν ἡ ἁρμονία τῶν θεῶν τούτων εἰδείητε, ἐθέλω τι βραχὺ πρὸς ὑμᾶς τῶν τέως κεκρυμμένων ὁμολογῆσαι λόγων. διττὸν ἡμῖν ἐνοικεῖ γένος, ὦ φίλοι, διτταὶ δ' αὐτῷ καταγωγαὶ καὶ διενείμαντο τὰ τῆς ψυχῆς οἰκητήρια. τιθηνοῦνται δέ b μοι τοὺς μὲν ῥητορική, τοὺς δὲ ἡ παγκάλη φιλοσοφία. εἰ δὲ ὑμῖν καὶ τὰς μητέρας τῶν λόγων εἰδέναι φίλον καὶ οἵα τις ἑκατέρα τὴν φύσιν γινώσκειν, ἀκούοιτε ἂν τῶν παίδων ὅσα πολλάκις ἐν εἰκόσι παίζοντες ἑκάστην αὐτῶν ὑπογράφουσι τῶν εἰκόνων.

Φιλοσοφίᾳ μὲν δὴ καὶ σχῆμα σεμνὸν καὶ σῶμα εὐμέγεθες καὶ στολὴ πρέπουσα, ἐν οἵᾳ δὴ καὶ τὰς ἀρετὰς οἱ γραφεῖς τὰς φιλοσοφίας συννόμους δεικνύντες γράφουσι, πλόκαμοί τε οὔτε ἄφετοι μεθίενται πλανᾶσθαι οὔτε ἐκ ποικιλίας κομμωτικῆς ἀναπλέκονται, ἀλλὰ c μέσον τινὰ ἔχουσι κόσμον ἀταξίας τε καὶ τρυφῆς. φιλοσοφία γὰρ τὸ κατὰ φύσιν κάλλος ἄφραστον ἔχουσα πᾶν ὅ τι περ ἂν ἐπείσακτον ᾖ ἀτιμάζει τε καὶ οὐ προσίεται. οὔκουν οὐδὲ ὑπογράφει τὰ ὄμματα οὐδὲ τεχνητὸν ἔρευθος αὐτῇ τὰς παρειὰς χρώννυσιν, ἀλλὰ καὶ ἐπανθεῖ μὲν ἐρύθημα τῷ προσώπῳ σωφροσύνης πλῆρες, βλέμμα τε αἰδοῦς γέμει, καὶ οἷον τὴν αἰδῶ καὶ τοῖς προσβλέψασιν ἐνδιδόναι. ἤδη γοῦν τινας καὶ θέα ψιλὴ τῆς θεοῦ ταύτης ἤρκεσεν εἰς κοσμιότητα τὸν d βίον μεταρρυθμίσαι. καὶ ὅ γε Πολέμων ὁ Ἀττικός, ὁ

365, 7 δ' αὐτῷ A. δὲ αὐτοῖς H. 9 παγκάλη A. πάγκαλος H. 10 φίλον A. πόθος H. 12 παίδων — ὑπογράφουσι τῶν om. A. ἑκάστην αὐτῶν (i. e. τῶν μητρῶν) ὑπογράφουσι τὴν εἰκόνα Ronlezius p. 63. 17 οὔτε ἄφετοι] οὔτε om. A. 19 ἀταξίας A. εὐταξίας H. 20 γὰρ τὸ codex Ambros. apud Wyttenbachium ad Plutarch. vol. VI. p. 320. γάρ τοι H. 21 ᾖ addidit Wyttenbachius ibid. p. 653. 25 τὴν αἰδῶ] τὴν om. codex Vales. ap. Boisson. ad Marinum p. 86. 26 προσβλέψασιν A. προσβλέπουσιν H. 27 τῆς θεοῦ] τῷ θεωμένῳ A. 28 ὁ Ἀττικὸς] Aberat ὁ.

κώμοις τε καὶ αὐλοῖς καὶ μέθαις πολλὰ πρότερον ἐντρυφήσας, ὅτε τὴν Ξενοκράτους σύνοικον φιλοσοφίαν προσέβλεψεν, αὐλοὶ μὲν ἐκεῖνοι φροῦδοι καὶ κῶμοι καὶ ἔρως ὁ πάνδημος τῆς Πολέμωνος ἐκπεσόντες ψυχῆς ἠμελήθησαν, ὁ δὲ τὸν ἔρωτα τὸν καθαρώτατον τῆς φιλο-
304a σοφίας ἀντιλαβὼν εἰς τοσοῦτον τῷ πόθῳ προὔκοψεν ὥστε καὶ τελεταῖς τοῦ θεοῦ τιμηθῆναι.

Ῥητορικῆς δὲ — πάντως γάρ που καὶ ταύτης τὴν εἰκόνα ποθεῖτε — γενναία μέν τις καὶ αὐτὴ καὶ παγκάλη, ἀτὰρ οὐ τῇ φύσει μόνον ἀρκεῖται, πολλάκις δὲ θέλει καὶ τοῖς ἔξωθεν καλλωπίζεσθαι. καὶ αὐτῆς πολὺς μὲν καὶ ποικίλος κόσμος τὸ σῶμα σκέπει, ἀγάλλεται δὲ καὶ θεάτροις Ἑλληνικοῖς, καὶ τοὺς παῖδας ἐκ νεαρᾶς ἡλικίας εἰς δημοσίας ὠθίζει παρόδους. οἱ δὲ οὕτως
b εἰσὶ τῆς μητρὸς γνήσιοι καὶ χορείας ἐρῶντες ὥστε πολλάκις καὶ τοὺς ἀδελφοὺς· συνεκφοιτᾶν εἰς τὰ συνήθη σφίσι θέατρα ἀναπείθουσι, πολλάκις δὲ τὰς μητέρας συμπείσαντες καὶ ἀναμιχθέντες ἀλλήλοις ἕνα χορὸν θαυμάσιόν τινα καὶ οἷον τῶν Μουσῶν ἐκεράσαντο. ἐὰν δὲ ἐθέλοιεν μὴ σὺν ἀλλήλοις χορεύειν, ζημιοῦνταί τε ὑπ' ἀλλήλων καὶ ζημιοῦσιν ἀλλήλους τὰ ἴσα. καὶ ὁ μὲν τῶν φιλοσοφίας παίδων χορὸς σεμνότητος γέμων ἡδονῆς καὶ χάριτος ἀμοιρεῖ, ὁ δὲ ἀχαλίνωτος ὢν κοσμιότητι πολλάκις καὶ εἰς ἀταξίαν ἄμουσον ἐκβακχεύεται. κάλ-
c λιστος δὴ χορῶν ἐκεῖνος, ὅταν ἀλλήλοις συναφθέντες οἱ ἀδελφοὶ ἡδονὴν εἰς τὸν χορὸν καὶ κοσμιότητα μίξωσιν, ἃς δὴ καὶ ὑμῖν στήσειν συνεχῶς ἐπαγγέλλονται. αἰτοῦσι δὲ ὑμᾶς ἀντὶ ταύτης τῆς προθυμίας οὐ χρυσὸν οὐδὲ δόξαν· οὔτε γὰρ φιλόχρυσοί εἰσιν οὔτε φιλότιμοι· ἀλλὰ φιλανθρωπίαν ἀληθινὴν καὶ ἴσον ἔρωτα. νῦν γάρ ἔτι μοι ἀπειθοῦσι καὶ οὐκ οἴονται παρ' ὑμῶν κατὰ τὸ

366, 5 τὸν ἔρωτα A. τὸν om. H. 8 που] πως A. 11 αὐτῆς A. αὐτῇ H. 14 ὠθίζει παρόδους A. παρόδους ἐθίζει H. 16 καὶ τοὺς ἀδελφοὺς — πολλάκις δὲ add. A. 22 φιλοσοφίας] φιλολόγων (σ φ superscr.) A. 27 ἃς A. οὓς H. 29 οὐδὲ] Vulgo οὔτε. οὔτε γὰρ A. γὰρ om. H. 30 φιλανθρωπίαν] φιλίαν A. 31 ὑμῶν] ἡμῶν A.

ὅμοιον ἀντεράσθαι, ἀλλά με εἰπεῖν τινὰ λόγον. κελεύουσιν, ὃν ἐγὼ λέξω μάλα ἀρχαῖον ὄντα καὶ σπουδῆς ἄξιον. d φιλόμυθόν τε γάρ πως γένος ἀεὶ τὸ ἡμέτερον, ἀδολεσχεῖν τε τὰ πολλὰ δοκοῦμεν ἀκρατῶς τε καὶ ἀκορέστως ἔχοντες τῶν παλαιῶν λόγων.

Ὅτε τὸν Ἔρωτα ἐγέννησεν ἡ Ἀφροδίτη, τὰ μὲν ἄλλα καλός τε ἦν ὁ παῖς καὶ τῇ γεννησάσῃ προσήκων, ἀτὰρ οὐκ ηὔξετό γε εἰς μέγεθος τῷ κάλλει πρέπον, οὐδὲ ἐπεδίδου τὸ σῶμα, ἀλλ' ἔμενε πλεῖστον χρόνον οἷος ἐτέχθη. ἠπορεῖτο οὖν πρὸς τὸ πρᾶγμα ἥ τε 305a μήτηρ καὶ αἱ τροφοὶ τοῦ βρέφους αἱ Χάριτες, καὶ φοιτῶσαι παρὰ τὴν Θέμιν — οὔπω γὰρ εἶχε Δελφοὺς ὁ Ἀπόλλων — ἐδέοντο λύσιν τινὰ ἐξευρεῖν τῆς ἀτόπου καὶ θαυμαστῆς συμφορᾶς. εἶπεν οὖν ἡ Θέμις, ἀλλ' ἐγώ, ἔφη, παύσω ὑμᾶς ἀπορουμένας· νῦν γὰρ οὔπω ἴστε τὴν φύσιν τοῦ βρέφους. ὁ Ἔρως ὁ σὸς ὁ ἀληθινός, ὦ Ἀφροδίτη, τεχθείη μὲν ἂν ἴσως καὶ μόνος, αὐξηθείη δ' ἂν οὐδαμοῦ μόνος, ἀλλά σοι δεῖ καὶ Ἀντέρωτος, εἰ βούλει τὸν Ἔρωτα αὐξηθῆναι. ἔσται δὲ b αὕτη φύσις τοῖσδε τοῖς ἀδελφοῖς· ἀλλήλοις αἴτιοι τῆς αὔξης ἄμφω γενήσονται. ὁρῶντες μὲν γὰρ ἀλλήλους ἴσα βλαστήσουσι, θατέρου δὲ ἀπολειφθέντος ἄμφω μειώσονται. οὕτω δὴ κύει τὸν Ἀντέρωτα ἡ Ἀφροδίτη, καὶ ἀνέδραμέ τε παραχρῆμα ὁ Ἔρως καὶ τὰ πτερὰ ἔφυσε καὶ ὑψηλὸς ἦν, ἅτε δὴ ἐν τοιαύτῃ τύχῃ καθεστηκὼς ἄτοπα ὑπομένει πάθη πολλάκις καὶ τοτὲ μὲν θάλλει, τοτὲ δὲ φθίνει, πάλιν δὲ αὔξεται. δεῖται δὲ ἀεὶ τἀδελφοῦ συνόντος, καὶ μέγαν μὲν ἐκεῖνον ὁρῶν μείζων φαίνεσθαι φιλονεικεῖ, σμικρὸν δὲ καὶ ὀλίγον c

---

367, 1 κελεύουσιν ὑμῖν H. ὑμῖν om. A. 3 ἀεὶ A. ἐστὶ H. 4 δοκοῦμεν ἀκρατῶς] δοκοῦσι κ' ἀκρατῶς A. τε om. A. ἀκορέστως] ἀκολάστως A. 7 καὶ τῇ A. καὶ om. H. 8 ηὔξετο] ηὔξηται A. 9 ἔμενε πλεῖστον A. ἔμενεν πολὺν δὴ H. 12 παρὰ A. πρὸς H. 13 τῷ παιδί, quae H post ἐξευρεῖν habet, om. A. 15 ἔφη om. A. 18 οὐδαμοῦ A. οὐδαμῶς H. 22 ἄμφω μειώσονται] ἄμφω om. A. 23 Ἀντέρωτα] ἔρωτα A.

φωράσας πολλάκις οὐδὲ ἐθέλων ἀπομαραίνεται. οἴεσθε οὖν τί με ἴσως σεμνὸν εἰρηκέναι· ἐγὼ δὲ λέγω ὅτι τῶν λόγων ἀντερᾶν ἀνάγκη τοῖς βουλομένοις τοὺς λόγους αὔξειν καὶ τὸν ἔρωτα αὐτόν. τῷ τοι καὶ ἐλπίσας ἐγὼ τὸν θεὸν ἐδεξάμην τε καὶ ἐνίδρυσα τῇ ψυχῇ, καὶ αὐτὸν οὐκ ἐθέλω ψεύσασθαι τῆς ὑποσχέσεως. ὑπεσχόμην δὲ εἰσοικιζομένῳ τὸ πρῶτον αὐτίκα οἱ καὶ τὸν ἀδελφὸν συμπαρέσεσθαι τοῖς παιδικοῖς ἐνοικήσοντα.

d Ἢ τίνι με ἄλλῳ δοκεῖτε πρὸς τὸν πόθον ὑπάγεσθαι; πότερον τῇ παραδόξῳ ταύτῃ καὶ μακρᾷ θαλάττῃ; ἀλλ᾽ οὐδὲν ἐμοὶ μᾶλλον προσήκει θαλαττουργίας ἢ τοῖς Ἀρκαδικοῖς στρατιώταις. ἢ τοῦ ποταμοῦ τοῦ Φρυγὸς τῇ φιλανθρωπίᾳ; ἀλλὰ καὶ τὸν Νεῖλον ἄγαμαι τὸν Αἰγύπτιον, οὐχ ὅτι λῃίων πατήρ, ἀλλ᾽ ὅτι ῥεῖ διὰ τῶν σοφῶν Αἰγυπτίων. ἢ τῷ μεγέθει ταυτησὶ τῆς προσοίκου λίμνης; διὰ τί οὖν οὐκ ἐπόθησα τὴν Μαιῶτιν λίμνην τὴν τῶν ἑξακισχιλίων σταδίων; ὅτι δὴ σφόδρα
306 a ἀμαθεῖς αὐτὴν οἰκοῦσι καὶ βάρβαροι. μεγάλα μὲν γὰρ καὶ ταῦτα τῶν ὑμετέρων, καὶ προσθήσει γέ τις ἕτερα πλείω τῶν τὰ τοιαῦτα τιμώντων, ἢ λουτρῶν τε ἀμήχανα κάλλη καὶ θεάτρων καὶ ἱπποδρόμων. ἀτὰρ ὑμῖν γε, ὦ φίλοι — οὐδὲν γὰρ ὑμᾶς δέομαι ἀποκρύπτεσθαι, ἀλλ᾽ ὅ τί γε ἐστὶ τὸ κινῆσαν τὸν ἔρωτα — ἐπεὶ πρός γε τὰ τοιαῦτα μεγαλοψυχία τις οὐκ ἀγεννὴς καὶ πάτριος ἡμῖν ὑπάρχει, καὶ οὔτ᾽ ἂν ἄνδρα ποτὲ ἀγαπήσαιμεν ὅτῳ τὰ μὲν τῆς ψυχῆς ἀγαθὰ μὴ σφόδρα
b παρείη, τὰ δὲ ἔξωθεν περικέοιτο πολλὰ καὶ ποικίλα, καθάπερ τῷ κολοιῷ περιτίθησιν ὁ μῦθος τὰ πτίλα, ἐν τῷ ἀγῶνι τοῦ κάλλους ἀλλότριον αὐτῷ περιεργαζομένῳ κόσμον χήτει ἰδίου καὶ ξυγγενοῦς, οὐδ᾽ ἂν οἴκησιν μὲν οἰκοίη τοῦ Σπαρτιάτου βασιλέως ἀμείνονα,

---

368, 2 λέγω ὅτι — ἐλπίσας om. A. 8 ἐνοικήσοντα] ἐνοικήσαντα A. 9 με] μοι A. ὑπάγεσθαι] ὑμᾶς ἀπάγεσθαι A. 15 ταυτησὶ om. A. 17 ὅτι δὴ — βάρβαροι om. A. 29 αὐτῷ] αὐτῷ A. αὐτοῦ H. περιεργαζομένῳ Petavius. Vulgo περιεργαζόμενος. 30 ἰδίου A. οἰκείου H, qnod ex Platone in Phaedro p. 239 c. defendit Roulezius p. 21.

ἀμφιέννοιτο δὲ λεπτότερα τῶν ἀραχνίων — οἷα τὰ Ἡφαί-
στου δεσμά φησιν Ὅμηρος, ἃ οὐχ ὁρώμενα ὅμως δέει
τοὺς ἀκολάστους ἰσχυροῖς τισι καὶ ἀρρήκτοις δεσμοῖς —
καὶ τὸν ἄλλον δὲ πολὺν ἀμπέχοιτο κόσμον, καὶ τοι-
αύτην ἔχοι μορφὴν οἵαν ἐγώ ποτε εἶδον Περσικὴν γρα-
φὴν τῶν Περσικῶν τινὸς βασιλέων. νεανίσκος ἐστὶν c
ὡραῖος ἐπικαθήμενος θρόνῳ βασιλικῷ, τιάραν ἔχων ἐξ
ὑακίνθου τε καὶ σμαράγδου καὶ στρεπτὸν τοιοῦτον
πλατὺν καὶ χλαῖναν ἁλουργῆ τε καὶ χρυσόπαστον ἠμ-
φιεσμένος. ὅμως κἂν ταύτης τις τῆς εἰκόνος αὐτὸν
ποικίλλῃ πολυτελέστερον, οὐ πάνυ τιμιώτερον αὐτὸν
τῆς γραφῆς ἡγησόμεθα. καίτοι τί ἂν γένοιτο ἀηδέστε-
ρον ἢ μετέχειν δοκοῦντα ψυχῆς τοῖς τῶν ζωγράφων
ἔργοις προσεοικέναι; ἃ βούλεται μὲν καὶ πᾶσιν ἀνοίγειν
θέλει τὸν ὀφθαλμόν, ὡς ζῶντα δὴ καὶ νοῦν ἔχοντα, d
ἂν δὲ ἀνερέσθαι τι καὶ μαθεῖν σπουδάσῃς, μετὰ πολ-
λῆς σεμνότητος ἡσυχάζει.

Οὔτ' οὖν ἄνδρα τὸν τοιόνδε διὰ σπουδῆς ἂν ἔχοι-
μέν ποτε οὔτε πόλιν ἐν ᾗ μὴ τίμια τὰ Μουσῶν καὶ
Ἑρμοῦ καὶ Ἀπόλλωνος τεμένη, θέατρα δὲ καὶ βαλανεῖα
καὶ οἱ τῶν ἀθλίων ἱππαρίων δρόμοι, οὔτε ἂν ὑμᾶς
ποτε ἠσπασάμεθα, εἰ μή τι καὶ ἀρετῆς μεταποιουμέ-
νους ἔγνωμεν, οὔτ' εἰ πολλὰ σεμνότερα ὁ κόλπος ἅμα 307 a
καὶ καθαρώτερα οὔτ' εἰ ὁ Σαγγάριος ἀντὶ σίτου χρυσοῦ
ψῆγμα κατῆγεν. ἀρετὴ γὰρ κατὰ Σωκράτην ἐστὶ μὲν
ἀνδρὸς ἑνός, ἐστὶ δὲ καὶ πόλεως. ὥσπερ οὖν ἀνθρω-

369, 1 ἀμφιέννοιτο] ἀμφιέννυτο A. οἷα τὰ A. οἷα τοῦ H. 6 τινὸς A. τινῶν H. 7 ἐξ add. A. 10 τῆς εἰκόνος αὐτὸν A. αὐτὸν τῆς εἰκόνος H. 11 ποικίλλῃ πολυτελέστερον add. A. αὐτὸν] αὐτῆς A. 13 ἢ] ἢ εἰ A. 15 θέλει A. ἐθέλει H. τὸν ὀφθαλμὸν A. τοὺς ὀφθαλμοὺς H. 16 ἀνερέσθαι — σεμνότητος] μαθεῖν καὶ ἀνερέσθαι μετὰ πολλῆς σπουδάσῃς σεμνότητος A. 21 ἱππαρίων] ἵππων A. ὑμᾶς] ἡμεῖς A. 23 πολλὰ σεμνότερα ὁ κόλπος ἅμα A. πολλῷ στενότερος ὑμῖν ὁ κόλπος ἦν ἅμα H. 24 καθαρώτερα A. καθαρώτερος H. οὔτ' εἰ ὁ Σαγγάριος] οὔτε εἰ ὁ σάγγυαξ A. χρυσοῦ A. χρυσίου H. 25 κατῆγεν. ἀρετὴ γὰρ add. A. 26 καὶ A. ἔλαχε H.

πον εἶναι σπουδαῖον λέγομεν οὐ τὸν πολλοὺς μὲν ἀγροὺς πολλὰς δὲ οἰκίας πεπαμένον, πολλὰ δὲ ἱμάτια καὶ ὑποδήματα, καὶ δειπνοῦντά τε ἐκ πολυτελοῦς τραπέζης καὶ πίνοντα ἀπὸ χρυσῶν ἐκπωμάτων, ἀλλ' ὅστις νοῦν ἔχει πολὺν καὶ παιδείας ἐπιμελεῖται, τὸν αὐτὸν δὴ τρόπον
b καὶ πόλιν οὐκ ἐν ᾗ πολλὰ μὲν ὤνια τρυφώσης ἀγορᾶς, πολὺς δὲ ἀνθρώπων μεθυόντων ὄχλος, πολὺ δὲ ἀργύριον καὶ χρυσίον ἐπὶ τῶν τραπεζῶν εἰκῇ κείμενον, θεάτρων τε ἄκλειστοι πύλαι καὶ ἵππων συνεχὴς ἅμιλλα τῶν ἀπολέμων, μᾶλλον δὲ πολεμοποιῶν ἀληθέστερον. οὐ γὰρ ἔνεστι τὴν τοιαύτην μὴ ὕπουλον εἶναι καὶ νοσεῖν τὸ ἐντεῦθεν, ἀλλ' ἐνίοτε μὲν αὐτῆς λανθάνει τὰ ὑπουλαίνοντα καὶ σφόδρα ἂν εὐδαίμων δόξειε τοῖς τὰ φαι-
c νόμενα θεωμένοις, ἐνίοτε δὲ ἐκλάμψαντα καὶ ἐκραγέντα δίδωσιν αὐτῇ τὸ τοῦ Σοφοκλέους ἀκούειν εἰκότως,

Πόλις δ' ὁμοῦ μὲν θυμιαμάτων γέμει,
ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων.

Ἀλλὰ Φωκυλίδης τά τε ἄλλα ἀληθῶς λέγει καὶ ὅτι σμικρὰ πόλις μετὰ φρονήσεως ἐπὶ σκοπέλου κατοικοῦσα κρείττων Νίνου ἀφραινούσης. ἐγὼ δὲ θέλω μὲν καὶ τὴν γῆν ὑμῶν καρποὺς ἀμείνους τῶν ἄλλων ἐκτρέφειν, περὶ πλείονος μέντοι ποιοῦμαι τὰς ψυχὰς ὑμῶν
d παιδείαν βλαστάνειν, ἣν ξυλλέγουσι μὲν ἐκ τῶν Ἀπόλλωνος λειμώνων αἱ Μοῦσαι, ψυχαῖς δὲ ἐρωτικαῖς καὶ φιλοκάλοις ἐννεοττεύουσί τε καὶ ἐνεργάζονται. αἱ δ' ἂν τὸ σμῆνος αὐτῶν εὐμενῶς ὑποδέξωνται, πτεροφυοῦσί τε εὐθὺς καὶ τὰ ἐν ποσὶν ἀτιμάσασαι περιπολοῦσι τὸν οὐρανόν. καὶ αὗταί εἰσιν ἃς Εὐριπίδης ὁ σοφὸς

270, 1 εἶναι A. εἶμαι H. 2 πεπαμμένον H. κεκτημένον A. 4 ἀλλ' ὅστις] ἀλλ' ὅτι A. 7 ἀνθρώπων om. A. 9 συνεχὲς ἅμιλλα A. συνεχεῖς ἅμιλλαι H. 10 ἀπολέμων] ἀπολυμένων A. εὐπολέμων H. „γρ. ἀπολέμων" Stephanus. 12 τὸ ἐντεῦθεν codex Vales. apud Boisson. ad Eunap. p. 532. τὸ om. H. 15 αὐτῇ τὸ τοῦ] αὐτῷ τά τε A. Σοφοκλέους] Oedip. R. v. 4. 20 ἀφραινούσης A. ἀφρονούσης H. 21 γῆν ὑμῶν] γῆν ἡμῶν A. 22 ψυχὰς ὑμῶν] ψυχὰς ἡμῶν A. 23 παιδείαν] παιδεία A. 26 ὑποδέξωνται A. προσδέξωνται H. 28 Εὐριπίδης] Fragm. p. 401. ed. Matth.

Οὔτε πολιτῶν, φησίν, ἐπὶ πημοσύναις
οὔτ' εἰς ἀδίκους πράξιας ὁρμᾶν,
ἀλλ' ἀθανάτου καθορᾶν φύσεως 308 a
κόσμον ἀγήρω.

τῷ γὰρ ὄντι παιδείας ἀληθινῆς μείλιχον καὶ γαληνὸν καὶ πρᾶον τὸ ὄμμα, οἷον ἐν ζάλῃ κονιορτοῦ τε καὶ πνεύματος ἀποσκιαζομένης τινὶ καρτερῷ τειχίῳ, μᾶλλον δὲ αὐτῆς ἀποσκεπούσης τοὺς ἑαυτῆς θιασώτας καὶ φραγνυμένης ἕρκει παντὸς ἀδάμαντος ἀρρηκτοτέρῳ, ὃ μήτε ὕβρεως ἰσχυρὰ προσβολὴ μήτε ἡδονῆς δολερὰ μηχανήματα εὐπετῶς σαλεύσειεν ἄν· στέγειν δὲ δύναται καὶ στίχων φρουρὰς ἀσταθμήτους. μόνον γὰρ τοῦτο b *τῶν τειχίων ἀτεχνῶς Ἀπόλλωνος ἔργον, ἐκεῖνο δὲ οὐκ ἦν, οἶμαι, τὸ Τρωϊκόν. οὐ γὰρ ἂν ἥλω ῥᾳδίως ἐκ μιᾶς ἀπάτης.*

Μὴ λεγέτω οὖν ἡμῖν Ὅμηρος ὅτι Λαομέδοντι θητεύοντες Ἀπόλλων τε καὶ Ποσειδῶν ἐπυργώσαντο τὴν Ἴλιον, μηδ', ὅτι διὰ πυρὸς καὶ ὕδατος ἐξειργάσθη, καταψευδέσθω δουλείαν ἔμμισθον τῶν θεῶν· τὰ παιδία γὰρ αὐτῷ προσέξει τε καὶ πεισθήσεται καὶ συνήσει κομψευομένῳ ποιητικῶς· ἀλλ' ἐκεῖνα αὐτοῦ μᾶλλον ἀποδεχόμεθα, ἐν οἷς πεποίηκε τὸν βασιλέα τῶν Ἀχαιῶν αἰτοῦντά οἱ παρὰ τῶν θεῶν δέκα γενέσθαι οὐ πολε- c *μιστὰς οἷος Ἀχιλλεύς, ἀλλὰ συμβούλους οἷος ὁ Νέστωρ ὁ πάνυ πρεσβύτης καὶ πρὸς τὰς μάχας ἀχρεῖος, ὃν οὕτω βαρύνεσθαι τῷ γήρᾳ φησὶν ὥστε καὶ σειραῖον ἱμάντα διατεμεῖν μόλις. φρόνησιν γάρ, οἶμαι, ῥώμης τιμιωτέραν ἡγεῖται καὶ τὸ παιδεύεσθαι καλῶς τοῦ γεγενῆσθαι. οὕτω δὲ αὐτῷ ὁ μὲν Νέστωρ ἅπαντα καὶ*

371, 1 ἐπὶ πημοσύναις om. A. 2 οὔτ' εἰς ἀδίκους πράξιας] οὔτε εἰς ἀδόξους πρηξίας A. ὁρμᾶν] ὁρμῶν A. 4 ἀγήρω] ἀγήραον H. γήρα A. 5 γαληνὸν A. ταπεινὸν H. 12 στίχων φρουρὰς A. τύχης φορὰς H. 15 μιᾶς A. μικρᾶς H. 17 ἐπυργώσαντο] Vulgo ἐπυργύσαντο. 19 ἔμμισθον A. ἄμισθον H. θεῶν] δέκα θεῶν A. 25 πάνυ om. A. 26 σειραῖον Petavius. σείρεον A. σήμιον H. 27 γὰρ] μὲν A; sed a m. rec. 28 παιδεύεσθαι] πεδεύεσθαι A. παιδευθῆναι H.

λέγει καὶ πράττει τῆς εὐχῆς ἐπαξίως· ὁ δὲ γενναῖος Ἀχιλλεύς, ὁ τὴν μελίαν ἐκείνην πάλλων καὶ τοῖς ἀθανάτοις ἵπποις ὀχούμενος καὶ τὰς τρεῖς καὶ εἴκοσιν ἐκ- d *πορθήσας πόλεις, ὅμως ἐπειδὴ παιδείας ἐνδεῶς εἶχεν ἔτι, οὐδὲν πάνυ προσεῖχε τῷ Φοίνικι, ἀλλὰ κλάει μὲν δι' αἰχμάλωτον κόρην, κυλινδεῖται δὲ χαμαὶ δι' ἑταίρου θάνατον ἀναγκαῖον, καὶ αὐτοῦ κατέχουσιν ἕτεροι πρὸς βίαν τὰς χεῖρας ὥσπερ μεμηνότος· νεκρὸν δὲ ἀπολύει χρυσίου καὶ μισθοῦ διαλλάττεται καὶ ἄλλα πλείω πεποίηται πλημμελῶν, ἐνδεικνυμένου τοῦ ποιητοῦ ὡς οὔτε γονέων ἐπιφάνεια οὔτε σώματος ῥώμη οὔτε ποδῶν* 309 a *ὠκύτης οὔτε κάλλους ὑπερβολὴ ὄφελος μέγα τῷ κεκτημένῳ δίχα φρονήσεως, ἀλλὰ τὰ λαμπρὰ ταῦτα καὶ σεμνὰ παιδείας μὲν κατακοσμούσης οὐ πάντη ἂν ἄτιμα δόξειεν, ἄνευ δὲ ταύτης ἐπιφανεστέραν ποιεῖ τὴν μοχθηρίαν.*

Οὐκοῦν οὐδὲ διὰ τῆς ἑτέρας ποιήσεως καὶ θατέρου τοῖν φιλοσόφοιν οὕτω τεταγμένου καὶ καρτερῶς ἀμυνομένου τὴν τύχην ἄλλο τι ἐμοὶ δοκεῖ λέγειν ὁ ποιητὴς ἢ ὅτι φρόνησις καὶ ἡ σύμπασα ἀρετὴ ἄμαχός b *ἐστι πρὸς ἅπαντα καὶ ἀήττητος, καὶ ὁ ταύτην ἰσχυρῶς περιβεβλημένος βαδίζει, φησίν, οὐκ ἀγεννὲς οὐδὲ κάτω βλέπων, ἀλλ' ὡς ἐκεῖνος ἐβάδιζε πρὸς τὴν Ναυσικάαν, ἡνίκα γυμνὸς καὶ μόνος διαφυγὼν τὸ κλυδώνιον, ὅμως ἐπειδήπερ ἀρετὴν ἀντὶ ἱματίων ἠμφίεστο, ἐπῄει πρὸς τὴν θυγατέρα τοῦ βασιλέως, οὐ πτωχῷ, φησίν, ἐναλίγκιος οὐδὲ ἱκέτου ἐν σχήματι κατεπτηχότος, ἀλλά τινα ἐξεῦρεν εἰκόνα, οἷα τῆς ἀρετῆς εἰκονογράφος·*

Ἤιεν ὥστε λέων ὀρεσίτροφος ἀλκὶ πεποιθώς.

372, 1 *εὐχῆς*] *ἡδονῆς* A. 2 *ἐκείνην* A. *ἐκείνου* H. 5 *οὐδὲν πάνυ*] *οὐδὲ πάνυ* A. *προσεῖχε* A. *προσῆκε* H. 11 *ἐπιφάνεια — ῥώμη — ὠκύτης — ὑπερβολὴ* A. *ἐπιφανείας — ῥώμης — ὠκύτητος — ὑπερβολῆς* H. 17 *Οὐκοῦν*] *οὔκουν* Stephanus. *διὰ* A. *ἐκ* H. 18 *τεταγμένου* A. *παρατεταγμένως* H. 25 *ἐπῄει*] *ἀπῄει* A. 29 *Ἤιεν*] Odyss. ζ, 130.

ἡ δὲ ἀλκὴ ἦν ἄρα ὁ λόγος, ὃν ἀφελέσθαι μόνον τὸ c
δαιμόνιον οὐκ ἐξίσχυσε, καίτοι τὰ χρήματά γε ἀφελόμενον καὶ τὰς ναῦς καὶ τοὺς στρατιώτας καὶ νὴ Δία γε τὸν χιτῶνα τὸ τελευταῖον, ἐν οἷς οὐκ ἦν ἡ δύναμις ἡ Ὀδυσσέως. τῇ γοῦν ἀλκῇ ἐπεποίθει καὶ ἐκείνων ἀπολωλότων.

XXV.

d ## ΠΡΟΣ ΤΟΥΣ ΑΞΙΩΣΑΝΤΑΣ ΛΕΓΕΙΝ ΕΚ ΤΟΥ ΠΑΡΑΧΡΗΜΑ.

Ἀλλ' εἰ καὶ σφόδρα ἦν σοφὸς ὁ Φειδίας ἐν χρυσῷ καὶ ἐλέφαντι μορφὴν ἐπιδείξασθαι θείαν ἢ ἀνθρωπίνην, ὅμως χρόνου γε ἐδεῖτο καὶ σχολῆς πλείονος εἰς τὰ ἔργα.
310 a λέγεται οὖν, ἡνίκα ἐδημιούργει τὴν Ἀθηνᾶν, οὐδὲ εἰς τὴν κρηπῖδα τῆς θεοῦ μόνην ὀλίγου χρόνου καὶ πόνου προσδεηθῆναι. εἰ οὖν τις αὐτὸν αὐθήμερον ἐκέλευσεν ἐπιδείξασθαι τὴν τέχνην, τί ἂν ἔδρασεν; ἢ πῶς ἂν ἐπείσθη τῷ ἐπιτάγματι; σκόπει δῆτα εἰ καλῶς πρὸς τὸν ἐραστὴν ἀπεκρίνατο ὅτι, ὦ χρηστέ, ὁ τῶν ἐμῶν ἔργων φιλοθεάμων, εἰ μὴ συγχωρεῖς μηδὲ ἐπιτρέπεις καιρὸν ὥστε καινόν τι καὶ νέον δημιουργῆσαι, σὺ δὲ ἐπίσκεψαι
b τέως τὴν Ἀθηνᾶν τὴν ἐν πόλει ἢ τὸν Δία τὸν Ὀλύμπιον, καί σοι ταῦτα ἀποχρήσει πρὸς τὸ Φειδίαν θαυμάσαι.

Κἀγὼ σέ, ὦ μακάριε, τὸν ἐμὸν ἐραστήν, ἐπεὶ καὶ αὐτὸς οὕτως ἔχειν δοκεῖς ὡς καὶ τήμερόν τί μου ποθεῖν δημιούργημα, παρακαλέσαιμ' ἂν προσεπιδεῖν τι τῶν ἤδη προειργασμένων. οὐ δεήσει δέ, οἶμαι, βαδίζειν εἰς τὸ χωρίον τοῦ ἔργου· φέρω γὰρ ἐν ἐμαυτῷ τὰ τῆς ἐμῆς τέχνης ἀγάλματα, ἃ δημιουργεῖται μὲν καθ'

374, 1 τοὺς ἀξιώσαντας A. τὸν ἀξιώσαντα H. λέγειν ἐκ τοῦ om. A. 7 καὶ πόνου add. A. 10 καλῶς A. καλῶς ἂν H. 11 ὁ τῶν — φιλοθεάμων A. καὶ τῶν — φιλοθεάμον H. 14 πόλει A. τῇ πόλει H. ὀλύμπιον A. Ὀλυμπιάσι H. 17 ἐπεὶ καὶ A. ἐπειδή μοι καὶ H. 19 παρακαλέσαιμ' ἂν] παρακαλέσαιμι A. προσεπιδεῖν A. προσιδεῖν H. 20 οὐ δεήσει δὲ A. οὐδὲν γὰρ δεήσει H.

ἵνα τόπον, συμπεριίασι δὲ ἁπανταχόθι τῷ τεχνίτῃ. c τοσόνδε μέντοι μοι χάρισαι· ἔασόν με κατὰ χρόνον ἐργάσασθαι τὴν σὴν εἰκόνα. οὐ γὰρ οὕτως εἰμὶ σοφὸς οὐδὲ εὔπορος ὥστε αὐτοσχεδιάζειν ὥσπερ ἔτυχε τὰς γραφάς, καθάπερ οἱ θαυμάσιοι σοφισταί. ἀλλ' οὐδὲ ἅπαντα γράφειν ἄρχοντα δύναμαι, ἀλλ' ὃς ἄν μοι τόνδε τὸν πίνακα εὐτρεπίσοι, ὃς χωρήσει μὲν δικαιοσύνην μετὰ τῆς εἰκόνος, χωρήσει δὲ πρᾳότητα μετ' ἐξουσίας, πολλῶν τε ἄλλων θεῶν καὶ δαιμόνων ἀγαθῶν ὅμιλον, ὧν δίχα γράφειν οὐ θέμις τοῖς ἀπὸ Σωκράτους γρα- d φεῦσιν.

Οὐ σφόδρα οὖν μοι σύνηθες τὸ ἔργον, ἅτε δὴ σφόδρα ὀλίγων εὐποροῦντι τῶν ἀρχετύπων. ὃν δὲ σύ μοι πίνακα πήγνυσαι, καλός τέ ἐστι καὶ μέγας καὶ οὐ στενοχωρήσεται ἡ γραφή. ἀλλὰ στήσω μὲν ἐπὶ δεξιὰ τὸν νόμον, ὃς παιδόθεν τέ σε ἐθρέψατο καὶ νῦν συνθακεῖ, στήσω δὲ ἐπὶ θάτερα τὴν δίκην, ἥ σε μήποτε ἀπολείψειε, καὶ δὴ καὶ τὸν ἄλλον χορόν, ὧν ἄν μοι τὸ παράδειγμα ὑποδεικνύοι· ὑποδείξει δέ, εὖ οἶδα, ὥστε 311 a μοι μὴ ἐπιλείπειν τὰ καίρια. νῦν δέ, οὐ γάρ μοι τοσαύτη σχολή, προχειριστέον τι σοι τῶν ἀπορρήτων. πάντως οὐκ ἔστι τὸ λόγων κάλλος, οἷον ἀρτιτόκοις μὲν ἴσμεν ἐπανθεῖν, πρεσβυτέρων δὲ ἀπομαραίνεσθαι, ἀλλ' οἷοίπερ ἂν ἐξ ἀρχῆς τεχθῶσι, τοιοῦτοι καὶ τὸν ἅπαντα μένουσι χρόνον.

375, 1 ἁπανταχόθι] ἀπανταχόθεν A. 2 μοι add. A. 6 ἄρχοντα] ἀρκοῦντα Stephanus. 7 εὐτρεπίσοι A. εὐτρεπίσειεν H. 10 ὧν δίχα A. οὐ δίχα H. 14 καλός τε] τε om. A. 20 καίρια] κηρία ed. Stephani. „Quidam scribendum censent κήρια." Stephanus. 21 ἀπορρήτων A. ἀποθέτων H.

φωράσας πολλάκις οὐδὲ ἐθέλων ἀπομωραίνεται. οἴεσθε οὖν τί με ἴσως σεμνὸν εἰρηκέναι· ἐγὼ δὲ λέγω ὅτι τῶν λόγων ἀντερᾶν ἀνάγκη τοῖς βουλομένοις τοὺς λόγους αὔξειν καὶ τὸν ἔρωτα αὐτόν. τῷ τοι καὶ ἐλπίσας ἐγὼ τὸν θεὸν ἐδεξάμην τε καὶ ἐνίδρυσα τῇ ψυχῇ, καὶ αὐτὸν οὐκ ἐθέλω ψεύσασθαι τῆς ὑποσχέσεως. ὑπεσχόμην δὲ εἰσοικιζομένῳ τὸ πρῶτον αὐτίκα οἱ καὶ τὸν ἀδελφὸν συμπαρέσεσθαι τοῖς παιδικοῖς ἐνοικήσοντα.

d Ἢ τίνι με ἄλλῳ δοκεῖτε πρὸς τὸν πόθον ὑπάγεσθαι; πότερον τῇ παραδόξῳ ταύτῃ καὶ μακρᾷ θαλάττῃ; ἀλλ' οὐδὲν ἐμοὶ μᾶλλον προσήκει θαλαττουργίας ἢ τοῖς Ἀρκαδικοῖς στρατιώταις. ἢ τοῦ ποταμοῦ τοῦ Φρυγὸς τῇ φιλανθρωπίᾳ; ἀλλὰ καὶ τὸν Νεῖλον ἄγαμαι τὸν Αἰγύπτιον, οὐχ ὅτι λῃίων πατήρ, ἀλλ' ὅτι ῥεῖ διὰ τῶν σοφῶν Αἰγυπτίων. ἢ τῷ μεγέθει ταυτησὶ τῆς προσοίκου λίμνης; διὰ τί οὖν οὐκ ἐπόθησα τὴν Μαιῶτιν λίμνην τὴν τῶν ἑξακισχιλίων σταδίων; ὅτι δὴ σφόδρα 306 a ἀμαθεῖς αὐτὴν οἰκοῦσι καὶ βάρβαροι. μεγάλα μὲν γὰρ καὶ ταῦτα τῶν ὑμετέρων, καὶ προσθήσει γέ τις ἕτερα πλείω τῶν τὰ τοιαῦτα τιμώντων, ἢ λουτρῶν τε ἀμήχανα κάλλη καὶ θεάτρων καὶ ἱπποδρόμων. ἀτὰρ ὑμῖν γε, ὦ φίλοι — οὐδὲν γὰρ ὑμᾶς δέομαι ἀποκρύπτεσθαι, ἀλλ' ὅ τί γε ἐστὶ τὸ κινῆσαν τὸν ἔρωτα — ἐπεὶ πρός γε τὰ τοιαῦτα μεγαλοψυχία τις οὐκ ἀγεννὴς καὶ πάτριος ἡμῖν ὑπάρχει, καὶ οὔτ' ἂν ἄνδρα ποτὲ ἀγαπήσαιμεν ὅτῳ τὰ μὲν τῆς ψυχῆς ἀγαθὰ μὴ σφόδρα b παρείη, τὰ δὲ ἔξωθεν περικέοιτο πολλὰ καὶ ποικίλα, καθάπερ τῷ κολοιῷ περιτίθησιν ὁ μῦθος τὰ πτίλα, ἐν τῷ ἀγῶνι τοῦ κάλλους ἀλλότριον αὐτῷ περιεργαζομένῳ κόσμον χήτει ἰδίου καὶ ξυγγενοῦς, οὐδ' ἂν οἴκησιν μὲν οἰκοίη τοῦ Σπαρτιάτου βασιλέως ἀμείνονα,

---

368, 2 λέγω ὅτι — ἐλπίσας om. A. 8 ἐνοικήσοντα] ἐνοικήσαντα A. 9 με] μοι A. ὑπάγεσθαι] ὑμᾶς ἀπάγεσθαι A. 15 ταυτησὶ om. A. 17 ὅτι δὴ — βάρβαροι om. A. 29 αὐτῷ] αὐτῷ A. αὐτοῦ H. περιεργαζομένῳ Petavius. Vulgo περιεργαζόμενος. 30 ἰδίου A. οἰκείου H, quod ex Platone in Phaedro p. 239 c. defendit Roulezius p. 21.

ἀμφιέννοιτο δὲ λεπτότερα τῶν ἀραχνίων — οἷα τὰ Ἡφαίστου δεσμά φησιν Ὅμηρος, ἃ οὐχ ὁρώμενα ὅμως δέει τοὺς ἀκολάστους ἰσχυροῖς τισι καὶ ἀρρήτοις δεσμοῖς — καὶ τὸν ἄλλον δὲ πολὺν ἀμπέχοιτο κόσμον, καὶ τοιαύτην ἔχοι μορφὴν οἵαν ἐγώ ποτε εἶδον Περσικὴν γραφὴν τῶν Περσικῶν τινὸς βασιλέων. νεανίσκος ἐστὶν c
ὡραῖος ἐπικαθήμενος θρόνῳ βασιλικῷ, τιάραν ἔχων ἐξ ὑακίνθου τε καὶ σμαράγδου καὶ στρεπτὸν τοιοῦτον πλατὺν καὶ χλαῖναν ἁλουργῆ τε καὶ χρυσόπαστον ἠμφιεσμένος. ὅμως κἂν ταύτης τις τῆς εἰκόνος αὐτὸν ποικίλλῃ πολυτελέστερον, οὐ πάνυ τιμιώτερον αὐτὸν τῆς γραφῆς ἡγησόμεθα. καίτοι τί ἂν γένοιτο ἀηδέστερον ἢ μετέχειν δοκοῦντα ψυχῆς τοῖς τῶν ζωγράφων ἔργοις προσεοικέναι; ἃ βούλεται μὲν καὶ πᾶσιν ἀνοίγειν θέλει τὸν ὀφθαλμόν, ὡς ζῶντα δὴ καὶ νοῦν ἔχοντα, d
ἂν δὲ ἀνερέσθαι τι καὶ μαθεῖν σπουδάσῃς, μετὰ πολλῆς σεμνότητος ἡσυχάζει.

Οὔτ' οὖν ἄνδρα τὸν τοιόνδε διὰ σπουδῆς ἂν ἔχοιμέν ποτε οὔτε πόλιν ἐν ᾗ μὴ τίμια τὰ Μουσῶν καὶ Ἑρμοῦ καὶ Ἀπόλλωνος τεμένη, θέατρα δὲ καὶ βαλανεῖα καὶ οἱ τῶν ἀθλίων ἱππαρίων δρόμοι, οὔτε ἂν ὑμᾶς ποτε ἠσπασάμεθα, εἰ μή τι καὶ ἀρετῆς μεταποιουμένους ἔγνωμεν, οὔτ' εἰ πολλὰ σεμνότερα ὁ κόλπος ἅμα 307 a
καὶ καθαρώτερα οὔτ' εἰ ὁ Σαγγάριος ἀντὶ σίτου χρυσοῦ ψῆγμα κατῆγεν. ἀρετὴ γὰρ κατὰ Σωκράτην ἐστὶ μὲν ἀνδρὸς ἑνός, ἐστὶ δὲ καὶ πόλεως. ὥσπερ οὖν ἀνθρω-

---

369, 1 ἀμφιέννοιτο] ἀμφιέννυτο A. οἷα τὰ A. οἷα τοῦ H. 6 τινὸς A. τινὶ H. 7 ἐξ add. A. 10 τῆς εἰκόνος αὐτὸν A. αὐτὸν τῆς εἰκόνος H. 11 ποικίλλῃ πολυτελέστερον add. A. αὐτὸν] αὐτῆς A. 13 ἢ] ἢ εἰ A. 15 θέλει A. ἐθέλει H. τὸν ὀφθαλμὸν A. τοὺς ὀφθαλμοὺς H. 16 ἀνερέσθαι — σεμνότητος] μαθεῖν καὶ ἀνερέσθαι μετὰ πολλῆς σπουδάσῃς σεμνότητος A. 21 ἱππαρίων] ἵππων A. ὑμᾶς] ἡμεῖς A. 23 πολλὰ σεμνότερα ὁ κόλπος ἅμα A. πολλῷ στενότερος ὑμῖν ὁ κόλπος ἦν ἅμα H. 24 καθαρώτερα A. καθαρώτερος H. οὔτ' εἰ ὁ Σαγγάριος] οὔτε εἰ ὁ σάγγαρις A. χρυσοῦ A. χρυσίου H. 25 κατῆγεν. ἀρετὴ γὰρ add. A. 26 καὶ A. ὅλης H.

ὅπως ἂν χρόνον τινὰ ἐκεῖ διατρίψας πάλαι κεκλεισμένα
d τὰ Πυθαγόρου τεμένη καὶ τοὺς Πλάτωνος καὶ Ἀριστο-
τέλους νεὼς ἀναπετάσαιμι αὐτοῖς κατὰ δύναμιν καὶ
δείξαιμι τὰ ἀγάλματα, ἐπειδὴ πείθειν οὐχ οἷοί τε ἦσαν,
ἀλλ' ἐγὼ τὰ μὲν ἀγώγιμα προῖκα ἐδίδουν, αὐτὸς δὲ
ὀπίσω παρ' ὑμᾶς ἱέμην, χεῖράς τε ἐπειρῶντο προσάγειν
καὶ ἐπίκουρον τῷ ἔρωτι τὸν μέγαν παρακαλεῖν βασιλέα.
καὶ τούτων τίνα ἄλλον μάρτυρα ἂν ὑμῖν παρασχοίμην
ἀξιοπιστότερον αὐτοῦ βασιλέως, οὗ καὶ ἀνεγνώσθη ὑμῖν
ἐν τῇ βουλῇ ἤδη μαρτυρία; πῶς ἂν οὖν ἐμπορευοίμην
ἐγὼ τὴν σοφίαν; καὶ παρὰ τίνας ἀφικνούμενος ἄλλους
299 a ἀνθρώπους ἢ παρ' οὓς μάλιστα καὶ πλεῖστον ἐξῆν;
οὗτοι δωτίνην ἀπέλαυσαν τῆς ἐμπορίας.

Καὶ οὐ λέγω τὸ ἄστυ τοῦ Ἀντιόχου, οὐδὲ ὅσοις
ἐκεῖ ξυνέμιξα ἀνδράσι τὰ ἐμὰ φορτία μαστεύουσι καὶ
περιποιουμένοις, οὐδὲ ὅσοις ἐν Γαλατίᾳ τῇ Ἑλληνίδι.
καὶ αἱ μὲν πόλεις οὐχ οὕτω μεγάλαι, οὐδ' οἷαι τῇ με-
γίστῃ ἀμφισβητεῖν· οἱ δὲ ἄνδρες ἴστε ὅτι ὀξεῖς καὶ
ἀγχίνοι καὶ εὐμαθέστεροι τῶν ἄγαν Ἑλλήνων, καὶ τρι-
βωνίου παραφανέντος ἐκκρέμανται εὐθύς, ὥσπερ τῆς
b λίθου τὰ σιδήρια. οὗτοι οἱ ἄνδρες τί οὐκ ἂν πρόοιντο
ὥστε κύριοι γενέσθαι τῆς ἐξαγωγῆς τῶν Πλάτωνος μα-
θημάτων, οἱ ὑπὲρ τῶν Δημοσθένους δικῶν καὶ τῆς
Θουκυδίδου ξυγγραφῆς μικροῦ ἴσα τελοῦντες τοῖς τού-
των ἐμπείροις, ὁπόσα Ξέρξης Θεμιστοκλεῖ τῷ Νεο-
κλέους; καὶ οἶδα ὅτι συγκάθηνται πολλοὶ καὶ συνδικά-
ζουσι πολλοὶ ἐξ ἐκείνων τῶν πόλεων. πυνθάνεσθε οὖν
παρὰ τούτων εἰ ταῦτα ἐγὼ ἀληθῆ λέγω.

c Καὶ ὅτι μὲν ἔμπορος οὐκ ἂν εἴην τινῶν μαθη-
μάτων, παρ' ἄλλων πυνθάνεσθε καὶ ἐπιζητεῖτε· ὅτι δὲ
οὔτε κάπηλος οὔτε αὐτοπώλης, αὐτὸ δι' ὑμᾶς αὐτοὺς
ἐρωτᾶτε, εἰ ἐγὼ κάθημαι ἐπ' ἐργαστηρίου πιπράσκων
λογάρια μικρὰ ἢ μεγάλα, καὶ προὐταξάμην τὸ ζῆν ἐκ
τοιαύτης τινὸς ἐργασίας, καὶ ταῦτα ὥσπερ οἱ ἄγαν
σοφιστεύοντες τῶν καπήλων, προδεικνύντες τὸν ἀρυστῆ-

360, 6 ἵεμην] Vulgo ἵεμην. 23 οἱ ὑπὲρ Petavius. Vulgo ἢ ὑπὲρ.

ρα, κεκράγασι καὶ ἐκβοῶσιν ὅτι τοῦ νέκταρος ὄδωδε τὸ πόμα ἐκεῖνο καὶ ἡ κοτύλη πολυχανδεστέρα * *

* * * * * * * * * d

* * * * * * * * *

φρονοῦσα ὑπὲρ ὧν λέγει, καὶ οὐδεμίαν ὑπόθεσιν ποιουμένη, ἣν οὐ μᾶλλον γινώσκει τῶν ἐφεξῆς· ἀλλὰ καὶ ἃς ἐκεῖναι δι' ἀδυναμίαν ἀπίστους ἐῶσι, κινοῦσα καὶ περικρούουσα ἐκκαθαίρει καὶ βεβαιοῦται. εὖ οὖν λέγεται ἐπιστήμη εἶναι ἐπιστημῶν, ὅτι τὰ πείσματα αὐτῶν ἐνθένδε ἐξῆπται καὶ ὅτι ἀρχιτέκτων οὖσα αὐταῖς ἐπι- 300 a
στατεῖ καὶ ὑφηγεῖται ᾗ μετιέναι χρὴ ἕκαστον τῶν προβλημάτων, οὐχ ὅτι αὐτὴ προὔργου ποιεῖται ἐνδιαιτᾶσθαι ταῖς γωνίαις οὐδὲ ἐντετηκέναι τοῖς ἀριθμοῖς. πρὸς δὲ δὴ τὰς τέχνας καὶ βασιλικωτέρα αὐτῆς ἡ ἐπιτροπεία τε καὶ ἐξουσία, καὶ βούλεται οἷον ὑψόθεν ὁρῶσα χαμαὶ ἐρχομένας γνωματεύειν ἑκάστην καὶ ἐξετάζειν εἴτε ὠφέλιμος ὀρθῇ πολιτείᾳ εἴτε βλαβερὰ καὶ ἀκροσφαλής· καὶ ἥντινα μὲν ὅλην παραδεκτέον ὡς ὑγιῆ, ἥντινα δὲ αὖ παντάπασιν ἐξοριστέον ὡς αἶσχος πόλεως ἐν τοῖς ἀρρωστήμασι. τῷ γὰρ ὄντι ἅπασα τέχνη τὰ μὲν ὑφ' ἑαυτῇ b
τεταγμένα χειρουργεῖν ἱκανὴ καὶ πᾶσι σκευάζειν τοῖς δεομένοις, ἑαυτὴν δὲ οὐχ οἵα τε ἐξετάζειν ἄχρι τοῦ ὠφέλιμος ἢ ἐπιβλαβής. ἀλλὰ καὶ τοῦτο τῶν τεχνῶν πονηρὸν καὶ ἐνδεές, ὅτι ὁμοίως μὲν ἀγαθοῖς, ὁμοίως δὲ φαύλοις ὑπηρετοῦσι τὰ σφέτερα ἔργα· καὶ οὔτε ὁ μαχαιροποιὸς δοκιμάζειν ἔχει εἰ ἀνδροφόνῳ τὴν μάχαιραν ἀποδώσεται οὔτε ὁ ναυπηγὸς εἰ ἅρπαγι ναυπηγήσεται, ὥσπερ τῷ Πάριδι Ἁρμονίδης, οὔτε ὁ κυβερνήτης εἰ σώζει ἐν τῷ πλῷ ὃν καὶ βαπτίσαι ἄμεινον ἦν. εἰ δὲ καὶ φρόνησις καὶ σοφία τὰ ἔργα αὐτῶν ἀπευθύνοι c
καὶ διατάττοι, καὶ τοῦτο αὐτῶν τὸ ἔλλειμμα ἐξιάσεται καὶ οὐ ξυγχωρήσει ὥσπερ τυφλοῖς προτείνειν τὰ δημιουργήματα τοῖς ἀπαντῶσι. τοῦτ' οὖν ἐστιν ὃ λέγει ὁ λόγος, ἐπιστήμην εἶναι ἐπιστημῶν καὶ τέχνην τεχνῶν, ὅτι τῶν μὲν τὰς ἀρχὰς βεβαιοῦται, τῶν δὲ ἐξετάζει τὴν χρείαν.

361, 22 ἄχρι τοῦ] ἄχρις οὗ Iacobsius ad Antholog. Palat. vol. III. p. 318.

νότητος, μαρτυρόμενός τε καὶ ἐγγυώμενος πρὸς πάντας ἀνθρώπους, ὅτι ἄμεινον ξυνιᾶσι τῶν Ἀριστοτέλους· ἐξ b ὧν ἐμὲ μᾶλλον ἀγαπῶσι καὶ θεραπεύουσι καὶ ἐμπιπλᾶσι τὴν οἰκίαν ἅλις χρυσοῦ καὶ ἀργύρου, αὐτοὶ δὲ ἐπαχθεῖς καὶ φορτικοὶ γίνονται πολλοῖς οὐδὲν δεομένοις; καίτοι ὑπὲρ ἑκάστου αὐτῶν πολλὰ ἔχω λέγειν καὶ ἀγαθὰ, ἀλλ' ὅμως οὐκ οἶμαι δεῖν τὸν μάρτυρα οἴκοθεν εἶναι. οὐδὲ γὰρ ἀθλητὴν ὁρῶ τὸν τοιοῦτον στεφανούμενον καὶ εὐδοκιμοῦντα, ὃν ὁ παιδοτρίβης ἐπαινεῖ μόνος καὶ οἱ συνδειπνοῦντες, ἀλλ' ὃν πολλοὶ ἐθεάσαντο ἐν τοῖς γυμνασίοις τραχηλιζόμενόν τε ῥᾳδίως καὶ μεταφέροντα τοὺς c ἁλτῆρας. ὅστις οὖν χρήματα μὲν οὐ πράττεται, ἀλλὰ δωρεῖται, ἐπιδίδωσι δὲ καὶ ἀρετὴν τοῖς χρωμένοις, πόρρω ἂν οὗτος σοφιστοῦ ἀποκρίνοιτο.

Ἀλλ' ἐγὼ ὄναρ ὑμῖν ἀλλότριον ἀπαγγέλλω. καὶ μὴ πείθεσθε, ὦ ἄνδρες, τοῖς ὀνειρώττουσιν ὑπὲρ τῶν ἐμῶν θησαυρῶν, ὅτι μοι ταμιεῖον ὑπερχειλές τε ἄγαν ἐστὶ καὶ ἐξαντλοῦσιν οἱ βουλόμενοι ἀφθόνως. καίτοι ὤφελεν αὐτῶν ὕπαρ εἶναι τὸ ὄναρ. οὐ γὰρ ἂν φαῦλον ἦν ἐλευθεριότητα καὶ μεγαλοπρέπειαν ἐπιδείκνυσθαι οὐ μόνον ἐν λόγῳ καλῷ καὶ ἔργῳ, μάλιστα ἐκ πλούτου δικαίου ἄνωθεν κατιόντος· οὗ αἱ πηγαὶ πόρρωθεν ῥέου- d σιν ἄγαν διαφανεῖς καὶ πρᾳεῖαι, καὶ οὐδαμόσε αὐτὰς μολύνει ῥεῦμα ξυμμιγνύμενον ἀδικίας. ἀλλ' οὔτε μου τὰ πατρῷα τοσάδε ἐστὶν οὔτε ἐγὼ χρηματιστὴς καὶ ποριστικός.

Ὅ τε αὖ λέγουσιν οἱ κατήγοροι, καὶ τοῦτο ἄλλο ὄναρ ἐστὶν, ὡς ἄρα πυρῶν βασιλικῶν σωροὺς ἀθρόους 292 a δαπανῶ τοῖς ὁμιληταῖς καὶ διανέμω. δαπανῶ μὲν γὰρ πυροὺς βασιλικοὺς ἐκ τῶν σιτοφυλακίων τῶν δημοσίων, καὶ εἰ τοῦτο σημεῖον τοῦ σοφιστὴν εἶναι, πάντες ἂν εἴητε σοφισταὶ, οὐ μόνον ὑμεῖς οἱ ἐνθάδε συγκαθήμενοι, ἀλλὰ καὶ οἱ νευρορράφοι καὶ οἱ βαλανεῖς καὶ οἱ σκυτοτόμοι καὶ πάντες ὅσοι καλαμηφοροῦσιν ὄρθριοι ἐπὶ τὰς ἐργα-

---

352, 21. καὶ] ἀλλὰ Petavius. 30. ἐκ τῶν Petavius. Vulgo ἐκ καὶ τῶν. ἐκ δὲ τῶν Iacobsius apud Goellerum p. 272.

νῷ. ἀλλ' ἐκεῖνο δίκαιον ὑμᾶς ἐξετάζειν, ὅτι μοι ἐξὸν
οὐ σίτου μόνον διακοσίους μεδίμνους οὐδὲ ἐλαίου ἴσα
κεράμια — καίτοι τοὔλαιόν γε οὔπω ἴσασιν οἱ κατή- b
γοροι, ἀλλ' ἐξέφυγέ με οὐκ οἶδ' ὅπως, ἵνα μᾶλλον
σφαδάζοιεν καὶ ἀγανακτοῖεν — ἀλλ' ὅτι μοι οὐ ταῦτα
μόνα ἐξὸν παρὰ βασιλέως καρποῦσθαι, ἀλλ' ἐκείνου τοῦ
μακροῦ καταλόγου τῆς τρυφῆς καὶ τῆς εὐπαθείας,
ὁπόσα ταῖς δέλτοις ἀκολουθεῖ ταῖς σφυρηλάτοις, καὶ
ταῦτα οὔτε λιπαρήσαντα οὔτε θωπεύσαντα οὔτε ἑτέρῳ
προστάτῃ χρησάμενον καὶ προσηγόρῳ, ἀλλ' αὐτοῦ πα-
ρόντος ἐπὶ τοῖς λόγοις, ὧν αὐτήκοος ἐγένετο οὐχ ἅπαξ
οὐδὲ δίς, ἀλλὰ πολλάκις, ὥστε ἀξιῶσαι τῶν μεγίστων c
γερῶν, ὅμως ταῦτά μοι ἐξὸν οὐχ ὑπεῖξα οὐδ' ὑπή-
κουσα, καὶ πάνυ προθυμουμένου. εἰ δὲ ὀρθῶς ἢ μή,
κοινωνοὶ γένεσθε τῆς γνώμης.

Φαίνεταί μοι αἴσχιστον εἶναι καὶ ἀλλότριον ἀνδρὸς
ἐλευθέρου τὸ ψεύδεσθαι εἰς τὸ κυριώτατον τῶν ἑαυτοῦ
καὶ ἐξαπατᾶν τοὺς ἀνθρώπους· κυριώτατον δὲ τῶν
ἑαυτοῦ καὶ ἔργων καὶ παθημάτων ὁ τύπος τοῦ βίου
καὶ ὁ χαρακτὴρ ὃν ὑποδύεται. ὅστις οὖν φιλοσοφίας
μεταποιούμενος, καὶ τοῦτο τοὔνομα ἕλκων τε καὶ ἀναγ-
κάζων, ἱστᾷ τε ὕεια ταρίχη καὶ ζυγομαχεῖ τοῖς ταμίαις,
τὸν οἶνον καὶ τὰ ὄψα ἀπαργυρίζων, οὗτος ψεύδεται d
μὲν τὸ τριβώνιον, ᾄττει δὲ ἐπὶ τὴν ζώνην καὶ τὴν
χλαμύδα, καὶ φορτικώτερός ἐστι τῶν τὰ ὅπλα φερόντων
στρατιωτῶν. διὰ ταῦτα οὖν ὅσα μὲν τὴν χρείαν μοι
ἀναγκαίαν εἶχε καὶ οἷς σιτοδοτεῖ βασιλεὺς τοὺς οἰκήτο-
ρας τῆς πόλεως, οὐ τοὺς στρατιώτας, ἀπολαύω καὶ
αὐτός, ὦ ἄνδρες, τὸ μέρος· μετέχω γὰρ τῆς πολιτείας
καὶ τὴν ἐνθάδε ξυνοίκησιν προὐτίμησα τῆς ἐνεγκούσης,
ἐν ᾗ εἴπερ τις διάγειν ἐῴην, κατατέμνεσθαι ἂν ἄξιος 293 a
εἴην, εἰ πυρῶν ἑτέρωθι προσδεοίμην. ὅσα δέ μοι τὸ
βαλάντιον ἔμελλε γεμιεῖν, οὐ τὸν λιμὸν ἀκεῖσθαι τῶν
ἀνδραπόδων, καὶ ὅσα ἀνάγκη εἰσδεχόμενον ἦν εὐθὺς

353, 22 ἱστᾷ τε ὕεια Petavius. Vulgo ἱσταιτεύει. 31 ἐῴην] Aut ἐῴη scribendum, aut ἐῴμην deleto τις. Vidit Petavius.

καὶ τοὔνομα περιῆφθαι οὐξοδαπὸν τῷ τριβωνίῳ, ἀπισχυρισάμην τε ἀτενῶς καὶ οὐκ ᾔσχυνα τοὺς προγόνους, οὐ τὰ αὐτὰ ἐφρόνουν περὶ βασιλέως καὶ φιλοσόφου καὶ ἄμφω ἐνόμιζον κατοικεῖν ὁμοίως ἐν ταῖς κορυφαῖς τῆς ἀνθρωπίνης εὐδαιμονίας καὶ προσωτέρω οὐκ ἔχειν ᾗ
b προβήσετον. τὸν δὲ οἰόμενον καὶ μεῖζόν τι ἕτερον ὀνειροπολοῦντα κάτω που ἐστὶ πλανᾶσθαι οὐδὲ ἀνελθεῖν εἰς ἐκείνην τὴν σκοπιάν, ἣ ὑψηλοτάτη τέ ἐστι καὶ ὑπερκύπτει τὸν οὐρανόν· ἔνθεν οὐ μόνον γῆ καὶ θάλαττα ἄποπτος πᾶσα, ἀλλὰ καὶ ὁ θρόνος αὐτοῦ τοῦ Διὸς καὶ ἡ ἀληθινὴ προεδρία καὶ αἱ πηγαὶ τοῦ νέκταρος καὶ ὁ λειμὼν τῆς ἀμβροσίας· οὗ ἀναβῆναι οὐκ ἔστι δέλτῳ χρυσῇ ἐποχουμένους, ἀλλ᾽ εἴ τις ἐκείνης κρατήσειε καὶ ἐπαύροιτο τῆς ἀρχαίας καὶ ἀθριπηδέστου, ἐν ᾗ Πλάτων καὶ Πυθαγόρας τὰ γράμματα ἐχαράξα-
c την. ποῖον οὖν ἐγὼ σιτοφυλάκιον ἐκκενῶ τοῖς ὁμιληταῖς τοῖς ἐμοῖς; ποίους δὲ πυροὺς ἐπιχέω, καθάπερ τοῖς νεωνήτοις τὰ καταχύματα; καὶ Ἀρίστιππον μὲν τὸν Κυρηναῖον καὶ ταῦτα δεκαπλάσιοι ὄντες οἱ Διονυσίου πυροὶ οὐκ ἐποίησαν σοφιστήν· ἐγὼ δὲ ὑπερακοντίζω καὶ τὸν Γοργίαν, ὡς ἔοικεν, ἐπὶ ταῖς τριάκοντα χοίνιξιν.

Ἀλλὰ δῆτα αὐτὸς μὲν ἀποκλείω τὸ ταμιεῖον καὶ ἧττον ἂν χαλκοῦν τῳ προείμην ἢ ξύμπασαν ὁμοῦ γεωμετρίαν καὶ ἀριθμούς· ἀπεβουκόλησα δὲ ἕνα τῶν νέων
d χρηστόν τε ἄγαν καὶ τεθραμμένον ἐν ὀρφανίᾳ, ὃς οἰκουρεῖ ὑπὲρ ἐμοῦ καὶ προτίθεται δύο τραπέζας, τὴν μὲν τρυφῆς γέμουσαν, τὴν δὲ ἀργυρίων· κᾆτα προΐσχονται αὐταῖς καὶ ἐκκρέμανται οἱ Ἀριστοτέλους μὲν οὐδὲν δεόμενοι, βίου δὲ χρῄζοντες καὶ τοῦ γεμίζεσθαι τὴν γαστέρα· καὶ δορυφορεῖ με ἐμβάλλοντα εἰς τὴν ἀγορὰν καὶ συρφετὸς οὗτος καὶ ἡ γρυμαία, κεκραγότες

354, 1 οὐξοδαπὸν] οὐ ξυνοπαδὸν Harduinus. 3 οὐ τὰ] ὅτι τὰ Petavius. 25 ἀριθμούς Petavius. Vulgo ἀριθμοῦ. 28 κᾆτα προΐσχονται Stephanus. Vulgo καταπροΐσχονται. 30 χρῄζοντες Petavius. Vulgo χρῄζεσθαι.

καὶ ἐκβοῶντες ἐφ' ἑκάστῳ ῥήματι ὧν ἂν λέγω, καὶ a 294 παραβαλλόμενοι πρὸς ἀλλήλους ὅστις ἄμεινον ἀποδοίη τὸ ἔργον ἐφ' ὃ θηρεύουσιν. εἰ τοιοῦτον ἐγὼ χορόν τε καὶ χορηγὸν συνεστησάμην, πάνυ ἂν εἴην σοφιστὴς καὶ οὐδέν τι μεῖον ἢ Πρωταγόρας ἀποχρώμενος Καλλίᾳ τῷ λακκοπλούτῳ· ἀλλ' οὐδεὶς οὕτως εὐδόκιμος τῶν ἐμῶν μαθητῶν οὐδὲ ὑπερβάλλων σιναμωρίᾳ, ἀλλὰ προσέρχονται μέν μοι καὶ ἀγαπῶσι, μισθὸν δὲ οὔτε εἰσφέρουσιν οὔτε ἀποφέρονται. b

Τῷ μὲν οὖν αὐτὸς θηρεύω τε καὶ προσάγομαι; καὶ τίς ἡ ἐπῳδὴ καὶ ἡ μαγγανεία, δι' ἣν πολλοὶ ἀπολιπόντες καὶ τὴν ἀρχαίαν Ἑλλάδα καὶ τὴν πρόσοικον Ἰωνίαν, ἐν αἷς ἀμφοτέραις διδασκαλεῖα μέγιστα φιλοσοφίας, ἔπειτα εἰς τὴν πόλιν ἡμῖν συμφοιτῶσι; καὶ οὐδὲν αὐτοὺς ἀποκωλύει ἐξ ὧν ἡ πόλις μεγάλη τε ἐστὶ καὶ εὐδαίμων, καὶ οὐχ ἡδοναὶ ἐκκεχυμέναι, οὐ πανηγύρεων θόρυβος, οὐ σχολῆς σπάνις καὶ ἡσυχίας, οὐκ c αὐτοὶ οὗτοι οἱ ὀξὺ βλέποντες συκοφάνται καὶ τὰς αἰχμὰς τῷ χρῷ ἐπισείοντες; ὀκνῶ μὲν εἰπεῖν, ὦ ἄνδρες, μὴ καὶ ἀτεχνῶς δόξαιμι καλλωπίζεσθαι· συνελαύνουσι δὲ οἱ κατήγοροι τὰς ἀληθινάς με ἐπαγωγάς, αἷς χρῶμαι ἐπὶ τοὺς νέους, εἰς τὸ θέατρον ἐξενεγκεῖν ἀντὶ τῶν ψευδῶν καὶ πεπλασμένων. καίτοι αἰσθάνεσθε αὐτῶν ἱκανῶς καὶ οὐ σφόδρα ἀτήρητοι ὑμῖν εἰσιν· ὅμως δὲ ἔτι καὶ μᾶλλον ἀποκαλυπτέα καὶ γυμνωτέα.

Ἐμοὶ νέῳ ὄντι συγγράμματα ἄττα πεποίηται, ἐν d οἷς τὸν κλῆρον κατεθέμην καὶ ἐθησαύρισα, ὃν παρὰ τῶν ἐμῶν πατέρων διεδεξάμην. καταλέγει τὰ συγγράμματα ταῦτα ἴδιον μὲν οὐδὲν οὔτε ἐμὸν οὔτε ἄλλου, ἐμφανίζειν δὲ ἐπιχειρεῖ τὸν νοῦν τὸν Ἀριστοτέλους καὶ ἐξάγειν ἐκ τῶν ῥημάτων ἐν οἷς ἐκεῖνος αὐτὸν καθεῖρξέ τε καὶ ἐφράξατο, τοῦ μὴ ἐπίδρομον εἶναι τοῖς παντάπασιν ἀμυήτοις. καὶ ταῦτα ἐγὼ τὰ συγγράμματα ἄλλῳ μὲν οὐδενὶ πώποτε ᾤμην οὔτε χρείαν ἕξειν οὔτε ἔσε- 295 a

---

355, 7 σιναμωρίᾳ] Vulgo σιναμωρίαις. Correxit Iacobsius ad Ach. Tat. p. 609. : 9 ἀποφέρονται Iacobsius. Vulgo ἀποφέρομαι.

σθαι σπουδαῖα· οὐδὲ γὰρ οὕτω πολυτελῶς καὶ ἀνδρείως ξυντεθέντα αὐτὰ ἠπιστάμην, ἐμαυτῷ δὲ μόνῳ μνημόσυνα καὶ ἀποθήκην ὧν ἠκηκόειν, ἵν', εἴποτε ἀποφύγοι τὴν μνήμην, ἐξῇ μοι ὥσπερ ἐκ ταμιείου λαμβάνειν ἀσφαλοῦς τε καὶ ἀναλώτου ἀπὸ τῆς λήθης. διὰ ταῦτα οὖν ὀρρωδοῦντός μου ὑπὲρ αὐτῶν καὶ ἐν φυλακῇ ποιουμένου ὅπως ἂν μὴ θύραζε ἐκφοιτήσειαν, λανθάνουσιν οἱ λόγοι οὗτοι ἀποδράντες οὐκ οἶδα ὅπως, καὶ μετὰ
b σπουδῆς κυλινδούμενοι ἐξ ἄλλου εἰς ἄλλον ἀφικνοῦνται εἰς Σικυῶνα.

Ὤικει δὲ ἐν Σικυῶνι τηνικαῦτα ἀνήρ, ὃν ἐγὼ φαίην ἂν ἀτρεκέστατά τε καὶ ἀδολώτατα τῶν γε ἐπ' ἐμοῦ Ἑλλήνων ἀντειλῆφθαι φιλοσοφίας, ἀκουστὴς μὲν γεγονὼς τοῦ Χαλκιδέως πρεσβύτου, θεραπεύων δὲ οὐ τὴν νέαν ᾠδὴν, ἀλλὰ τὴν πάτριον καὶ ἀρχαίαν τῆς Ἀκαδημίας καὶ τοῦ Λυκείου· οὐχ οἷος κολούειν τε καὶ πρίεσθαι καὶ βασκαίνειν, εἰ χρηστοῦ τινος ἕτερος μεταποιοῖτο, ἀλλ' οἷος συνεξορμᾶν καὶ συνοτρύνειν οὓς ἂν
c αἴσθοιτο φυομένους πρὸς ἀρετήν. οὗτος ὁ ἀνὴρ μικρὰ ὁμιλήσας τῇ ἐμῇ εἴτε σπουδῇ εἴτε παιγνίᾳ ταυτὸν μικροῦ ὑπέμεινε πάθος Ἀξιοθέᾳ τῇ φιλοσόφῳ καὶ Ζήνωνι τῷ Κιτιεῖ καὶ τῷ γεωργῷ τῷ Κορινθίῳ. Ἀξιοθέα μὲν γὰρ ἐπιλεξαμένη τι τῶν ξυγγραμμάτων ἃ Πλάτωνι πεποίηται ὑπὲρ πολιτείας, ᾤχετο ἀπιοῦσα Ἀθήναζε ἐξ Ἀρκαδίας, καὶ Πλάτωνος ἠκροᾶτο λανθάνουσα ἄχρι πόρρω ὅτι γυνὴ εἴη, ὥσπερ ὁ Ἀχιλλεὺς τοῦ Λυκομήδους· ὁ δὲ γεωργὸς ὁ Κορίνθιος τῷ Γοργίᾳ ξυγγενόμενος — οὐκ αὐτῷ ἐκείνῳ Γοργίᾳ, ἀλλὰ τῷ λόγῳ ὃν Πλάτων ἔγρα-
d φεν ἐπ' ἐλέγχῳ τοῦ σοφιστοῦ — αὐτίκα ἀφεὶς τὸν ἀγρὸν καὶ τὰς ἀμπέλους Πλάτωνι ὑπέθηκε τὴν ψυχὴν καὶ τὰ ἐκείνου ἐσπείρετο καὶ ἐφυτεύετο. καὶ οὗτός ἐστιν ὃν τιμᾷ ὁ Ἀριστοτέλης τῷ διαλόγῳ τῷ Κορινθίῳ. τὰ δὲ ἀμφὶ Ζήνωνος ἀρίδηλά τέ ἐστι καὶ ᾀδόμενα ὑπὸ

356, 3 ἀποφύγοι] Vulgo ὑποφύγοιτο. 18 συνοτρύνειν] Videtur συνεξοτρύνειν scripsisse ut p. 256 a. 32 τῷ Κορινθίῳ] Vide Huschkium de Annio Cimbro p. 63.

πολλῶν, ὅτι αὐτὸν ἡ Σωκράτους ἀπολογία ἐκ Φοινίκης
ἤγαγεν εἰς τὴν Ποικίλην.

Αὐτὸς μὲν δὴ ἀνὴρ ἐκεῖνος οὐκ ἐδεῖτο ἐπισιτεῖ- 296 a
σθαι, τὴν δὲ ἑπομένην ἀγέλην αὐτίκα ἐξώρμα ἅπασαν
εἰς τὸν Βόσπορον. καὶ ἐπειδὴ ἠμφισβήτουν οἱ νεανίαι,
πέμπει εἰς θεοῦ πευσομένους εἰ ἄρα ἄμεινόν τι ἐκεῖνος
γινώσκει· καὶ φέρει τὴν αὐτὴν ψῆφον ὁ θεός, οἵαν
πάλαι ἐπὶ Σωκράτην. πιστεύσατε, ὦ ἄνδρες, νὴ τὸν
Ἀπόλλω ἐκεῖνον, ὅτι ταῦτα ἐγὼ οὐ μῦθον συμπλάσας
ὥσπερ μειρακίοις προσάγω, οὐδὲ καταπλήττομαι ὑμᾶς
τῷ κρετῇ, οὐδὲ καλλωπίζομαι καὶ ἁβρύνομαι ἄνευ
ἀνάγκης, ἀλλ' ὅτι οὐκ ἔστιν ἄλλως ἀμύνασθαι τοὺς
λοιδορουμένους τε καὶ τοὺς βλασφημοῦντας ἢ πολλῷ b
ἀμείνους ἐπιδεικνύντα τοὺς ἀγαπῶντας καὶ εὐφημοῦντας.
ἐπεὶ καὶ Σωκράτης ἐκεῖνος πρὸ μὲν τοῦ οὐκ ἐξέφαινε
τοῦ Πυθίου τὴν μαρτυρίαν, ἐπεὶ δὲ αὐτὸν Λύκων τε
καὶ Ἄνυτος διεβαλλέτην καὶ Μέλητος ἐφειστήκει γραψά-
μενος ὡς σοφιστὴν καὶ διαφθορέα τῶν νέων, τότε δὴ
ξυνηναγκάσθη τοῖς δικασταῖς ἀναβιβάσασθαι μάρτυρα
τὸν θεόν. ἀλλ' ἐκεῖνοι μὲν οἱ δικασταὶ ὑπ' ἀγνωμο-
σύνης τὸ παραυτίκα ἐξηπατήθησαν καὶ ἐγοητεύθησαν
ὑπὸ τοῦ λόγου ὃν ξυνέγραψε Πολυκράτης, Ἄνυτος δὲ c
ἐμισθώσατο. δῆμος γὰρ ἦσαν καὶ οὐδὲν ἱερόν· ὑμεῖς
δὲ ἔκκριτοι ἁπανταχόθεν καὶ προσέτι κοινωνεῖτέ μοι
τοῦ ἀγῶνος. τὸ γὰρ ἄμεινόν τι εἶναι ἐμὸν πρᾶγμα ἢ
κατὰ σοφιστὴν οὐκ ἄλλοι τινὲς πρότερον ὑμῶν καὶ
ὑπέλαβον καὶ ἐπεφήμισαν.

Μῶν ἄρα ἔτι θαυμαστόν, εἰ τοιούτοις ἐγὼ χρώ-
μενος ἀρωγοῖς τε καὶ συλλήπτορσι τοῦ κυνηγεσίου,
ἐθηρευσάμην ὀλίγους νέους καὶ τοιούσδε ὑπὲρ ἐμαυτοῦ
κεκτημένος ἑστιάτορας καὶ μισθοδότας προσηγαγόμην d
τοὺς λίχνους τῶν μαθητῶν; οὐ γὰρ λίαν, ὡς ἔοικε,
φαῦλαί εἰσιν αἱ ἄρκυς τε καὶ τὰ δίκτυα ὧν μικροῦ
ἔμπροσθεν ἐμνήσθην, ἅ με ἀποδράντα τῆς οἰκίας αὐ-

357, 8 πιστεύσατε Petavius. Vulgo ἐπιστεύσατε. 17 Μέλητος] Vulgo Μέλιτος.

τόματα περιθεῖ, ὥσπερ τὰ Δαιδάλου ἔργα, σαγηνεύοντα καὶ συμπλέκοντα τοὺς νέους ὅσοι μὴ βεβυσμένοι εἰσὶ τὰ ὦτα, καὶ προσάγει μοι τὴν ἄγραν οὔτε μέγα οὔτε μικρὸν πραγματευομένῳ. ἀλλ' ἐκεῖνο θαυμαστὸν τῶν
297 a κατηγόρων, ὅτι ἐξὸν αὐτοῖς τὰ δίκτυα ταῦτα ἐν τῷ μέσῳ οὑτωσὶ περιτρέχοντα καὶ ἐν ταῖς χερσὶ τῶν ἀνθρώπων καταγαγεῖν ἀπὸ τῶν χαλίδων καὶ διασπάσαι τὰ ἀκρωλένια καὶ ἐπιδεῖξαι τοὺς βρόχους ὅτι λαγαροὶ ἄγαν καὶ ἀσθενεῖς καὶ ὑπὸ ἀγνοίας αὐτοῖς οἱ ἄνθρωποι ἐγκαταδοῦνται· οἱ δὲ τοῦτο μὲν ἢ οὐχ οἷοί τέ εἰσιν ἢ οὐ προαιροῦνται, ὥσπερ δὲ τὰ φαῦλα τῶν κυνιδίων ὑλακτοῦντα ἀεὶ καὶ θορυβοῦντα, ταῦτα μὲν ὀνίναται οὐδὲν, ἀποσοβεῖ δὲ τὴν ἄγραν.

b Εἶεν. τὸν μὲν δὴ ἔμμισθον σοφιστὴν μόλις πως ἄρα διανενεύκαμεν. σκοπῶμεν δὲ ἐφεξῆς τὸν ἔμπορον καὶ τὸν κάπηλον καὶ τὸν αὐτοπώλην, εἰ ἄρα τούτων ἡμῖν προσήκει τι τῶν ὀνομάτων. λέγει τοίνυν ὁ θεσπέσιος Πλάτων ὅτι οὔσης τινὸς τέχνης ἀλλακτικῆς, ἣ διαμείβεται ὧν δίδωσιν ἃ λαμβάνει, ἡ μὲν ἐξ ἄλλης πόλεως εἰς ἄλλην ὠνῇ τε καὶ πράσει χρωμένη καὶ μεταβάλλουσα τὰ ἀγώγιμα ἐμπορικὴ ὀνομάζεται ὑπὸ τῶν ἀνθρώπων, ἡ δὲ ἐν πόλει μιᾷ καθημένη ἀλλακτικὴ τῶν αὐτῶν τούτων, εἰ μὲν αὐτουργοῦσα τὰ αὐτῆς ἔργα
c νομίσματος ἀποδιδοῖτο, ὥσπερ οἱ μάγειροι καὶ οἱ βαλανεῖς, αὐτοπωλικὴ ἂν ἐν δίκῃ καλοῖτο, ἡ δὲ τὰ ἀλλότρια ὠνουμένη καπηλική· τούτων δ' οὖν τῶν τριῶν ἑκάστην μίαν οὖσαν σχίζεσθαι διχῇ τῇ αὐτῇ τομῇ καθ' ὅ τι ἀλλήλων διαφέρει τὰ ἀγοράσματα. ἔμπορον γὰρ τὸν μέν τινα εἶναι σιτίων τε καὶ ἱματίων καὶ ὑποδημάτων καὶ ἐν βραχεῖ ὅσων τὸ σῶμα τὸ ἡμέτερον ἐπιδεές· τὸν δέ τινα λόγων τε καὶ μαθημάτων οἷς ψυχὴ τρέφεται ἢ κολακεύεται· ὁμοίως δὲ αὖ κάπηλον,
d ὁμοίως δὲ καὶ αὐτοπώλην. εἴτε οὖν μουσικήν τις εἴτε

358, 15 διανενεύκαμεν] Ex Platone: vide Ruhnken. ad Timaeum p. 79. 32 κάπηλος] Platonis Protagoram p. 297 d. comparat Iacobsius apud Goellerum p. 280.

γραμματιστικὴν εἴτε ζωγραφίαν εἴτε ἄλλο τι ψυχῆς ὠφέλημα ἢ παραμύθιον ἐκ πόλεως εἰς πόλιν μετάγων, ἔνθεν μὲν ὠνοῖτο, ἑτέρωθι δὲ ἀποδιδοῖτο, ἔμπορος οὗτος οὐδέν τι μεῖον ἢ Λάμπης ὁ Αἰγινήτης· εἴτε αὐτοῦ καθιδρυμένος ἐν πόλει, καὶ τὰ μὲν ὠνούμενος μαθήματα, τὰ δὲ καὶ αὐτὸς τεκταινόμενος πωλοίη καὶ ἀλλάττοιτο ἀργυρίου, κάπηλος οὗτος ἢ αὐτοπώλης κομψότερος μικρῷ Σαράμβου καὶ Θεαρίωνος. καὶ οὕτως 298a αὖ τρικέφαλόν τινα αὖθις ὥσπερ τὸν Γηρυόνην ἀποφαίνει τὸν σοφιστήν.

Τίνι οὖν με τῶν ἀλλακτικῶν ἐγγράφουσιν οἱ κατήγοροι; μῶν τῷ πλανήτῃ, ἢ τῷ σταδιαίῳ; ἐγὼ τοίνυν πολλαῖς μὲν ὡμίλησα πόλεσι καὶ ξυνεγενόμην, καὶ ἀπεδήμησα μακρότερα ἢ ὁ Σωκράτης, οὐχ ὅσον εἰς Ποτίδαιαν στρατευόμενος. ἀλλ' ὅπλα μὲν οὐκ ἤνεγκα ὑπὲρ ὑμῶν, ὑμῶν δ' αὖ εἵνεκεν πολλὴν γῆν ἐπῆλθον καὶ πολλὰς πόλεις μεγάλας τε καὶ εὐδαίμονας, ἀτὰρ δὴ καὶ τὴν μητρόπολιν τὴν ἡμετέραν, οὐ τὰ ἀρχαῖα Μέγαρα b λέγω, ἀφ' ὧν ὡρμήθησαν οἱ τῷ Βοσπόρῳ προσοικήσαντες, ἀλλ' ἣ τῶν μὲν ἄλλων πόλεων βασιλεύει, τῇ δὲ ὑμετέρᾳ συμβασιλεύει. καὶ εἰ μέν τι καὶ ἄλλο χρηστὸν ἐξ ἐκείνης ὑμῖν ὑπῆρχε τῆς ἀποδημίας, οὐκ ἂν δυσχυρισαίμην· ἤγαγον δ' οὖν αὐτοῖς τὰ ἀγώγιμα ὅσα τέ μοι πρῶτα ὑπῆρχε καὶ ὅσα παρ' ὑμῖν ἐνθένδε ἐπορισάμην ἐν εἴκοσιν ὅλοις ἐνιαυτοῖς, πολλὰ μὲν ἐκ τῶν ἀρχαίων συλλεξάμενος θησαυρῶν τῆς μνημοσύνης, ἔστι δὲ ἃ καὶ αὐτουργήσας. καὶ ὅπως δὴ οἱ πάντες ἐκεῖνοι περιφρονοῦντες καὶ οὐδὲν τῶν ἔξωθεν ἀφικνουμένων c θαυμάζειν ἢ ἐθέλοντες ἢ δυνάμενοι διὰ τὴν περιουσίαν τῶν οἴκοι θαυμάτων, ὅμως τοσόνδε ἑάλωσαν καὶ ἐκρατήθησαν ὑπὸ τῶν ἀγωγίμων τῶν ἡμετέρων, ὥστε πολλὴν μὲν χώραν καρποῦσθαι διδόντες ψιλὴν καὶ πεφυτευμένην, πολὺ δὲ ἀργύριον, πολὺ δὲ χρυσίον, ἰόντες τε εἰς τὴν κατάλυσιν ὁσημέραι καὶ θαυμαστὰ δρῶντες

359, 23 τὰ ἀγώγιμα] „Plato in Protagora p. 313 c." Iacobsius. 25 ὅλοις Petavius. Vulgo ὀλίγοις.

ὅπως ἂν χρόνον τινὰ ἐκεῖ διατρίψας πάλαι κεκλεισμένα
d τὰ Πυθαγόρου τεμένη καὶ τοὺς Πλάτωνος καὶ Ἀριστο-
τέλους νεὼς ἀναπετάσαιμι αὐτοῖς κατὰ δύναμιν καὶ
δείξαιμι τὰ ἀγάλματα, ἐπειδὴ πείθειν οὐχ οἷοί τε ἦσαν,
ἀλλ' ἐγὼ τὰ μὲν ἀγώγιμα προῖκα ἐδίδουν, αὐτὸς δὲ
ὀπίσω παρ' ὑμᾶς ἱέμην, χεῖράς τε ἐπειρῶντο προσάγειν
καὶ ἐπίκουρον τῷ ἔρωτι τὸν μέγαν παρακαλεῖν βασιλέα.
καὶ τούτων τίνα ἄλλον μάρτυρα ἂν ὑμῖν παρασχοίμην
ἀξιοπιστότερον αὐτοῦ βασιλέως, οὗ καὶ ἀνεγνώσθη ὑμῖν
ἐν τῇ βουλῇ ἤδη μαρτυρία; πῶς ἂν οὖν ἐμπορευοίμην
ἐγὼ τὴν σοφίαν; καὶ παρὰ τίνας ἀφικνούμενος ἄλλους
299 a ἀνθρώπους ἢ παρ' οὓς μάλιστα καὶ πλεῖστον ἐξῆν;
οὗτοι δωτίνην ἀπέλαυσαν τῆς ἐμπορίας.

Καὶ οὐ λέγω τὸ ἄστυ τοῦ Ἀντιόχου, οὐδὲ ὅσοις
ἐκεῖ ξυνέμιξα ἀνδράσι τὰ ἐμὰ φορτία μαστεύουσι καὶ
περιποιουμένοις, οὐδὲ ὅσοις ἐν Γαλατίᾳ τῇ Ἑλληνίδι.
καὶ αἱ μὲν πόλεις οὐχ οὕτω μεγάλαι, οὐδ' οἷαι τῇ με-
γίστῃ ἀμφισβητεῖν· οἱ δὲ ἄνδρες ἴστε ὅτι ὀξεῖς καὶ
ἀγχίνοι καὶ εὐμαθέστεροι τῶν ἄγαν Ἑλλήνων, καὶ τρι-
βωνίου παραφανέντος ἐκκρέμανται εὐθὺς, ὥσπερ τῆς
b λίθου τὰ σιδήρια. οὗτοι οἱ ἄνδρες τί οὐκ ἂν πρόοιντο
ὥστε κύριοι γενέσθαι τῆς ἐξαγωγῆς τῶν Πλάτωνος μα-
θημάτων, οἱ ὑπὲρ τῶν Δημοσθένους δικῶν καὶ τῆς
Θουκυδίδου ξυγγραφῆς μικροῦ ἴσα τελοῦντες τοῖς τού-
των ἐμπείροις, ὁπόσα Ξέρξης Θεμιστοκλεῖ τῷ Νεο-
κλέους; καὶ οἶδα ὅτι συγκάθηνται πολλοὶ καὶ συνδικά-
ζουσι πολλοὶ ἐξ ἐκείνων τῶν πόλεων. πυνθάνεσθε οὖν
παρὰ τούτων εἰ ταῦτα ἐγὼ ἀληθῆ λέγω.

c Καὶ ὅτι μὲν ἔμπορος οὐκ ἂν εἴην τινῶν μαθη-
μάτων, παρ' ἄλλων πυνθάνεσθε καὶ ἐπιζητεῖτε· ὅτι δὲ
οὔτε κάπηλος οὔτε αὐτοπώλης, αὐτὸ δι' ὑμᾶς αὐτοὺς
ἐρωτᾶτε, εἰ ἐγὼ κάθημαι ἐπ' ἐργαστηρίου πιπράσκων
λογάρια μικρὰ ἢ μεγάλα, καὶ προὐταξάμην τὸ ζῆν ἐκ
τοιαύτης τινὸς ἐργασίας, καὶ ταῦτα ὥσπερ οἱ ἄγαν
σοφιστεύοντες τῶν καπήλων, προδεικνύντες τὸν ἀρυστῆ-

360, 6 ἱέμην] Vulgo ἵεμην. 23 οἱ ὑπὲρ Petavius. Vulgo ἢ ὑπὲρ.

ρα, κεκράγασι καὶ ἐκβοῶσιν ὅτι τοῦ νέκταρος ὄδωδε τὸ πόμα ἐκεῖνο καὶ ἡ κοτύλη πολυχανδεστέρα * *
* * * * * * * * * d
* * * * * * * * *

φρονοῦσα ὑπὲρ ὧν λέγει, καὶ οὐδεμίαν ὑπόθεσιν ποιουμένη, ἣν οὐ μᾶλλον γινώσκει τῶν ἐφεξῆς· ἀλλὰ καὶ ἃς ἐκεῖναι δι' ἀδυναμίαν ἀπίστους ἐῶσι, κινοῦσα καὶ περικρούουσα ἐκκαθαίρει καὶ βεβαιοῦται. εὖ οὖν λέγεται ἐπιστήμη εἶναι ἐπιστημῶν, ὅτι τὰ πείσματα αὐτῶν
ἐνθένδε ἐξῆπται καὶ ὅτι ἀρχιτέκτων οὖσα αὐταῖς ἐπι- 300 a
στατεῖ καὶ ὑφηγεῖται ᾗ μετιέναι χρὴ ἕκαστον τῶν προβλημάτων, οὐχ ὅτι αὐτὴ προὔργου ποιεῖται ἐνδιαιτᾶσθαι ταῖς γωνίαις οὐδὲ ἐντετηκέναι τοῖς ἀριθμοῖς. πρὸς δὲ δὴ τὰς τέχνας καὶ βασιλικωτέρα αὐτῆς ἡ ἐπιτροπεία τε καὶ ἐξουσία, καὶ βούλεται οἷον ὑψόθεν ὁρῶσα χαμαὶ ἐρχομένας γνωματεύειν ἑκάστην καὶ ἐξετάζειν εἴτε ὠφέλιμος ὀρθῇ πολιτείᾳ εἴτε βλαβερὰ καὶ ἀκροσφαλής· καὶ ἥντινα μὲν ὅλην παραδεκτέον ὡς ὑγιῆ, ἥντινα δὲ αὖ παντάπασιν ἐξοριστέον ὡς αἶσχος πόλεως ἐν τοῖς ἀρρω-
στήμασι. τῷ γὰρ ὄντι ἅπασα τέχνη τὰ μὲν ὑφ' ἑαυτῇ b
τεταγμένα χειρουργεῖν ἱκανὴ καὶ πᾶσι σκευάζειν τοῖς δεομένοις, ἑαυτὴν δὲ οὐχ οἵα τε ἐξετάζειν ἄχρι τοῦ ὠφέλιμος ἢ ἐπιβλαβής. ἀλλὰ καὶ τοῦτο τῶν τεχνῶν πονηρὸν καὶ ἐνδεές, ὅτι ὁμοίως μὲν ἀγαθοῖς, ὁμοίως δὲ φαύλοις ὑπηρετοῦσι τὰ σφέτερα ἔργα· καὶ οὔτε ὁ μαχαιροποιὸς δοκιμάζειν ἔχει εἰ ἀνδροφόνῳ τὴν μάχαιραν ἀποδώσεται οὔτε ὁ ναυπηγὸς εἰ ἅρπαγι ναυπηγήσεται, ὥσπερ τῷ Πάριδι Ἁρμονίδης, οὔτε ὁ κυβερνήτης εἰ σώζει ἐν τῷ πλῷ ὃν καὶ βαπτίσαι ἄμεινον ἦν.
εἰ δὲ καὶ φρόνησις καὶ σοφία τὰ ἔργα αὐτῶν ἀπευθύνοι c
καὶ διατάττοι, καὶ τοῦτο αὐτῶν τὸ ἔλλειμμα ἐξιάσεται καὶ οὐ ξυγχωρήσει ὥσπερ τυφλοῖς προτείνειν τὰ δημιουργήματα τοῖς ἀπαντῶσι. τοῦτ' οὖν ἐστιν ὃ λέγει ὁ λόγος, ἐπιστήμην εἶναι ἐπιστημῶν καὶ τέχνην τεχνῶν, ὅτι τῶν μὲν τὰς ἀρχὰς βεβαιοῦται, τῶν δὲ ἐξετάζει τὴν χρείαν.

361, 22 ἄχρι τοῦ] ἄχρις οὗ Iacobsius ad Antholog. Palat. vol. III. p. 318.

XXIV.

d *ΠΡΟΤΡΕΠΤΙΚΟΣ ΝΙΚΟΜΗΔΕΥΣΙΝ ΕΙΣ ΦΙΛΟΣΟΦΙΑΝ.*

Ἀλλὰ καὶ Προδίκου ποτὲ καὶ Γοργίου διατριβόντων Ἀθήνησι προσεῖχόν τινες οὐ φαύλως καὶ Σωκράτει τῷ Σωφρονίσκου. καίτοι Πρόδικος μὲν καὶ Γοργίας πολυ-
301 *τελεῖς τε ἐπεδείκνυντο καὶ γέμοντας ἡδονῆς λόγους, ὥστε καὶ μισθὸν εἰσεπράττοντο τοὺς ἀκροωμένους, Σωκράτης δὲ οὐδὲν ποικίλον οὐδὲ σοφὸν, ἀλλὰ ἁπλᾶ τινα καὶ συνήθη καὶ ὅπως ἔτυχε διεξῄει, καὶ ἡδέως ἂν καὶ ἀργύριον ἔδωκεν, εἴ τις αὐτῷ προσέχειν ἐβούλετο. μὴ οὖν δὴ καὶ ὑμεῖς ὑπερίδητε τοῦ ξενίζειν ἐπιχειροῦντος οὐ λίαν κεχαρισμένοις ξενίοις οὐδὲ γοητεύειν δυναμένοις τὰς ἀκοάς, οἵων θαμὰ ἀπολαύετε συλλεγόμενοι, καὶ τοὺς ἑστιάτορας ἀγαπᾶτε, ὅτι δὴ δεξιοὶ καὶ φιλάνθρω-*
b *ποι καὶ οὐ σμικρολόγοι ταῖς παρασκευαῖς, ἀλλὰ Συρακοσίαν τράπεζαν [ἢ Σικελικήν τινα] ἀεὶ προτιθέντες πολλὰς καὶ ποικίλας ἡδονὰς ἡμῖν μηχανῶνται, καὶ οἱ μέν τινες ἐπιχώριον ᾄδοντες μέλος, οἱ δὲ Ἀσσύριον καὶ ἐκ Λιβάνου, κηλοῦσιν ὑμᾶς τῇ τε οἴκοθεν ἁρμονίᾳ καὶ τῇ θύραθεν.*

Εἰ μὲν δή τι καὶ παρ' ἡμῶν τοιόνδε προσδοκῶντες συνεληλύθατε, ὥρα ὑμῖν ἀπιέναι μηδ' ἐνοχλεῖσθαι

362, 4 *οὐ φαύλως*] *οὐ* om. A. 5 *πολυτελεῖς*] „Conf. p. 323 c." Iacobsius. 11 *ὑπερίδητε* A. *ὑπερίδοιτε* H. 14 *ὅτι δὴ*] *δὴ* om. A. 15 *Συρακοσίαν*] Vulgo *Συρακουσίαν*. 16 *τράπεζαν*] Vulgo *ἀεὶ τράπεζαν*. *ἢ Σικελικήν τινα*] *ἢ* et *τινα* om. A. Ego totum hoc seclusi; nam aut *Σικελικὴν* abesse debet aut *Συρακοσίαν*. *Σικελικὴν τράπεζαν* dixit supra p. 238. *ἀεὶ προτιθέντες* A. *ἀεὶ* om. H. 17 *ἡδονὰς*] *μηχανὰς* A. 22 *μηδ' ἐνοχλεῖσθαι*] *μηδὲν ὀχλεῖσθαι* A. *μηδὲ ἐνοχλεῖσθαι* H.

μάτην· εἰ δὲ δή ποτε καὶ Λυκοῦργον ἑστιάτορα ὑπομεῖναι δυνήσεσθε, τάχα ἂν ὑμᾶς ὑποδεξαίμεθα οὐχ οὕτω μὲν πολυτελέσι ξενίοις, ὑγιεινοτέροις δὲ ἴσως, ἃ c
μὴ θαυμάσαι μόνον ἔστιν, ἀλλὰ καὶ ὄνασθαί τι θαυμάσαντας. εἰσὶ γὰρ οἱ παρ' ἡμῶν λόγοι Μνημοσύνης τε καὶ Διὸς ἔκγονοι, καθάπερ οἱ κομψοί τε ἐκεῖνοι καὶ φιλοπαίγμονες, πάμπολυ δὲ διαφέρουσι τῶν ἀδελφῶν. καὶ τὴν διαφοράν, εἰ βούλεσθε ἀκούειν, ἔχοιμ' ἂν λέγειν. ἀλλ' ὅπως μή με ἀδολέσχην καὶ περιττολόγον νομίσητε καὶ ἀποπλανώμενον εἰκῇ τῶν προκειμένων· καὶ γὰρ δὴ καὶ τοῦτο τοῖς ἡμετέροις μάλιστα πρόσεστι λόγοις. ἐλεύθεροι σφόδρα εἰσὶν ὁμοῦ καὶ αὐτόνομοι, καὶ ἔξεστιν αὐτοῖς ἐκ τοῦ πατρὸς μὴ μίαν τινὰ ὁδὸν d
ἠναγκασμένην βαδίζειν, ἀλλ' ἐὰν αὐτοὺς ἑτέρα τῆς προκειμένης ἀρέσῃ, μεταβαίνουσιν εὐθέως καὶ οὐ πλανῶνται. τὴν δ' οὖν μάλιστα διαφορὰν ὧδε ῥᾳδίως ἂν μάθοιτε.

Πάντα ὅσα ἐπίκηρα καὶ τῆς ἀσθενοῦς φύσεως μέτοχα δυοῖν μάλιστα τούτοιν ἴσμεν δεόμενα, ἀναπαύλης τε τῶν ξυνεχῶν πόνων καὶ αὖ ἐπιμελείας, εἰς τὸ μὴ χείρω γίνεσθαι. καὶ ψυχὴν τοίνυν οὕτως οἰηθῶμεν 302 a
τῶν μέν τινων ἀναπαυόντων λόγων, τῶν δέ τινων ἐπιμελουμένων προσδεῖσθαι. διὰ τοῦτο οἱ μὲν ὅταν παρέλθωσιν εἰς τὸ τῶν Μουσῶν θέατρον — ποιοῦσι δὲ τοῦτο συνεχῶς καὶ πολλάκις — προσμειδιῶσί τε ὑμᾶς καὶ περισαίνουσι καὶ περιχυθέντες ἀσπάζονται τὸν κορυφαῖον τῶν θεατῶν, οἱ δὲ τὰ μὲν πολλὰ οἰκουροῦσι καὶ ἰδίᾳ βούλονται τὰς ἐπιμελείας ποιεῖσθαι, ἢν δέ ποτε καὶ πρὸς δῆμον αὐτοὺς ὁ θεὸς κινήσῃ, αὐστηρότεροί τε

363, 1 Λυκοῦργον ἑστιάτορα] λυκουργεῖ ἑστιάτορι A. 2 ὑποδεξαίμεθα] ἀποδεξαίμεθα A. ὑποδεξώμεθα H. 5 εἰσὶ γὰρ οἱ A. εἰσὶ μὲν γὰρ καὶ οἱ H. 11 γὰρ δὴ] δὴ om. A. μάλιστα add. A. 12 εἰσὶν ὁμοῦ καὶ A. εἰσὶ καὶ H. 14 αὐτοὺς] αὐτοῖς A. 15 ἀρέσῃ A. μᾶλλον ἀρέσαι H. 17 μάθοιτε. Πάντα] μάθητε πάντες A. 22 ἀναπαυόντων] ἀπολαυόντων A. 23 οἱ μὲν] οἱ om. A. 26 καὶ περισαίνουσι om. A. 28 ποτε καὶ om. A. 29 αὐστηρότεροι A. φύστηροί H.

εἰσὶ καὶ οὐχ ἥδιστ' εὐθέως, καὶ τοσοῦτον ἀπέχουσι τοῦ
b θωπεύειν ὥστε καὶ πολλάκις ἐπιτιμῶσι τοῖς θεαταῖς, ὅταν τι πλημμελὲς αὐτοῖς συγγινώσκωσιν. ἀλλ' ἡμῖν γε, ἅτε πρὸς ἄνδρας φιλοσόφους ποιουμένοις τοὺς λόγους καὶ τὰ πολλὰ ὑγιαίνοντας, τοὺς σοφωτέρους μιμητέον τῶν ἰατρῶν, οἳ τὰ πικρότερα τῶν φαρμάκων μέλιτι τὴν κύλικα περιχρίσαντες πίνειν διδόασι. τάχα δ' ἂν καὶ ὑμεῖς ἑαυτοὺς πειθηνίους μᾶλλον παράσχοιτε μεθ' ἡδονῆς θεραπεύοντι τῷ λόγῳ, καθάπερ ἡνιόχῳ δεξιῷ τὴν τέχνην, ἐξ ἡνίας ἄγειν ἐπιχειροῦντι τὸ ἅρμα, κέν-
c τρου δὲ φειδομένῳ καὶ μάστιγος. τί ἂν οὖν λέγοντες ἅμα τε ὠφελοίημεν ὑμᾶς καὶ ἀρέσκοιμεν; πολλὴ γάρ μοι ἀνάγκη τὸν τοιόνδε τρόπον τῆς εἰς ὑμᾶς ὁμιλίας τιμᾶν. αἰτία δὲ τῆς ἀνάγκης ἥδε.

Ἐμὲ θεῶν ὁ τῇδε τῇ πόλει προσθεῖναι βουληθεὶς καὶ τὸν ἔρωτά μοι τὸν καλὸν τοῦτον κινήσας οὔτε μένειν ἀξύμβολον ὑμῖν εἰκῇ ξυγχωρεῖ τὰ αὐτὰ πράττοντα καθάπερ τοὺς πολλοὺς ὑμῶν ἐραστάς, οὔτε μὴν πικροτέροις φαρμάκοις πρὸς τὴν βοήθειαν ἕλκεσθαι, μὴ λάθωμεν πρὸ τῆς θεραπείας δι' ἀηδίαν ὑπὸ τῶν
d ἐρωμένων ἀποσεισθέντες. καὶ γὰρ εἰ μὲν μόνος ὑμῶν ἑάλων ἐγώ, κἂν ὑπῆρχεν ἄν μοι μετ' ἐξουσίας τοῖς παιδικοῖς ἐναβρύνεσθαι, προτίμησιν ἀντεραστοῦ μὴ δεδιότι· νῦν δέ· ὁρᾶτε γὰρ ἤδη καὶ ἑτέρους ὁμοίως κεκινημένους, καί μοι τὸ σφόδρα αὐτῶν ἐπιδέξιόν τε καὶ εὔχαρι οἰχήσεσθαι ἄγον ὑμᾶς δοκεῖ, ὥστε ἡμῶν δὴ τῶν σεμνοτέρων ὑπερορᾶν. διόπερ ἀναγκάζομαι πρὸς ὑμᾶς ἐξειπεῖν ἃ πάλαι κατέχειν ἐδόκουν ἐν ἐμαυτῷ. οὐκ ἔστι χαρίτων ἔρημος παντελῶς ἡ φιλοσοφίας αὐλή, οὐδὲ
303 a ἀποσκηνοῦσιν αἱ θεαὶ πόρρω που τῶν ἡμετέρων μουσείων, οὐδ' ἂν στήσαιμέν ποτε ὑμῖν χορὸν ἀμοιροῦντα

304; 13 εἰς ὑμᾶς A. πρὸς ὑμᾶς H. 17 ὑμῖν] ἡμῖν A. εἰκῇ A. ἡσυχῇ H. αὐτὰ A. αὐτοῦ H. 19 φαρμάκοις A. φαρμάκοις ἐᾷ κεχρῆσθαι H. ἕλκεσθαι add. A. 20 πρὸ A. τοι H. 23 δεδιότι A. δεδιότα H. 24 ὁμοίως] ὁμοίους A. 26 ἡμῶν] ἡμῖν A. 28 ἐξειπεῖν — ἐμαυτῷ] Hexameter. 29 παντελῶς add. A. 31 ὑμῖν] ἡμῖν A.

σώφρονος ἡδονῆς, ἀλλὰ τὴν Ἀφροδίτην ἀεὶ συμπλέκειν ταῖς Μούσαις προθυμησόμεθα· ἀδελφαὶ γὰρ ἀλλήλων καὶ ἀσπάζονται τὴν κοινωνίαν.

Ὡς δ᾽ ἂν ὅτι καὶ οὐκ ἀδύνατος ἡμῖν ἡ ἁρμονία τῶν θεῶν ταύταιν εἰδείητε, ἐθέλω τι βραχὺ πρὸς ὑμᾶς τῶν τέως κεκρυμμένων ὁμολογῆσαι λόγων. διττὸν ἡμῖν ἐνοικεῖ γένος, ὦ φίλοι, διτταὶ δ᾽ αὐτῷ καταγωγαὶ καὶ διενείμαντο τὰ τῆς ψυχῆς οἰκητήρια. τιθηνοῦνται δέ b *μοι τοὺς μὲν ῥητορική, τοὺς δὲ ἡ παγκάλη φιλοσοφία. εἰ δὲ ὑμῖν καὶ τὰς μητέρας τῶν λόγων εἰδέναι φίλον καὶ οἵα τις ἑκατέρα τὴν φύσιν γινώσκειν, ἀκούοιτε ἂν τῶν παίδων ὅσα πολλάκις ἐν εἰκόσι παίζοντες ἑκάστην αὐτῶν ὑπογράφουσι τῶν εἰκόνων.*

Φιλοσοφίᾳ μὲν δὴ καὶ σχῆμα σεμνὸν καὶ σῶμα εὐμέγεθες καὶ στολὴ πρέπουσα, ἐν οἵᾳ δὴ καὶ τὰς ἀρετὰς οἱ γραφεῖς τὰς φιλοσοφίας συννόμους δεικνύντες γράφουσι, πλόκαμοί τε οὔτε ἄφετοι μεθίενται πλανᾶσθαι οὔτε ἐκ ποικιλίας κομμωτικῆς ἀναπλέκονται, ἀλλὰ c *μέσον τινὰ ἔχουσι κόσμον ἀταξίας τε καὶ τρυφῆς. φιλοσοφία γὰρ τὸ κατὰ φύσιν κάλλος ἄφραστον ἔχουσα πᾶν ὅ τι περ ἂν ἐπείσακτον ᾖ ἀτιμάζει τε καὶ οὐ προσίεται. οὐκοῦν οὐδὲ ὑπογράφει τὰ ὄμματα οὐδὲ τεχνητὸν ἔρευθος αὐτῇ τὰς παρειὰς χρώννυσιν, ἀλλὰ καὶ ἐπανθεῖ μὲν ἐρύθημα τῷ προσώπῳ σωφροσύνης πλῆρες, βλέμμα τε αἰδοῦς γέμει, καὶ οἷον τὴν αἰδῶ καὶ τοῖς προσβλέψασιν ἐνδιδόναι. ἤδη γοῦν τισι καὶ θέα ψιλὴ τῆς θεοῦ ταύτης ἤρκεσεν εἰς κοσμιότητα τὸν* d *βίον μεταρρυθμίσαι. καὶ ὅ γε Πολέμων ὁ Ἀττικός, ὁ*

365, 7 *δ᾽ αὐτῷ* A. *δὲ αὐτοῖς* H. 9 *παγκάλη* A. *πάγκαλος* H. 10 *φίλον* A. *πόθος* H. 12 *παίδων — ὑπογράφουσι τῶν* om. A. *ἑκάστην αὐτῶν* (i. e. *τῶν μητρῶν*) *ὑπογράφουσι τὴν εἰκόνα* Roulezius p. 63. 17 *οὔτε ἄφετοι*] *οὔτε* om. A. 19 *ἀταξίας* A. *εὐταξίας* H. 20 *γὰρ τὸ* codex Ambros. apud Wyttenbachium ad Plutarch. vol. VI. p. 320. *γάρ τοι* H. 21 *ᾖ* addidit Wyttenbachius ibid. p. 653. 25 *τὴν αἰδῶ*] *τὴν* om. codex Vales. ap. Boisson. ad Marinum p. 86. 26 *προσβλέψασιν* A. *προσβλέπουσιν* H. 27 *τῆς θεοῦ*] *τῷ θεωμένῳ* A. 28 *ὁ Ἀττικὸς*] Aberat *ὁ*.

κώμοις τε καὶ αὐλοῖς καὶ μέθαις πολλὰ πρότερον ἐντρυφήσας, ὅτι τὴν Ξενοκράτους σύνοικον φιλοσοφίαν προσέβλεψεν, αὐλοὶ μὲν ἐκεῖνοι φροῦδοι καὶ κῶμοι καὶ ἔρως ὁ πάνδημος τῆς Πολέμωνος ἐκπεσόντες ψυχῆς ἠμελήθησαν, ὁ δὲ τὸν ἔρωτα τὸν καθαρώτατον τῆς φιλο-
304a σοφίας ἀντιλαβὼν εἰς τοσοῦτον τῷ πόθῳ προὔκοψεν ὥστε καὶ τελεταῖς τοῦ θεοῦ τιμηθῆναι.

Ῥητορικῆς δὲ — πάντως γάρ που καὶ ταύτης τὴν εἰκόνα ποθεῖτε — γενναία μέν τις καὶ αὐτὴ καὶ παγκάλη, ἀτὰρ οὐ τῇ φύσει μόνον ἀρκεῖται, πολλάκις δὲ θέλει καὶ τοῖς ἔξωθεν καλλωπίζεσθαι. καὶ αὐτῆς πολὺς μὲν καὶ ποικίλος κόσμος τὸ σῶμα σκέπει, ἀγάλλεται δὲ καὶ θεάτροις Ἑλληνικοῖς, καὶ τοὺς παῖδας ἐκ νεαρᾶς ἡλικίας εἰς δημοσίας ὠθίζει παρόδους. οἱ δὲ οὕτως
b εἰσὶ τῆς μητρὸς γνήσιοι καὶ χορείας ἐρῶντες ὥστε πολλάκις καὶ τοὺς ἀδελφοὺς· συνεκφοιτᾶν εἰς τὰ συνήθη σφίσι θέατρα ἀναπείθουσι, πολλάκις δὲ τὰς μητέρας συμπείσαντες καὶ ἀναμιχθέντες ἀλλήλοις ἕνα χορὸν θαυμάσιόν τινα καὶ οἷον τῶν Μουσῶν ἐκεράσαντο. ἐὰν δὲ ἐθέλοιεν μὴ σὺν ἀλλήλοις χορεύειν, ζημιοῦνταί τε ὑπ' ἀλλήλων καὶ ζημιοῦσιν ἀλλήλους τὰ ἴσα. καὶ ὁ μὲν τῶν φιλοσοφίας παίδων χορὸς σεμνότητος γέμων ἡδονῆς καὶ χάριτος ἀμοιρεῖ, ὁ δὲ ἀχαλίνωτος ὢν κοσμιότητι πολλάκις καὶ εἰς ἀταξίαν ἄμουσον ἐκβακχεύεται. κάλ-
c λιστος δὴ χορῶν ἐκεῖνος, ὅταν ἀλλήλοις συναφθέντες οἱ ἀδελφοὶ ἡδονὴν εἰς τὸν χορὸν καὶ κοσμιότητα μίξωσιν, ἃς δὴ καὶ ὑμῖν στήσειν συνεχῶς ἐπαγγέλλονται. αἰτοῦσι δὲ ὑμᾶς ἀντὶ ταύτης τῆς προθυμίας οὐ χρυσὸν οὐδὲ δόξαν· οὔτε γὰρ φιλόχρυσοί εἰσιν οὔτε φιλότιμοι· ἀλλὰ φιλανθρωπίαν ἀληθινὴν καὶ ἴσον ἔρωτα. νῦν γὰρ ἔτι μοι ἀπειθοῦσι καὶ οὐκ οἴονται παρ' ὑμῶν κατὰ τὸ

366, 5 τὸν ἔρωτα A. τὸν om. H. 8 που] πως A. 11 αὐτῆς A. αὐτῇ H. 14 ὠθίζει παρόδους A. παρόδους ἰθίζει H. 16 καὶ τοὺς ἀδελφοὺς — πολλάκις δὲ add. A. 22 φιλοσοφίας] φιλολόγων (σ φ) A. 27 ἃς A. οὓς H. 29 οὐδὲ] Vulgo οὔτε. οὔτε γὰρ A. γὰρ om. H. 30 φιλανθρωπίαν] φιλίαν A. 31 ὑμῶν] ἡμῶν A.

ὅμοιον ἀντεράσθαι, ἀλλά με εἰπεῖν τινὰ λόγον κελεύουσιν, ὃν ἐγὼ λέξω μάλα ἀρχαῖον ὄντα καὶ σπουδῆς ἄξιον. d φιλόμυθόν τε γάρ πως γένος ἀεὶ τὸ ἡμέτερον, ἀδολεσχεῖν τε τὰ πολλὰ δοκοῦμεν ἀκρατῶς τε καὶ ἀκορέστως ἔχοντες τῶν παλαιῶν λόγων.

Ὅτε τὸν Ἔρωτα ἐγέννησεν ἡ Ἀφροδίτη, τὰ μὲν ἄλλα καλός τε ἦν ὁ παῖς καὶ τῇ γεννησάσῃ προσήκων, ἀτὰρ οὐκ ηὔξετό γε εἰς μέγεθος τῷ κάλλει πρέπον, οὐδὲ ἐπεδίδου τὸ σῶμα, ἀλλ᾿ ἔμενε πλεῖστον χρόνον οἷος ἐτέχθη. ἠπορεῖτο οὖν πρὸς τὸ πρᾶγμα ἥ τε 305a μήτηρ καὶ αἱ τροφοὶ τοῦ βρέφους αἱ Χάριτες, καὶ φοιτῶσαι παρὰ τὴν Θέμιν — οὔπω γὰρ εἶχε Δελφοὺς ὁ Ἀπόλλων — ἐδέοντο λύσιν τινὰ ἐξευρεῖν τῆς ἀτόπου καὶ θαυμαστῆς συμφορᾶς. εἶπεν οὖν ἡ Θέμις, ἀλλ᾿ ἐγώ, ἔφη, παύσω ὑμᾶς ἀπορουμένας· νῦν γὰρ οὔπω ἴστε τὴν φύσιν τοῦ βρέφους. ὁ Ἔρως ὁ σὸς ὁ ἀληθινός, ὦ Ἀφροδίτη, τεχθείη μὲν ἂν ἴσως καὶ μόνος, αὐξηθείη δ᾿ ἂν οὐδαμοῦ μόνος, ἀλλά σοι δεῖ καὶ Ἀντέρωτος, εἰ βούλει τὸν Ἔρωτα αὐξηθῆναι. ἔσται δὲ b αὕτη φύσις τοῖσδε τοῖς ἀδελφοῖς· ἀλλήλοις αἴτιοι τῆς αὔξης ἄμφω γενήσονται. ὁρῶντες μὲν γὰρ ἀλλήλους ἴσα βλαστήσουσι, θατέρου δὲ ἀπολειφθέντος ἄμφω μειώσονται. οὕτω δὴ κύει τὸν Ἀντέρωτα ἡ Ἀφροδίτη, καὶ ἀνέδραμέ τε παραχρῆμα ὁ Ἔρως καὶ τὰ πτερὰ ἔφυσε καὶ ὑψηλὸς ἦν, ἅτε δὴ ἐν τοιαύτῃ τύχῃ καθεστηκὼς ἄτοπα ὑπομένει πάθη πολλάκις καὶ τοτὲ μὲν θάλλει, τοτὲ δὲ φθίνει, πάλιν δὲ αὔξεται. δεῖται δὲ ἀεὶ τἀδελφοῦ συνόντος, καὶ μέγαν μὲν ἐκεῖνον ὁρῶν μείζων φαίνεσθαι φιλονεικεῖ, σμικρὸν δὲ καὶ ὀλίγον c

---

367, 1 κελεύουσιν ὑμῖν H. ὑμῖν om. A. 3 ἀεὶ A. ἐστὶ H. 4 δοκοῦμεν ἀκρατῶς] δοκοῦσι κ᾿ ἀκρατῶς A. τε om. A. ἀκορέστως] ἀκολάστως A. 7 καὶ τῇ A. καὶ om. H. 8 ηὔξετο] ηὔξηται A. 9 ἔμενε πλεῖστον A. ἔμενεν πολὺν δὴ H. 12 παρὰ A. πρὸς H. 13 τῷ παιδί, quae H post ἐξευρεῖν habet, om. A. 15 ἔφη om. A. 18 οὐδαμοῦ A. οὐδαμῶς H. 22 ἄμφω μειώσονται] ἄμφω om. A. 23 Ἀντέρωτα] ἔρωτα A.

φωράσας πολλάκις οὐδὲ ἐθέλων ἀπομαραίνεται. οἴεσθέ οὖν τι με ἴσως σεμνὸν εἰρηκέναι· ἐγὼ δὲ λέγω ὅτι τῶν λόγων ἀντερᾶν ἀνάγκη τοῖς βουλομένοις τοὺς λόγους αὔξειν καὶ τὸν ἔρωτα αὐτόν. τῷ τοι καὶ ἐλπίσας ἐγὼ τὸν θεὸν ἐδεξάμην τε καὶ ἐνίδρυσα τῇ ψυχῇ, καὶ αὐτὸν οὐκ ἐθέλω ψεύσασθαι τῆς ὑποσχέσεως. ὑπεσχόμην δὲ εἰσοικιζομένῳ τὸ πρῶτον αὐτίκα οἱ καὶ τὸν ἀδελφὸν συμπαρέσεσθαι τοῖς παιδικοῖς ἐνοικήσοντα.

d Ἢ τίνι με ἄλλῳ δοκεῖτε πρὸς τὸν πόθον ὑπάγεσθαι; πότερον τῇ παραδόξῳ ταύτῃ καὶ μακρᾷ θαλάττῃ; ἀλλ᾽ οὐδὲν ἐμοὶ μᾶλλον προσήκει θαλαττουργίας ἢ τοῖς Ἀρκαδικοῖς στρατιώταις. ἢ τοῦ ποταμοῦ τοῦ Φρυγὸς τῇ φιλανθρωπίᾳ; ἀλλὰ καὶ τὸν Νεῖλον ἄγαμαι τὸν Αἰγύπτιον, οὐχ ὅτι λῃίων πατήρ, ἀλλ᾽ ὅτι ῥεῖ διὰ τῶν σοφῶν Αἰγυπτίων. ἢ τῷ μεγέθει ταυτησὶ τῆς προσοίκου λίμνης; διὰ τί οὖν οὐκ ἐπόθησα τὴν Μαιῶτιν λίμνην τὴν τῶν ἑξακισχιλίων σταδίων; ὅτι δὴ σφόδρα 306 a ἀμαθεῖς αὐτὴν οἰκοῦσι καὶ βάρβαροι. μεγάλα μὲν γὰρ καὶ ταῦτα τῶν ὑμετέρων, καὶ προσθήσει γέ τις ἕτερα πλείω τῶν τὰ τοιαῦτα τιμώντων, ἢ λουτρῶν τε ἀμήχανα κάλλη καὶ θεάτρων καὶ ἱπποδρόμων. ἀτὰρ ὑμῖν γε, ὦ φίλοι — οὐδὲν γὰρ ὑμᾶς δέομαι ἀποκρύπτεσθαι, ἀλλ᾽ ὅ τί γε ἐστὶ τὸ κινῆσαν τὸν ἔρωτα — ἐπεὶ πρός γε τὰ τοιαῦτα μεγαλοψυχία τις οὐκ ἀγεννὴς καὶ πάτριος ἡμῖν ὑπάρχει, καὶ οὔτ᾽ ἂν ἄνδρα ποτὲ ἀγαπήσαιμεν ὅτῳ τὰ μὲν τῆς ψυχῆς ἀγαθὰ μὴ σφόδρα b παρείη, τὰ δὲ ἔξωθεν περικέοιτο πολλὰ καὶ ποικίλα, καθάπερ τῷ κολοιῷ περιτίθησιν ὁ μῦθος τὰ πτίλα, ἐν τῷ ἀγῶνι τοῦ κάλλους ἀλλότριον αὐτῷ περιεργαζομένῳ κόσμον χήτει ἰδίου καὶ ξυγγενοῦς, οὐδ᾽ ἂν οἴκησιν μὲν οἰκοίη τοῦ Σπαρτιάτου βασιλέως ἀμείνονα,

---

368, 2 λέγω ὅτι — ἐλπίσας om. A. 8 ἐνοικήσοντα] ἐνοικήσαντα A. 9 με] μοι A. ὑπάγεσθαι] ὑμᾶς ἀπάγεσθαι A. 15 ταυτησὶ om. A. 17 ὅτι δὴ — βάρβαροι om. A. 29 αὐτῷ] αὐτῷ A. αὐτοῦ H. περιεργαζομένῳ Petavius. Vulgo περιεργαζόμενος. 30 ἰδίου A. οἰκείου H, quod ex Platone in Phaedro p. 239 c. defendit Roulezius p. 21.

ἀμφιέννοιτο δὲ λεπτότερα τῶν ἀραχνίων — οἷα τὰ Ἡφαίστου δεσμά φησιν Ὅμηρος, ἃ οὐχ ὁρώμενα ὅμως δέει τοὺς ἀκολάστους ἰσχυροῖς τισι καὶ ἀρρήκτοις δεσμοῖς — καὶ τὸν ἄλλον δὲ πολὺν ἀμπέχοιτο κόσμον, καὶ τοιαύτην ἔχοι μορφὴν οἵαν ἐγώ ποτε εἶδον Περσικὴν γραφὴν τῶν Περσικῶν τινὸς βασιλέων. νεανίσκος ἐστὶν c ὡραῖος ἐπικαθήμενος θρόνῳ βασιλικῷ, τιάραν ἔχων ἐξ ὑακίνθου τε καὶ σμαράγδου καὶ στρεπτὸν τοιοῦτον πλατὺν καὶ χλαῖναν ἁλουργῆ τε καὶ χρυσόπαστον ἠμφιεσμένος. ὅμως κἂν ταύτης τις τῆς εἰκόνος αὐτὸν ποικίλλῃ πολυτελέστερον, οὐ πάνυ τιμιώτερον αὐτὸν τῆς γραφῆς ἡγησόμεθα. καίτοι τί ἂν γένοιτο ἀηδέστερον ἢ μετέχειν δοκοῦντα ψυχῆς τοῖς τῶν ζωγράφων ἔργοις προσεοικέναι; ἃ βούλεται μὲν καὶ πᾶσιν ἀνοίγειν θέλει τὸν ὀφθαλμόν, ὡς ζῶντα δὴ καὶ νοῦν ἔχοντα, d ἂν δὲ ἀνερέσθαι τι καὶ μαθεῖν σπουδάσῃς, μετὰ πολλῆς σεμνότητος ἡσυχάζει.

Οὔτ' οὖν ἄνδρα τὸν τοιόνδε διὰ σπουδῆς ἂν ἔχοιμέν ποτε οὔτε πόλιν ἐν ᾗ μὴ τίμια τὰ Μουσῶν καὶ Ἑρμοῦ καὶ Ἀπόλλωνος τεμένη, θέατρα δὲ καὶ βαλανεῖα καὶ οἱ τῶν ἀθλίων ἱππαρίων δρόμοι, οὔτε ἂν ὑμᾶς ποτε ἠσπασάμεθα, εἰ μή τι καὶ ἀρετῆς μεταποιουμένους ἔγνωμεν, οὔτ' εἰ πολλὰ σεμνότερα ὁ κόλπος ἅμα 307 a καὶ καθαρώτερα οὔτ' εἰ ὁ Σαγγάριος ἀντὶ σίτου χρυσοῦ ψῆγμα κατῆγεν. ἀρετὴ γὰρ κατὰ Σωκράτην ἐστὶ μὲν ἀνδρὸς ἑνός, ἐστὶ δὲ καὶ πόλεως. ὥσπερ οὖν ἀνθρω-

---

369, 1 ἀμφιέννοιτο] ἀμφιέννυτο A. οἷα τὰ A. οἷα τοῦ H. 6 τινὸς A. τινὶ H. 7 ἐξ add. A. 10 τῆς εἰκόνος αὐτὸν A. αὐτὸν τῆς εἰκόνος H. 11 ποικίλλῃ πολυτελέστερον add. A. αὐτὸν] αὐτῆς A. 13 ἢ] ἢ εἰ A. 15 θέλει A. ἐθέλει H. τὸν ὀφθαλμὸν A. τοὺς ὀφθαλμοὺς H. 16 ἀνερέσθαι — σεμνότητος] μαθεῖν καὶ ἀνερέσθαι μετὰ πολλῆς σπουδάσῃς σεμνότητος A. 21 ἱππαρίων] ἵππων A. ὑμᾶς] ἡμεῖς A. 23 πολλὰ σεμνότερα ὁ κόλπος ἅμα A. πολλῷ στενότερος ὑμῖν ὁ κόλπος ἦν ἅμα H. 24 καθαρώτερα A. καθαρώτερος H. οὔτ' εἰ ὁ Σαγγάριος] οὔτε εἰ ὁ σάγγαρ A. χρυσοῦ A. χρυσίου H. 25 κατῆγεν. ἀρετὴ γὰρ add. A. 26 καὶ A. ὅλης H.

σιον εἶναι σπουδαῖον λέγομεν οὐ τὸν πολλοὺς μὲν ἀγροὺς, πολλὰς δὲ οἰκίας πεπαμένον, πολλὰ δὲ ἱμάτια καὶ ὑποδήματα, καὶ δειπνοῦντά τε ἐκ πολυτελοῦς τραπέζης καὶ πίνοντα ἀπὸ χρυσῶν ἐκπωμάτων, ἀλλ' ὅστις νοῦν ἔχει πολὺν καὶ παιδείας ἐπιμελεῖται, τὸν αὐτὸν δὴ τρόπον
b καὶ πόλιν οὐκ ἐν ᾗ πολλὰ μὲν ὤνια τρυφώσης ἀγορᾶς, πολὺς δὲ ἀνθρώπων μεθυόντων ὄχλος, πολὺ δὲ ἀργύριον καὶ χρυσίον ἐπὶ τῶν τραπεζῶν εἰκῇ κείμενον, θεάτρων τε ἄκλειστοι πύλαι καὶ ἵππων συνεχὴς ἅμιλλα τῶν ἀπολέμων, μᾶλλον δὲ πολεμοποιῶν ἀληθέστερον. οὐ γὰρ ἔνεστι τὴν τοιαύτην μὴ ὕπουλον εἶναι καὶ νοσεῖν τὸ ἔντοσθεν, ἀλλ' ἐνίοτε μὲν αὐτῆς λανθάνει τὰ ὑποκαίοντα καὶ σφόδρα ἂν εὐδαίμων δόξειε τοῖς τὰ φαι-
c νόμενα θεωμένοις, ἐνίοτε δὲ ἐκλάμψαντα καὶ ἐκραγέντα δίδωσιν αὐτῇ τὸ τοῦ Σοφοκλέους ἀκούειν οἰκείως,

Πόλις δ' ὁμοῦ μὲν θυμιαμάτων γέμει,
ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων.

Ἀλλὰ Φωκυλίδης τά τε ἄλλα ἀληθῶς λέγει καὶ ὅτι σμικρὰ πόλις μετὰ φρονήσεως ἐπὶ σκοπέλου κατοικοῦσα κρείττων Νίνου ἀφραινούσης. ἐγὼ δὲ θέλω μὲν καὶ τὴν γῆν ὑμῶν καρποὺς ἀμείνους τῶν ἄλλων ἐκτρέφειν, περὶ πλείονος μέντοι ποιοῦμαι τὰς ψυχὰς ὑμῶν
d παιδείαν βλαστάνειν, ἣν ξυλλέγουσι μὲν ἐκ τῶν Ἀπόλλωνος λειμώνων αἱ Μοῦσαι, ψυχαῖς δὲ ἐρωτικαῖς καὶ φιλοκάλοις ἐννεοττεύουσί τε καὶ ἐνεργάζονται. αἳ δ' ἂν τὸ σμῆνος αὐτῶν εὐμενῶς ὑποδέξωνται, πτεροφυοῦσί τε εὐθὺς καὶ τὰ ἐν ποσὶν ἀτιμάσασαι περιπολοῦσι τὸν οὐρανόν. καὶ αὗται εἰσιν ἃς Εὐριπίδης ὁ σοφὸς

370, 1 εἶναι A. εἶμαι H. 2 πεπαμμένον H. κεκτημένον A. 4 ἀλλ' ὅστις] ἀλλ' ὅτι A. 7 ἀνθρώπων om. A. 9 συνεχὴς ἅμιλλα A. συνεχεῖς ἅμιλλαι H. 10 ἀπολέμων] ἀπολυμένων A. εὐπολέμων H. „γρ. ἀπολέμων." Stephanus. 12 τὸ ἔντοσθεν codex Vales. apud Boisson. ad Eunap. p. 572. τὸ om. H. 15 αὐτῇ τὸ τοῦ] αὐτῷ τά τε A. Σοφοκλέους] Oedip. R. v. 4. 20 ἀφραινούσης A. ἀφρονούσης H. 21 γῆν ὑμῶν] γῆν ἡμῶν A. 22 ψυχὰς ὑμῶν] ψυχὰς ἡμῶν A. 23 παιδείαν] παιδεία A. 26 ὑποδέξωνται A. προσδέξωνται H. 28 Εὐριπίδης] Fragm. p. 401. ed. Matth.

Οὔτε πολιτῶν, φησίν, ἐπὶ πημοσύνας
οὔτ᾽ εἰς ἀδίκους πράξεις ὁρμᾶν,
ἀλλ᾽ ἀθανάτου καθορᾶν φύσεως 308 a
κόσμον ἀγήρω.

τῷ γὰρ ὄντι παιδείας ἀληθινῆς μείλιχον καὶ γαληνὸν καὶ πρᾶον τὸ ὄμμα, οἷον ἐν ζάλῃ κονιορτοῦ τε καὶ πνεύματος ἀποσκιαζομένης τινὶ καρτερῷ τειχίῳ, μᾶλλον δὲ αὐτῆς ἀποσκεπούσης τοὺς ἑαυτῆς θιασώτας καὶ φραγνυμένης ἕρκει παντὸς ἀδάμαντος ἀρρηκτοτέρῳ, ὃ μήτε ὕβρεως ἰσχυρὰ προσβολὴ μήτε ἡδονῆς δολερὰ μηχανήματα εὐπετῶς σαλεύσειεν ἄν· στέρνων δὲ δύναται καὶ στίχων φρουρὰς ἀσταθμήτους. μόνον γὰρ τοῦτο b *τῶν τειχίων ἀτεχνῶς Ἀπόλλωνος ἔργον, ἐκεῖνο δὲ οὐκ ἦν, οἶμαι, τὸ Τρωικόν. οὐ γὰρ ἂν ἥλω ῥᾳδίως ἐκ μιᾶς ἀπάτης.*

Μὴ λεγέτω οὖν ἡμῖν Ὅμηρος ὅτι Λαομέδοντι θητεύοντες Ἀπόλλων τε καὶ Ποσειδῶν ἐπυργώσαντο τὴν Ἴλιον, μηδ᾽, ὅτι διὰ πυρὸς καὶ ὕδατος ἐξειργάσθη, καταψευδέσθω δουλείαν ἔμμισθον τῶν θεῶν· τὰ παιδία γὰρ αὐτῷ προσέξει τε καὶ πεισθήσεται καὶ συνήσει κομψευομένῳ ποιητικῶς· ἀλλ᾽ ἐκεῖνα αὐτοῦ μᾶλλον ἀποδεχόμεθα, ἐν οἷς πεποίηκε τὸν βασιλέα τῶν Ἀχαιῶν αἰτοῦντά οἱ παρὰ τῶν θεῶν δέκα γενέσθαι οὐ πολεμιστὰς οἷος Ἀχιλλεύς, ἀλλὰ συμβούλους οἷος ὁ Νέστωρ c *ὁ πάνυ πρεσβύτης καὶ πρὸς τὰς μάχας ἀχρεῖος, ὃν οὕτω βαρύνεσθαι τῷ γήρᾳ φησὶν ὥστε καὶ σειραῖον ἱμάντα διατεμεῖν μόλις. φρόνησιν γάρ, οἶμαι, ῥώμης τιμιωτέραν ἡγεῖται καὶ τὸ παιδεύεσθαι καλῶς τοῦ γεγενῆσθαι. οὕτω δὲ αὐτῷ ὁ μὲν Νέστωρ ἅπαντα καὶ*

371, 1 *ἐπὶ πημοσύνας* om. A. 2 *οὔτ᾽ εἰς ἀδίκους πράξιας*] *οὔτε εἰς ἀδόξους πρήξιας* A. *ὁρμᾶν*] *ὁρμῶν* A. 4 *ἀγήρω*] *ἀγήραον* H. *γήρα* A. 5 *γαληνὸν* A. *ταπεινὸν* H. 12 *στίχων φρουρὰς* A. *τύχης φορὰς* H. 15 *μιᾶς* A. *μικρᾶς* H. 17 *ἐπυργώσαντο*] Vulgo *ἐπυργύσαντο.* 19 *ἔμμισθον* A. *ἄμισθον* H. *θεῶν*] *δέκα θεῶν* A. 25 *πάνυ* om. A. 26 *σειραῖον* Petavius. *σείρειον* A. *σήαιον* H. 27 *γὰρ*] *μὲν* A; sed a m. rec. 28 *παιδεύεσθαι*] *πεδεύεσθαι* A. *παιδευθῆναι* H.

λέγει καὶ πράττει τῆς εὐχῆς ἐπαξίως· ὁ δὲ γενναῖος Ἀχιλλεύς, ὁ τὴν μελίαν ἐκείνην πάλλων καὶ τοῖς ἀθανάτοις ἵπποις ὀχούμενος καὶ τὰς τρεῖς καὶ εἴκοσιν ἐκ-
d πορθήσας πόλεις, ὅμως ἐπειδὴ παιδείας ἐνδεῶς εἶχεν ἔτι, οὐδὲν πάνυ προσεῖχε τῷ Φοίνικι, ἀλλὰ κλάει μὲν δι' αἰχμάλωτον κόρην, κυλινδεῖται δὲ χαμαὶ δι' ἑταίρου θάνατον ἀναγκαῖον, καὶ αὐτοῦ κατέχουσιν ἕτεροι πρὸς βίαν τὰς χεῖρας ὥσπερ μεμηνότος· νεκρὸν δὲ ἀπολύει χρυσίου καὶ μισθοῦ διαλλάττεται καὶ ἄλλα πλείω πεποίηται πλημμελῶν, ἐνδεικνυμένου τοῦ ποιητοῦ ὡς οὔτε γονέων ἐπιφάνεια οὔτε σώματος ῥώμη οὔτε ποδῶν
309 a ὠκύτης οὔτε κάλλους ὑπερβολὴ ὄφελος μέγα τῷ κεκτημένῳ δίχα φρονήσεως, ἀλλὰ τὰ λαμπρὰ ταῦτα καὶ σεμνὰ παιδείας μὲν κατακοσμούσης οὐ πάντη ἂν ἄτιμα δόξειεν, ἄνευ δὲ ταύτης ἐπιφανεστέραν ποιεῖ τὴν μοχθηρίαν.

Οὐκοῦν οὐδὲ διὰ τῆς ἑτέρας ποιήσεως καὶ θατέρου τοῖν φιλοσόφοιν οὕτω τεταγμένου καὶ καρτερῶς ἀμυνομένου τὴν τύχην ἄλλο τι ἐμοὶ δοκεῖ λέγειν ὁ ποιητὴς ἢ ὅτι φρόνησις καὶ ἡ σύμπασα ἀρετὴ ἄμαχός
b ἐστι πρὸς ἅπαντα καὶ ἀήττητος, καὶ ὁ ταύτην ἰσχυρῶς περιβεβλημένος βαδίζει, φησίν, οὐκ ἀγεννὲς οὐδὲ κάτω βλέπων, ἀλλ' ὡς ἐκεῖνος ἐβάδιζε πρὸς τὴν Ναυσικάαν, ἡνίκα γυμνὸς καὶ μόνος διαφυγὼν τὸ κλυδώνιον, ὅμως ἐπειδήπερ ἀρετὴν ἀντὶ ἱματίων ἠμφίεστο, ἐπῄει πρὸς τὴν θυγατέρα τοῦ βασιλέως, οὐ πτωχῷ, φησίν, ἐναλίγκιος οὐδὲ ἱκέτου ἐν σχήματι κατεπτηκότος, ἀλλά τινα ἐξεῦρεν εἰκόνα, οἷα τῆς ἀρετῆς εἰκονογράφος·

Ἤιεν ὥστε λέων ὀρεσίτροφος ἀλκὶ πεποιθώς.

372, 1 εὐχῆς] ἡδονῆς A. 2 ἐκείνην A. ἐκείνου H. 5 οὐδὲν πάνυ] οὐδὲ πάνυ A. προσεῖχε A. προσῆκε H. 11 ἐπιφάνεια — ῥώμη — ὠκύτης — ὑπερβολὴ A. ἐπιφανείας — ῥώμης — ὠκύτητος — ὑπερβολῆς H. 17 Οὐκοῦν] οὔκουν Stephanus. διὰ A. ἐκ H. 18 τεταγμένου A. παρατεταγμένου H. 25 ἐπῄει] ἀπῄει A. 29 Ἤιεν] Odyss. ζ 130.

ἡ δὲ ἀλκὴ ἦν ἄρα ὁ λόγος, ὃν ἀφελέσθαι μόνον τὸ c
δαιμόνιον οὐκ ἐξίσχυσε, καίτοι τὰ χρήματά γε ἀφελό-
μενον καὶ τὰς ναῦς καὶ τοὺς στρατιώτας καὶ νὴ Δία
γε τὸν χιτῶνα τὸ τελευταῖον, ἐν οἷς οὐκ ἦν ἡ δύναμις
b ἡ Ὀδυσσέως. τῇ γοῦν ἀλκῇ ἐπεποίθει καὶ ἐκείνων
ἀπολωλότων.

XXV.

d *ΠΡΟΣ ΤΟΥΣ ΑΞΙΩΣΑΝΤΑΣ ΛΕΓΕΙΝ ΕΚ ΤΟΥ ΠΑΡΑΧΡΗΜΑ.*

Ἀλλ' εἰ καὶ σφόδρα ἦν σοφὸς ὁ Φειδίας ἐν χρυσῷ καὶ ἐλέφαντι μορφὴν ἐπιδείξασθαι θείαν ἢ ἀνθρωπίνην, ὅμως χρόνου γε ἐδεῖτο καὶ σχολῆς πλείονος εἰς τὰ ἔργα.
310 a λέγεται οὖν, ἡνίκα ἐδημιούργει τὴν Ἀθηνᾶν, οὐδὲ εἰς τὴν κρηπῖδα τῆς θεοῦ μόνην ὀλίγου χρόνου καὶ πόνου προσδεηθῆναι. εἰ οὖν τις αὐτὸν αὐθήμερον ἐκέλευσεν ἐπιδείξασθαι τὴν τέχνην, τί ἂν ἔδρασεν; ἢ πῶς ἂν ἐπείσθη τῷ ἐπιτάγματι; σκόπει δῆτα εἰ καλῶς πρὸς τὸν ἐραστὴν ἀπεκρίνατο ὅτι, ὦ χρηστέ, ὁ τῶν ἐμῶν ἔργων φιλοθεάμων, εἰ μὴ συγχωρεῖς μηδὲ ἐπιτρέπεις κα[...]δ ὥστε καινόν τι καὶ νέον δημιουργῆσαι, σὺ δὲ ἐπι[...]ει μ
b τέως τὴν Ἀθηνᾶν τὴν ἐν πόλει ἢ τὸν Δία τὸν [...]πιον, καὶ σοι ταῦτα ἀποχρήσει πρὸς τὸ Φειδία[...] μάσαι.

Κἀγὼ σέ, ὦ μακάριε, τὸν ἐμὸν ἐραστὴν[...] καὶ αὐτὸς οὕτως ἔχειν δοκεῖς ὡς καὶ τήμερόν [...] ποθεῖν δημιούργημα, παρακαλέσαιμ' ἂν προσεπιδ[...] τῶν ἤδη προειργασμένων. οὐ δεήσει δέ, οἶμαι, [...]ζειν εἰς τὸ χωρίον τοῦ ἔργου· φέρω γὰρ ἐν ἐμαυ[...] τῆς ἐμῆς τέχνης ἀγάλματα, ἃ δημιουργεῖται μὲν [...]

374, 1 τοὺς ἀξιώσαντας A. τὸν ἀξιώσαντα H. λέγειν ἐκ [...] om. A. 7 καὶ πόνου add. A. 10 καλῶς A. καλῶς ἂν [...] 11 ὁ τῶν — φιλοθεάμων A. καὶ τῶν — φιλοθεάμον H. 14 πόλει A. τῇ πόλει H. ὀλύμπιον A. Ὀλυμπιάσι H. 17 ἐπεὶ καὶ A. ἐπειδή μοι καὶ H. 19 παρακαλέσαιμ' ἂν] παρακαλέσαιμι A. προσεπιδεῖν A. προσιδεῖν H. 20 οὐ δεήσει δὲ A. οὐδὲν γὰρ δεήσει H.

ἕνα τόπον, συμπεριίεισι δὲ ἀπανταχόθι τῷ τεχνίτῃ. c
τοσόνδε μέντοι μοι χάρισαι· ἔασόν με κατὰ χρόνον ἐργάσασθαι τὴν σὴν εἰκόνα. οὐ γὰρ οὕτως εἰμὶ σοφὸς οὐδὲ εὔπορος ὥστε αὐτοσχεδιάζειν ὥσπερ ἔτυχε τὰς γραφάς, καθάπερ οἱ δαιμόνιοι σοφισταί. ἀλλ' οὐδὲ ἅπαντα γράφειν ἄρχοντα δύναμαι, ἀλλ' ὃς ἄν μοι τόνδε τὸν πίνακα εὐτρεπίσοι, ὃς χωρήσει μὲν δικαιοσύνην μετὰ τῆς εἰκόνος, χωρήσει δὲ πρᾳότητα μετ' ἐξουσίας, πολλῶν τε ἄλλων θεῶν καὶ δαιμόνων ἀγαθῶν ὅμιλον, ὧν δίχα γράφειν οὐ θέμις τοῖς ἀπὸ Σωκράτους γρα- d
φεῦσιν.

Ὃς σφόδρα οὖν μοι συνή[illegible] σφόδρα ὀλίγων εὐπορουντ[illegible] τὸ ἔργον, ἅτε δὴ μοι πίνακα πήγνυσθαι [illegible] τῶν ἀρχετύπων. ὃν δὲ σὺ συγχωρήσεται [illegible], καλός τέ ἐστι καὶ μέγας καὶ οὐ τὸν νόμον, [illegible] ἡ γραφή. ἀλλὰ στῆσον μὲν ἐπὶ δεξιὰ Θαλεῖ, [illegible] ὅς παιδόθεν τέ σε ἐθρέψατο καὶ νῦν συναπολ[illegible] στῆσον δὲ ἐπὶ θάτερα τὴν δίκην, ἥ σε μήποτε παρ[illegible]ψειε, καὶ δὴ καὶ τὸν ἄλλον χορόν, ὧν ἄν μοι τὸ [illegible]δειγμα ὑποδεικνύοι· ὑποδείξει δέ, εὖ οἶδα, ὥστε 311 a
[illegible]δε μὴ ἐπιλείπειν τὰ καίρια. νῦν δέ, οὐ γάρ μοι τοσαύτη σχολή, προχειριστέον τί σοι τῶν ἀπορρήτων. [illegible]άντως οὐκ ἔστι τὸ λόγων κάλλος, οἷον ἀρτιτόκοις μὲν [illegible] ἐπανθεῖν, πρεσβυτέρων δὲ ἀπομαραίνεσθαι, ἀλλ' οἷοίπερ ἂν ἐξ ἀρχῆς τεχθῶσι, τοιοῦτοι καὶ τὸν ἅπαντα μένουσι χρόνον.

375, 1 ἀπανταχόθι] ἀπανταχόθεν A. 2 μοι add. A. [illegible] ἄρχοντα] ἀρκοῦντα Stephanus. 7 εὐτρεπίσοι A. εὐτρεπίσειεν H. [illegible]0 ὧν δίχα A. οὐ δίχα H. 14 καλός τε] τε om. A. [illegible]0 καίρια] κηρία ed. Stephani. „Quidam scribendum censent [illegible]ια." Stephanus. 21 ἀπορρήτων A. ἀποθέτων H.

XXVI.

b ## ΥΠΕΡ ΤΟΥ ΛΕΓΕΙΝ Η ΠΩΣ ΤΩι ΦΙΛΟΣΟΦΩι ΛΕΚΤΕΟΝ.

Προθεωρία.

Οὐ δήπου με τὰ θέατρα οὕτως ἀγαπᾶν ἡγεῖσθε ὥστε ἀγνοεῖν ὅτι ὀλίγοι ἔμφρονες πολλῶν ἀφρόνων τῷ λέγοντι φοβερώτεροι, ὥσπερ, οἶμαι, καὶ τοὺς ἄρχοντας τῶν στρατοπέδων ὀλίγοι τε καὶ λογάδες ἀντικαθήμενοι εὐ-
c λαβεστέρους ποιοῦσιν ἢ πολὺς ὅμιλος σ[illegible]μένος ἀφράκτων καὶ ψιλῶν καὶ ἀνίππων, ἄλλων [illegible] γλώσσης θορυβούντων τε καὶ ἐπηχούντων· οἷον [illegible] εἶναι λέγει τὸ βαρβαρικὸν στρατόπεδον, ἀπεικάζων [illegible] τὴν βοὴν ὄρνισιν ἅμα κλαγγῇ πετομένοις ἐπὶ Νεῖλ[illegible] τὸν ποταμὸν διὰ τὸν μέγαν χειμῶνα. κἀγὼ οὖν ὑμᾶς ὦ ἄνδρες, εὖ ἴστε ὅτι μᾶλλον ὀκνῶ τε καὶ δυσωποῦμαι ἢ πρώην τὸν πολὺν ὄχλον ἐν τῷ θεάτρῳ, τὸν κεκραγότα ῥᾳδίως καὶ θαμὰ ἐξαλλόμενον ἀπὸ τῶν πετρῶν. σεμνότερον δὲ ἦν καὶ Ἀθήνησι δικαστήριον τῶν εἰς ἕνα
d τε καὶ χιλίους ὁ Ἄρειος πάγος. τάχ' οὖν οὐδ' ὑμεῖ[illegible] ἐπιτρέψετε προοιμιάζεσθαι ἐπὶ πλέον· οὐδὲ γὰρ ἐ[illegible] Ἀρείῳ πάγῳ ὁ νόμος ἐδίδου.

---

329 Τί δήποτε ἄρα οἱ ἄνθρωποι τοὺς μὲν τέκτον[illegible] οὐ νουθετοῦσιν ὅ τι ποιητέον αὐτοῖς περὶ τὰ ξύ[illegible] οὐδὲ δὴ τοὺς σκυτοτόμους ὅ τι ποιητέον αὐτοῖς [illegible]

376, 1 Oratio XXVI. inscriptione caret in A. 3[illegible] θεωρία add. A. 4 δήπου] δεῖ που A. ἡγεῖσθε] ἡγεῖσ[illegible] 10 θορυβούντων τε] τε om. A. 11 αὐτοῦ A. α[illegible]] περὶ 15 ἐν τῷ A. τὸν ἐν τῷ H. 18 τάχ' A. τάχα [illegible] οὐδ'] οὐδὲ A.

τὰ σκεύη, ἀλλ' οὐδὲ τοὺς ὑφάντας ὑπὲρ τῶν ἐρίων οὐδὲ τοὺς κιθαριστὰς ὑπὲρ τῶν κρουμάτων, ἀλλ' ἐπι- 312 a
τρέπουσιν οἱ μὴ εἰδότες ἑκάστην τέχνην τοῖς ἐπισταμένοις, καθότι ἂν δοκιμάζωσι τὰ ἐκ τῆς τέχνης ἔργα μεταχειρίζεσθαι, μόνους δὲ τοὺς φιλοσόφους σχεδόν τι ἅπαντες ἄνθρωποι νουθετοῦσι καὶ διδάσκειν ἐπιχειροῦσι καὶ ἅττα ῥητέον αὐτοῖς καὶ πρὸς οὓς καὶ ὁπότε καὶ ἐν ᾧ χωρίῳ, καὶ οὐδεὶς ὅστις οὐκ ἀξιοῖ ταύτης μόνης τῆς ἐπιστήμης ἐξεταστὴς εἶναι ἀκριβής, καὶ ὧν λέγει καὶ ὧν ἐργάζεται. αὐτίκα τὸν μὲν ποιητὴν οὐχ ἅπαντες εὐθύνουσι τῶν ἐπῶν οὐδὲ τὸν ῥήτορα τῆς δει- b
νότητος οὐδὲ τοὺς πρὶν νεανίσκους τοὺς ἀπαρξαμένους ὑμῖν ἐν τῷ θεάτρῳ καὶ εὐδοκίμους φανέντας ἐφ' ἑκατέρᾳ τῇ τέχνῃ ἅπαντες οἴεσθε δεῖν ἀριστεύειν καὶ διασκοπεῖν τῶν δειγμάτων, ἀλλ' οἱ ποιηταὶ μόνοι καὶ λογογράφοι. εἰ δὲ εἰς τὸν αὐτὸν τοῦτον χῶρον συγκαλέσας ὑμᾶς ἀνὴρ φιλόσοφος λόγον τινὰ διαλεχθείη, φροντίσας καὶ μεριμνήσας καὶ πολλὰς νύκτας ἀγρυπνίους [illegible]σας, πολλὰς δὲ ἐπιπόνους ἡμέρας καταμελετήσας, [illegible] τι χρηστὸν ἐξ αὐτοῦ ἀπενηνέγκασθε, τηνικαῦτα [illegible] φιλόσοφοι μόνον, ἀλλὰ καὶ οἱ ῥήτορες καὶ οἱ c
[illegible]τισταὶ καὶ οἱ παιδοτρίβαι καὶ οἱ στρατιῶται καὶ [illegible]αι στρατιῶται, καὶ τίς δὴ οὐχὶ κριτὴς καὶ ἐξε[illegible] τῶν λόγων, ἀλλὰ καὶ τῶν ἀκροωμένων, ὅτι ἦν καὶ τοῦ χωρίου ὅτι θέατρον. οὕτως ἄρα [illegible]ντων μαθημάτων μόνον τοῦτό ἐστι πρόχειρόν τε [illegible] καὶ ἐπίδρομον καὶ εὐμαθές, μᾶλλον δὲ ἴσως τε[illegible]ρον καὶ ἀλλόκοτον, καὶ οἱ μὲν ἄλλοι ἅπαντες [illegible]ται ἀκριβῶς τὰ ἁρμόζοντα τῇ τέχνῃ, μόνοι δὲ [illegible]ήσουσιν οἱ σύμπαντα ἐπ' αὐτῇ τὸν βίον κατατριβόμενοι.

Καὶ ἴσως οὐκ ὀρθῶς λέγει ὁ λόγος οὐδὲ δικαίως· d
[illegible] γὰρ οἱ τοὺς φιλοσόφους παιδαγωγοῦντες λίαν

377, 5 μόνους] μόνον A. 14 ἀριστεύειν] [illegible] A. ἀρισταρχεύειν, Aristarchum agere, Iacobsius. γνωματεύειν Reisk. 18 ἀγρύπνους A. ἀΰπνους M. 19 ἰαύσας add. A. 27 ἴσως] ἴσθι A.

προσάγουσιν οἱ δικασταὶ κύριοι ταύτης τῆς δίκης, μᾶλλον δὲ αὐτὸς ὁ λόγος, ἐὰν οὕτω λέγῃ, ὥστε κατέχειν καὶ μὴ διώκειν.

Ὥστ' οὖν ἐκεῖνο αὐτῶν πάνυ ἄγαμαι καὶ θαυμάζω, d τὸ μὴ τὸ καινουργεῖν τε καὶ νεωτερίζειν εἰς ἀκοὴν δυσχεραίνοντες καὶ ἀδίκημα ἡγούμενοι αὐτοὶ καινουργοῦσι περὶ τοῦ νόμου τῆς γραφῆς, καὶ εἰσάγουσί με ὡς σοφιστήν, τὸ δὲ ἔγκλημα ὡς σοφιστικὸν ποιοῦνται. τῷ γὰρ νομοθέτῃ, ὃν προὐστησάμεθα, Πλάτωνι τῷ Διονυσίῳ, οὐχ ὅτι τι χρῆμα φαίνεται εἶναι πολιτικός τε καὶ δημολόγος καὶ σοφιστής, ἀλλὰ τὸν μὲν δημοσίᾳ καὶ σὺν μακροῖς λόγοις προσιόντα καὶ ὁμιλοῦντα τοῖς 315 πλήθεσιν, καὶ μὴν ἱδρώῃ αὐτὸ προμηθούμενος τῶν ἀκροωμένων, πολιτικὸν οἴεται καὶ ὀνομάζειν καλόν, ἀλλὰ δὲ αὐτοῦ μόνον ἐρῶντα τοῦ δημοσίου θορύβου δημολόγον τε καὶ δημεραστήν. ὁ σοφιστὴς δὲ αὐτῷ βραχυρρήμων τε ὡς τὰ πολλά, καὶ πρὸς ἕνα ἀντίπαλον ἐσκευασμένος, καὶ τοῦτο ἔσχατόν ἐστι τῶν ἐν τῷ ἄξονι ξυγγεγραμμένων. ὥστε ῥᾳδίως ἄν με ἐξαγορεύοιεν εἰ σκευωροῦμαι καὶ τεχνάζω περὶ τὸν νόμον. καὶ οὖν ἐγὼ ἐπὶ ταύτῃ τῷ ἔργῳ, ἐφ' ᾧ καὶ νῦν συγκαθήμεθα, b σοφιστὴς μὲν οὐδαμοῦ. τῶν δ' ἄλλων δυοῖν θάτερόν μοι πιθανὸν εἶδος, ἢ τὸ σεμνὸν ἢ τὸ παιγνιῶδες· ὠφελοῦντι μὲν τὸ σεμνόν, εἰ δὲ ἐπ' εὐδοκιμίᾳ, τὸ παιγνιῶδες· εἰ μὲν δή τι ὑπάρχει θορυβοφόρον τοῖς ἐμοῖς λόγοις, αὐτοὶ ἂν εἰδείητε οἱ ἀκούοντες. ἐγὼ μέντοι ἐγρηγοροῦσιν ὑμῖν καὶ ἀντιλαμβανομένοις τῶν λόγων ἀσμενέστερον διαλεγοίμην ἢ χασμωμένοις τε καὶ ναυτιῶσι. καὶ οὐχ ὁ θόρυβός μου τὸ μέρος ἀγαπητός, αὐτός δὴ ἐφ' ἑαυτῷ μόνῳ ὁ θόρυβος, ἀλλ' ὅτι σημεῖον αὐτὸ ποιοῦ- c μαι τοῦ μὴ εἰκῇ λέγειν ἃ λέγω, μηδὲ ἄλλως ᾄδειν καὶ

380, 1 κύριοι A. κύριοι τοῦ χρόνου H. 5 καὶ om. A. 19 ξυγγεγραμμένων A. γεγραμμένων H. 20 περὶ A. παρὰ H. 22 οὐδαμοῦ A. οὐδαμῶς H. μοι] Vulgo ἄν μοι. 24 παιγνιῶδες — εὐδοκιμίᾳ, τὸ om. A. 26 ἐγρηγοροῦσιν] ἐγρηγορόσιν Lobeckius ad Phrynich. p. 119. 27 τῶν λόγων om. A. 29 μου A. μοι H. ἐφ'] ἔφην A.

προσᾴδειν ὑμῖν, ἀλλ' ἅπτεσθαι ἄχρι τοῦ βάθους καὶ τῆς καρδίας· ὡς οὐδεμία μηχανὴ τὸν τῷ λόγῳ ὁμοιοπαθοῦντα κεῖσθαι ἄνω ἐπὶ τῆς πέτρας καὶ τοῦ βάθρου ἀκινητότερον.

Τὸ μὲν δὴ ὄνομα τοῦ ἐγκλήματος οὕτως αὐτοὶ c
καινουργοῦσι καὶ μεταφέρουσιν οἱ φύλακες τῆς συνηθείας. τὸ δὲ δὴ πρᾶγμα ὅτι μὴ καινὸν μηδὲ ἐγὼ πρῶτος αὐτὸ μηχανῶμαι καὶ ἐξευρίσκω, ὥστε προσαναγκάζειν τοὺς φιλολόγους μὴ οἴκοι φθέγγεσθαι μόνον μηδὲ ὑπὸ θυρωροῖς καὶ βαλανάγραις, ἀλλὰ καὶ εἰς τὸ κοινὸν d
μὴ ἀχρείους εἶναι, τοῦτο οὔπω λέγω, οὐδὲ καλῶ τοὺς μάρτυρας ἤδη ἄνδρας σεμνοὺς καὶ ἀρχαίους· οἷς εὖ οἶδ' ὅτι οὐκ ἀπιστήσετε, ἐὰν μόνον φανῶσιν ἐπὶ τοῦ βήματος. ἀλλ' ἐκεῖνοι μὲν τὸν καιρὸν τοῦ λόγου περιμενέτωσαν, τὸ δ' οὖν πρᾶγμα ἐγὼ συγχωρῶ καὶ τίθημι τοῖς κατηγόροις, ὅτι καινὸν τῷ ὄντι ἐστὶ καὶ ἐγὼ ἐπιβάλλομαι καὶ εἰσάγω εἰς τοὺς ἀνθρώπους. λεγέτωσαν 316 a
οὖν ἡμῖν δευρὶ παρελθόντες πότερον ἀεὶ λόγῳ ἅπαν ἀδίκημά τι καινοτομεῖν τι καὶ προσμηχανᾶσθαι, ἢ ὅταν πονηρὸν καὶ ζημιῶδες καὶ ἐπὶ βλάβῃ. εἰ γὰρ δὴ ἅπαν ἀδίκημα τὸ ἔξω τοῦ ἔθους, διὰ τί οὐχ ἁπάσας τὰς τέχνας αἰτιῶνται καὶ εὐθύνουσιν, ὅτι οὐκ ἐνέμειναν οὐδὲ ἠγάπησαν ἐπὶ τῇ πρώτῃ εὑρέσει, ἀλλ' αὔξονται ἔτι καὶ ἐς τόδε ἐπιδιδόασι, καινόν τι ἀεὶ προσυφαίνουσαι τοῖς ἀρχαίοις; καὶ πρὸ μὲν Δαιδάλου τετράγωνος ἦν οὐ μόνον ἡ τῶν Ἑρμῶν ἐργασία, ἀλλὰ καὶ ἡ τῶν λοιπῶν ἀνδριάντων· Δαίδαλος δὲ ἐπειδὴ πρῶτος διήγαγε τὼ b
πόδε τῶν ἀγαλμάτων, ἔμπνοα δημιουργεῖν ἐνομίσθη. τὴν θάλασσαν δὲ οὐ πρώτως μὲν οἱ σχεδιουργοὶ πλώϊμον ἐπέδειξαν τοῖς ἀνθρώποις, ἔπειτα Ἁρμονίδου τεκτηναμένου, ἢ ὅταν δὲ πρὸ Ἁρμονίδου, νῆες ἐφάνησαν

381, 9 φιλολόγους A: φιλοσόφους H. | 16 ὅτι καινὸν] ὅσον καινὸν A. 18 λόγῳ ἅπαν A. λόγῳ πᾶν H. 21 ἁπάσας τὰς τέχνας] ἁπάσαις ταῖς τέχναις A. ἁπάσας τέχνας H. 22 ἀλλ' αὔξονται] ἀλλ' αὔξοντες A. ἀλλὰ αὔξονται H. 24 προσυφαίνουσαι] προσυφαίνοντες (sic) A. 25 τετράγωνος] τετράωνος A. 31 νῆες add. A.

[illegible] τε καὶ [illegible], καὶ χρόνῳ ὕστερον ἐν Ἰσθμῷ Κορίνθιοι τριήρεις ἐναυπηγήσαντο καὶ Ἀμεινοκλῆς Σαμίοις ἦλθεν ὁ Κορίνθιος ναυπηγός; τὰ δὲ περὶ σιτίων καὶ ποτῶν καὶ ξύμπασα ἡ δίαιτα ἡ ἀνθρωπίνη ἆρα
c ἀθρόως ἅπασα ἐλεπτουργήθη, καὶ οὐ πρῶτον μὲν βαλανηφάγοι ηὐνάζοντο ἐν σπηλαίοις, γυμνοὶ καὶ ἄστρωτοι καὶ ἀνυπόδητοι, χρόνῳ δὲ ἄλλου ἄλλοτε εἰσφερομένου προέβη ὁ βίος εἰς παροῦσαν εὐδαιμονίαν;

Ἀλλ' αἱ μὲν βάναυσοι τέχναι ἴσως καὶ ἀναγκαῖαι καὶ διὰ τὴν χρείαν ἠνέσχοντο τῆς καινουργίας, αἱ δὲ κομψότεραι καὶ ἐπὶ ῥᾳστώνῃ ὁλόκληροι ἀνεφάνησαν καὶ ἀρτιμελεῖς ἀθρόως; καὶ τῇ γραφικῇ οὐδὲν εἰσήνεγκεν Ἀπελλῆς οὐδὲ Τέρπανδρος τῇ κιθάρᾳ οὐδὲ Τιμόθεος
d τοῖς αὐλοῖς; ἀλλὰ καὶ ἡ σεμνὴ τραγῳδία μετὰ πάσης ὁμοῦ τῆς σκευῆς καὶ τοῦ χοροῦ καὶ τῶν ὑποκριτῶν παρελήλυθεν εἰς τὸ θέατρον; καὶ οὐ προσέχομεν Ἀριστοτέλει ὅτι τὸ μὲν πρῶτον ὁ χορὸς εἰσιὼν ᾖδεν εἰς τοὺς θεούς, Θέσπις δὲ πρόλογόν τε καὶ ῥῆσιν ἐξεῦρεν, Αἰσχύλος δὲ τρίτον ὑποκριτὴν καὶ ὀκρίβαντας, τὰ δὲ πλείω τούτων Σοφοκλέους ἀπελαύσαμεν καὶ Εὐριπίδου·

Οὕτω καὶ τῶν πρόσθεν ἐπευθόμεθα κλέα ἀνδρῶν·

317 a οἱ δὲ ἐξ ἀμυδρῶν καὶ ἀσθενῶν τὸ πάλαι σπερμάτων παραλαβόντες ὡρμημένην τὴν φιλοσοφίαν, τῷ μηδὲν ἀτρεμίζειν ἐν τοῖς ὑπάρχουσι καὶ ἐγκαρτερεῖν, ἀλλὰ ἀεί τι προσεπιβάλλεσθαι, τελευτῶντες ἅπαντα χρήματα ἐπεξῆλθον καὶ ἐφ' ἑαυτοῖς ἐποιήσαντο θεῖά τε ὁμοῦ καὶ ἀνθρώπινα. πρὸ μὲν γὰρ Θαλοῦ τοῦ Μιλησίου ὀλίγα ῥήματα περιφερόμενα ἦν Θαλοῦ τε αὐτοῦ καὶ τῶν ἄλλων σοφῶν, ὧν καὶ νῦν ἐμπεπλησμένοι εἰσὶν οἱ τοῖχοι καὶ τὰ πινάκια, χρηστὰ μὲν καὶ νοῦν ἔχοντα

382, 2 σαμίας A. Σαμίων M. 3 ὁ κορίνθου A. ὁ Κορίνθιος M. Fortasse ὁ ἐκ Κορίνθου. σιτίων] σίτων A. 7 ἄλλοτε Iacobsius. Vulgo ἄλλο τι. 19 ὑποκριτὴν] ὑποκριτὰς A. Fortasse τρεῖς ὑποκριτάς. 20 ἀπελαύσαμεν] Vulgo ἀπηλαύσαμεν. 21 Οὕτω] Iliad. ι, 520. 24 ἐγκαρτερεῖν] καρτερεῖν A. 26 ἐποιήσαντο] ἐποιοῦντο A. 29 ἦν add. A.

ἱκανὸν καὶ ὅσος ἂν πλεῖστος γένοιτο τοῖς δυοῖν ὀνο- b
μάτων, ἀλλὰ ψιλά γε πίστεως ἐπιτάγματι προσειομένη καὶ νουθετοῦντα κατὰ μικρὸν μόριον ἀρετῆς. Θαλῆς δὲ ὕστερον καὶ πρὸς γήρᾳ φύσεώς τε ἥψατο πρῶτος καὶ ἀνέβλεψεν εἰς τὸν οὐρανὸν καὶ τὰ ἄστρα ἐξήτασε, καὶ προεφήτευσεν ἐν κοινῷ ἅπασι Μιλησίοις ὅτι νὺξ ἔσοιτο ἐν ἡμέρᾳ καὶ δύσεται ἄνω ὁ ἥλιος καὶ ὑποθεύσεται αὐτὸν ἡ σελήνη, ὥστε ἀποτέμνεσθαι τὴν αὐγὴν καὶ τὰς ἀκτῖνας. Θαλῆς μὲν δὴ τοσαῦτα εἰσενηνεγμένος οὐ κατέθετο ὅμως εἰς συγγραφὴν τὰ εὑρήματα, οὔτε c
αὐτὸς ὁ Θαλῆς οὔτε ἄλλος τις τῶν εἰς ἐκεῖνον τὸν χρόνον. τούτου γεγονὼς ζηλωτὴς Ἀναξίμανδρος ὁ Πραξιάδου οὐ πάντη ὁμοίως ἐζήλωσεν, ἀλλὰ τοῦτο εὐθὺς παρήλλαξέ τε καὶ ἐξετράπετο, ὅτι ἐθάρρησε πρῶτος ὧν ἴσμεν Ἑλλήνων λόγον ἐξενεγκεῖν περὶ φύσεως συγγεγραμμένον. πρὶν δὲ εἰς ὄνειδος καθειστήκει τὸ λόγους συγγράφειν, ἀλλ' οὐκ ἐνομίζετο τοῖς πρόσθεν Ἕλλησι. καὶ ἐπὶ τὸν Κλαζομένιον Ἀναξαγόραν καὶ ἐφ' ὅσον οὗτος ἐκαρτέρισε, νοῦν καὶ θεὸν πρῶτος ἐπαγαγόμενος τῇ κοσμοποιίᾳ, καὶ οὐ πάντα ἀνάψας τῆς φύσεως τῶν d
σωμάτων.

Ἀλλὰ Σωκράτης ὁ γενναῖος ἄρα τὴν ἀρχαίαν ἐβάδιζε καὶ τετριμμένην καὶ ἐγκατέμεινε τοῖς ἴχνεσι τοῦ Ἀρχελάου, ἢ τούτου γε ἔτι μείζων ἡ φιλοτιμία καὶ ἡ θρασύτης; καὶ οὐχ ὅσον ἐφευρεῖν τι καὶ ἐπανορθῶσαι, ἀλλ' ὁλόκληρον μεταθεῖναι καὶ μετενεγκεῖν τὴν ὑπόθεσιν τῶν λόγων; τῶν γὰρ πρὸ αὐτοῦ σχεδόν τι ἁπάντων 318 a
περὶ τοῦ οὐρανοῦ φροντιζόντων καὶ ὅπως ἔχει ἡ γῆ θέσεώς τε καὶ σχήματος καὶ ἐξ ὧν γεννᾶται τὰ ζῷα

383, 1 ὀνομάτων, ἀλλὰ ψιλά γε πίστεως ἐπιτάγματι] ὀμμάτων ἀλλὰ πίστει καὶ ἐπιτάγματι A. 4 πρὸς γήρᾳ A. Πυθαγόρας H. Conf. Roulezium p. 12. πρῶτός A. πρῶτον H. 7 ἄνω A. ἄρτι H. 11 οὔτε ἄλλος] οὐδὲ ἄλλος codex Vossii ap. Boisson. ad Eunap. p. 170. τῶν εἰς] εἰς om. A. τὸν add. A. 12 τούτου] ἐκείνου A. γεγονὼς A. γενόμενος H. 13 πάντη ὁμοίως ἐζήλωσεν A. πάντα ἐζήλωσεν ὅμως H. 19 νοῦν] ὡς A. 28 ἡ γῆ om. A.

σιν οἱ ἀμύητοι. διὰ τοῦτο ἐν ποσὶ κυλινδούμενοι οὕτω
οἱ λόγοι πλείοσι πεφραγμένοι εἰσὶ περιβόλοις ἢ τὰ ἐν
320 a Ἐκβατάνοις βασίλεια. καινὸν δὲ δὴ καὶ τοῦτο Ἀρι-
στοτέλους, ὅτι ὄργανα δέδωκεν οἷον σταθμὰς ἐπὶ τοῖς
λόγοις, οἷς τό τε ὄντως ἀληθὲς κρινοῦμεν καὶ τὸ φαν-
ταζόμενον δι' ὁμοιότητα. συμβαίνει γὰρ δὴ ἡμῖν ἐπὶ
τῶν λόγων ὅ τι καὶ ἐπὶ τῶν ἀνθρώπων. τούτων γὰρ
οἱ μέν εἰσι χρηστοὶ καὶ δοκοῦσιν, οἱ δὲ δοκοῦσι μέν,
εἰσὶ δ' οὔ. ταυτὸν δὲ καὶ ἐπὶ τῶν λόγων, οἱ μὲν καὶ
φαίνονται ἀληθεῖς καὶ εἰσί, τοῖς δὲ ὑποδέδυκε μὲν τὸ
ψεῦδος, ὅμως δὲ ὑποκρίνονται καὶ ἀπατῶσιν. ὅθεν
δὴ ἔσται αὐτῶν κατάφωρος ἡ γοητεία, πρῶτος Ἀριστο-
b τέλης ὄργανον ἐμηχανήσατο.

Τί οὖν ἐγὼ καινὸν διαπράττομαι ἢ καινόν τι
προσεξευρίσκω, εἰ καταλαβὼν φιλοσοφίαν οἰκουροῦσαν
καὶ δυσκολαίνουσαν καὶ ἀποφεύγουσαν τὰς ἀγοράς,
ὥσπερ τὴν δίκην φασὶν οἱ ποιηταί, πείθω ἐς τοὐμφα-
νὲς προϊέναι καὶ μὴ βασκαίνειν τοῦ κάλλους τοῖς πολ-
λοῖς ἀνθρώποις, καὶ συνεθίζω μὴ μόνον καθ' ἕνα εὖ
ποιεῖν, ὥσπερ ἰατρικήν, ἀλλὰ καὶ ἀθρόον δῆμον, ὅσα
ἂν δύνηται. ἰατρικὴ μὲν γὰρ οὐχ οἵα τε ἴσως συνά-
c γειν ἅπαντας ἀθρόον εἰς ἕνα χῶρον τοῖς ὁμοίοις χρω-
μένους σώμασί τε καὶ ἀρρωστήμασιν, ἀλλ' ἀνάγκη
αὐτῇ βαδιζούσῃ εἰς τὰς οἰκίας χωρὶς ἑκάστων τῶν τὰ
αὐτὰ ἀρρωστούντων. φιλοσοφία δὲ οὐ σωμάτων ἐπι-
μελεῖται, οἷς τὰ πολλὰ ἴδια τῶν νοσημάτων, καὶ δεῖται
σκίμποδος καὶ δωματίου, ἀλλὰ ψυχαῖς καθέστηκεν
ἀρωγός, αἷς τὰ πολλὰ κοινὰ ἀρρωστήματα καὶ αἷς
φύσις ἁπανταχοῦ ἰατρεύεσθαι.

Καὶ διὰ τοῦτο αὐτῇ ῥᾳστώνη πλείων συναγαγού-
d σαν εἰς ἐκκλησίαν ἄνευ σχοινίου μεμιλτωμένου ἀναβῆναι
ἐπὶ βῆμα ὑψηλὸν καὶ ἀνειπεῖν ὥσπερ θεὸν ἐκ τραγικῆς
μηχανῆς, Ποῖ φέρεσθε, ὦ ἄνθρωποι, καὶ ἀγνοεῖτε

386, 2 πλείοσι πεφραγμένοι om. A. 21 ἴσως add. A.
22 ἀθρόον A. ἀθρόως H. τοῖς ὁμοίοις χρωμένους σώμασι] ἐν
ὁμοίως χρωμένη σώματι H. 27 ψυχαῖς] ψυχῆς A.

οὐδὲν τῶν δεόντων πράττοντες; οἵτινες χρημάτων μὲν
πέρι πᾶσαν σπουδὴν ἔχετε ὅπως ὑμῖν ἔσται, τῶν δὲ
υἱέων οἷς αὐτὰ παραδώσετε οὐδεμίαν ἐπιμέλειαν ποιεῖ-
σθε, ὅπως ἐπιστήσονται χρῆσθαι δικαίως. οὐδέ γε
πρότερον ὑμᾶς αὐτοὺς οὕτως ἐθεραπεύσατε, ἀλλ' ὁρῶν- 321 a
τες γράμματα καὶ ῥήματα καὶ ὀνόματα ὑμᾶς τε αὐτοὺς
καὶ τοὺς παῖδας ὑμῶν ἱκανῶς μεμαθηκότας, ἃ δὴ
παιδείαν ἀρετῆς τελείαν ἡγεῖσθε, κἄπειτα οὐδὲν ἧττον
κακοὺς γιγνομένους περὶ τὰ χρήματα, πῶς οὐ κατα-
φρονεῖτε τῆς νῦν παιδεύσεως, οὐδὲ ζητεῖτε οἵτινες ὑμᾶς
παύσωσι ταύτης τῆς ἀμουσίας; καίτοι διά γε ταύτην
τὴν πλημμέλειαν καὶ ῥαθυμίαν, καὶ οὐ διὰ τὴν ἄγνοιαν
τῶν συνδέσμων, ἔμπλεά ἐστι τὰ δικαστήρια τῶν μαχο-
μένων καὶ πολεμούντων. καὶ ὅταν λέγῃς τοὺς ἀσκοῦν-
τας τὰ σώματα, τῆς δὲ ψυχῆς ἠμεληκότας, ἕτερόν τι b
πράττειν τοιοῦτον, τοῦ μὲν ἄρξαντος ἀμελεῖν, περὶ δὲ
τὸ ἀρξόμενον ἐσπουδακέναι, καὶ ὡς ὅτῳ τις μὴ ἐπί-
σταται χρῆσθαι, κρεῖττον ἐᾶν τὴν τούτου χρῆσιν. ὅστις
οὖν μὴ ἐπίσταται χρῆσθαι φαρμάκοις, ἀμείνων ἂν εἴη
μὴ χρώμενος, ἀλλὰ τῷ ἰατρῷ ἐπιτρέπων, καὶ ὅστις
αὐλοῖς μὴ ἐπίσταται, τῷ αὐλητῇ, καὶ ὅστις ἵπποις,
τῷ ἱππικῷ, καὶ ὃς δὴ ἑαυτῷ χρῆσθαι μὴ γιγνώσκοι,
δούλῳ ἄμεινον ἢ ἐλευθέρῳ διάγειν τῷ τοιούτῳ τὸν
βίον· ἐστὶν ἄρα καθάπερ πλοίου παραδιδόντι τὰ πηδά- c
λια τῆς διανοίας ἄλλῳ τῷ μαθόντι τὴν τῶν ἀνθρώπων
κυβερνητικήν. ταῦτα γὰρ δὴ καὶ ὅσα τοιαῦτα τῶν
Σωκράτους καὶ Πλάτωνος κηρυγμάτων οὐ τὸν δεῖνα
μὲν ὀνήσειεν ἄν, τῷ δεῖνι δὲ ἂν γένοιτο πρὸς κακοῦ,
καθάπερ τὰ πολλὰ τῶν ἐπὶ τοῖς σώμασι φαρμάκων,
ἀλλὰ καὶ ῥήτορα καὶ στρατηγὸν καὶ ἰδιώτην, πενόμε-
νόν τε αὖ καὶ πλουτοῦντα νέον τε καὶ ἀκμάζοντα καὶ
πρεσβύτην, βελτίους ἂν ποιήσειε καὶ θαρραλεωτέρους
πρὸς ἀρετήν. κοινὰ γὰρ πᾶσιν ἀνθρώποις βοηθήματα

387, 2 ὅπως om. A. 3 αὐτὰ A. ταῦτα H. 5 ἐθε-
ραπεύσατε A. ἐθεραπεύσασθε H. 11 παύσωσι] παύσουσι A, Fort.
παύσωσιν. ἀμουσίας] ἀκουσίας A. ἀγροικίας H. 12 καὶ οὐ A.
ἀλλ' οὐ H.

d καὶ ὠφελήματα καὶ οὐ προσήκει μόνοις τοῖς εὐπατρίδαις ἢ τοῖς πεντακοσιομεδίμνοις ἢ τοῖς ζευγίταις. οὐδὲ ἀπὸ τιμημάτων αὐτὰ ἀκουστέον, ἀλλ' εἴπερ ἐφίει ὁ νόμος συνιέναι τοῦ ἐνιαυτοῦ εἰς ἐκκλησίαν σὺν γυναιξὶ καὶ παισὶν ἀθρόον τὸν δῆμον, τηνικαῦτα ἐχρῆν τὸν τοιοῦτον λόγον παραβάλλειν τὸν διαθετῆρα καὶ δημηγορεῖν. ὅσῳ γὰρ ἂν λέγῃ ἐν πλείοσι καὶ ἀθρουστέροις, τοσῷδε καὶ ἀνυσιμώτερος δόξει καὶ ἐγγυώτερος τοῖς ἀκούουσιν.

322 a Οὐ γὰρ ὥσπερ ἐπαινούμενοι μετὰ πλειόνων εὐφραίνονται ἧττον οἱ ἄνθρωποι, οὕτω καὶ ἐπιπληττόμενοι ἢ νουθετούμενοι, ἀλλ' ἐνταῦθα δὴ ἡ κοινωνία πολὺ ἀφαιρεῖ τοῦ ἄχθους καὶ τῆς ὑποψίας, ἣν πᾶσα ἐφέλκεται φύσει ἐπιτίμησις καὶ νουθεσία. καὶ ὥσπερ ἐν ταῖς στρατιαῖς ὅσα μὲν παραγγέλλει ὁ στρατηγὸς ἅπασι τοῖς στρατιώταις, αὐτίκα ἔργου ἔχεται ἕκαστος καὶ ἁμιλλᾶται διενεγκεῖν τοῦ παραστάτου, ὅσα δὲ ἑνὶ καὶ δυσί, μακρῶν μὲν αὐτῷ δεήσει λόγων, μακρᾶς δὲ ὑποθέσεως, μεγάλου δὲ τοῦ ἄθλου ἐπὶ τῷ ἔργῳ, ταὐτὸν
b δὲ καὶ ἐπὶ ταῖς συμβουλαῖς οἱ ἄνθρωποι ὑπομένουσιν· εἰ μὲν ἀπολαβὼν ἕνα τὸν δεῖνα τῶν πλουσίων τε καὶ μακαρίων δοκούντων καὶ ἀποστησάμενος ἐν γωνίᾳ σμικρᾷ τῇ φωνῇ καθάπτοιτο καὶ νουθετοίη, ὅτι, ὦ θαυμάσιε, μᾶλλον προσήκει ἑκάστῳ τὴν ψυχὴν ἀξίαν πολλοῦ κατασκευάζεσθαι ἢ τὴν οἰκίαν, σὺ δὲ τοῖς μὲν τοίχοις ἐγγράφεις πολλὰ καὶ ποικίλα, τὴν ψυχὴν δὲ ἄγραφον περιορᾷς, ὥσπερ γραμματεῖον ἀληλιμμένον, καὶ τὸν μὲν ἀνδρῶνα ἀνεπίξεστον καταλιπεῖν οὐκ ἀνέχῃ, πειθόμενος Ἡσιόδῳ τῷ ποιητῇ, τὸν νοῦν δὲ ἀνεπίξεστον
c περιφέρειν πρᾶγμα οὐδὲν ὑπολαμβάνεις· ταῦτα οὖν εἰ μὲν μόνῳ ἐπιτιμῴης, ὑπόψεται καὶ ἀπεχθάνεται καὶ λοιδορίαν νομιεῖ τὴν νουθεσίαν, εἰ δὲ ἀνατεινάμενος τὴν χεῖρα καὶ τὰ αὐτὰ ταῦτα μεταρρυθμίσας πρὸς τὸ πλῆθος δημηγοροίης, δήξεται μὲν οὐδὲν ἧττον ὁ ἄν-

---

388, 1 οὐ et μόνοις om. A. 7 λέγῃ] Vulgo λέγοι. 17 ὑποθέσεως A. ὑποσχέσεως H. 27 τὸν μὲν ἀνδρῶνα] τῶν μὲν ἀνδρώνων A. 33 δημηγοροίης] δημιουργοίη A. δήξεται μὲν οὐδὲν ἧττον ὁ ἄνθρωπος] ἧττον οὐδὲν μὲν ὁ ἄνθρωπος δήξεται A.

θρωπος καὶ ὀνήσεται, σὺ μέντοι γε σὺ τὸν δεῖνα ἔσῃ μεμψάμενος ἢ τὸν δεῖνα, ἀλλὰ τὸ πλημμέλημα νουθετήσας.

Καὶ γὰρ δὴ τοῦτο ὑπάρχει ξένον καὶ ἄτοπον λίαν τοῖς ἐκ τῶν λόγων φαρμάκοις, ὅτι οὐδεμία ἀνάγκη αὐτὸν προσιόντα τοῖς κάμνουσι τὸν τρίψαντα ἢ κεράσαντα καταπλάττειν ἢ ἐπαλείφειν, ἀλλ' ὁ μὲν εἰς μέσον φέρων κατέθετο μυρίων ἀνθρώπων ἐγκαθημένων, ὃς δ' ἂν μάλιστα ξυνέχηται τῇ ἀρρωστίᾳ, κἂν πάνυ ὕπουλόν τι νόσημα τρέφῃ καὶ ἐν τῷ βάθει κἂν ἅπαντες οἱ ἄνθρωποι ἀγνοῶσιν, αὐτὸς ἑαυτὸν ἐξελέγχει καὶ ἀναπηδᾷ ἐκ τοῦ ὁμίλου καὶ ἀντιλαμβάνεται τοῦ φαρμάκου, καὶ εἴ τι νοσοίη, χαίρει τῷ φαρμάκῳ καὶ ἀπολαύει τῆς ἰατρείας. εἰ δὲ ἀμετάστατα καὶ ἀνήκεστα, λοιδορείσθω καὶ ἀπεχθανέσθω καὶ πολεμεῖν καὶ λοιδορεῖν ἕτοιμός ἐστιν οὐχ ἑαυτῷ οὐδὲ τῷ ἀρρωστήματι, ἀλλὰ τῷ σκευάσαντι τὸ φάρμακον καὶ εἰσενέγκαντι εἰς τὸ κοινὸν ὑπὸ δεξιότητος καὶ φιλανθρωπίας. ἀλλ' οὔτε τὸν ἰατρὸν ἀπαυδᾶν χρὴ καὶ ἀφίστασθαι τῶν καμνόντων, ὅτι ὀλίγοι κάμνουσιν ὑπὲρ τὴν τέχνην, οὔτε τοὺς φιλοσόφους μὴ διαλέγεσθαι τοῖς πολλοῖς, ὅτι ἐν τοῖς πολλοῖς ὁ Μαμμάκυθος καὶ ὁ Κυρηβίων οὐκ ὀνίνασθον ὑπὸ τοῦ λόγου.

Ἢ πρὸς Μουσῶν καὶ Ἀπόλλωνος ἀτρέμα οὑτωσὶ προσιόντες σκοπῶμέν τε καὶ ἐξετάζωμεν, ὅπως ξυνάγηται ταῦτα ἀλλήλοις καὶ μιᾶς γνώμης φανεῖται καὶ διανοίας, τὸ κοινωνικόν τε καὶ φιλάνθρωπον τῆς φύσεως καὶ ἀγαπᾶν καὶ ὑμνεῖν καὶ πολλὰ τεκμήρια καταλέγειν, ὅπως τοὺς ἀνθρώπους μάλιστα ὁ θεὸς ἀπαθεῖς τε καὶ εὔνους ἀλλήλοις ὑπὲρ τὰ λοιπὰ ζῷα ἐδημιούργησεν, αὐτοὺς δὲ ἀπάνθρωπα καὶ ἀνήμερα διανοεῖσθαι, καὶ τῷ κοινῷ συμβούλους εἶναι ἐπιχειρεῖν, πρὸς ὃ μάλιστα

389, 6 τοῖς κάμνουσι A. τῷ κάμνοντι H. 14 λοιδορείσθω καὶ ἀπεχθανέσθω] Fortasse λοιδορεῖσθαι καὶ ἀπεχθάνεσθαι, deletis proximis verbis καὶ πολεμεῖν καὶ λοιδορεῖν. 24 οὑτωσὶ om. A. 25 ξυνάγηται A. συνέσεται H. 29 ἀπαθεῖς] συμπαθεῖς Petavius. 32 συμβούλους A. ἀσυμβούλους H.

συνέταττε τὴν ἀρετὴν ἡμέτερος λόγος· καὶ ἐπαινεῖν μὲν τὸν Προμηθέα, ὅντινα δὴ καὶ ὑπολαμβάνειν χρή, ὅτι οὐκ ἐποίησε τοὺς ἀνθρώπους μονήρεις τε καὶ μονοτρόπους ὥσπερ τοὺς λύκους ἢ τὰς παρδάλεις, αὐτοὺς δὲ ἰλιγγιᾶν πρὸς τὸ πλῆθος, καθάπερ τοὺς Ἀγρίους οὓς ἐδίδαξε Φερεκράτης, καὶ τῇ μὲν φωνῇ ἡμᾶς ὁμολογεῖν διὰ τοῦτο πολυτελεστέρᾳ κεχρῆσθαι, ἵνα μὴ μόνον σιτία καὶ ποτὰ καὶ ἱμάτια καὶ ὑποδήματα, ἀλλὰ καὶ
d ἅττα ἂν ἐν τῇ ψυχῇ ἔνδον διανοώμεθα, μεταδιδῶμέν τε καὶ μεταλαμβάνωμεν παρ' ἀλλήλων, ἀλλαττόμενοι διὰ τῶν ὀνομάτων ὥσπερ νομισμάτων· αὐτοὺς δὲ στεγανοὺς καὶ ἀφώνους διατελεῖν καὶ ἀπροσηγόρους τῷ δήμῳ συνοικεῖν, καὶ λέγειν ἔν τισι λόγοις ταύτας οἰκήσεσθαι ἄριστα καὶ εὐδαιμονήσειν τὰς πόλεις, ἐν αἷς ἅπαντα κοινὰ ἔσται τῶν ἐνοικούντων, καὶ προϊέναι πόρρω καὶ μὴ ὀκνεῖν οὐ μόνον τὴν γῆν ποιεῖν κοινὴν καὶ τὰς
324 a οἰκίας καὶ τὰ σπέρματα καὶ τὰς ἀμπέλους, οὐδὲ τὸ ἀργύριον, οὐδὲ τὸ χρυσίον, ἀλλὰ καὶ τοὺς παῖδας κοινοὺς καὶ τὰς γυναῖκας, αὐτοὺς δὲ τὰ αὑτῶν ἔργα καὶ τὰ γεννήματα ἀποκρύπτεσθαι ἐν τοῖς κιβωτίοις, καὶ τῷ μὲν λόγῳ ἐξελαύνειν Ἐπίκουρον τὸν Νεοκλέους καὶ ἐκβάλλειν τοῦ [τῶν σοφῶν] καταλόγου, ὅτι Ἐπίκουρος λάθρα βιώσας ἐπηνεῖτο καὶ ἔθετο δόγμα μὴ φύσει εἶναι τὸν ἄνθρωπον κοινωνικόν τε καὶ ἥμερον, τῷ δὲ ἔργῳ ἐπαινεῖν τὴν γνώμην καὶ τῆς φύσεως αὐτῆς ἀνηκουστεῖν
b φανερώτερον.

Εἰ γὰρ δή τι κοινὸν ποιητέον ἢ κτῆμα ἢ ἔργον, καὶ ὃ μάλιστα πολυαρκέστατον ἀθρόον τε καὶ πολυωφελέστατον ἐδημιούργησεν ὁ θεός, οὐ γῆ τοῦτ' ἔστιν οὐδὲ βοῶν ἀγέλαι, οὐδὲ βοσκήματα, οὔτε μὴν πυροὶ οὔτε οἶνος οὔτε ὄσπριον, ἀλλὰ λόγος ὁ ἔξω ῥέων ἀπὸ

390, 6 τῇ μὲν φωνῇ] τῶν μὲν φωνῇ A. 8 σιτία] σῖτα A. 9 διανοώμεθα A. διανοῶμεν H. 12 δήμῳ συνοικεῖν A. δήμῳ ᾧ συνοικοῦμεν H. 17 οὐδὲ τὸ ἀργύριον — αὑτῶν ἔργα om. A. 22 τῶν σοφῶν om. A. 23 λάθρα βιώσας ἐπηνεῖτο A. ἐπῄνει τὸ λάθρα βιώσας H. 28 πολυαρκέστατον] πολυαρκέστατον A. ἀθρόον τε A. τε ἀθρόως H. 31 ὄσπριον A. ὄσπρια H.

τῆς ψυχῆς. τῶν μὲν γὰρ οὐχ οἷόν τε κοινῇ ἀληθινῶς ἀπολαύειν, ἀλλὰ ἀναγκαῖον κατακερματίσαντας ἢ κατατεμόντας τὸ κοινὸν τέως πολλὰ ἴδια ἀποφῆναι. τὸν λόγον δὲ εἰς ἄκρον ὁ δοὺς ἡμῖν ἐμηχανήσατο, ὅπως ἂν c ἐξαρκοίη διόλου κοινὸς τοῖς χρωμένοις, καὶ μὴ παραγένοιτο χωρὶς ἑκάστῳ ἐν τῇ ἀπολαύσει. ὥστε οὐκ ἐντρεπόμεθα αὐτοῦ τῆς φύσεως οἰκουροῦντες, καὶ δέος μᾶλλον, εἰ κατειργνύοιμεν καὶ βιαζοίμεθα, διολέσθαι αὐτὸν παντάπασι καὶ ἀφανισθῆναι· ἡ γὰρ φυλακὴ αὐτοῦ καὶ ἡ σωτηρία ἐν κοινωνίᾳ. οὗ δὲ ἐγκατέμεινε τὸν ἅπαντα χρόνον καὶ οὐ προὔβη ἔξω ἐκ τῶν ὠδίνων, καίτοι ἀθάνατος ὤν, συναποσβέννυται τῷ γεννήσαντι. ἕκαστον δὲ εἰς ἄκρον εὐθαλεῖ τε καὶ εὐθηνεῖται, εἰ μὴ d κολούεται αὐτοῦ μηδὲ ἀποτυφλοῦται ἡ ὁρμὴ καὶ ἡ προθυμία τῆς φύσεως. εἰ μὲν οὖν ἐν σκότει καὶ ζόφῳ πέφυκεν αὔξεσθαι λόγος καὶ ἐπιδιδόναι, μηδὲ πρὸς τοὺς ὀλίγους ἐκφοιτᾶν αὐτῷ συγχωρῶμεν μηδὲ παρακύπτειν ἐφιῶμεν, ἀλλὰ κελεύωμεν αὐτὸν ἐνδεδυκότα τοῖς φωλεοῖς καταγηράσκειν καὶ δαπανᾶσθαι. εἰ δὲ ἐν φωτὶ καὶ αὐγῇ ἐθέλει πτεροφυεῖν καὶ σώζεσθαι, τί οὐκ ἀφελοῦ- 325a μεν αὐτοῦ τοὺς ὀρόφους καὶ ἀναπετάννυμεν ὅλας τὰς πύλας; πάντως γὰρ εἴσεται λόγος ὢν πρός τίνας τε καὶ ὁπότε καὶ ὅπως ἐξιτητέον. οὐδὲ γὰρ τοῖς αὐληταῖς, ὅτι ἐν κοινῷ ᾄδουσιν, ἐπιτιμῶμεν, οὐδὲ τοῖς ῥήτορσιν, ὅτι ἐν κοινῷ ῥητορεύουσιν, ἀλλ' ὅτι ἀνωφελῆ καὶ ἄγῃ πρὸς ἀρετήν, οἱ μὲν ᾄδουσιν, οἱ δὲ λέγουσιν.

Καὶ μὲν δὴ ὅσοι τοὺς παῖδας, οὓς τίκτουσιν αἱ γυναῖκες, ἐκτιθέασιν εἰς ἐρημίαν, ψέγομέν τε καὶ ὀνειδίζομεν, ὅτι ἀδικοῦσι τὴν πόλιν, ταύτην ἀποστεροῦντες τοὺς πολίτας, οὓς ἐγεννήσαντο οὐ τρέφοντες, οὐδὲ πα- b

---

391, 5 κοινὸς] καινὸς A. 8 καὶ βιαζοίμεθα om. A. διολέσθαι] διελέσθαι A. 20 ἀφελοῦμεν] ἀφελῶμεν A, qui fortasse ἀφέλωμεν voluit. 21 αὐτοῦ τοὺς ὀρόφους A. αὐτῷ τὸν ζόφον H. 23 αὐληταῖς A. ποιηταῖς H. 25 ἀνωφελῆ] ἃ ἂν ὠφελῇ A. ἀλλ' ὅτι ἃ μὴ ὠφελῇ μηδ' ἄγῃ Petavius. ἄγῃ in ἀχρεῖα mutat Iacobsius ad Anthol. P. vol. III. p. 765.

ρασκευάζοντες ὁπλίτας ἐσομένους τυχὸν ἢ σφενδονήτας ἢ γυμνήτας. εἰ δὲ τοὺς ἀμείνους τις καὶ σεμνοτέρους ἢ παῖδας τοὺς λόγους κατορύττοι ἐν σκότῳ καὶ ἀποκλείοι ὥσπερ τὰ νόθα καὶ μοιχίδια τῶν ἐγγόνων καὶ μὴ παράγοι εἰς τὸ κοινὸν ἀποδώσων τὴν εὐπαιδίαν, πῶς οὐχὶ μᾶλλον δύσνους τε ἂν εἴη τῇ πόλει καὶ τῆς ἀρᾶς ἄξιος τῆς δημοσίας; καὶ γὰρ δὴ δυοῖν θάτερον ἀναγκαῖον, ἢ μηδένα γράφειν λόγους πολιτικούς, ἀλλὰ
c καὶ Πλάτωνος καὶ Ἀριστοτέλους καταγελᾶν ἐπὶ ταύτῃ τῇ προθυμίᾳ, ἢ κατατιθέμενον ἐν τοῖς γράμμασι τὴν τοιαύτην ἰδέαν ῥίπτειν ἐν ταῖς ὁδοῖς τὴν τύχην ἣν ἂν λάχωσιν ἀγαπήσαντες. τοῖς δὲ συμβαίη ἂν ἢ μαραίνεσθαι παραχρῆμα ἀθεραπεύτοις καὶ ἀκοσμήτοις, ἢ δείκνυσθαι κακῶς ὑπ᾽ ἄλλων ἀναληφθέντας, οἷον ποιμένων τινῶν ἢ βουκόλων περιτυχόντων ἐπ᾽ ἐρημίας καὶ ἀνελομένων παῖδας βασιλικούς, ἔπειτα ὑποβαλλομένων τε καὶ ἐκτρεφόντων τῆς φύσεως ἀναξίως. ἀτεχνῶς γὰρ
d δὴ τοῦτο συμβαίνει τοῖς λόγοις, οὓς ἂν ὁ μὴ γεννήσας αὐτὸς δεικνύῃ καὶ τιθηνῆται, καὶ ὡς ἐγέννησεν οὕτως ἐκτρέφῃ, συμπνέων τε καὶ ὁμοπαθῶν ταῖς ὠδῖσιν· ἀλλ᾽ ἕτεροι λαμβάνοντες ἐν ταῖς χερσὶν ἀπαριθμοῖεν, οὐκ ἐνιέντες τὸν νοῦν τοῖς ὀνόμασιν οὐδὲ ἐνσημαινόμενοι τὴν φροντίδα, μεθ᾽ ἧς ὁ πατὴρ αὐτοὺς ἐτεκνώσατο.

Πρὸς θεῶν, εἰ δὲ αἰσθανομένη ἡ πόλις φιλοσοφίας ὅτι ἀτιμάζοι αὐτῆς τὴν συνουσίαν καὶ αἰσχύνοιτο,
326 a ὡς ἐπὶ ψόγον συνελθοῦσα, ὅ τε δῆμος καὶ ἡ γερουσία, καὶ ἕλοιτο προηγόρους, πολλοὶ δέ που ὑμῶν κεκοινωνήκασι τῆς φιλοσόφου μανίας τε καὶ βακχείας· εἰ οὖν τούτων τινὰς προστησαμένη λέγοι πρὸς αὐτὴν καθαπτομένη καὶ ὀνειδίζουσα ὅτι, ὦ γενναία, πῶς οὖν ἔτι ἀγα-

---

392, 1 τυχὸν A. τυχὸν ἴσως H, quod ipsum alibi consentiente A legitur. 8 πολιτικοὺς] ποιητικοὺς A. 10 γράμμασι] ῥήμασι καὶ A. 11 τὴν τύχην] τῆς ψυχῆς A. 12 λάχωσιν ἀγαπήσαντες] λαχόντες ἀγαπήσωσι A. 15 ἢ βουκόλων A. καὶ βουκόλων H. 16 ἀνελομένων] ἀμελουμένων A. 18 ὁ μὴ] μὴ ὁ Iacobsius. 20 ἐκτρέφῃ] ἐκφέρῃ A. 22 ἐνιέντες τὸν] ἐνέντες A, omisso τὸν. 25 αὐτῆς om. A.

νικήσαις, εἴ τις σὲ ἀχρεῖον νομίζει τῷ βίῳ τῷ ἀνθρωπίνῳ; πῶς δὲ ἔτι τῆς ἀχρηστίας κελεύσεις αἰτιᾶσθαι τοὺς μὴ χρωμένους, ἀλλ' οὐ σαυτήν; πῶς δὲ ναυκλήρῳ ὑποκώφῳ ἡμᾶς παραβάλλεις, κατακοιμηθέντι τε ὑπὸ b
μέθης καὶ ἐπιτρέψαντι τὰ πηδάλια τοῖς ἀνεπιστήμοσι τῶν οἰάκων, ὅταν αὐτὴ μήτε ἄρχειν ἐθέλῃς μήτε ὁπλοφορεῖν μήτε βουλεύειν; ἀλλὰ καὶ ὃ μόνον σοι ἐστὶν ἐν ῥᾳστώνῃ, καὶ τούτῳ βασκαίνεις καὶ μὴ ἐπιτρέπεις μετέχειν ἡμῖν τοῖς πολλοῖς, ἀλλὰ ζητεῖς ἀεὶ τειχία τε καὶ περιβόλους ἐν οἷς αὐτὴ τὴν ζάλην ὑποστήσῃ καὶ τὸν κονιορτόν, ἡμῖν δὲ οὐ προβάλλῃ οὐδὲ ἐπαμύνεις κατὰ δύναμιν, καθάπερ ἀεὶ διατρίβουσα Ἀθήνησι καὶ παρ' c
ἐκείνῳ τῷ δήμῳ, καὶ τηνικαῦτα ἡνίκα αὐτὸς κύριος ἦν καὶ ἀτάσθαλος διὰ τὴν ἐξουσίαν καὶ ὑβριστής, καὶ ἤγετο ὑπὸ Ἀνύτου μᾶλλον ἢ ὑπὸ Σωκράτους. ἐμοὶ δὲ εὐήνιος μὲν ὁ δῆμος καὶ εὐπειθής, εὐαγωγότατός τε ἁπάντων καὶ εὐαλώτατος ὑπὸ λόγου.

Ἡ δ' οὖν γερουσία, ᾗ μάλιστα γέγηθα καὶ ἀγάλλομαι, τί δή ποτε παροπτέα σοι ἐνομίσθη καὶ αἰσχρὸν d
τὸ διαλέγεσθαι αὐτῇ δημοσίᾳ; ἣ αὐτὴ μέν σε οὐκ ἄλλου του χάριν ὁμότιμον ἐποιήσατο καὶ παρακαλεῖ ἐξ ἁπάσης γῆς καὶ θαλάσσης καὶ λιπαροῦσα εἰσάγεται εἰς τὸ συνέδριον, οὐχ ἵνα αὐτῇ χορηγοίης εἰς θέατρα καὶ ἱπποδρομίας — μυρίοι γὰρ οἱ πρὸς αὐτὰ ἁμιλλώμενοι καὶ φιλονεικοῦντες — ἀλλ' ἵνα κόσμος τε ᾖς σφίσι καὶ ὠφέλεια καὶ μεταδιδῷς τῶν ἀγαθῶν ὅσα οἴεταί σε ἐπιτηδεύειν· σὺ δὲ οὐ φῂς συνελθούσῃ αὐτῇ ὁμιλήσειν 327 a
οὐδὲ ἑστιάσειν ἀθρόως, εἰ μὴ χωρὶς ἕκαστος εἰς τὴν οἰκίαν λανθάνων φοιτῴη, ὥσπερ ἀτεχνῶς σιτία καὶ ὄψα καὶ ποτὰ παρεσκευασμένα, ἃ ἑνὶ μόνῳ καὶ δυοῖν

393, 4 ὑποκώφῳ] ὑποκύφῳ A. 5 τοῖς ἀνεπ.] τοῖς om. A. 7 ἐστὶν om. A. 8 τούτῳ A. τούτου A. 10 περιβόλους] περιβόλαια A. καὶ τὸν κονιορτὸν A. τὸν κονιορτόν, καὶ H. Conf. p. 104 c. 16 εὐήνιος A. εὐήκοος H. 17 ἁπάντων ἡμῶν H. ἡμῶν om. A. εὐαλώτατος] Notanda haec superlativi forma: nisi εὐαλωτότατος scripsit. 21 του] τοῦ A. τούτου H. 30 μόνῳ καὶ δυοῖν A. μόνον καὶ δυεῖν H.

ἱκανά, πλείονα δὲ οὐκ ἀπεχρήσατο, ἀλλ' οἱ λόγοι πλείους οὐκ ἀναλίσκονται εἰς τοὺς πλείους.

Τί δὲ καὶ ἐξαπατᾷς τοὺς ἀνθρώπους, καίτοι ἐν μεγάλῳ τὴν ἀλήθειαν ποιουμένη, καὶ λέγεις μὲν ὅτι σοι τῆς σοφίας δύο μοῖραι εἰσὶν, ἡ μὲν πρὸς τὰ θεῖα
b ἄγχουσα, ἡ δὲ πρὸς τὰ ἀνθρώπινα, τρίχα δὲ διεῖλες καὶ ἐκόσμησας· καί σοι ἓν μὲν ἔργον τέτακται ἐφ' ἑνὶ ἑκάστῳ χωρὶς, ὅπως ἂν καλὸς καὶ ἀγαθὸς ἀπεργασθῇ· ἕτερον δὲ, καθότι οἰκία μία ὅλη γένοιτ' ἂν εὐδαίμων· τρίτον δὲ καὶ μέγιστον καὶ πρὸς ὃ τὰ λοιπὰ συντετάχθαι φασὶ καὶ ἀπευθύνειν, ὡς πόλεώς τε ὅλης ἐπιμελεῖσθαι καὶ δήμου. καὶ ἀπὸ τούτου ξυγγραφεῖς νόμους τε καὶ πολιτείας ἀνυποθέτους τε καὶ ἐξ ὑποθέσεως, καὶ αὖ πρὸς διόρθωσιν ἑτέρους ἀρκοῦντας, καὶ
c ἀνάκεινταί σοι κύρβεις αἱ μὲν ἐν τῇ Ποικίλῃ, αἱ δὲ ἐπὶ τῆς Ἀκαδημίας, αἱ δὲ ἐν Λυκείῳ. ἡμεῖς οὖν τῆς μὲν μιᾶς ξυνόλως μοίρας οὐκ ἀμφισβητοῦμεν οὐδὲ κελεύομέν σε πράγματα ἔχειν, ὅπως ἂν ἐξηγήσαιο, διὰ τί οὐχ ἅπαντες οἱ ἀστέρες συμφέρονται ἅμα τῷ οὐρανῷ, ἀλλ' εἰσὶν οἳ ὀλίγοι ὄντες εἰς τοὔμπαλιν ἰέναι τοῖς πλείοσιν ἐπιχειροῦσιν, ἢ διὰ τί αὐτὸς οὗτος ὁ μέγας οὐρανὸς ἐνθένδε ἐκεῖσε πορεύεται καὶ οὐκ ἄμεινον αὐτῷ ἐφάνη τὸ ἐπὶ θάτερα, οὐδ' εἴ τί σοι ἀφανὲς κατέστη καὶ
d οὐρανοῦ ἀνώτερον. ἀλλ' οὐδὲ τὰ ἐγγὺς ἡμῶν καὶ χαμαίζηλα καὶ ἐν ποσὶ, βροντῶν τε πέρι καὶ ἀστραπῶν καὶ ὑετῶν καὶ πνευμάτων, οὐδὲ τί ὑπομένουσα ἡ χιὼν λευκὴ οὕτως ἐστὶ καίτοι ἐξ ὕδατος πεπηγυῖα, οὐδὲ τί παθοῦσα ἡ χάλαζα τοῦ μὲν χειμῶνος οὐ καταπίπτει, θέρους δὲ τὰ πολλὰ, καίτοι ψυχρότητι ὑπερβάλλουσα· μηδὲ ὑπὲρ τῆς ἴριδος ἡμᾶς διδάσκειν πότερον ἴνδαλμά ἐστι καὶ δόκησις τῶν ὀμμάτων, ἢ τὰ χρώματα αὐτῇ

294, 1 λόγοι πλείους A: πλείους om. H. 6 ἄγχουσα] τείνουσα A. Forsan ἄξουσα. 8 καλὸς καὶ ἀγαθὸς] καλῶς καὶ ἀγαθῶς A. 9 μία ὅλη A: συνόλη H. 12 ξυγγραφεῖς] ξυγγράψαντες A. 14 ἑτέρους] ἑτέρων A. 15 αἱ ter A. αἱ ter H. 16 τῆς Ἀκαδημίας] τῆς ἀκαδήμου A. 17 ξυνόλως] συνόλως A. ξυνόλης H.

ἀληθινὰ καὶ ἡ ποικιλία, μηδὲ ὑπὲρ τῆς θαλάττης, 328 a
καθότι ἁλμυρὰ ὑπὸ τῶν ποταμῶν ποιουμένη, μηδὲ ὑπὲρ τῆς γῆς αὐτῆς, ὅπως βρίθει τε εἰς τὸ κάτω καὶ ἵδρυται ἐν μετεώρῳ. ἀλλὰ ταῦτα ἀποκείσθω σοι ἅπαντα ἐν τῷ διδασκαλείῳ πρὸς τοὺς συνήθεις ὁμιλητάς, ὡς ἡμεῖς δυσμαθέστεροι ἴσως καὶ ἀφηλικέστεροι ἤδη τῆς ὑψηλοτέρας σοφίας.

Ὅπως δὲ γίνεται εἷς ἀνὴρ εὐδαίμων καὶ ὅπως σύμπασα οἰκία καὶ οἵοις χρωμένη πόλις ἐπιτηδεύμασιν b
ὀρθοῖτο ἄν, διὰ τί οὐ δημοσίᾳ κηρύττεις καί, εἰ οἷόν τε, ἀναβᾶσα ἐπὶ σκοπιὰν ὑψηλήν; ὅπου γὰρ ἂν λέγῃς, οἱ πολλοὶ ἡμῶν ἀκροάσονται, ἧττον μὲν ὑβρισταὶ ἢ Θρασύμαχος, ἧττον δὲ αὐθάδεις ἢ Πῶλος, ἧττον δὲ ἀναίσχυντοι ἢ Καλλικλῆς, τυχὸν δὲ καὶ ἧττον μὲν ῥᾳδιουργοὶ ἢ Ἀλκιβιάδης, ἧττον δὲ καὶ βίαιοι ἢ Κριτίας. ἀμαθὴς δὲ οὐδεὶς οὕτως ἐν τῷ δήμῳ τῷ ἡμετέρῳ οἷον τὸ Μένωνος ἀνδράποδον, ᾧ καὶ διάγραμμα ἐσαφήνισας μόλις ἐπαΐοντι τῆς Ἑλληνικῆς διαλέκτου. καίτοι c
τὴν γενναίαν ῥητορικὴν οὐκ ἄλλου του ἕνεκεν μεταχειρίζῃ ἢ τοῦ ἄγειν τοὺς πολλοὺς ἐφ᾽ ὅτῳ ἂν σοι δοκῇ κάλλιον εἶναι, καὶ ἀντίστροφον αὐτῆς τὴν διαλεκτικὴν ὀνομάζεις, καὶ φῂς ἀμφοτέραν σεαυτῇ προσήκειν καὶ ὄργανα εἶναι, τὸ μὲν ὥστε καθ᾽ ἕνα χειροῦσθαι, τὸ δὲ ὥστε ἀθρόον δῆμον.

Καὶ προσεπιλέγεις ἡμῖν τὴν αἰτίαν δι᾽ ἣν σοι ἀναγκαῖόν ἐστιν ἐπιμελεῖσθαι τῶν πιθανῶν λόγων, ὅτι οἱ πολλοὶ τούτοις μὲν ἄγονται καὶ κηλοῦνται καὶ ὑπέχουσι τὰ ὦτα, d
τοὺς δὲ ἀληθεῖς οὐ παραδέχονται εὐπετῶς, μὴ προειργασμένοι τὰς διανοίας. καὶ ταῦτα λέγουσα Κόρακος μὲν καὶ Τισίου καταγελᾷς καὶ Θεόδωρον σκώπτεις τὸν Βυζάντιον ὡς μικρὰ ἄττα καὶ ὀλίγου ἄξια εἰς τὴν τέχνην πορισαμένους, αὐτὴ δὲ

395, 2 ποταμῶν] κονίμων Iacobsius. 6 ἡμεῖς τε H. τε om. A. δυσμαθέστεροι] ἀμαθέστεροι A. 12 ἀκροάσονται A. ἀκούσονται H. 21 διαλεκτικὴν] διάλεκτον A. 22 φῂς om. A. ἀμφοτέραν A. ἀμφότερα H. καὶ ὄργανα A. καὶ om. H. 26 ἀναγκαῖόν ἐστιν A. ἐστιν om. H.

ἄνωθεν διδάσκεις ὅπως ἄν τις πειθὼ δημιουργοίη. καὶ
329 ᾗ οὔ τι ῥᾳθυμότερόν σοι ἐκπεπόνηται αὐτῇ ἢ ἡ περὶ
φύσεως θεωρία. τί οὖν παρασκευαζομένη τὰ ὅπλα
καταθίθης ὡς ἀχρεῖα; τί δὲ τεχνάζεις ἃ περιφρονεῖς
καὶ ἐπονείδιστα νομίζεις; οὐ γὰρ δὴ ὅμοια φαίης ἂν
πρὸς τοὺς ῥήτορας ὑπομένειν ὁποῖα πρὸς τοὺς κιθα-
ριστὰς καὶ τοὺς αὐλητὰς οἱ λυροποιοί, οἳ τὰ μὲν ὄρ-
γανα ἐκπορίζουσι, χρῆσθαι δὲ ἑτέροις ἐπιτρέπουσι τὸ
ὄργανον τοῖς χρωμένοις. καὶ ὑπηρέτης ὁ μὲν χαλινο-
ποιὸς τοῦ ἱππέως, ὁ δὲ φαρμακοπώλης τοῦ ἰατροῦ, ὁ
δὲ ναυπηγὸς τοῦ κυβερνήτου.

b Διὰ τί δὲ τοὺς μὲν περὶ τὰς ἔριδας διατρίβοντας
δυσχεραίνουσα οὐ τέχνην ὑφηγῇ λόγων ἐριστικῶν, ἀλλ'
ἐλέγχους, ῥητορικὴν δὲ ἀποδοκιμάζουσα, ὅμως ἐμπίπλης
τῶν ὑπὲρ αὐτῆς ξυγγραμμάτων τὰ ταμιεῖα τῆς μνημο-
σύνης; καὶ διδάσκεις μὲν ὡς ἐπωφελῆ καὶ χρειώδη,
οὐκ αὐτουργεῖς δὲ ὡς περίεργον καὶ ματαίαν. οὕτως
ἐκλελησμένη εἶ τοῦ φρονήματος οὗ πάλαι ἐφρόνεις καὶ
σεαυτὴν ἐν δίκῃ ἠξίους, οὐδὲ ἄλλῳ τῳ συγχωροῦσα
μεταποιεῖσθαι τῆς τέχνης ἢ μόνοις τοῖς σοῖς θιασώταις·
c καὶ τηνικαῦτα οὐ κατώκνεις οὐδὲ ἐδεδοίκεις μή τίς σε
μειρακιεύεσθαι ὑπολάβοι ἁμιλλωμένην πρὸς Λυσίαν καὶ
Θουκυδίδην, καὶ τοὺς μὲν ἀποσκορακίζουσάν τε καὶ
μόνον οὐχὶ ἐπιρραπίζουσαν αὐτῷ Γοργίᾳ καὶ Ἀντι-
φῶντι, Περικλέα δὲ ἐπαινοῦσαν μόνον καὶ Ἀσπασίαν
ὡς ῥήτορας τελεσιουργούς τε καὶ ὑψηλόνους, ὅτι ἐκ τῆς
Ἀναξαγόρου ἀδολεσχίας ταῦτα προσειλκύσαντο εἰς τὴν
τέχνην.

Ὅρα δὲ καὶ οἷα πεισόμεθα καὶ ὡς χαλεπὰ ἡμᾶς
d ἐργάσῃ, εἰ τὴν μὲν ὠφέλιμον ῥητορικὴν ἔχουσα αὐτὴ

396, 5 νομίζεις A. ὑπολαμβάνεις H. 7 Addidi οἳ. 8 ἐκπορίζουσι A. ἐκπορίζουσα H. ἐπιτρέπουσι A. ἐπιτρέπουσα H. 18 ἐκλελησμένη] ἐκλελησμένως A. 23 ἀποσκορακίζουσα — ἐπιρραπίζουσα. — ἐπαινοῦσα A. 26 ὑψηλόνους A. ὑψηλόγους H. 27 προσειλκύσαντο] προσειλκύσατο A. 29 ὅρα δὲ A. Ὅρα γὰρ H.

ἀποκρύψῃ, προσήκει δὲ ὑμᾶς τῷ [illegible] τῆς κολακείας τεμαχίῳ τῷ εἰδώλῳ τοῦ μορίου τῆς πολιτικῆς, ὃ ἀντίστροφον ὀνομάζεις ὀψοποιίας. εἶτα τῶν μὲν σκιαμαχούντων ἐπὶ τοῦ βήματος ὑπὲρ Κίμωνος ἢ Νικίου ἢ Μιλτιάδου, καὶ μινυριζόντων ἐν τοῖς προλόγοις ἦρος ἐπαίνους καὶ χελιδόνων καὶ ἀηδόνων, σπουδῇ αὐλιζόμενοι ἀκροασόμεθα, λόγου δὲ κέντρον ἐγκαταλιπεῖν d 330 a δυναμένου πρὸς ἀρετὴν οὐδεπώποτε ἀπολαύσομεν; ἀλλ' ἀφίης νέμεσθαι ἡμῶν τὴν φιληκοΐαν καὶ προσέχειν τοῖς καταυλοῦσι λόγοις καὶ γοητεύουσιν, ὥσπερ αἱ σειρῆνες, καὶ οὐκ ἀντιτάσσεις αὐτοῖς παρελθοῦσι τὸν ὄρθιον νόμον, οὐδ' ἐξεγείρεις ἐμβοήσασα καὶ ἀποτρέπεις καταβουκολουμένους ὑπὸ τῶν εἰδώλων καὶ τῆς ἀκάρπου πιθανουργίας, οὐδὲ ἀποκλύζεις τὸ λεγόμενον, καὶ ἀποσμήχεις ποτίμῳ τὴν ἁλμυρὰν ἀκοήν; ἀλλ' Ὁμήρου μὲν ὑφορᾷ καὶ δυσωπῇ τὴν ποιητικήν, ὡς ἀλλοκότους ἐμ- b ποιοῦσαν δόξας περὶ θεῶν, αὐτὴ δὲ οὐδὲν ἀντεισάγεις ἀλεξιφάρμακον τοῖς θεάτροις, οὐδὲ μῶλύ τι ἐξευρίσκεις, οἷον ἐκεῖνος παρὰ τοῦ Ἑρμοῦ δίδωσιν Ὀδυσσεῖ, ὡς διαφυγεῖν τῆς Κίρκης τὴν μαγγανείαν; καίτοι χαριέντως γε ἀκούομεν ἀποκρίνασθαι Καρνεάδην πρὸς τὸ μειράκιον τὸ ἐρώμενον, εἰ καὶ σοφὸς παιδικῶν ἐρασθήσεται, ὅτι δεινὰ μέντἂν πάθοιτε ὑμεῖς οἱ καλοί, εἰ μόνοι περὶ ὑμῶν σπουδάζουσιν οἱ ἀνόητοι· πλημμελέστερον δὲ δήπου καὶ τὸ εἰρημένον πάθος, εἰ τῶν μὲν Ἀριστείδου ἐκγόνων ἀκροασόμεθα, τῶν δὲ Πλάτωνος οὐδεὶς ἀκούσεται.

Μὴ πρὸς θεῶν, ὦ γενναία, μὴ ἀποκάμῃς·
Ἀλλ' ἐπάμυνε τάχιστα, σάω δ' ἐρίηρας ἑταίρους·

397, 2 τεμαχίῳ] τεμμαχίῳ A. τεμάχει H. μορίου] μόρου A. 5 προλόγοις ἦρος ἐπαίνους] προλόγου ἦρος ἐπαίνοις A. 6 αὐλιζόμενοι A. αὐλιζόμενοι H. 8 οὐδεπώποτε] οὐδέποτε Lobeckius ad Phrynich. p. 458. ἀλλ' ἀφίης] ἀλλὰ φὴς A. 10 καταυλοῦσι] κάτω κηλοῦσι A. 12 ὄρθιον A. ὄρθειον H. ἀποτρέπεις A. ἀποστρέφεις H. 14 ἀποκλύζεις — ἀποσμήχεις] ἀποκλύσεις — ἀποσμήξεις A. 19 Ὀδυσσεῖ, ὡς] ὀδύσσην A. 20 διαφυγεῖν A. διαφύγῃ H. 26 ἐκγόνων] Vulgo ἐγγόνων. 28 Ἀλλ'] Ex Iliad. φ, 311, cf. 363.

e ἄνωθεν διδάσκεις ὅπως ἄν τις πειθὼ δημιουργοίη. καὶ
329 ἦ οὔ τι ῥᾳθυμότερόν σοι ἐκπεπόνηται αὕτη ἢ ἡ περὶ φύσεως θεωρία. τί οὖν παρασκευαζομένη τὰ ὅπλα καταστίθης ὡς ἀχρεῖα; τί δὲ τεχνάζεις ἃ περιφρονεῖς καὶ ἐπονείδιστα νομίζεις; οὐ γὰρ δὴ ὅμοια φαίης ἂν πρὸς τοὺς ῥήτορας ὑπομένειν ὁποῖα πρὸς τοὺς κιθαριστὰς καὶ τοὺς αὐλητὰς οἱ λυροποιοί, οἳ τὰ μὲν ὄργανα ἐκπορίζουσι, χρῆσθαι δὲ ἑτέροις ἐπιτρέπουσι τὸ ὄργανον τοῖς χρωμένοις. καὶ ὑπηρέτης ὁ μὲν χαλινοποιὸς τοῦ ἱππέως, ὁ δὲ φαρμακοπώλης τοῦ ἰατροῦ, ὁ δὲ ναυπηγὸς τοῦ κυβερνήτου.

b Διὰ τί δὲ τοὺς μὲν περὶ τὰς ἔριδας διατρίβοντας δυσχεραίνουσα οὐ τέχνην ὑφηγῇ λόγων ἐριστικῶν, ἀλλ' ἐλέγχους, ῥητορικὴν δὲ ἀποδοκιμάζουσα, ὅμως ἐμπίπλης τῶν ὑπὲρ αὐτῆς ξυγγραμμάτων τὰ ταμιεῖα τῆς μνημοσύνης; καὶ διδάσκεις μὲν ὡς ἐπωφελῆ καὶ χρειώδη, οὐκ αὐτουργεῖς δὲ ὡς περίεργον καὶ ματαίαν. οὕτως ἐκλελησμένη εἶ τοῦ φρονήματος οὗ πάλαι ἐφρόνεις καὶ σεαυτὴν ἐν δίκῃ ἠξίους, οὐδὲ ἄλλῳ τῳ συγχωροῦσα μεταποιεῖσθαι τῆς τέχνης ἢ μόνοις τοῖς σοῖς θιασώταις·
c καὶ τηνικαῦτα σὺ κατώκνεις οὐδὲ ἐδεδοίκεις μή τίς σε μειρακιεύεσθαι ὑπολάβοι ἁμιλλωμένην πρὸς Λυσίαν καὶ Θουκυδίδην, καὶ τοὺς μὲν ἀποσκορακίζουσάν τε καὶ μόνον οὐχὶ ἐπιρραπίζουσαν αὐτῷ Γοργίᾳ καὶ Ἀντιφῶντι, Περικλέα δὲ ἐπαινοῦσαν μόνον καὶ Ἀσπασίαν ὡς ῥήτορας τελεσιουργούς τε καὶ ὑψηλόνους, ὅτι ἐκ τῆς Ἀναξαγόρου ἀδολεσχίας ταῦτα προσειλκύσαντο εἰς τὴν τέχνην.

Ὅρα δὲ καὶ οἷα πεισόμεθα καὶ ὡς χαλεπὰ ἡμᾶς
d ἐργάσῃ, εἰ τὴν μὲν ὠφέλιμον ῥητορικὴν ἔχουσα αὐτὴ

396, 5 νομίζεις A. ὑπολαμβάνεις H. 7 Addidi οἱ. 8 ἐκπορίζουσι A. ἐκπορίζουσα H. ἐπιτρέπουσι A. ἐπιτρέπουσα H. 18 ἐκλελησμένη] ἐκλελησμένως A. 23 ἀποσκορακίζουσα — ἐπιρραπίζουσα — ἐπαινοῦσα A. 26 ὑψηλόνους A. ὑψηλόγους H. 27 προσειλκύσαντο] προσειλκύσατο A. 29 ὅρα δὲ A. Ὅρα γὰρ H.

ἀποκρύψῃ, περιόψῃ δὲ ἡμᾶς τῷ σαπρῷ τῆς πολιτικῆς τεμαχίῳ τῷ εἰδώλῳ τοῦ μορίου τῆς πολιτικῆς, ὃ ἀντίστροφον ὀνομάζεις ὀψοποιίας· εἶτα τῶν μὲν σκιαμαχούντων ἐπὶ τοῦ βήματος ὑπὲρ Κίμωνος ἢ Νικίου ἢ Μιλτιάδου, καὶ μινυριζόντων ἐν τοῖς προλόγοις ἥρως ἐπαίνους πρὸ χελιδόνων καὶ ἀηδόνων, σπουδῇ αὐλιζόμενοι ἀκροασόμεθα, λόγου δὲ κέντρον ἐγκαταλιπεῖν 330 a δυναμένου πρὸς ἀρετὴν οὐδεπώποτε ἀπολαύσομεν; ἀλλ' ἀφίης νέμεσθαι ἡμῶν τὴν φιληκοΐαν καὶ προσέχειν τοῖς κατακηλοῦσι λόγοις καὶ γοητεύουσιν, ὥσπερ αἱ σειρῆνες, καὶ οὐκ ἀντιτάσσεις αὐτοῖς παρελθοῦσα τὸν ὄρθιον νόμον, οὐδ' ἐξεγείρεις ἐμβοήσασα καὶ ἀποτρέπεις καταβουκολουμένους ὑπὸ τῶν εἰδώλων καὶ τῆς ἀκάρπου πιθανουργίας, οὐδὲ ἀπειλύζεις, τὸ λεγόμενον, καὶ ἀποκλίνεις αὐτίκα τὴν ἁλμυρὰν ἀκοήν; ἀλλ' Ὁμήρου μὲν ὑφορᾷ καὶ δυσωπῇ τὴν γοητείαν, ὡς ἀλλοκότους ἐμ- b ποιοῦσαν δόξας περὶ θεῶν, αὐτὴ δὲ οὐδὲν ἀντεισάγεις ἀλεξιφάρμακον τοῖς θεάτροις, οὐδὲ μῶλύ τι ἐξευρίσκεις οἷον ἐκεῖνος παρὰ τοῦ Ἑρμοῦ δίδωσιν Ὀδυσσεῖ, ὡς διαφυγεῖν τῆς Κίρκης τὴν μαγγανείαν; καίτοι χαρίεντός γε ἀκούομεν ὑποκρίνασθαι Καρνεάδην πρὸς τὸ μειράκιον τὸ ἐρώμενον, εἰ καὶ σοφὸς παιδικῶν ἐρασθήσεται, ὅτι δεινὰ μέντἂν πάθοιτε ὑμεῖς οἱ καλοί, εἰ μόνοι περὶ ὑμῶν σπουδάζουσιν οἱ ἀνόητοι· ἐλεεινότερον δὲ δήπου καὶ τὸ εἰρημένον πάθος, εἰ τῶν μὲν Ἀριστείδου ἐκγόνων ἀκροασόμεθα, τῶν δὲ Πλάτωνος οὐδεὶς ἀκούσεται.

Μὴ πρὸς θεῶν, ὦ γενναία, μὴ ἀποκάμῃς,
Ἀλλ' ἐπάμυνε τάχιστα, σάω δ' ἐρίηρας ἑταίρους·

397, 2 τεμαχίῳ] τεμμαχίῳ A. τεμάχει H. μορίου] μόρου K. 5 προλόγοις ἥρως ἐπαίνους] προολίγου ἥρως ἐπαίνους A. 6 αὐλιζόμενοι A. ὑλισσόμενοι H. 8 οὐδεπώποτε] οὐδέποτε Lobeckius ad Phrynich. p. 458. 9 ἀλλ' ἀφίης] ἀλλ' ἀφῆς A. 10 κατακηλοῦσι] κάτω κηλοῦσι A. 12 ὄρθιον A., ὄρθριον H. ἀποτρέπεις A. ἀποστρέφεις H. 14 ἀπειλύζεις — ἀποκλίνεις] ἀποκλύζεις — ἀποκλίνεις A. 19 Ὀδυσσεῖ, ὡς] ὀδύσσει A. 20 διαφυγεῖν A. διαφύγῃ H. 26 ἐκγόνων] Vulgo ἐγγόνων. 28 Ἀλλ'] Ex Iliad. φ, 311, σ, 363.

μᾶλλον ἐκεῖνό σοι πείσεται, φησὶ Σωκράτης, ἵν' ἂν ἡμᾶς τοσούτων δέοντας ἀπεργάσῃς. μηδὲ εὐλαβοῦ τοὺς σκώπτοντας καὶ κωμῳδοῦντας· πολὺ γάρ σοι πλείους ἡμεῖς αἱ χάριν εἰσόμενοι καὶ ἀσπασόμενοι ἐφ' οἷς ἂν λέγῃς. σὺ δὲ τοσούτοις μὲν μὴ προσέχειν, μιμεῖσθαι d δὲ τὸν Ἀπόλλωνα τὸν Πύθιον. ἐκεῖνος οὐ μόνον χωρὶς ἑκάστῳ ἀνθρώπῳ, ἀλλὰ καὶ δήμοις ἀθρόοις ἐν μέσῳ τῆς γῆς ἐπὶ τοῦ ὀμφαλοῦ καθήμενος ἐξηγεῖται, οὐδὲ φιλονεικεῖ ἀναιρῶν τοὺς χρησμούς, ὅτι ἀκούσονται αὐτῶν ἐν τῇ ἐκκλησίᾳ τῇ Ἀθηναίων οὐ μόνον Θεμιστοκλῆς, ἀλλὰ καὶ Ὑπέρβολος ὁ λυχνοποιὸς καὶ Διοκλῆς ὁ λωποδύτης καὶ Μελητίδης ὁ ἀνόητος.

Καὶ τί σοι λέγομεν τὸν Ἀπόλλω; ὁρᾷς τουτονὶ τὸν ἥλιον τὸν πρόγονον τοῦ Ἀπόλλωνος, ὡς ἔστι τἀ-331 γαθὸν ἀνάλογον αὐτῷ; ἢ οὐ δοκεῖ σοι ὁ θεὸς οὗτος δημοσίᾳ ἐφ' ἑκάστης ἡμέρας ἐπιδείκνυσθαι τὴν σοφίαν; οὐκ εἰς τὴν πνύκα συλλέγων, οὐδ' εἰς τὴν θυμέλην περιιὼν Ἀθήνησιν, ὥσπερ ὁ Γοργίας, ἀλλ' εἰς τὸ μέγα θέατρον τοῦτο καὶ ἀτεχνῶς Ὀλύμπιον, ἐν ᾧ συγκαλῶν καὶ ἀγείρων πάντας ἀνθρώπους διδάσκει τε καὶ ἐξηγεῖται πηνίκα μὲν δέοι σπείρειν, πηνίκα δὲ φυτεύειν, πηνίκα δὲ ἀμᾶν, ὁπηνίκα δὲ τῶν βοτρύων ἐπιμελεῖσθαι, καὶ ὅτε πλωΐζεσθαι ἔγκαιρον καὶ ὅτε κρεμαννύειν ὑπὲρ καπνοῦ τὰ πηδάλια. λέγει δὲ καὶ ἔτι b μικρότερα ὅσα σχεδόν τι οἱ φιλόσοφοι γράφουσιν ἐν τοῖς ποιητέοις καὶ οὐ ποιητέοις. ταῦτα ἅπαντα ἐκ τοῦ οὐρανοῦ ἄνωθεν τρανότερόν τε καὶ ἀριδηλότερον ἐξηγεῖται, καὶ ὁπότε βαδιστέον εἰς ἀγορὰν καὶ ὁπότε οἴκαδε ἐπανιτέον, καὶ πηνίκα ἄμεινον ἐγρηγορέναι καὶ

398, 1 σοι πείσεται φησὶ σωκράτης A. ἐκπείσεταί σοι Σωκράτης H. 3 πολὺ] πολλοὶ A. Fortasse πολλῷ. 5 τοσούτοις A. τούτοις H. 11 καὶ Διοκλῆς ὁ λωποδύτης om. A. 12 Μελητίδης] Vulgo Μελιτίδης. 14 ὡς ἔστι τἀγαθὸν] ὡς ἔστι τ' ἀγαθῷ A. ὡς τὸ ἀγαθὸν H. 21 πηνίκα μὲν A. ὁπηνίκα μὲν H. δέοι] δέει A. πηνίκα (ὁπηνίκα H) δὲ φυτεύειν om. A. 22 πηνίκα δὲ ἀ. A. ὁπηνίκα δὲ ἀ. H. 23 ἔγκαιρον A. εὔκαιρον H. 27 τρανότερον] Vulgo τρανότερα.

πηνίκα ὕπνῳ ἐπιτρεπτέον· οἱ δὲ ἄνθρωποι μεθ' ἡδονῆς ὑπακούουσιν ἐπιδεικνυμένου ταύτην αὐτοῖς τὴν σοφίαν καὶ θαυμάζουσι τὰ διδάγματα, οὐ τῷ λόγῳ, ἀλλὰ τῷ ἔργῳ. πείθονται γὰρ καὶ ὑπουργοῦσιν ὅ τι ἂν σημήνῃ καὶ παραγγείλῃ. οὐδὲν δὲ κωλύει τοὺς πολ- C
λοὺς πείθεσθαι εὐθέως φανέντι καὶ ἐξανίστασθαι καὶ ἐναργὸν εἶναι, Σαρδανάπαλλον δὲ καὶ Σμινδυρίδην καθεύδειν καὶ ἐν μέσῳ ὄντος τοῦ θεοῦ τῇ ἐπιδείξει, ὥσπερ, οἶμαι, καὶ ἐπὶ τῶν σοφιστῶν οἱ μὲν προσέχου-
D σιν, οἱ δὲ οὔ.

399, 7 Σαρδανάπαλλον] Vulgo Σαρδανάπαλον.

XXVII.

d ΠΕΡΙ ΤΟΥ ΜΗΔΕΝ ΤΟΙΣ ΤΟΠΟΙΣ ΑΛΛΑ ΤΟΙΣ ΑΝΔΡΑΣΙ ΠΡΟΣΕΧΕΙΝ.

Τί ποτε ἄρα τὰς μὲν ἄλλας τέχνας οἱ ἄνθρωποι οὐχ ὅπως ἐν πόλει διδάξονται σεμνῇ καὶ ἐνδόξῳ φροντίζουσιν, ἀλλ' ὅπως ὑπὸ τοῦ κάλλιστα ἑκάστην ἐπισταμένου, οἷον χαλκεύειν παρὰ τοῦ χαλκεύειν εἰδότος, αὐλεῖν τε αὖ καὶ κιθαρίζειν παρὰ τῶν ταῦτα εὖ δυναμένων, κἂν

332 a ὅπου ποτὲ ὦσι γῆς καὶ θαλάττης· ἐπὶ δὲ τῆς καλουμένης παιδείας οὐ τὸ ἴσον ἀποδιδόασιν, οὐδὲ παρ' ὅτου μάθοιεν, ἀλλ' ὅπου, ζητοῦσι. καὶ ὑπὲρ μὲν τῶν λόγων αὐτῶν οὐδὲ εἷς λόγος αὐτοῖς· εἰ δὲ ἡ πόλις ἀρχαία καὶ παλαιῶν γέμουσα μυθολογημάτων, τοῦτο ἐξετάζουσί τε καὶ μεταποιοῦνται. καίτοι καθάπερ οὐδὲν κωλύει τὰ αὐτὰ ἐργάζεσθαι ὑποδήματα ἔν τε ἀδόξῳ πόλει καὶ ἐν σεμνοτέρᾳ καὶ τὰ αὐτὰ γράμματα γράφειν, οὕτως οὐδὲ τοὺς αὐτοὺς λόγους ἐκμελετᾶν. νῦν δὲ τεκταίνεσθαι μὲν καὶ οἰκοδομεῖν καὶ ὑφαίνειν ἁπαν-

b ταχοῦ παραπλησίως ἐπιχειροῦσι, τοῖς λόγοις δὲ ἕν τι χωρίον ἐξελόντες ἢ μίαν πόλιν τοὺς ἀλλαχοῦ τι λέγοντας διαβάλλουσιν, ὥσπερ τοὺς ἐξορχουμένους τὰ μυστήρια ταῖν θεαῖν. ὁρῶ δὲ ἔγωγε νεὼς μὲν τῷ Ἑρμῇ κατὰ πᾶσαν ὁμοίως χώραν τε καὶ πόλιν δειμαμένους,

---

400, 4 διδάξονται A. διδάσκοιντο H. 6 αὐλεῖν τε A. αὐλεῖν γε H. 8 ὅπου Boissonadius ad Euripidem vol. IV. p. 306. Vulgo ὅποι. 9 τὸ ἴσον] τοιοῦτον A. 10 ὑπὲρ A. περὶ H. 11 οὐδὲ εἷς A. οὐδεὶς H. 12 ἀρχαία A. ἀρχαίων H. τοῦτο A. τούτους H. 21 ταῖν θεαῖν A. τῶν θεῶν H. 22 δειμαμένους A. αὐτοὺς δειμαμένους H.

τὰ διδασκαλεῖα δὲ τῶν λόγων οὐκ ἀξιοῦντας ὑπολαμβάνειν Ἑρμοῦ νεὼς ἀληθεστέρους. ἀλλ' εἰ μὲν χρυσοῦν ἢ ἀργυροῦν ἢ ἐλέφαντος τῷ θεῷ τις ἐνταῦθα δημιουργήσειεν ἄγαλμα, προσκυνοῦσί τε αὐτὸ καὶ σέβονται οὐδὲν ἧττον, τὰ δὲ ἐκ τῶν λόγων ἀγάλματα τῆς ἐντεῦθεν c τέχνης ὑπερορῶσί τε καὶ ἀτιμάζουσι.

Ταῦτα δὲ ἐπῆλθέ μοι πρὸς ὑμᾶς λέγειν οὐχ ὡς ἀδολεσχοῦντι μὰ Δία οὐδὲ εἰκῇ τι βουλομένῳ λέγειν καὶ κατὰ πράγματος οὐδενός· οὐ γάρ οὕτως εἰμὶ σοφὸς οὐδὲ εὔπορος ὡς οἱ μακάριοι σοφισταί· ἀλλ' ὅτι καὶ τὰ ἐνθάδε τις μουσεῖα φαῦλα ποιεῖται καὶ ἀτιμάζει, ἄλλο μὲν ἴσως οὐδὲν οὔτε ἐγκαλῶν οὔτε ἔχων· ἔοικε δ' οὖν καὶ οὗτος ἐξεταστῇ πόλεων καὶ οὐ λόγων. βούλεσθε οὖν αὐτὸν μεταπείθωμεν, εἴ πῃ δυνάμεθα ἐξευρεῖν, ὅτι μὴ δέοι δυσχεραίνειν αὐτὸν μηδὲ ἀνιᾶσθαι d τοῦτο τὸ μέρος, εἴ τά γε τιμιώτερα αὐτῷ κατὰ νοῦν ὑπάρχοι;

Ἐγὼ τοίνυν καὶ αὐτὸς, ὦ χρηστὲ νεανία, ἐν πολὺ τοῦδε ἀφανεστέρῳ χωρίῳ τοὺς ῥητορικοὺς λόγους ἀνεδρεψάμην, οὐδὲ ἐν ἡμέρῳ καὶ Ἕλληνι, ἀλλ' ἐν τῇ ἐσχατιᾷ τοῦ Πόντου πλησίον Φάσιδος, ὅπου καὶ τὴν Ἀργὼ σωθεῖσαν ἐκ Θεσσαλίας ποιηταί τε ἐθαύμασαν καὶ οὐρανὸς ἀνηρείψατο· ἐκεῖ δέ που καὶ ὁ Θερμώδων 333 a καὶ τὰ Ἀμαζόνων ἔργα καὶ τὸ Θεμισκύριον. ἀλλ' ὅμως οὕτω βάρβαρον καὶ ἀνήμερον χωρίον ἀνδρὸς ἑνὸς σοφία καὶ ἀρετὴ Ἑλληνικόν τε ἐποίησε καὶ ἀνάκτορον τῶν Μουσῶν, ὃς ἐν μέσῳ Κόλχων καὶ Ἀρμενίων καθιδρυμένος οὐ τοξεύειν οὐδὲ ἀκοντίζειν ἐδίδασκε οὐδὲ ἀναβαίνειν ἵππον κατὰ τὴν προσοίκων βαρβάρων παιδείαν,

---

401, 4 αὐτὸ A. αὐτῷ H. 5 τὰ — ἀγάλματα τῆς A. τῶν — ἀγαλμάτων καὶ τῆς H. 6 ὑπερορῶσί τε A. τε om. H. 7 οὐχ ὡς] οὐχ οὕτως A. 10 ὡς οἱ A. ὥσπερ οἱ H. 12 ἴσως οὐδὲν οὔτε] ἴσως οὐδὲν A. ἴσως οὔτε H. 13 ἐξεταστῇ] ἐξεταστῆς A. 14 μεταπείθωμεν] μεταπείθομεν A. 18 τοίνυν A. τοι H. 22 ποιηταί τε] τε om. A. 25 καὶ ἀνήμερον χωρίον A. χωρίον καὶ ἀνήμερον H. 29 κατὰ om. A.

ἀλλὰ ῥητορικὴν ἐκπονεῖν καὶ πανηγύρεσιν Ἑλλήνων ἐμπρέπειν. εἰ δὲ ἀληθῆ ταῦτα λέγω, δῆλον εὐθὺς εἴ τι
b λέγω. κἀκεῖσε ἀφικόμην οὐ κατ' οἰκείαν ὁρμήν τε καὶ κρίσιν, ἀλλά με ἔστειλεν ἀνὴρ οὕτω μὲν εὔνους ὡς ἂν πατήρ, οὕτω δὲ ὀρθῶς δοκιμάζων, ὡς ἂν φιλόσοφος· ἢ κἀκείνου σὺ πάντως καταφρονήσεις, ὅτι τὴν θρυλουμένην φιλοσοφίαν τῇδέ που καὶ αὐτὸς συνελέξατο, ἐμοῦ δὲ ἴσως καὶ πολὺ μᾶλλον, ἅτε οἴκοθεν καὶ ἀφ' ἑστίας τὰ ὄργια τελεσθέντος.

Φέρε δὴ ἴδωμεν ἀφ' ὅτῳ καὶ ἀνιώμεθα· ἐγὼ μέντοι οὐδὲ αὐτός που δύναμαι κατανοῆσαι ἡμῶν τὸ πλῆθος, εἰ τὰ σώματα ἐνοσοῦμεν καὶ ἐδεόμεθα τῆς παρὰ
c τοῦ θεοῦ βοηθείας, ὁ δὲ ἐνταῦθα παρῆν ἐν τῷ νεῷ καὶ τῇ ἀκροπόλει καὶ παρεῖχεν ἑαυτὸν τοῖς κάμνουσιν, ὥσπερ δήποτε καὶ λέγεται, πότερον ἦν ἀναγκαῖον εἰς Τρίκκην βαδίζειν καὶ διαπλεῖν εἰς Ἐπίδαυρον κατὰ τὸ παλαιὸν κλέος, ἢ δύο βήματα κινηθέντας ἀπηλλάχθαι τοῦ νοσήματος; τί δὲ εἰ τοῦ πατρὸς αὐτοῦ δεηθέντες ἐτύχομεν ὀλίγου πρότερον χρόνου, ἡνίκα ἐν γειτόνων τὴν μαντικὴν ἐπεδείκνυτο; ἆρα ἂν ὑμῖν ἄτιμον ἐφάνη τὸ Παφλαγόνων ὄνομα πρὸς τὸ Δελφῶν παραβάλλουσι
d καὶ ἀνάξιον τῆς θεωρίας τῆς ὑμετέρας; χρῆν οὖν, ὡς ἔοικεν, ἐπὶ Κασταλίαν σπεύδειν καὶ τὰ σεμνὰ ὀνόματα, καί που καὶ Πυθῶδε ἐπείγεσθαι, καὶ τῆς παλαιότητος ἀπολαύειν τοῦ Παρνασοῦ, καὶ τὴν προφῆτιν ὁρᾶν τὴν σιωπῶσαν, αὐτοῦ δὲ τὸν Ἀπόλλω καταλιμπάνειν, οὗ τῆς μαντικῆς ἐδεόμεθα, καὶ ἀγανακτεῖν πρὸς αὐτὸν, ὅτι τὰ μέσα Παφλαγονίας τῶν μέσων τῆς Ἑλλάδος προὐτίμησε;
334a γελοῖοι μέντἂν ἐδοκοῦμεν εἶναι, οὐ διὰ τὸν θεὸν καὶ τὸ χωρίον τιμῶντες, ἀλλὰ διὰ τὸ χωρίον καὶ τὸν θεὸν ἀτιμάζοντες. ἐγὼ δὲ καὶ Μίλητον μὲν ἄγαμαι καὶ Κολο-

---

402, 1 Ἑλλήνων om. A. 6 θρυλουμένην A. θρυλλουμένην H. 10 μέντοι οὐδὲ A. μὲν γάρτοι οὐκ H. 12 ἐδεόμεθα A. ἐδέομεν H. 13 νεῷ A. ναῷ H. 18 τοῦ πατρὸς] ἢ τοῦ ἀπόλλωνος gl. A. 19 ὀλίγου] ὀλίγον A. ἐν γειτόνων A. ἐκ γειτόνων H. 22 ὑμετέρας] ἡμετέρας H. 28 προὐτίμησε] προετίμησα A. 31 μίλητον μὲν A. μὲν om. H.

φαίνοιτο τῆς παλαιᾶς ἐνδιαιτήσεως τοῦ Ἀπόλλωνος, αἱ δὲ πλησίον που νῦν ἱδρυθεὶς ὁ θεὸς φαίνοι τὴν μαντικήν, εἰς ἐκείνην βαδιοῦμαι τὴν πόλιν, καὶ ναὶ μὰ Δία τὴν κώμην καὶ τὸν ἀγρὸν καὶ τὸ ἄλσος καὶ τὸ δένδρον, εἴ γε δένδρον αὐτῷ προσφιλὲς γένοιτο, καθάπερ τῷ Διὶ τὴν δρῦν τὴν ἐν Δωδώνῃ πη γενέσθαι λόγος. ὁρᾷς δὲ ὅτι καὶ τὸν ἥλιον οἱ προσκυνοῦντες, ἔνθα ἂν b φαίνηται τοῦ οὐρανοῦ, ἐκεῖσε τὰς χεῖρας ἐκτείνουσι, καίτοι σεμνότερον ἡ ἀνατολὴ τῶν ἄλλων τόπων καὶ πρότερον ὑμῖν ἐκεῖθεν ἢ ἀλλαχόθεν ὁρᾶται.

Σὺ δὲ παιδείας εἶναι φάσκων καὶ λόγων ἐραστὴς οὐ παιδείαν ζητήσεις καὶ λόγους, καὶ ὅπου ποτ' ἂν εὑρίσκῃς, ἐνταῦθα ἀγαπήσεις μένειν καὶ ἐμπίπλασθαι τοῦ πόθου, κἂν Ἀθήνησι κἂν ἐν Πελοποννήσῳ κἂν ἐν Βοιωτίᾳ; καὶ γὰρ δὴ καὶ ἡ Βοιωτία χωρίον μὲν ἀμαθίας εἶναι ἔδοξε, καὶ ὗν τινα, οἶμαι, Βοιωτίαν ἐκάλουν, εἰς ἀπαιδευσίαν τὸ φῦλον ἐπισκώπτοντες. ἀλλ' c ὅμως Πίνδαρος καὶ Κόριννα καὶ Ἡσίοδος οὐκ ἐμολύνθησαν τῇ συΐ. Ἀνάχαρσιν δὲ τὸν Σκύθην πάντως ἀκούεις ὅτι καὶ σοφὸς ἦν καὶ Σκύθης. ἀνδρὶ μὲν γάρ, οἶμαι, πολιτικῷ δεῖ γενέσθαι πρῶτον, κατὰ τὸν ποιητήν, τὴν πόλιν εὐδόκιμον· οἱ λόγοι δὲ οὐ δέονται πατρίδος ἐνδόξου, ἀλλὰ ἰσότιμοι, τυχὸν δὲ καὶ τιμιώτεροι τῶν ἐν ταῖς μεγίσταις πόλεσιν οἱ κατ' ἐρημίαν φυέντες. καίτοι γε στρατηγὸν ἐν Σαλαμῖνι τραφέντα προτιμᾷ Ὅμηρος τοῦ Μυκηναίου, τόν τε ἐκ Φθίας καὶ ταῦτα ἐν ὄρεσι παιδευθέντα πάντων Ἑλλήνων τε καὶ βαρβάρων. d καὶ ἐγὼ οὖν τὰ ἐκείνου ἔπη, εἴτε ἐν Χίῳ αὐτὰ ἐποίησεν εἴτε ἐν Σμύρνῃ, τῶν Ἀθήνησι γενομένων ἁπάντων προτιμῶ τε καὶ πλεῖστον ἀναγινώσκειν ἐθέ-

403, 2 ἱδρυθεὶς] Vulgo ἱδρυνθεὶς. 11 εἶναι φάσκων A. φάσκων εἶναι H. 12 ὅπου codex Vales. apud Boisson. ad Euripidem vol. IV. p. 306. 13 ἐμπίπλασθαι A. ἀποπίμπλασθαι H. 19 τῇ συΐ A. τῆς ὑός H. πάντως A. πάντων H. 25 καίτοι γε A. καίτοι καὶ H. 26 τόν τε A. τὸν δὲ H. 27 πάντων A. ἁπάντων H. 28 οὖν add. A. αὐτὰ] ταῦτα A.

λοιμῷ. ἐν ἐκείνοις γάρ, οἶμαι, καὶ τοῦτο μαθήσομαι ὡς οὐδὲν κωλύει καὶ ἐν Ἰθάκῃ διδαχθέντα πολύμητιν εἶναι καὶ ἐκ Πύλου γλύκιον μέλιτος φθέγγεσθαι.

Σκόπει δὲ εἰ καὶ τοῦτο πρὸς τρόπου λέγω, ὅτι
335 a τὸν φιλοῦντά τι γνησίως τε καὶ ἀδόλως, δεῖ φαίνεσθαι οὐ πῇ μὲν φιλοῦντα αὐτό, πῇ δὲ μή, ἀλλὰ πανταχοῦ στέργοντα, οἷον τὸν φιλόχρυσον ὁρῶμεν οὐ τὸ μὲν Ἀθήνησι χρυσίον τιμῶντα, τὸ δὲ ἐν Μεγάροις ἀτιμάζοντα, οὐδὲ τὸ μὲν ἐν Κορίνθῳ περὶ πολλοῦ ποιούμενον, τὸ δὲ ἐκ Σικυῶνος ὑπερορῶντα, ἀλλὰ κἂν ἐκ τοῦ Πακτωλοῦ διδῷς αὐτῷ καὶ τοῦ ψήγματος, ὃ ῥεῦσαι τὸν Πακτωλὸν ἐπὶ Κροίσου φασί, κἂν τῶν Θρᾳκίων μετάλλων, ἃ πάλαι διορύττεται, μετὰ τῆς ἴσης ἡδονῆς
b τε καὶ σπουδῆς λήψεται. τί δὲ τὸν φίλιππον οὐκ αἰσθάνῃ ὅτι πάντα ἵππον ὁμοίως τὸν ἁπανταχόθεν ἀσπάζεται; καὶ ὅταν ἴδῃ πιπρασκόμενον ἵππον ἐν ἀγορᾷ, τοῦτο ὁρᾷ καὶ πρῶτον καὶ μάλιστα, εἰ μέγας τε καὶ καλὸς καὶ θεῖ τάχυ καὶ ἐπὶ πλεῖστον, εἰ δὲ Θετταλὸς ἢ Σικελὸς ἢ Καππαδόκης, ἐν δευτέρῳ πεύσεται, ὅταν τὴν ἀρετὴν αὐτῷ ὑπάρχουσαν καταμάθῃ. ὅστις δὲ ἀγαπᾷ κύνας, τούτῳ προσφιλὲς μὲν σχῆμα καὶ Κέλται καὶ Λάκαιναι σκύλακες, δάκνει δὲ αὐτὸν καὶ τὸ
c Καστορίδων φῦλον καὶ τὸ Ἀρκαδικὸν αὐτὸ καὶ τὸ Κρητικόν, αἷς φύσις τῶν θηρίων ἐλέγχειν τὰς εὐνὰς κατὰ τὴν ὁδὸν ἐπισπομένας, οὐ παρόψεται δὲ οὐδὲ τὰς οἴκοι σκυλακευθείσας, εἰ μήτε κάλλους ἐκείνων μήτε ὠκύτητος λείποιντο. ἀρά γ' οὖν καὶ τὸν φιλόλογον λόγων φήσομεν ἐπιθυμητὴν εἶναι, οὐ τῶν ἐνθένδε ἢ τῶν ἐνθένδε, ἀλλὰ πάντων ἁπλῶς, τὸν δὲ ἔχοντα μὲν τοὺς λόγους, δυσχεραίνοντα δὲ αὐτοὺς διὰ τὴν πόλιν, οὐ φήσομεν φιλομαθῆ οὐδὲ φιλόλογον εἶναι, ἀλλὰ φι-

---

404, 4 πρὸς τρόπου] ἢ ἐναρμοσμένως gl. A. 10 ὑπερορῶντα] οὐ περὶ πολλοῦ A. 13 διορύττεται A. διωρύττετο H. ἡδονῆς τε A. τε om. H. 15 πάντα ἵππον ὁμοίως τὸν A. ἅπαντα τὸν ἵππον ὁμοίως καὶ H. 19 σικελὸς ἢ καππαδόκης A. Καππαδόκης ἢ Σικελὸς H. 22 δάκνει] ἀντὶ θέλγει gl. A. 27 ἀρά γ' οὖν] ἆρα γ' οὖν A. ἄρα οὖν H.

λοκορίνθιον ἢ φιλάργειον ἢ τινὸς ἄλλης πόλεως ἐραστήν, d ἀλλ' οὐ παιδείας ἧς προσποιεῖται;

Καίτοι Μῆδος μὲν ἵππος γαυρότερος τοῦ Σαυρομάτου, καὶ ἕτερον μὲν κάλλος Καστορίδων κυνῶν, ἕτερον δὲ Ἀλωπεκίδων, καὶ διακρινεῖ σοι καθ' ἕκαστον γένος τὴν εὐμορφίαν ὁ πάντα σοφὸς Ξενοφῶν, λόγων δὲ ἐγὼ οὐκ οἶδα κατὰ φῦλα καὶ κατὰ γένη τινὰς διακρίσεις, ὥσπερ καὶ τὰ μέλη τινὲς διακρίνουσιν εἰς 336 a Δώρια καὶ Φρύγια καὶ Ἰάσια. κατ' ἄνδρας μὲν γὰρ ἰδέας τινὰς καὶ τύπους ἐπίσταμαι λόγων, οἷον Πλατωνικὴν ἁρμονίαν καὶ Δημοσθένειον τόνον καὶ ἄλλου του ἄλλο τι ἀγαθόν, τούτους δὲ ἔξεστι τοὺς τύπους ἐκπονεῖν καὶ συμπεριφέρεσθαι πανταχῇ καὶ ὁδοιποροῦντι καὶ πλέοντι, κἂν μήτε ναῦν μήτε ὑποζύγιον ἔχῃς· τοὺς δὲ ἡ ψυχὴ κομιεῖται καὶ ἐπιμελήσεται ἐὰν θέλῃς, καὶ οὐ δέος μήποτε αὐτὴν βαρύνωσι καθάπερ φορτίον. ἢ οὐκ ἀκούεις Ὁμήρου πτερόεντας ὀνομάζοντος τοὺς λό- b γους; καὶ δὴ τὰ πλείω πτερὰ μᾶλλον αὐτὴν κουφιεῖται καὶ ὑψηλοτέραν ποιήσει. ἀλλά σε μηδὲ τὰ πτερὰ τῶν λόγων εἰκῇ παρελθέτω, ἀλλ' ἐκεῖνό μοι ἐνθυμήθητι, ὡς εἰ καθ' ἕνα τόπον ἐχρῆν ἱδρύεσθαι τοὺς λόγους, οὐκ ἂν αὐτοῖς τὰ πτερὰ ἔδωκεν ὁ θεός. τί γὰρ ἂν καὶ ἐδέοντο μέλλοντές γε ὥσπερ τὰ φυτὰ ἐρριζῶσθαι; οὕτω δὲ ἡ πτεροῦ φύσις μουσικῇ συγγενὴς ὥστε καὶ τῶν ἄλλων ζῴων ὅσα μὲν ἄπτερα, καὶ ἄμουσα πάντα, ὅσα δὲ μουσικά, καὶ πτηνά, ἡ ἀηδών, ὁ κύκνος, ὁ c τέττιξ. καὶ μή με ἄλλως νομίσῃς ὡραΐζεσθαι τῷ κύκνῳ καὶ τῇ ἀηδόνι, καθάπερ οἱ κομψοὶ σοφισταὶ οἱ κομμοῦντες τοὺς λόγους οἷον φυκίῳ κέχρηνται τούτοις τοῖς ὀρνέοις, ἀλλ' ἐκεῖνό σοι ἐκ τούτων ἐνδείκνυμι, μὴ στερεόν τι μηδὲ ἀκίνητον πρᾶγμα μουσικὴν μηδὲ ἐφ' ἑνὸς

405, 12 ἔξεστι A. ἔξεστί σοι H. 15 θέλῃς A. ἐθέλῃς H.
21 ἱδρύεσθαι A. ἱδρύσασθαι H. 22 ἔδωκεν] Vulgo δέδωκεν.
28 καθάπερ A. καὶ καθάπερ H. 30 ἐνδείκνυμι A. ἐνδείκνυμαι H.

ἰσχύειν τόπου, ὥσπερ τὰ ὕδατα δοῦ σημαντικὰ καὶ τὰ πνεύματα.

Εἰ δὲ ὅθεν πρῶτον ἐφάνησαν λόγοι, μόνην ἐκεί-
d νην πρέπειν τὴν πόλιν εἰς παιδείαν ὑπολαμβάνεις, ἀλλ' οὐδ' ὅθεν σῖτος ἐφάνη τὸ πρῶτον οὐδ' ὅθεν οἶνος, ἐκεῖσε μόνον πυροὶ καὶ ἄμπελοι φύονται, ἀλλ' ὄψει τοὺς σιταγωγοῦντας, ὅτι ἐπ' Αἴγυπτον πλέουσι καὶ Θρᾴκην καὶ Βόσπορον καὶ Χερρόνησον. γνοίης δ' ἂν καὶ αὐτοὺς Ἀθηναίους παρ' ἄλλων τὸν σῖτον ἐπαγομένους, παρ' ὧν ὁ Τριπτόλεμος ἦν καὶ τὸ ἅρμα τῶν
337 a δρακόντων ἀνίπτατο. καίτοι καὶ ἵππων ἅρμα ὑπ' Ἐρεχθέως πρῶτον ζευχθῆναι λέγεται, ἀλλὰ νῦν ἐν ἁπάσαις σχεδὸν ταῖς πόλεσιν ἡνιοχοῦσιν Ἰλλυριοί, πόσοι δὲ Αἰγύπτιοι, πόσοι δὲ Θρᾷκες; καὶ ὅπλισιν δὲ λόγος ἐν τῇ Ἀττικῇ πρῶτον φανῆναι, καὶ τί γὰρ οὐ πρῶτον, ὁπότε καὶ αὐτὸν τὸν ἄνθρωπον; ὥρα τοίνυν σοι καὶ ἀνθρώπους τοὺς ἀλλαχόθεν ὑπερορᾶν τε καὶ ἀτιμάζειν. ἀλλ' οὐδὲν ἴσως κωλύει τὰ παρ' ἑτέροις ἀρχὴν λαβόντα πλείονος σπουδῆς παρ' ἄλλοις τυγχάνειν, ἐπεὶ καὶ κωμῳδία τὸ παλαιὸν
b ἤρξατο μὲν ἐκ Σικελίας· ἐκεῖθεν γὰρ ἤστην Ἐπίχαρμός τε καὶ Φόρμος· κάλλιον δὲ Ἀθήναζε συνηυξήθη. καὶ τραγῳδίας εὑρεταὶ μὲν Σικυώνιοι, τελεσιουργοὶ δὲ Ἀττικοὶ ποιηταί. σὺ δὲ τὸν μὲν Δία τὸν Φειδίου τὸν Ὀλύμπιον θεασάμενος οὐ δεήσῃ τῆς Ἀττικῆς πρὸς τὸ Φειδίαν θαυμάσαι. τὰ δὲ Πλάτωνος ἐνταῦθα ἔχων δημιουργήματα οὐκ ἀγασθήσῃ τὸν δημιουργὸν τῶν ἀγαλμάτων, εἰ μὴ τὴν πατρίδα αὐτοῦ καὶ τὴν οἰκίαν καταμάθοις; ἔπειτα καὶ ἐν Χίῳ σοι παιδευτέον ἂν εἴη
c δι' Ὅμηρον καὶ δι' Ἡσίοδον ἐν Ἄσκρῃ καὶ διὰ Πίνδαρον ἐν Βοιωτίᾳ. πῶς δὲ Στάγειραν ἀτιμάσεις, τὸν

406, 1 ὥσπερ τὰ — πνεύματα in margine habet A. σημαντικὰ] δὴ μαντικὰ Lobeckius ad Sophoclis Aiac. p. 283. 4 ὑπολαμβάνεις A. ὑπολαμβάνειν δεῖ H. 6 ὄψει A. ὄψῃ H. 12 Ἐρεχθέως] Ἐριχθονίου Harduinus. 14 ὅπλισιν A. ὁπλίσιν H. 16 σοὶ A. σε H. 21 Φόρμος Petavius: μόρφος A. Ἄμορφος H. 24 ὀλύμπιον A. Ὀλύμπιον H. 27 μὴ τὴν A. μὴ καὶ τὴν H. 28 καταμάθοις A. καταμάθῃς H.

Σταγειρίτην γινώσκεις; πῶς δὲ τὴν Κύπρον, ὅθεν ἦν Ζήνων ὁ Κιτιεύς;

Εἰ δὲ τοσαῦτα ἀγαθὰ λέγων οὐδὲν περαίνω, ἀλλά σε δριμὺς ἔρως ἔχει ξενικῶν διηγημάτων, οὐκ εἰς Ἕλληνάς σοι μόνον πλευστέον, ἀλλὰ καὶ εἰς Αἴγυπτον καὶ εἰς Αἰθιοπίαν καὶ εἰς Ἰνδούς, ἵνα ἡμῖν ἐκεῖθεν ἐπανελθὼν μὴ σμικρὰ καὶ πολυθρύλητα λέγῃς, ἀλλ' ὑπὲρ δρακόντων καὶ ἐλεφάντων. ἔσται δέ σοι καὶ μύρμηξ ὁ Ἰνδός, μέγα καὶ ζῷον καὶ διήγημα. οἱ Βραχμᾶνες μὲν d
γὰρ οὐ προσήσονταί σε ἄνω πρὸς ἑαυτούς, ἀλλὰ καταστράψουσι καὶ καταβροντήσονται. εἰ δ' ὄντως διψῇς τοῦ Μουσῶν νάματος καὶ μὴ σχηματίζῃ τὸν πόθον, ἐκ τῆς παραρρεούσης ἄρυσαι κρήνης, ἧς τὸ νᾶμα αὐτῆς πότιμόν τε καὶ διαυγές, καὶ μή μοι τὴν Πειρήνην μηδὲ τὴν Ἀρέθουσαν ἐπιζήτει. καίτοι πάλαι γε ταῦτα καὶ ἐξ ἀρχῆς διατέτακται, καὶ θεσμὸς ἐκ θεῶν· ὅθεν τοὺς λόγους ἐν ἀνθρώποις, ἀλλ' οὐκ ἐν χωρίοις ἐπιζήτει. 338 a

Καὶ διὰ τοῦτο ἐρῶ σοι βραχὺν μέν, ἀρχαῖον δὲ λόγον. ἦν ποτὲ ἀκόσμητος ἡ γῆ καὶ κάλλους ἐρήμη· θεοῖς δὲ ἔδοξε καὶ ταύτης ἐπιμεληθῆναι. πέμπουσιν οὖν τὼ παῖδε τοῦ Ἰαπετοῦ, τὴν ἐπιμέλειαν ἐπιτρέψαντες, δόντες ἄλλα τε ἀγαθὰ εἰς τὸν κόσμον καὶ δὴ καὶ ζῴων ἁπάντων γένεσιν, ὅσα βιώσεσθαι ἀπὸ γῆς ἔμελλε καὶ κοσμήσειν αὐτήν. διαιροῦνται οὖν ὅ τε Ἐπιμηθεὺς καὶ ὁ Προμηθεὺς τὸ ἔργον, καὶ ὁ μὲν τὰ ζῷα διέπλαττε καὶ ξυνεύθυνε μίσγων ἐκ γῆς καὶ πυρὸς καὶ b
τῶν ἐκείνοις ξυμφύλων, ὁ δὲ αὐτὴν τὴν γῆν κατεποίκιλλε καὶ διένεμεν ἑκάστῳ μέρει τὰ παρὰ τῶν θεῶν δεδομένα. νέμων δὲ τὴν μὲν λείαν εὔπορον ἀπεργά-

---

407, 2 Κιτιεύς] Vulgo Κιττιεύς. 3 ἀγαθὰ add. A. οὐδὲν A. μηδὲν H. 7 πολυθρύλητα] Vulgo πολυθρύλλητα. 11 καταβροντήσονται A. καταβροντήσουσιν H. 14 πότιμόν τι A. τε om. H. μοι] tibi Pantinus. 15 πάλαι γε A. γε πάλαι H. καὶ ἐξ] καὶ om. A. 20 ἔδοξε καὶ ταύτης A. ἔδοξεν αὐτῆς H. 21 αὐτοῖς ἐπιτρέψαντες H. αὐτοῖς om. A. 24 ὅ τε A. ἅμα ὁ H. 26 ξυνεύθυνε. μίσγων ἐκ γῆς καὶ A. ξυνετίθει μίσγων γῆς τε καὶ H. 28 διένεμεν] διένειμε A.

ζετο, τὴν δὲ ἀμπέλοις ἐκόσμει, τὴν δὲ τῷ καρπῷ τῆς Ἀθηνᾶς, ἄλλην δὲ ἀκροδρύων πλήθεσιν, ἄλλην δὲ ὕλης εὐτροφίᾳ καθάπερ κόμῃ· καὶ τῇ μὲν χρυσὸν ἐγκατέσπειρε, τῇ δὲ χαλκὸν, τῇ δὲ ἄργυρον, τῇ δὲ ἄλλο τι τοιοῦτον, ἐπανισῶν ὅτι μάλιστα ἑκάστῳ μέρει τὸν κόσμον. ἐπεὶ δὲ ἅπαντα διένειμε τὰ καλούμενα ἀγαθὰ,
c ὁ Ζεὺς ὁ πατὴρ ἐλεήσας τὴν γῆν καὶ βουληθεὶς αὐτῇ καὶ θείου τινὸς μεταδοῦναι, δίδωσιν αὐτῇ τὸν δεύτερον κρατῆρα νοῦ τε καὶ φρονήσεως· δίδωσι δὴ ἐφ' ᾧ τε ἅπασαν τὴν γῆν τοῦ δωρήματος τοῦδε μεταλαβεῖν. ἀπορουμένου οὖν τοῦ Ἐπιμηθέως πρὸς τὸ ἐπίταγμα τοῦ Διὸς, ξυννοήσας ὁ Προμηθεὺς τὴν φρόνησιν καὶ τὸν λόγον ἐν γῇ μὲν οὐχ οἷόν τε ὥσπερ τὰ ἄλλα σπέρματα φύεσθαι, ψυχὴν δὲ ζῴου δύνασθαι μόνην τὸ σπέρμα τοῦτο φέρειν καὶ τρέφειν, τῷ ἀνθρώπῳ φέρων ἐγχεῖ τοῦ κρατῆρος, καὶ διὰ τοῦτο καὶ λόγος ὅπου καὶ ἄνθρωπος. γέγονε γὰρ ἄνθρωπος μόνος, ὡς ἔοικε, ὑπο-
d δοχή τις καὶ χώρα παιδείας καὶ λόγου, καὶ διὰ τοῦτο ὄσπρια μὲν καὶ φυτὰ ἕτερον χωρίον ἑτέρου γενναιότερον ἐκτρέφει, οἱ λόγοι δὲ εἰσὶ καρπὸς ψυχῶν ἀνθρωπίνων, καὶ ἐν ταύταις ζητητέον τούς τε ἀμείνους καὶ τοὺς χείρους αὐτῶν. δεῖ μέντοι ἐπὶ τούτων καὶ τέχνης τινὸς, καθάπερ ἐπ' ἐκείνων γεωργικῆς. σκοπεῖν δὲ ὡς ἄμφω τὰ ἔργα σφόδρα ἐμφερῶς ἔχει πρὸς ἄλληλα.

Πρῶτον μὲν δεῖ σε διεργάσασθαι τὴν ψυχὴν καὶ παρασχεῖν ἐπιτήδειον εἰς τὸν σπόρον. διεργάσῃ δὲ αὐτὴν
339 a εὐμαθείᾳ τε καὶ προσοχῇ. ὡς ἐὰν σκληρὰν ἐάσῃς καὶ στύφουσαν, ἀπολεῖ μὲν ὁ καταβάλλων τὰ σπέρματα, φύσει δὲ ἐκείνη ἀντὶ φρονήσεως καὶ ἀρετῆς κακίαν τε καὶ ἀμαθίαν καθάπερ ἀκάνθας. ἔπειτα ὅταν σπαρῇ τε καὶ φυτευθῇ, κινεῖν τε αὐτὴν καὶ ἀνανεοῦσθαι τὰ

408, 6 διένειμε A. ἐπένειμε H. 7 ὁ Ζεὺς A. ὁ om. H. 10 δωρήματος] δώρου A. 11 οὖν τοῦ] τοῦ om. A. 14 σπέρμα A. σπέρμα θεῖον H. 16 διὰ τοῦτο καὶ A. πανταχοῦ H. 20 ἀνθρωπίνων A. ἀνθρώπων H. 27 τε om. A. ἐὰν A. ἂν εἰ H.

καταβληθέντα τῇ μνήμῃ, καὶ τῶν ἀγρίων βλαστημάτων ἀποκαθαίρειν, ἵνα μὴ ὑπὸ πολλῶν φυτῶν καὶ ἰσχυρῶν ἀποπνιγείη τὰ χρηστὰ καὶ τὰ ἥμερα. μάλιστα δὲ ἁπάντων ἐπιμελεῖσθαι μήτε σπείρειν ἁπλῶς μήτε φυτεύειν ἐξ b
ὅσων οὐδέν τι χρήσιμον ἀποδρέψεται. εἰσὶ γὰρ καὶ ἐν τοῖς λόγοις, ὥσπερ ἐν τοῖς φυτοῖς, πολλοὶ χαρίεντες μὲν καὶ ἀμφιλαφεῖς, ἄκαρποι δὲ καὶ ἀνόνητοι, καθάπερ τὰ ἐκ τῶν πλατάνων καὶ αἰγείρων ἄλση γεωργοῖς μὲν οὐ σφόδρα τίμια, κόραις δὲ παιζούσαις καὶ δορυφόρῳ καμόντι καὶ βασιλεῖ Μήδων, ᾧ καὶ χρυσῆ πλάτανος ἦν. ἀλλ' ἐκλέγεσθαι καὶ σκοπεῖν δεῖ, ὁπόσα χρήσιμα τῶν σπερμάτων, καὶ εἰ μὲν πρὸς ἀργύριον βλέπεις καὶ τὸ χρήσιμον τούτῳ μετρεῖς, ζητεῖν ἐκείνους c
τοὺς λόγους οἳ χρήματά σοι βλαστήσουσιν. ἔστι δὲ πολὺ τὸ σπέρμα τοῦτο καὶ ἐν δικαστηρίοις καὶ ἐν ἐκκλησίαις, καὶ μάλιστα εὐθαλεῖ περὶ τὴν ἀγορὰν καὶ τὸ βῆμα. μηνύσαιμι δ' ἄν σοι καὶ ἐγὼ τοὺς ἐνθάδε ἄφθονον αὐτὸ κεκτημένους· οἷς εἰ προσιοίς τε καὶ θεραπεύοις, ταχύ σου μεγάλην τὴν γλῶτταν καὶ περιττὴν ἀποδείξουσι. καὶ λέγων αἱρήσεις οὐκ ἐκ δέκα μόνον ποδῶν, ἀλλὰ καὶ ἐξ εἴκοσιν ἴσως, τυχὸν δὲ καὶ ἀπ' αὐτοῦ τοῦ σταδίου τοὺς ῥήτορας τοὺς ἀλλαχόθεν· οὕ- d
τως ἡμῖν οἱ σοφισταὶ δεξιοί εἰσιν.

Εἰ δὲ πρὸς ἑαυτὸν ὁρᾷς καὶ ὅπως σεαυτοῦ ἔσῃ βελτίων, ἄλλο αὖ σοι φυτὸν ζητητέον οὐκ ἔγγειον, ἀλλ' οὐράνιον, ὃ κἂν μή τις ὠνῆται κἂν μή τις θαυμάζῃ, αὐτὸ καθ' ἑαυτὸ ἀποκείμενον ἐν τῇ ψυχῇ πολλοῦ σοι ἄξιον ἔσται. σπάνιον δὲ τοῦτο· καὶ γὰρ παρ' ὀλίγοις. οὐ γὰρ σφόδρα αὐτὸ θαυμάζουσιν ἄνθρωποι. αἴτιον

409, 2 ὑπὸ om. A. 3 ἥμερα A. ἡμερώτερα H. 6 ὥσπερ ἐν] ὥσπερ καὶ ἐν A. 11 δεῖ om. A. 16 εὐθαλεῖ] εὐθάλλει A. περὶ A. ἐπὶ H. 20 ἐκ δέκα] Ex Eupolidis versibus, de quibus dixit Wyttenbachius ad Plutarchum de S. N. V. p. 7. 8. (310. 311. ed. nov.) μόνον A. μόνων A. 21 ἀλλὰ καὶ A. ἀλλ' H. δὲ καὶ ἀπ' A. καὶ om. H. 24 σεαυτοῦ ἔσῃ A. ἔσῃ σεαυτοῦ H. 27 ἑαυτὸ A. ἑαυτὸν H. ἐν om. A. 29 θαυμάζουσιν A. σπουδάζουσιν H.

δέ· οὐ ποιεῖ χρυσὸν οὐδὲ ἄργυρον, ἀλλὰ καὶ ἀτιμάζει
340 ὡς καὶ λῆρον ἡγεῖται. διὰ τοῦτο οὖν αὐτὸ καὶ οἱ ἄνθρωποι ἀτιμάζουσιν. εἰ δὲ ᾔσθοντο τοῦ καρποῦ καὶ ἐγεύσαντο, εἶπον ἂν εὖ ἴσθι καὶ αὐτοὶ τὴν φωνὴν ἐκείνην, ὅτι πᾶς ὁ ἐπὶ γῆς καὶ ὑπὸ γῆν χρυσὸς ἀρετῆς οὐκ ἀντάξιος. νῦν δὲ ἀγνοίᾳ τούτου τοῦ κέρδους καὶ ἀπειρίᾳ περὶ τὰ φύλλα στρέφονται, κἀκεῖνα θαυμάζουσι καὶ μόνα ἡγοῦνται. τούτου τοῦ φυτοῦ τὴν ῥίζαν δίδωσι μὲν Ὅμηρος, μᾶλλον δὲ Ἑρμῆς, Ὀδυσσεῖ, ἡνίκα παρὰ τὴν Κίρκην τῆς ἐξ ἡδονῆς ἀλογίας τοὺς ἑταίρους ἀπο-
b λυσόμενος ᾔει. λάβοις δ' ἂν καὶ σὺ παρὰ τοῦ θεοῦ σπουδάσας, καί σοι δείξει τὴν φύσιν αὐτοῦ καθάπερ τῷ τοῦ Λαέρτου· μὴ γὰρ ἀχρεῖον ἔσεσθαι τὸ κτῆμα νομίσῃς, ὅτι σύ γε οὐ παραπλεύσεις τὴν νῆσον ἐκείνην, οὐδὲ τὴν Κίρκην ὄψει ποτὲ, οὐδ' ἐκπίῃ τοῦ κυκεῶνος. ἀλλ' εὖ τοι γίνωσκε, ὦ χρηστὲ, ὡς εἰ μὴ ἔχεις πολὺ τὸ ἀλεξιφάρμακον τοῦτο, ἀντὶ μιᾶς σοι Κίρκης πολλαὶ τὸν κυκεῶνα κεράσουσι, καὶ αὗται οὐ πόρρωθεν ἀπῳκισμέναι, ὥστε πολλῇ πλάνῃ παραγενέσθαι, ἀλλὰ ξυνοῦ-
c σαι συνεχῶς καὶ περιιοῦσαι κύκλῳ καὶ καλοῦσαι πρὸς ἑαυτάς. ἆρ' οὖν Αἴγυπτος φέρει τὴν ῥίζαν ἐκείνην ἤ τις ἠπείρου νῆσος πόρρωθεν ἀπῳκισμένη, καὶ δεῖ σοι πάλιν μακροτέρας ἀποδημίας; ἀλλ' εἰ ξυνιέναι τῶν ἐπῶν ἐθέλεις, κἀνταῦθα ὀρύττειν οἷός τε ἔσῃ τὸ φάρμακον. δίδωσι γὰρ καὶ σύμβολα αὐτοῦ καὶ σημεῖα,

Ῥίζην μὲν μέλαν ἔσκε, γάλακτι δὲ εἴκελον ἄνθος.

εἰ δὲ οὐκ ἐξευρίσκεις τὸν νοῦν τοῦ ἔπους, βούλει σε ἀναμνήσω καὶ ἄλλον λόγον, ὃν ἔτι μειράκιον ὢν ἔμα-
d θες ἐν διδασκάλου; καί σοι εὔδηλός τι φανεῖται καὶ

410, 4 εἶπον ἂν A. εἶπον μὲν H. 5 ὁ ἐπὶ A. ὁ om. H. 6 κέρδους] καρποῦ Roulezius p. 72. 15 ἐκπίῃ A. ἐκπίῃς H. 21 ἤ τις A. ἤ τις καὶ H. 22 ἠπείρου] ὁμήρου A. οἶμαι ἀντὶ ὁμήρου ἠπείρου θέλει, ἵν' ᾖ τοιοῦτον, ἤ τις νῆσος πόρρωθεν τῆς γῆς ἀπῳκισμένη. schol. A. 23 πάλιν] πολὺ Roulezius p. 48. ξυνιέναι] συνιέναι H. ξυνεῖναι A. 24 ἐθέλεις A. ἐθέλοις H. 26 Ῥίζην] Odyss. κ, 304. unde ῥίζῃ corrigendum. 29 ἐν διδασκάλου A. ἐκ διδασκάλων H.

ἑρμηνεύσει τὸ ἔπος. φησὶ δὲ τῆς ἀληθινῆς παιδείας πικρὰν μὲν τὴν ῥίζαν, γλυκὺν δὲ καὶ προσηνῆ τὸν καρπόν. εἰ οὖν τὸ μὲν πικρὸν εἰς τὸ μέλαν, τὸ γλυκὺ δὲ εἰς τὸ λευκὸν μεταβάλοις καὶ προσέτι τὸν δοτῆρα τῆς πόας θεὸν ἐννοήσαις, φανερόν σοι τὸ βούλημα ἔσται τὸ τοῦ ποιητοῦ. καὶ εὕροις ἂν αὐτῷ μαρτυροῦντα καὶ τὸν Ἡσίοδον τῆς ἀρετῆς πόνον μὲν ἐπ' ἀρχῆς προτιθέντα, ῥᾳστώνην δὲ ἐπὶ τέλει ἐγγυώμενον. ὥστε εἰ πανταχοῦ δυνατὸν ἀρετὴν ἐξασκεῖν, πανταχοῦ καὶ 341 a
τὸ φάρμακον ὀρύττειν ἐκεῖνο. τοῦτο δὲ ὅμως καὶ τὸν Ὅμηρον ἐνδείκνυσθαι, ἡνίκα ἂν παραινέσαντα τὸν Ἑρμῆν Ὀδυσσεῖ καὶ διδόναι ποιήσῃ τὴν πόαν οὔτε κομίσαντα ἀλλαχόθεν οὔτε πορευθέντα ὑπὲρ τοῦ λαβεῖν πορρωτέρω, ἀλλ' ἐξελκύσαντα τῆς γῆς ἔνθα εἱστήκει. τί γὰρ ἄλλο ἐστὶ λέγοντος ἢ ὅτι παρὰ πόδας ἐστὶ καὶ πλησίον ἀεὶ τῷ δυναμένῳ λαμβάνειν;

---

411 1 φησὶ δὲ A. φησὶ γὰρ H. 2 καὶ προσηνῆ add. A. 4 μεταβάλοις] μεταλάβοις A. μεταβάλλοις H. 5 πόας A. ποίας H. ἐννοήσαις A. ἐννοήσεις H. φανερόν] φανὸν A, quod defendit Iacobsius ad Philostrat. p. 460. 6 μαρτυροῦντα καὶ τὸν ἡσίοδον A. καὶ Ἡσίοδον μαρτυροῦντα τὸν H. 8 ἐγγυώμενον A. διεγγυώμενον H. 12 ποιήσῃ A. ποιεῖ H. 14 ἔνθα] ἔνθεν A.

XXVIII.

b ## Η ΕΠΙ ΤΩΙ ΛΟΓΩΙ ΔΙΑΛΕΞΙΣ.

Τίκτουσι δὲ οὐχ οἱ φιλόσοφοι μόνον, ἀλλὰ καὶ οἱ ποιηταὶ καὶ οἱ ῥήτορες πάνυ πολλοὺς λόγους· ἀλλ' οἱ μὲν κυδροῦνται ἐπὶ ταύτῃ τῇ παιδείᾳ καὶ ἐγκαλλωπίζονται καὶ ἐναβρύνονται καὶ ἀνακοινοῦνται αὐτοὺς τοῖς ἀνθρώποις, θαμὰ ἐξάγοντες εἰς θέατρα καὶ πανηγύ-
c ρεις, ἐσταλμένους χρυσῷ καὶ πορφύρᾳ καὶ μύρων ὄζοντας καὶ ὑπογεγραμμένους καὶ ἐντετριμμένους, στεφάνοις τε ἀνθέων ἐστεφανωμένους. πρὸς δὲ τῷ κόσμῳ οὕτω λαμπρῷ ὄντι καὶ πολυτελεῖ καὶ αὐτοὶ οἱ λόγοι αἱμύλοι εἰσὶ καὶ ὑπερβάλλουσι δεξιότητι καὶ φιλανθρωπίᾳ, κυδαίνοντες καὶ ἐπαίροντες καὶ ἀσπαζόμενοι τοὺς θεωμένους καὶ πάσας ἱέντες φωνὰς καὶ ᾄσματα ᾄδοντες μεστὰ ἡδονῆς, ὥσπερ Σειρῆνες. ἅτε οὖν οὕτω δεξιοὺς ὄντας καὶ χειροήθεις καὶ οἱ ἄνθρωποι ἀντασπάζονται
d καὶ ἀντεπαινοῦσι, καὶ ἐντεῦθεν πλείη μὲν γαῖα τούτων τῶν ἀνθρώπων, πλείη δὲ θάλασσα.

Οἱ δὲ ἀπὸ τῆς Σωκράτους γενεᾶς εἰκότως ἄρα καὶ ἐν δίκῃ ἀπεφθίκασί τε καὶ ἀπερρυήκασιν ἐν τῷ παρόντι. οὐ γὰρ οἶδα ὅθεν φρίττουσί τε καὶ εὐλαβοῦνται τὰς ἀγοράς, ἐν αἷς φησιν ὁ ποιητὴς ἀριπρεπέας τελέθειν τοὺς ἄνδρας, καὶ οὐκ ἀνέχονται παρακύπτειν ἔξω τοῦ σκίμποδος καὶ τῆς γωνίας· οὕτως ἐκλελησμένοι εἰσὶ τῶν προγόνων, ὅτι ἐκεῖνοι ἐπὶ τῶν ἐργαστηρίων

412, 10 αὐτοὶ οἱ A. οἱ om. H. 13 μεστὰ Iacobsius ad Anthol. vol. IX. p. 420. Vulgo τά. 17 ἀνθρώπων] φαμάτων Iacobsius in append. ad Porson. Adv. p. 284. λόγων idem ad Anthol. vol. IX. p. 420. 21 τὰς ἀγορὰς A. τὰς om. H.

πρὸς τοὺς πολλοὺς διελέγοντο καὶ ἐν ταῖς στοαῖς καὶ
ἐν τοῖς βαλανείοις καὶ ἐν τοῖς θεάτροις. καὶ διὰ τοῦτο 342 a
οὐ μόνους τοὺς εἰς τὸ διδασκαλεῖον φοιτῶντας προσή-
γοντο καὶ ἐχειροῦντο, ἀλλὰ καὶ τὸν σκυτοτόμον ἐξανι-
στὰν ἀπὸ τῶν σκυτῶν καὶ τὸν ὀβολοστάτην ἀπὸ τῆς
τραπέζης καὶ τὸν ἑταιροῦντα ἀπὸ τοῦ οἰκήματος. ἐφοί-
των δὲ ὑπὸ φιλανθρωπίας καὶ Ὀλυμπίαζε καὶ Ἰσθμοῖ
καὶ εἰς Αἴγιναν καὶ εἰς Ἐλευσῖνα καὶ ἐτέλουν δὲ καὶ
αὐτοὶ μητρὶ τῶν θεῶν * τοῖς πολλοῖς ἀνθρώποις,
οὐ δὲ ὥσπερ οἱ φῶρες καὶ οἱ λωποδύται φεύγουσι τὰ
μέσα * τοῦ ὀργάνου οὐκ ἀπεικότως καὶ ἀπιστοῦνται, εἰ b
μὴ καὶ τὴν γλῶτταν ἀπολλύουσιν ὑπὸ τῆς σοφίας.

Ἐγὼ δὲ ἐπιχειρῶ μέν, ὦ ἄνδρες, καὶ προθυμοῦμαι εἰς τὴν τάξιν ἐπανάγειν αὐτοὺς τὴν ἀρχαίαν. δέδοικα δὲ αὖ πάλιν καὶ ὑποπτεύω μὴ καὶ διαλέγεσθαι ὑμῖν ἐπιχειρήσαντες ἀτοπώτεροι φανείημεν τῶν σιωπώντων. ἐπίσταμαι γὰρ ἀκριβῶς αὐτῶν τὴν φύσιν, ὅτι σκληρὰ καὶ αὐθέκαστος καὶ ἀτενής· οἵ γε οὐδὲ τὰ ῥήματα ἀνέδην χαρίζεσθαι ὑπομένουσι τοῖς ἀνθρώποις, ἀλλὰ φείδονται ὑπ' ἀγροικίας τῶν ὀνομάτων μᾶλλον ἢ τοῦ
χρυσίου, καὶ ἀκριβῶς ἐξετάζουσι καὶ ἐπιμελοῦνται ὅπως c
ὅπως ἂν μήτε μεῖζον μήτε ἔλαττον ἀποδοῖεν μηδενὶ τοῦ προσήκοντος. συμβαίνει οὖν αὐτοῖς παρὰ ταύτην τὴν σμικρολογίαν πάνυ ὀλίγους ποιεῖσθαι προσηγόρους τε καὶ εὐμενεῖς· ἀλλ' ὅμως τηλικαύτη αὐτῶν ἡ αὐθάδεια ὥστε αὐτοὶ πιστεύουσι καὶ πρὸς τοὺς ἄλλους ἀπισχυρίζονται ὅτι ὃν μὲν αὐτοὶ ἐπαινοῦσιν οἰκεῖός ἐστιν ὁ ἔπαινος τοῦ ἀνθρώπου, ὃν δ' ἂν οἱ κομψοὶ ἐκεῖνοι καὶ πολυτελεῖς, ἀλλότριός τε καὶ μηδὲν ἐοικώς· καὶ οὐκ ἂν
ἐξεύροις ἐκ τούτου τίς ὁ ὑμνούμενος, εἰ μὴ τοὔνομα d
ἐγγεγραμμένον εἴη τῇ κολακείᾳ, καθάπερ αἱ τῶν φαυ-

413, 8 ἐτέλουν δὲ] ἐτελοῦντο Lobeckius Aglaoph. p. 15. 9 μητρὶ] μετὰ A. *τοῖς] ὅμοια τοῖς Lobeckius. 11 εἰ μὴ καὶ] εἰ μὴ καὶ τὴν διάλεκτον αὐτήν, φησί, ἀπολλύουσιν ὑπὸ τῆς ἀπαρρησιάστου σοφίας. schol. A. 17 σκληρὰ καὶ A. καὶ om. H. 22 μηδενὶ add. A. 31 τῇ κολακείᾳ A. τοῦ κολακ . . . H. κολακεία ἐνταῦθα τὸν ἔπαινον λέγει. schol. A.

λοιμῷ. ἐν ἐκείνοις γάρ, οἶμαι, καὶ τοῦτο μαθήσομαι, ὡς οὐδὲν κωλύει καὶ ἐν Ἰθάκῃ δεδαχθέντα πολύμητιν εἶναι καὶ ἐκ Πύλου γλύκιον μέλιτος φθέγγεσθαι.

Σκόπει δὲ εἰ καὶ τοῦτο πρὸς τρόπου λέγω, ὅτι
335 a τὸν φιλοῦντά τι γνησίως τε καὶ ἀδόλως, δεῖ φαίνε-
σθαι οὐ πῇ μὲν φιλοῦντα αὐτό, πῇ δὲ μή, ἀλλὰ πανταχοῦ στέργοντα, οἷον τὸν φιλόχρυσον ὁρῶμεν οὐ τὸ μὲν Ἀθήνησι χρυσίον τιμῶντα, τὸ δὲ ἐν Μεγάροις ἀτιμάζοντα, οὐδὲ τὸ μὲν ἐν Κορίνθῳ περὶ πολλοῦ ποιούμενον, τὸ δὲ ἐκ Σικυῶνος ὑπερορῶντα, ἀλλὰ κἂν ἐκ τοῦ Πακτωλοῦ διδῷς αὐτῷ καὶ τοῦ ψήγματος, ὃ ῥεῦσαι τὸν Πακτωλὸν ἐπὶ Κροίσου φασί, κἂν τῶν Θρᾳκῶν μετάλλων, ἃ πάλαι διορύττεται, μετὰ τῆς ἴσης ἡδονῆς
b τε καὶ σπουδῆς λήψεται. τί δὲ τὸν φίλιππον οὐκ αἰ-
σθάνῃ ὅτι πάντα ἵππον ὁμοίως τὸν ἁπανταχόθεν ἀσπάζεται; καὶ ὅταν ἴδῃ πιπρασκόμενον ἵππον ἐν ἀγορᾷ, τοῦτο ὁρᾷ καὶ πρῶτον καὶ μάλιστα, εἰ μέγας τε καὶ καλὸς καὶ θεῖ ταχὺ καὶ ἐπὶ πλεῖστον, εἰ δὲ Θετταλὸς ἢ Σικελὸς ἢ Καππαδόκης, ἐν δευτέρῳ πεύσεται, ὅταν τὴν ἀρετὴν αὐτῷ ὑπάρχουσαν καταμάθῃ. ὅστις δὲ ἀγαπᾷ κύνας, τούτῳ προσφιλὲς μὲν κτῆμα καὶ Κέλται καὶ Λάκαιναι σκύλακες, δάκνει δὲ αὐτὸν καὶ τὸ
c Καστορίδων φῦλον καὶ τὸ Ἀρκαδικὸν αὖ τὸ καὶ τὸ
Κρητικόν, αἷς φύσις τῶν θηρίων ἐλέγχειν τὰς εὐνὰς κατὰ τὴν ὁδὸν ἐπισπομέναις, οὐ παρόψεται δὲ οὐδὲ τὰς οἴκοι σκυλακευθείσας, εἰ μήτε κάλλους ἐκείνων μήτε ὠκύτητος λείποιντο. ἆρά γ' οὖν καὶ τὸν φιλόλογον λόγων φήσομεν ἐπιθυμητὴν εἶναι, οὐ τῶν ἐνθένδε ἢ τῶν ἐνθένδε, ἀλλὰ πάντων ἁπλῶς, τὸν δὲ ἔχοντα μὲν τοὺς λόγους, δυσχεραίνοντα δὲ αὐτοὺς διὰ τὴν πόλιν, οὐ φήσομεν φιλομαθῆ οὐδὲ φιλόλογον εἶναι, ἀλλὰ φι-

404, 4 πρὸς τρόπου] ἢ ἐνσχηματισμένως gl. A. 10 ὑπερορῶντα] οὐ περὶ πολλοῦ A. 13 διορύττεται A. διωρύττετο H. ἡδονῆς τε A: τε om. H. 15 πάντα ἵππον ὁμοίως τὸν A. ἅπαντα τὸν ἵππον ὁμοίως καὶ H. 19 σικελὸς ἢ καππαδόκης A. Καππαδόκης ἢ Σικελὸς H. 22 δάκνει] ἀντὶ θέλγει gl. A. 27 ἆρά γ' οὖν] ἄρα γ' οὖν A. ἄρα οὖν H.

λοκορίνθιον ἢ φιλάργειον ἢ τινὸς ἄλλης πόλεως ἐρα- d
στήν, ἀλλ' οὐ παιδείας ἧς προσποιεῖται;

Καίτοι Μῆδος μὲν ἵππος γαυρότερος τοῦ Σαυρο-
μάτου, καὶ ἕτερον μὲν κάλλος Καστορίδων κυνῶν, ἕτε-
ρον δὲ Ἀλωπεκίδων, καὶ διακρινεῖ σοι καθ' ἕκαστον
γένος τὴν εὐμορφίαν ὁ πάντα σοφὸς Ξενοφῶν, λόγων
δὲ ἐγὼ οὐκ οἶδα κατὰ φῦλα καὶ κατὰ γένη τινὰς δια-
κρίσεις, ὥσπερ καὶ τὰ μέλη τινὲς διακρίνουσιν εἰς 336 a
Δώρια καὶ Φρύγια καὶ Ἰάσια. κατ' ἄνδρας μὲν γὰρ
ἰδέας τινὰς καὶ τύπους ἐπίσταμαι λόγων, οἷον Πλα-
τωνικὴν ἁρμονίαν καὶ Δημοσθένειον τόνον καὶ ἄλλου
του[1] ἄλλο τι ἀγαθόν, τούτους δὲ ἔξεστι τοὺς τύπους
ἐκπονεῖν καὶ συμπεριφέρεσθαι πανταχῇ καὶ ὁδοιποροῦντι
καὶ πλέοντι, κἂν μήτε ναῦν μήτε ὑποζύγιον ἔχῃς· τοὺς
δὲ ἡ ψυχὴ κομιεῖται καὶ ἐπιμελήσεται ἐὰν θέλῃς, καὶ
οὐ δέος μήποτε αὐτὴν βαρύνωσι καθάπερ φορτίον. ἢ
οὐκ ἀκούεις Ὁμήρου πτερόεντας ὀνομάζοντος τοὺς λό- b
γους; καὶ δὴ τὰ πλείω πτερὰ μᾶλλον αὐτὴν κουφιεῖται
καὶ ὑψηλοτέραν ποιήσει. ἀλλά σε μηδὲ τὰ πτερὰ τῶν
λόγων εἰκῇ παρελθέτω, ἀλλ' ἐκεῖνό μοι ἐνθυμήθητι,
ὡς εἰ καθ' ἕνα τόπον ἐχρῆν ἱδρύεσθαι τοὺς λόγους,
οὐκ ἂν αὐτοῖς τὰ πτερὰ ἔδωκεν ὁ θεός. τί γὰρ ἂν
καὶ ἐδέοντο μέλλοντές γε ὥσπερ τὰ φυτὰ ἐρριζῶσθαι;
οὕτω δὲ ἡ πτεροῦ φύσις μουσικῇ συγγενὴς ὥστε καὶ
τῶν ἄλλων ζῴων ὅσα μὲν ἄπτερα, καὶ ἄμουσα πάντα,
ὅσα δὲ μουσικά, καὶ πτηνά, ἡ ἀηδών, ὁ κύκνος, ὁ c
τέττιξ. καὶ μή με ἄλλως νομίσῃς ὡραΐζεσθαι τῷ κύκνῳ
καὶ τῇ ἀηδόνι, καθάπερ οἱ κομψοὶ σοφισταὶ οἱ κομ-
μοῦντες τοὺς λόγους οἷον φυκίῳ κέχρηνται τούτοις τοῖς
ὀρνέοις, ἀλλ' ἐκεῖνό σοι ἐκ τούτων ἐνδείκνυμι, μὴ στε-
ρεόν τι μηδὲ ἀκίνητον πρᾶγμα μουσικὴν μηδὲ ἐφ' ἑνὸς

405, 12 ἔξεστι A. ἔξεστί σοι H. 15 θέλῃς A. ἐθέλῃς H.
21 ἱδρύεσθαι A. ἱδρύσασθαι H. 22 ἔδωκεν] Vulgo δέδωκεν.
28 καθάπερ A. καὶ καθάπερ H. 30 ἐνδείκνυμι A. ἐνδεί-
κνυμαι H.

ἰσχύειν τόπου, ὥσπερ τὰ ὕδατα ὅσα σημαντικὰ καὶ τὰ πνεύματα.

Εἰ δὲ ὅθεν πρῶτον ἐφάνησαν λόγοι, μόνην ἐκεί-
d νην πρέπειν τὴν πόλιν εἰς παιδείαν ὑπολαμβάνεις, ἀλλ' οὐδ' ὅθεν σῖτος ἐφάνη τὸ πρῶτον οὐδ' ὅθεν οἶνος, ἐκεῖσε μόνον πυροὶ καὶ ἄμπελοι φύονται, ἀλλ' ὄψει τοὺς σιταγωγοῦντας, ὅτι ἐπ' Αἴγυπτον πλέουσι καὶ Θρᾴκην καὶ Βόσπορον καὶ Χερρόνησον. γνοίης δ' ἂν καὶ αὐτοὺς Ἀθηναίους παρ' ἄλλων τὸν σῖτον ἐπαγομένους, παρ' ὧν ὁ Τριπτόλεμος ἦν καὶ τὸ ἅρμα τῶν
337 a δρακόντων ἀνίπτατο. καίτοι καὶ ἵππων ἅρμα ὑπ' Ἐρεχθέως πρῶτον ζευχθῆναι λέγεται, ἀλλὰ νῦν ἐν ἁπάσαις σχεδὸν ταῖς πόλεσιν ἡνιοχοῦσιν Ἰλλυριοί. πόσοι δὲ Αἰγύπτιοι, πόσοι δὲ Θρᾷκες; καὶ ὅπλισιν δὲ λόγος ἐν τῇ Ἀττικῇ πρῶτον φανῆναι, καὶ τί γὰρ οὐ πρῶτον, ὁπότε καὶ αὐτὸν τὸν ἄνθρωπον; ὥρα τοίνυν σοι καὶ ἀνθρώπους τοὺς ἀλλαχόθεν ὑπερορᾶν τε καὶ ἀτιμάζειν. ἀλλ' οὐδὲν ἴσως κωλύει τὰ παρ' ἑτέροις ἀρχὴν λαβόντα πλείονος σπουδῆς παρ' ἄλλοις τυγχάνειν, ἐπεὶ καὶ κωμῳδία τὸ παλαιὸν
b ἤρξατο μὲν ἐκ Σικελίας· ἐκεῖθεν γὰρ ἤστην Ἐπίχαρμός τε καὶ Φόρμος· κάλλιον δὲ Ἀθήναζε συνηυξήθη. καὶ τραγῳδίας εὑρεταὶ μὲν Σικυώνιοι, τελεσιουργοὶ δὲ Ἀττικοὶ ποιηταί. σὺ δὲ τὸν μὲν Δία τὸν Φειδίου τὸν Ὀλύμπιον θεασάμενος οὐ δεήσῃ τῆς Ἀττικῆς πρὸς τὸ Φειδίαν θαυμάσαι. τὰ δὲ Πλάτωνος ἐνταῦθα ἔχων δημιουργήματα οὐκ ἀγασθήσῃ τὸν δημιουργὸν τῶν ἀγαλμάτων, εἰ μὴ τὴν πατρίδα αὐτοῦ καὶ τὴν οἰκίαν καταμάθοις; ἔπειτα καὶ ἐν Χίῳ σοι παιδευτέον ἂν εἴη
c δι' Ὅμηρον καὶ δι' Ἡσίοδον ἐν Ἄσκρῃ καὶ διὰ Πίνδαρον ἐν Βοιωτίᾳ. πῶς δὲ Στάγειραν ἀτιμάσεις, τὸν

406, 1 ὥσπερ τὰ — πνεύματα in margine habet A. σημαντικὰ] δὴ μαντικὰ Lobeckius ad Sophoclis Aiac. p. 283. 4 ὑπολαμβάνεις A. ὑπολαμβάνειν δεῖ H. 6 ὄψει A. ὄψῃ H. 12 Ἐρεχθέως] Ἐριχθονίου Harduinus. 14 ὅπλισιν A. ὁπλίζειν H. 16 σοὶ A. σε H. 21 Φόρμος Petavius: μόρφος A. Ἄμορφος H. 24 ὀλύμπιον A. Ὀλυμπιάσι H. 27 μὴ τὴν A. μὴ καὶ τὴν H. 28 καταμάθοις A. καταμάθῃς H.

Σταγειρίτην γινώσκων; πῶς δὲ τὴν Κύπρον, ὅθεν ἦν Ζήνων ὁ Κιτιεύς;

Εἰ δὲ τοσαῦτα ἀγαθὰ λέγων οὐδὲν περαίνω, ἀλλά σε δριμὺς ἔρως ἔχει ξενικῶν διηγημάτων, οὐκ εἰς Ἕλληνάς σοι μόνον πλευστέον, ἀλλὰ καὶ εἰς Αἴγυπτον καὶ εἰς Αἰθιοπίαν καὶ εἰς Ἰνδούς, ἵνα ἡμῖν ἐκεῖθεν ἐπανελθὼν μὴ σμικρὰ καὶ πολυθρύλητα λέγῃς, ἀλλ' ὑπὲρ δρακόντων καὶ ἐλεφάντων. ἔσται δέ σοι καὶ μύρμηξ ὁ Ἰνδός, μέγα καὶ ζῷον καὶ διήγημα. οἱ Βραχμᾶνες μὲν d
γὰρ οὐ προσήσονταί σε ἄνω πρὸς ἑαυτούς, ἀλλὰ καταστράψουσι καὶ καταβροντήσονται. εἰ δ' ὄντως διψῇς τοῦ Μουσῶν νάματος καὶ μὴ σχηματίζῃ τὸν πόθον, ἐκ τῆς παραρρεούσης ἄρυσαι κρήνης, ἧς τὸ νᾶμα αὐτῆς πότιμόν τε καὶ διαυγές, καὶ μή μοι τὴν Πειρήνην μηδὲ τὴν Ἀρέθουσαν ἐπιζήτει. καίτοι πάλαι γε ταῦτα καὶ ἐξ ἀρχῆς διατέτακται, καὶ θεσμὸς ἐκ θεῶν. ὅθεν τοὺς λόγους ἐν ἀνθρώποις, ἀλλ' οὐκ ἐν χωρίοις ἐπιζήτει. 338 a

Καὶ διὰ τοῦτο ἐρῶ σοι βραχὺν μέν, ἀρχαῖον δὲ λόγον. ἦν ποτε ἀκόσμητος ἡ γῆ καὶ κάλλους ἐρήμη· θεοῖς δὲ ἔδοξε καὶ ταύτης ἐπιμεληθῆναι. πέμπουσιν οὖν τὼ παῖδε τοῦ Ἰαπετοῦ, τὴν ἐπιμέλειαν ἐπιτρέψαντες, δόντες ἄλλα τε ἀγαθὰ εἰς τὸν κόσμον καὶ δὴ καὶ ζῴων ἁπάντων γένεσιν, ὅσα βιώσεσθαι ἀπὸ γῆς ἔμελλε καὶ κοσμήσειν αὐτήν. διαιροῦνται οὖν ὅ τε Ἐπιμηθεὺς καὶ ὁ Προμηθεὺς τὸ ἔργον, καὶ ὁ μὲν τὰ ζῷα διέπλαττε καὶ ξυνέθυνε μίσγων ἐκ γῆς καὶ πυρὸς καὶ b
τῶν ἐκείνοις ξυμφύλων, ὁ δὲ αὐτὴν τὴν γῆν κατεποίκιλλε καὶ διένεμεν ἑκάστῳ μέχρι τὰ παρὰ τῶν θεῶν δεδομένα. νέμων δὲ τὴν μὲν ληίαν εὔπορον ἀπεργά-

407, 2 Κιτιεύς] Vulgo Κιττιεύς. 3 ἀγαθὰ add. A. οὐδὲν A. μηδὲν H. 7 πολυθρύλητα] Vulgo πολυθρύλλητα. 11 καταβροντήσονται A. καταβροντήσουσιν H. 14 πότιμόν τε A. τε om. H. μοι] tibi Pantinus. 15 πάλαι γε A. γε πάλαι H. καὶ ἐξ] καὶ om. A. 20 ἔδοξε καὶ ταύτης A. ἔδοξεν αὐτῆς H. 21 αὐτοῖς ἐπιτρέψαντες H. αὐτοῖς om. A. 24 ὅ τε A. ἅμα ὁ H. 26 ξυνέθυνε. μίσγων ἐκ γῆς καὶ A. ξυνετίθει μίσγων γῆς τε καὶ H. 28 διένεμεν] διένειμε A.

ζετο, τὴν δὲ ἀμπέλοις ἐκόσμει, τὴν δὲ τῷ καρπῷ τῆς Ἀθηνᾶς, ἄλλην δὲ ἀκροδρύων πλήθεσιν, ἄλλην δὲ ὕλης εὐτροφίᾳ καθάπερ κόμῃ· καὶ τῇ μὲν χρυσὸν ἐγκατέσπειρε, τῇ δὲ χαλκὸν, τῇ δὲ ἄργυρον, τῇ δὲ ἄλλο τι τοιοῦτον, ἐπανισῶν ὅτι μάλιστα ἑκάστῳ μέρει τὸν κόσμον. ἐπεὶ δὲ ἅπαντα διένειμε τὰ καλούμενα ἀγαθά,
c ὁ Ζεὺς ὁ πατὴρ ἐλεήσας τὴν γῆν καὶ βουληθεὶς αὐτῇ καὶ θείου τινὸς μεταδοῦναι, δίδωσιν αὐτῇ τὸν δεύτερον κρατῆρα νοῦ τε καὶ φρονήσεως· δίδωσι δὴ ἐφ᾽ ᾧ τε ἅπασαν τὴν γῆν τοῦ δωρήματος τοῦδε μεταλαβεῖν. ἀπορουμένου οὖν τοῦ Ἐπιμηθέως πρὸς τὸ ἐπίταγμα τοῦ Διὸς, ξυννοήσας ὁ Προμηθεὺς τὴν φρόνησιν καὶ τὸν λόγον ἐν γῇ μὲν οὐχ οἷόν τε ὥσπερ τὰ ἄλλα σπέρματα φύεσθαι, ψυχὴν δὲ ζῴου δύνασθαι μόνην τὸ σπέρμα τοῦτο φέρειν καὶ τρέφειν, τῷ ἀνθρώπῳ φέρων ἐγχεῖ τοῦ κρατῆρος, καὶ διὰ τοῦτο καὶ λόγος ὅπου καὶ ἄνθρωπος. γέγονε γὰρ ἄνθρωπος μόνος, ὡς ἔοικε, ὑπο-
d δοχή τις καὶ χώρα παιδείας καὶ λόγου, καὶ διὰ τοῦτο ὄσπρια μὲν καὶ φυτὰ ἕτερον χωρίον ἑτέρου γενναιότερον ἐκτρέφει, οἱ λόγοι δὲ εἰσὶ καρπὸς ψυχῶν ἀνθρωπίνων, καὶ ἐν ταύταις ζητητέον τούς τε ἀμείνους καὶ τοὺς χείρους αὐτῶν. δεῖ μέντοι ἐπὶ τούτων καὶ τέχνης τινὸς, καθάπερ ἐπ᾽ ἐκείνων γεωργικῆς. σκοπεῖν δὲ ὡς ἄμφω τὰ ἔργα σφόδρα ἐμφερῶς ἔχει πρὸς ἄλληλα.

Πρῶτον μὲν δεῖ σε διεργάσασθαι τὴν ψυχὴν καὶ παρασχεῖν ἐπιτήδειον εἰς τὸν σπόρον. διεργάσῃ δὲ αὐτὴν
339 a εὐμαθείᾳ τε καὶ προσοχῇ. ὡς ἐὰν σκληρὰν ἐάσῃς καὶ στύφουσαν, ἀπολεῖ μὲν ὁ καταβάλλων τὰ σπέρματα, φύσει δὲ ἐκείνη ἀντὶ φρονήσεως καὶ ἀρετῆς κακίαν τε καὶ ἀμαθίαν καθάπερ ἀκάνθας. ἔπειτα ὅταν σπαρῇ τε καὶ φυτευθῇ, κινεῖν τε αὐτὴν καὶ ἀνανεοῦσθαι τὰ

408, 6 διένειμε A. ἐπένειμε H. 7 ὁ ζεὺς A. ὁ om. H. 10 δωρήματος] δώρου A. 11 οὖν τοῦ] τοῦ om. A. 14 σπέρμα A. σπέρμα θεῖον H. 16 ὅπου τοῦτο καὶ A. πανταχοῦ H. 20 ἀνθρωπίνων A. ἀνθρώπων H. 27 τε om. A. ἐὰν A. ἂν εἰ H.

καταβληθέντα τῇ μνήμῃ, καὶ τῶν ἀγρίων βλαστημάτων ἀποκαθαίρειν, ἵνα μὴ ὑπὸ πολλῶν φυτῶν καὶ ἰσχυρῶν ἀποπνιγείη τὰ χρηστὰ καὶ τὰ ἥμερα. μάλιστα δὲ ἁπάντων ἐπιμελεῖσθαι μήτε σπείρειν ἁπλῶς μήτε φυτεύειν ἐξ b ὅσων οὐδέν τι χρήσιμον ἀποδρέψεται. εἰσὶ γὰρ καὶ ἐν τοῖς λόγοις, ὥσπερ ἐν τοῖς φυτοῖς, πολλοὶ χαρίεντες μὲν καὶ ἀμφιλαφεῖς, ἄκαρποι δὲ καὶ ἀνόνητοι, καθάπερ τὰ ἐκ τῶν πλατάνων καὶ αἰγείρων ἄλση γεωργοῖς μὲν οὐ σφόδρα τίμια, κόραις δὲ παιζούσαις καὶ ὁδοιπόρῳ καμόντι καὶ βασιλεῖ Μήδων, ᾧ καὶ χρυσῆ πλάτανος ἦν. ἀλλ' ἐκλέγεσθαι καὶ σκοπεῖν δεῖ, ὁπόσα χρήσιμα τῶν σπερμάτων, καὶ εἰ μὲν πρὸς ἀργύριον βλέπεις καὶ τὸ χρήσιμον τούτῳ μετρεῖς, ζητεῖν ἐκείνους c τοὺς λόγους οἳ χρήματά σοι βλαστήσουσιν. ἔστι δὲ πολὺ τὸ σπέρμα τοῦτο καὶ ἐν δικαστηρίοις καὶ ἐν ἐκκλησίαις, καὶ μάλιστα εὐθαλεῖ περὶ τὴν ἀγορὰν καὶ τὸ βῆμα. μηνύσαιμι δ' ἄν σοι καὶ ἐγὼ τοὺς ἐνθάδε ἄφθονον αὐτὸ κεκτημένους· οἷς εἰ προσίοις τε καὶ θεραπεύοις, ταχύ σου μεγάλην τὴν γλῶτταν καὶ περιττὴν ἀποδείξουσι. καὶ λέγων αἱρήσεις οὐκ ἐκ δέκα μόνον ποδῶν, ἀλλὰ καὶ ἐξ εἴκοσιν ἴσως, τυχὸν δὲ καὶ ἀπ' αὐτοῦ τοῦ σταδίου τοὺς ῥήτορας τοὺς ἀλλαχόθεν· οὕ- d τως ἡμῖν οἱ σοφισταὶ δεξιοί εἰσιν.

Εἰ δὲ πρὸς ἑαυτὸν ὁρᾷς καὶ ὅπως σεαυτοῦ ἔσῃ βελτίων, ἄλλο αὖ σοι φυτὸν ζητητέον οὐκ ἔγγειον, ἀλλ' οὐράνιον, ὃ κἂν μή τις ὠνῆται κἂν μή τις θαυμάζῃ, αὐτὸ καθ' ἑαυτὸ ἀποκείμενον ἐν τῇ ψυχῇ πολλοῦ σοι ἄξιον ἔσται. σπάνιον δὲ τοῦτο· καὶ γὰρ παρ' ὀλίγοις. οὐ γὰρ σφόδρα αὐτὸ θαυμάζουσιν ἄνθρωποι. αἴτιον

409, 2 ὑπὸ om. A. 3 ἥμερα A. ἡμερώτερα H. 6 ὥσπερ ἐν] ὥσπερ καὶ ἐν A. 11 δεῖ om. A. 16 εὐθαλεῖ] εὐθάλλει A. περὶ A. ἐπὶ H. 20 ἐκ δέκα] Ex Eupolidis versibus, de quibus dixit Wyttenbachius ad Plutarchum de S. N. V. p. 7. 8. (310. 311. ed. nov.) μόνον A. μόνων A. 21 ἀλλὰ καὶ A. ἀλλ' H. δὲ καὶ ἀπ' A. καὶ om. H. 24 σεαυτοῦ ἔσῃ A. ἔσῃ σεαυτοῦ H. 27 ἑαυτὸ A. ἑαυτὸν H. ἐν om. A. 29 θαυμάζουσιν A. σπουδάζουσιν H.

δέ· οὐ ποιεῖ χρυσὸν οὐδὲ ἄργυρον, ἀλλὰ καὶ ἀτιμάζει
340 a καὶ λῆρον ἡγεῖται. διὰ τοῦτο σὺν αὐτῷ καὶ οἱ ἄν-
θρωποι ἀτιμάζουσιν. εἰ δὲ ᾔσθοντο τοῦ καρποῦ καὶ
ἐγεύσαντο, εἶπον ἂν εὖ ἴσθι καὶ αὐτοὶ τὴν φωνὴν ἐκεί-
νην, ὅτι πᾶς ὁ ἐπὶ γῆς καὶ ὑπὸ γῆν χρυσὸς ἀρετῆς
οὐκ ἀντάξιος. νῦν δὲ ἀγνοίᾳ τούτου τοῦ κέρδους καὶ
ἀπειρίᾳ περὶ τὰ φύλλα στρέφονται, κἀκεῖνα θαυμάζουσι
καὶ μόνα ἠγαπῶνται. τούτου τοῦ φυτοῦ τὴν ῥίζαν δίδωσι
μὲν Ὅμηρος, μᾶλλον δὲ Ἑρμῆς, Ὀδυσσεῖ, ἡνίκα παρὰ
τὴν Κίρκην τῆς ἐξ ἡδονῆς ἀλογίας τοὺς ἑταίρους ἀπο-
b λυσόμενος ᾔει. λάβοις δ' ἂν καὶ σὺ παρὰ τοῦ θεοῦ
σπουδάσας, καί σοι δείξει τὴν φύσιν αὐτοῦ καθάπερ
τῷ τοῦ Λαέρτου· μὴ γὰρ ἀχρεῖον ἔσεσθαι τὸ κτῆμα
νομίσῃς, ὅτι σύ γε οὐ παραπλεύσεις τὴν νῆσον ἐκείνην,
οὐδὲ τὴν Κίρκην ὄψει ποτὲ, οὐδ' ἐκπίῃ τοῦ κυκεῶνος.
ἀλλ' εὖ τοι γίνωσκε, ὦ χρηστὲ, ὡς εἰ μὴ ἔχεις πολὺ
τὸ ἀλεξιφάρμακον τοῦτο, ἀντὶ μιᾶς σοι Κίρκης πολλαὶ
τὸν κυκεῶνα κεράσουσι, καὶ αὗται οὐ πόρρωθεν ἀπῳ-
κισμέναι, ὥστε πολλῇ πλάνῃ παραγενέσθαι, ἀλλὰ ξυνοῦ-
c σαι συνεχῶς καὶ περιέπουσαι κύκλῳ καὶ καλοῦσαι πρὸς
ἑαυτάς. ἆρ' οὖν Αἴγυπτος φέρει τὴν ῥίζαν ἐκείνην ἤ
τις ἠπείρου νῆσος πόρρωθεν ἀπῳκισμένη, καὶ δεῖ σοι
πάλιν μακροτέρας ἀποδημίας; ἀλλ' εἰ ξυνιέναι τῶν ἐπῶν
ἐθέλεις, κἀνταῦθα ὀρύττειν οἷός τε ἔσῃ τὸ φάρμακον.
δίδωσι γὰρ καὶ σύμβολα αὐτοῦ καὶ σημεῖα,

Ῥίζην μὲν μέλαν ἔσκε, γάλακτι δὲ εἴκελον ἄνθος.

εἰ δὲ οὐκ ἐξευρίσκεις τὸν νοῦν τοῦ ἔπους, βούλει σε
ἀναμνήσω καὶ ἄλλον λόγον, ὃν ἔτι μειράκιον ὢν ἔμα-
d θες ἐν διδασκάλου; καί σοι εὔδηλός τε φανεῖται καὶ

410, 4 εἶπον ἂν A. εἶπον μὲν H. 5 ὁ ἐπὶ A. ὁ om. H. 8 κέρδους] καρποῦ Roulezius p. 72. 15 ἐκπίῃ A. ἐκπίῃς H. 21 ἤ τις A. ἤ τις καὶ H. 22 ἠπείρου] ὁμήρου A. οἶμαι ὅτι ὁμήρου ἠπείρου θέλει, ἵν' ᾖ τοιοῦτον, ἥ τις νῆσος πόρρωθεν τῆς γῆς ἀπῳκισμένη. schol. A. 23 πάλιν] πολὺ Roulezius p. 48. ξυνιέναι] συνιέναι H. ξυνεῖναι A. 24 ἐθέλεις A. ἐθέλοις H. 26 Ῥίζην] Odyss. κ, 304. unde ῥίζῃ corrigendum. 29 ἐν διδασκάλου A. ἐκ διδασκάλων H.

ἑρμηνεύσει τὸ ἔπος. φησὶ δὲ τῆς ἀληθινῆς παιδείας πικρὰν μὲν τὴν ῥίζαν, γλυκὺν δὲ καὶ προσηνῆ τὸν καρπόν. εἰ οὖν τὸ μὲν πικρὸν εἰς τὸ μέλαν, τὸ γλυκὺ δὲ εἰς τὸ λευκὸν μεταβάλοις καὶ προσέτι τὸν δοτῆρα τῆς πόας θεὸν ἐννοήσαις, φανερόν σοι τὸ βούλημα ἔσται τὸ τοῦ ποιητοῦ. καὶ εὕροις ἂν αὐτῷ μαρτυροῦντα καὶ τὸν Ἡσίοδον τῆς ἀρετῆς πόνον μὲν ἐπ' ἀρχῆς προτιθέντα, ῥαστώνην δὲ ἐπὶ τέλει ἐγγυώμενον. ὥστε εἰ πανταχοῦ δυνατὸν ἀρετὴν ἐξασκεῖν, πανταχοῦ καὶ 341 a
τὸ φάρμακον ὀρύττειν ἐκεῖνο. τοῦτο δὲ οἶμαι καὶ τὸν Ὅμηρον ἐνδείκνυσθαι, ἡνίκα ἂν παραινέσαντα τὸν Ἑρμῆν Ὀδυσσεῖ καὶ διδόναι ποιήσῃ τὴν πόαν οὔτε κομίσαντα ἀλλαχόθεν οὔτε πορευθέντα ὑπὲρ τοῦ λαβεῖν πορρωτέρω, ἀλλ' ἐξελκύσαντα τῆς γῆς ἔνθα εἱστήκει. τί γὰρ ἄλλο ἐστὶ λέγοντος ἢ ὅτι παρὰ πόδας ἐστὶ καὶ πλησίον ἀεὶ τῷ δυναμένῳ λαμβάνειν;

---

411 1 φησὶ δὲ A. φησὶ γὰρ H. 2 καὶ προσηνῆ add. A. 4 μεταβάλοις] μεταλάβοις A. μεταβάλλοις H. 5 πόας A. ποίας H. ἐννοήσαις A. ἐννοήσεις H. φανερόν] φανὸν A, quod defendit Iacobsius ad Philostrat. p. 460. 6 μαρτυροῦντα καὶ τὸν ἡσίοδον A. καὶ Ἡσίοδον μαρτυροῦντα τὸν H. 8 ἐγγυώμενον A. διεγγυώμενον H. 12 ποιήσῃ A. ποιεῖ H. 14 ἔνθα] ἔνθεν A.

XXVIII.

b ## Η ΕΠΙ ΤΩΙ ΛΟΓΩΙ ΔΙΑΛΕΞΙΣ.

Τίκτουσι δὲ οὐχ οἱ φιλόσοφοι μόνον, ἀλλὰ καὶ οἱ ποιηταὶ καὶ οἱ ῥήτορες πάνυ πολλοὺς λόγους. ἀλλ' οἱ μὲν κυδροῦνται ἐπὶ ταύτῃ τῇ παιδείᾳ καὶ ἐγκαλλωπίζονται καὶ ἀναβρύνονται καὶ ἀνακοινοῦνται αὐτοὺς τοῖς ἀνθρώποις, θαμὰ ἐξάγοντες εἰς θέατρα καὶ πανηγύ- c ρεις, ἐσταλμένους χρυσῷ καὶ πορφύρᾳ καὶ μύρων ὄζοντας καὶ ὑπογεγραμμένους καὶ ἐντετριμμένους, στεφάνοις τε ἀνθέων ἐστεφανωμένους. πρὸς δὲ τῷ κόσμῳ οὕτω λαμπρῷ ὄντι καὶ πολυτελεῖ καὶ αὐτοὶ οἱ λόγοι αἱμύλοι εἰσὶ καὶ ὑπερβάλλουσι δεξιότητι καὶ φιλανθρωπίᾳ, κυδαίνοντες καὶ ἐπαίροντες καὶ ἀσπαζόμενοι τοὺς θεωμένους καὶ πάσας ἱέντες φωνὰς καὶ ᾄσματα ᾄδοντες μεστὰ ἡδονῆς, ὥσπερ Σειρῆνες. ἅτε οὖν οὕτω δεξιοὺς ὄντας καὶ χειροήθεις καὶ οἱ ἄνθρωποι ἀντασπάζονται d καὶ ἀντεπαινοῦσι, καὶ ἐντεῦθεν πλείη μὲν γαῖα τούτων τῶν ἀνθρώπων, πλείη δὲ θάλασσα.

Οἱ δὲ ἀπὸ τῆς Σωκράτους γενεᾶς εἰκότως ἄρα καὶ ἐν δίκῃ ἀπεφθίκασί τε καὶ ἀπερρυήκασιν ἐν τῷ παρόντι. οὐ γὰρ οἶδα ὅθεν φρίττουσί τε καὶ εὐλαβοῦνται τὰς ἀγορὰς, ἐν αἷς φησιν ὁ ποιητὴς ἀριπρεπέας τελέθειν τοὺς ἄνδρας, καὶ οὐκ ἀνέχονται παρακύπτειν ἔξω τοῦ σκίμποδος καὶ τῆς γωνίας· οὕτως ἐκλελησμένοι εἰσὶ τῶν προγόνων, ὅτι ἐκεῖνοι ἐπὶ τῶν ἐργαστηρίων

412, 10 αὐτοὶ οἱ A. οἱ om. H. 13 μεστὰ Iacobsius ad Anthol. vol. IX. p. 420. Vulgo τά. 17 ἀνθρώπων] φομάτων Iacobsius in append. ad Porson. Adv. p. 284. λόγων idem ad Anthol. vol. IX. p. 420. 21 τὰς ἀγορὰς A. τὰς om. H.

πρὸς τοὺς πολλοὺς διελέγοντο καὶ ἐν ταῖς στοαῖς καὶ ἐν τοῖς βαλανείοις καὶ ἐν τοῖς θεάτροις. καὶ διὰ τοῦτο 342 a οὐ μόνους τοὺς εἰς τὸ διδασκαλεῖον φοιτῶντας προσήγοντο καὶ ἐχειροῦντο, ἀλλὰ καὶ τὸν σκυτοτόμον ἐξανίστων ἀπὸ τῶν σκυτῶν καὶ τὸν ὀβολοστάτην ἀπὸ τῆς τραπέζης καὶ τὸν ἑταιροῦντα ἀπὸ τοῦ οἰκήματος. ἐφοίτων δὲ ὑπὸ φιλανθρωπίας καὶ Ὀλυμπίαζε καὶ Ἰσθμοῖ καὶ εἰς Αἴγιναν καὶ εἰς Ἐλευσῖνα καὶ ἐτέλουν δὲ καὶ αὐτοὶ μητρὶ τῶν θεῶν * τοῖς πολλοῖς ἀνθρώποις. οἱ δὲ ὥσπερ οἱ φῶρες καὶ οἱ λωποδύται φεύγουσι τὰ μέσα * τοῦ ὀργάνου οὐκ ἀπεικότως καὶ ἀπιστοῦνται, εἰ b μὴ καὶ τὴν γλῶτταν ἀπολλύουσιν ὑπὸ τῆς σοφίας.

Ἐγὼ δὲ ἐπιχειρῶ μέν, ὦ ἄνδρες, καὶ προθυμοῦμαι εἰς τὴν τάξιν ἐπανάγειν αὐτοὺς τὴν ἀρχαίαν. δέδοικα δὲ αὖ πάλιν καὶ ὑποπτεύω μὴ καὶ διαλέγεσθαι ὑμῖν ἐπιχειρήσαντες ἀτοπώτεροι φανείημεν τῶν σιωπώντων. ἐπίσταμαι γὰρ ἀκριβῶς αὐτῶν τὴν φύσιν, ὅτι σκληρὰ καὶ αὐθέκαστος καὶ ἀτενής· οἵ γε οὐδὲ τὰ ῥήματα ἀνέδην χαρίζεσθαι ὑπομένουσι τοῖς ἀνθρώποις, ἀλλὰ φείδονται ὑπ' ἀγροικίας τῶν ὀνομάτων μᾶλλον ἢ τοῦ χρυσίου, καὶ ἀκριβῶς ἐξετάζουσι καὶ ἐπιμελοῦνται ὅπως c ὅπως ἂν μήτε μείζω μήτε ἐλάττω ἀποδοῖεν μηδενὶ τοῦ προσήκοντος. συμβαίνει οὖν αὐτοῖς παρὰ ταύτην τὴν σμικρολογίαν πάνυ ὀλίγους ποιεῖσθαι προσηγόρους τε καὶ εὐμενεῖς. ἀλλ' ὅμως τηλικαύτη αὐτῶν ἡ αὐθάδεια ὥστε αὐταὶ πιστεύουσι καὶ πρὸς τοὺς ἄλλους ἀπισχυρίζονται ὅτι ὃν μὲν αὐτοὶ ἐπαινοῦσιν οἰκεῖός ἐστιν ὁ ἔπαινος τοῦ ἀνθρώπου, ὃν δ' ἂν οἱ κομψοὶ ἐκεῖνοι καὶ πολυτελεῖς, ἀλλότριός τε καὶ μηδὲν ἐοικώς· καὶ οὐκ ἂν ἐξεύροις ἐκ τούτου τίς ὁ ὑμνούμενος, εἰ μὴ τοὔνομα d ἐγγεγραμμένον εἴη τῇ κολακείᾳ, καθάπερ αἱ τῶν φαυ-

413, 8 ἐτέλουν δὲ] ἐτελοῦντο Lobeckius Aglaoph. p. 15. 9 μητρὶ] μετὰ A. * τοῖς] ὅμοια τοῖς Lobeckius. 11 εἰ μὴ καὶ] εἰ μὴ καὶ τὴν διάλεκτον αὐτήν, φησί, ἀπολλύουσιν ὑπὸ τῆς ἀπαρρησιάστου σοφίας. schol. A. 17 σκληρὰ καὶ A. καὶ om. H. 22 μηδενὶ add. A. 31 τῇ κολακείᾳ A. τοῦ κολακ . . . H. κολακεία ἐνταῦθα τὸν ἔπαινον λέγει. schol. A.

λων ζωγράφων εἰκόνες οὐ γνωρίζονται ἐκ τῆς τέχνης, ἀλλ' ἐκ τοῦ ἐπιγράμματος. ἡ δὲ ἀληθὴς εὐφημία οὕτως ἄρα ἔμπνους ἐστὶ καὶ τῶν Δαιδάλου ἔργων ἐμψυχοτέρα ὥστε κἂν εἰς τὸ μέσον οὕτω ῥιπτῆται, αὕτη προσπηδᾷ καὶ προσφύεται ᾧ προσήκει. καὶ οὖν εἰ λέγοι αὐτὴν ὁ λέγων ἀλλαχοῦ ἀποτρέπων τὼ ὀφθαλμώ, ἀλλ'
348 a οἵ γε ἀκροώμενοι ἐκεῖνον ἀπέβλεψαν παραχρῆμα, ᾧ ὁ τοῦ στόματος ἐκπεσὼν λόγος προσέφυ τε καὶ προσηρμόσθη.

Ἰδοὺ οὖν καὶ ἐγὼ τὸν μὲν ἔπαινον ἀφίημι εἰς τὴν ἐκκλησίαν, ὅτι μοι δοκεῖ ὁ ἄρχων ἐκεῖνος ἐπαληθεύειν τοὔνομα τῆς ἀρχῆς, ὅστις δυσάλωτος μὲν ὑπὸ χρυσίου, εὐάλωτος δὲ ὑπὸ λόγου, ἐλευθερίας δὲ ἐραστής, μεγαλοφροσύνην δὲ ἐπαινῶν φυλάττεται ἐγγὺς οὖσαν τὴν αὐθάδειαν. καὶ ἐγὼ μὲν οὐ λέγω ὅντινα λέγω, ἀλλ' οὔτε
b προσορῶ οὔτε προσμειδιῶ, οὐδὲ δείκνυμι τῷ δακτύλῳ, οὐδὲ ἀναστὰς ἅπτομαι ταῖν χεροῖν· ὑμεῖς δὲ ἐπέγνωτε παραχρῆμα καὶ ἐκεῖσε ὑμῶν ἀπηνέχθησαν οἱ ὀφθαλμοί, καὶ οὕτως ἄρα ἰσχυρὸν ἡ ἀλήθεια ὥστ' οὐ παύεσθε κεκραγότες καὶ ἐκβοῶντες καὶ ἐξαλλόμενοι ἀπὸ τῶν πετρῶν, καίτοι λιτὰ ῥήματα προηκάμην, καὶ ταῦτα εἰκῆ οὑτωσὶ καὶ λίαν ἀρχαίως, οὔτε περιστείλας ῥυθμῷ κομμώσας. ἀλλ' ἐοίκατε μὴ τὰ ῥήματα θαυμάζειν, ἀλλὰ τὸν ἄνδρα ἐν ᾧ τὰ ῥήματα ἐξέλαμψε καὶ ἐξεφάνη. καὶ
c εὖ οἶδ' ὅτι καὶ ὑμεῖς ἥσθε ὑπὲρ τοῦ λόγου, ὅτι οὐκ ἐξηπάτησεν οὐδὲ ἐθώπευσεν, ἀλλ' οἷον ἀγωνιστῇ γενναίῳ καθήμενος ἄνωθεν ἐπεβόησε καὶ ξυνώρμησε καὶ ἐδίδαξεν ᾧ φυλάττεσθαι χρεὼν καὶ προὔτρεψεν ἐμμένειν τῇ εὐψυχίᾳ.

414, 3 προσφύεται] προσφύη A. 10 μὲν ἐγὼ οὖν A. καὶ τοῦτον H. 14 φυλάττεται A. φυλάττηται H. 15 μὲν οὐ A. μὲν οὖν οὐ H. 20 πετρῶν] πτερῶν A. 21 λιτὰ] ὀλίγα Iacobsius apud Goellerum p. 266. 24 ἐν ᾧ A: ἐφ' ᾧ H.

XXIX.

ΠΡΟΣ ΤΟΥΣ ΟΥΚ ΟΡΘΩΣ ΕΞΗΓΟΥΜΕΝΟΥΣ ΤΟΝ ΣΟΦΙΣΤΗΝ. d

Ὡς σχέτλιόν γε καὶ ἄτοπος λίαν ἡ φιλοσοφίας τύχη ἐστίν, εἰ μηδὲ ἀπολύσασθαι ἕξει τὰς διαβολὰς ἀπραγμόνως, ἀλλὰ περιτρέπεται αὐτῇ μόνῃ εἰς τοὐναντίον τὰ ἔργα, οἷς ἐγχειρεῖ καὶ προαιρεῖται. καὶ ἐλέγχουσα λοιδορίαν λοιδορεῖσθαι δοκεῖ, καὶ ἐκκαλοῦσα ἔγκλημα διαβεβλημένη, καὶ οὐδὲν ἄρα πρὸς ταύτην ἐστὶν ἡ τοῦ 344a Αὐτολύκου σοφία. ἐκεῖνος γὰρ τὰ μὲν χρώματα ἤμειβε τῶν βοῶν, λύκους δὲ ἐποίει τοὺς βοῦς καὶ παρδάλεις. ταύτης δὲ πολὺ θαυμασιωτέρα γοητεία ἡ περὶ τοὺς λόγους· τοὺς γὰρ ἐναντίους μεταμορφοῖ εἰς τοὺς ἐναντίους καὶ φεύγειν δοκοῦσιν διώκει, καὶ φραγνῦσα ἑαυτήν, ὡς μὴ τιτρώσκοιτο, κεντεῖ καὶ τιτρώσκει. καὶ τοῖς μὲν στρατιώταις, ὡς ἔοικεν, ἄλλα ὅπλα ἐστὶν οἷστισι ἀποκρούσασθαι τὰς βολάς, ἄλλα δὲ ὥστε βάλλειν καὶ ἀκοντίζειν, ὁ λόγος δὲ ἄρα ὁ πάντων εὐμηχανώτατος b πρᾶγμα ἀπορώτερόν ἐστι τοῦ σιδήρου, καὶ ἀνάγκη αὐτῷ ἀντὶ θώρακος χρῆσθαι καὶ ἀντὶ μαχαίρας. ᾗ ἔτι ὁ μὲν λόγος ἄν τι ἐργάζεται, ὁ δὲ οὐκ ὀρθῶς ἀκούων τοῦ λόγου ἕλκει αὐτὸν καὶ ἀναγκάζει οὗ μήτε προῄρητο μήτε ὥρμησεν ἐξ ἀρχῆς, καὶ ἀπάγεται οἰκοῦν τῇ φύσει εὐκόλῳ οὔσῃ καὶ εὐαγώγῳ μεθαρμόζεσθαι εἰς ὑπεναντίας χρείας· αἱ ὅταν μὲν οὖν κατὰ μικρόν γε ὑπόρρεωσι

415, 8 ἐστὶν add. A. 10 ἐποίει] οὐκ ἐποίει Harduinus. 14 κεντεῖ] κεντρεῖ A. 24 κατὰ add. A. μικρόν γε] μικρόν τε A.

προσεοικυῖαι, συγγνώμη τῷ μεταβιβάζοντι τῆς περιερ-
c γίας· ὅταν δὲ δὴ ἐξ ἐναντίας, τοῦτο ἤδη τεράστιον
καὶ ἀλλόκοτον. κατηγορίας δὲ καὶ ἀπολογίας οὐδὲν
οἶδα ἐγὼ ἐν τοῖς λόγοις ἐναντιώτερον, ὥσπερ οὐδὲ ἐπαί-
νου καὶ ψόγου, οὐδὲ ἀβουλίας καὶ εὐβουλίας.

Λέγετε οὖν ἡμῖν, ὦ σοφώτατοι χρησμολόγοι τῆς
παραδοξότητος τῶν ἐμῶν ῥημάτων, διὰ τί οὕτω πόρρω
τὸν πρώην λόγον πολυπραγμονεῖτε καὶ γνωματεύετε. εἰ
μὲν γὰρ τοῦτο φατὲ εἶναι κατηγορίαν, ὅτι ἀπέδειξεν ὁ
d λόγος συκοφαντοῦντας καὶ ψευδομένους τοὺς διαβάλ-
λοντας, λέγοιτε ἂν ὀρθῶς, καὶ τῷ ὄντι χαλεπὴ κατη-
γορία ὁ τοῦ ψεύδους ἔλεγχος τῷ ψευδομένῳ. εἰ δὲ
περαιτέρω τι ἐπιζητεῖτε, οὐ τοῦ λόγου αὕτη ἡ κακοή-
θεια, ἀλλὰ τῶν οὕτως ἀκροωμένων τοῦ λόγου. ὁ μὲν
γὰρ λόγος οὐδὲ γινώσκειν ὁμολογεῖ τοὺς σκώπτοντάς με
ὡς σοφιστήν, ἀλλ' ὅτι μὴ πάνυ τῷ σκώμματί μου ἐπι-
[illegible] a τυγχάνουσι πειρᾶται ἀποδεικνύναι, καὶ καλεῖ μάρτυρα
ἀξιόπιστον Πλάτωνα τὸν Ἀθηναῖον, καὶ ὅσα ἐκεῖνος
ἴχνη δίδωσι καὶ σημεῖα τοῦ σοφιστοῦ, πάντα ἀκριβῶς
ἀπαριθμεῖται αὐταῖς λέξεσι καὶ αὐτοῖς ῥήμασιν, ὥσπερ
οἱ τοὺς νόμους ἀναγινώσκοντες. σὺ δὲ ἀφεὶς νόμους
αὐτοὺς αἰτιᾶσθαι, εἰ τοιοῦτοί εἰσιν ὥστε σε δάκνειν καὶ
ἀνιᾶν, πράγματα ἐμοὶ παρέχεις τῷ καταφυγόντι ἐπὶ
τοὺς νόμους, ὥσπερ οἱ διωκόμενοι ἐπὶ τὰ ἱερὰ πρὸ
θεῶν. εἰ δὲ ἐπ' ἄλλῳ τῳ με ἐσυκοφάντουν, ἀλλ' ἄττα
ἂν προὐτεινάμην τοῖς καθημένοις καὶ οὐ τὰ αὐτὰ καὶ
b τὸν αὐτὸν τρόπον, ὅτι τούτῳ ὑπεύθυνός ἐστι τῷ ἐγ-
κλήματι ὁ τοῦτο ποιῶν καὶ τοδί· καὶ ἐγὼ εἰ μὲν ταῦτα
ποιῶ, τιμωρεῖσθε, εἰ δὲ μή, ἀλλ' ἀφίετε. καὶ εἴ τις
ταῦτα διεξιόντος ἀναστὰς ἀνέκραγεν ὅτι σύ γε τοῦ δεῖ-
νος κατηγορήσων εἰσελήλυθας — ἐκεῖνον γὰρ ἅπαντες
ἴσμεν ταῦτα ἃ φῂς ἐργαζόμενον — εἶπον ἂν πρὸς
αὐτόν, ὦ λῷστε, ἀλλ' ἐμοὶ καὶ τῷ ἀνθρώπῳ ἐκείνῳ

416, 5 οὐδὲ ἀβουλίας] Vulgo οὔτε ἀβουλίας. εὐβουλίας] συμβουλίας A. 13 τι add. A. 29 ἀφίετε — ἀναστὰς add. A. 33 ἐμοῦ a m. rec. A.

οὐδὲν πρᾶγμά ἐστι, καὶ μὴ διάβαλλε ἡμᾶς πρὸς ἀλλήλους μηδὲ προστίθει τοῖς ἐμοῖς λόγοις ἅττα ἂν σὺ δοξάζῃς, μηδὲ ἐξηγοῦ ἃ ἐγὼ λέγω, ὡς σὺ ξυνίῃς, ἀλλ' c
ὡς ἐγὼ λέγω. ἐγὼ γὰρ τὸ ἐμαυτοῦ μόνον περί του σκοπῶ, καὶ τοῦτο εὖ θησόμενος παρεκάλεσα τοὺς δικαστάς. καὶ νῦν οὐκ ἄλλ' ἅττα ἢ ταῦτα λέγω. οὐκ ὀρθῶς φημὶ ὀνομάζειν τοὺς ὀνομάζοντάς με σοφιστήν· οὐδὲ γάρ με ἱκανὸν εἶναι ἐξ ὧν οἱ σοφισταὶ εὐδοκιμοῦσι. ταῦτα δέ ἐστιν ἅ φησιν ὁ θεσπέσιος Πλάτων, τά τε ἄλλα καὶ ὅσα λέγει ἐν τῷ βραχυτέρῳ Ἱππίᾳ πρὸς αὐτὸν ἐκεῖνον Ἱππίαν, αὐτόν τε ἐκεῖνον ἐπιδείκνυσθαι καὶ τοὺς ἄλλους σοφιστὰς ἐπιτηδεύειν. καὶ τὰ ῥήματα d
ἐκεῖθεν ταῦτά ἐστιν ἀγαμένου δῆθεν Σωκράτους καὶ ἐκπεπληγμένου, ὅτι ἀφίκετό ποτε εἰς Ὀλυμπίαν Ἱππίας οὐ μόνον ἄλλ' ἀμήχανα ὅσα ἐπιδεικνύμενος, ἀλλὰ καὶ ἔπη καὶ τραγῳδίαν καὶ διθυράμβους καὶ πολλοὺς λόγους καὶ παντοδαποὺς συγκειμένους καὶ περὶ ῥυθμῶν ἁρμονίας καὶ γραμμάτων ὀρθότητος καὶ ἀστρονομίαν καὶ γεωμετρίαν καὶ μουσικὴν καὶ τὴν περὶ φύσεως θεωρίαν. ἐμοὶ δέ, ὦ ἄνδρες, τοσοῦτος σωρὸς καὶ ἑσμὸς σοφίας οὔτε ἐκτήθη ποτὲ οὔτε μὴν κτηθείη, λέγω δὲ οὐδὲ 346 a
ἄλλῳ τῶν ἐν τῇ πόλει. ἴσως γὰρ καὶ ὑπὲρ τὴν φύσιν ἐστὶ τὴν ἀνθρωπίνην οὕτω δυσαριθμήτων ἀγαθῶν πλοῦτον καὶ θησαυρὸν μιᾷ ψυχῇ ἐναποκεῖσθαι. εἰ δὲ σύ τινα οὕτως εὐδαίμονα τῶν ἡμετέρων πολιτῶν ὑπολαμβάνεις, μακάριος μὲν ἐκεῖνος τῆς εὐποτμίας, μακάριοι δὲ οἱ συνόντες αὐτῷ· ἐγὼ μέντοι, ὦ θαυμάσιε, τοῦ μακαρισμοῦ τούτου πόρρω ἀφέστηκα, καὶ οὐχ ὅτι τὸ πρᾶγμα ἀδίκημα τοῦτό ἐστι, διὰ τοῦτο ἐξαρνοῦμαι, οὐδὲ ὅτι ἄξιον φυγῆς ἢ θανάτου, ἀλλ' αὖθις σοι καὶ b
αὖθις λέγω ὅτι ἐγὼ αὐτοῦ πόρρω ἀφέστηκα.

417, 1 οὐδὲν A. οὐδὲ H. 4 περί του σκοπῶ] περισκοπῶ Iacobsius apud Goellerum p. 249. 8 ἱκανὸν εἶναι] λείπει τὰ τοιαῦτα, ὡς εἶναι τὸν λόγον, οὐδὲ γάρ με ἱκανὸν τὰ τοιαῦτα εἶναι ἐξ ὧν οἱ σοφισταὶ εὐδοκιμοῦσι schol. A. 15 ἄλλ'] ἀλλὰ καὶ A. 22 τῶν] τῳ Iacobsius in append. ad Porsoni Adv. p. 316. 23 ἀγαθῶν A. ἄγεσθαι H. 26 μακάριος — εὐποτμίας add. A. 27 θαυμάσιε A. μακάριε H.

Τί ἂν οὖν τις πρός με ἀγανακτοίη, εἰ ὁμολογῶ δημοσίᾳ ὅτι πένομαι σοφίας καὶ ὀλίγα πάνυ ἐστὶν ἃ ἐπίσταμαι, καὶ ταῦτα ἐν πολλῷ χρόνῳ ἐκμελετῶν καὶ ἄνω καὶ κάτω ἐγκαλινδούμενος; ἐπεὶ καὶ αὐτοῖς τοῖς ὀλίγοις βρενθύομαι. ἴσως καὶ αὐθαδίζομαι; καὶ ἐπεστόμισεν ἄν με Σωκράτης ὡς ἀλαζόνα ὄντα, διότι μηδὲ εἶναι σοφὸς ᾤετο καὶ ὡμολόγει ὃν σοφώτατον ἀνεῖπεν
c ὁ θεός. ἀλλὰ σὺ μορμολύττῃ με καὶ ἐρεσχελεῖς. ὅσοι γὰρ νῦν ἐν τῇ πόλει σοφισταὶ ὀνομάζονται, πάντως οἶδα ἐγὼ δεξιοὺς καὶ φιλανθρώπους καὶ οὐδένα αὐτῶν ἀμφισβητοῦντα τῆς Ἱππίου μεγαλαυχίας. οὐκοῦν οὐδείς μοι αὐτῶν πολεμεῖ καὶ δυσμεναίνει, ὅτι οὐ φημὶ σοφιστὴς εἶναι· οὐδὲ γὰρ τῶν ἰατρῶν οὐδείς, ὅτι φημὶ εἶναι κιθαριστής. ἐπεὶ εἰ πάντες μοι πολέ-
d μιοι ἦσαν, ὁπόσοι οὐ τὰς αὐτὰς τέχνας ἐργάζονται, πάλαι φροῦδα ἂν ἦν τὰ ἐμὰ πράγματα ἐξ ἀνθρώπων.

Καὶ δῆτα ἐκεῖνος, ὅστις ποτέ ἐστιν ὃν σὺ ὀνειροπολεῖς καὶ μαντεύῃ, οὐ προσήκει αὐτῷ ὁ λόγος· καὶ τί ἂν ἄχθοιτο καὶ δυσχεραίνοι; ἢ εἰ τὰ μάλιστα δῆλός σοί ἐστιν ἀνιώμενος, οὐ πρὸς τὸν λόγον χρὴ ἀνιᾶσθαι, ἀλλὰ πρὸς τὸ ἔργον, δι' ὃ προσήκων αὐτῷ
347 a ἐφάνη ὁ λόγος. οὐ γὰρ οἱ λόγοι τὰ πράγματα ἡμῖν προστιθέασιν· ὡς οὐδέν γε ἂν ἦν εὐκτεώτερον ἀνθρωπίνης εὐδαιμονίας· ἀλλ' ὅταν τὸ πρᾶγμα ὑπάρχῃ, τηνικαῦτα συνομαρτεῖ καὶ ὁ τοῦ πράγματος λόγος. χρὴ οὖν ἐκεῖνο ἀποσκευάσασθαι, καὶ ἡ σκιὰ συναπελήλαται τῷ στερεμνίῳ. ἀλλ', ὅπερ ἐγὼ καὶ ἔμπροσθεν ἔφην, οὐδένα σοφὸν οὕτως ἐξευρίσκω ἐν τῇ πόλει τῇ ἡμετέρᾳ, ὅτῳ ἂν αὕτη ἡ προσποίησις ἐφαρμόσειε τοῦ καταλόγου τῶν διδαγμάτων, ἀλλὰ καὶ κολοβοὶ ἅπαντες καὶ ἡμιτελεῖς πρὸς τὸν Ἱππίαν. καὶ εἰ μέν τις οἷός τέ ἐστι ξυντιθέναι τραγῳδίαν καὶ ἔπη καὶ διθυράμβους, ὥσπερ

418, 2 σοφίας A. τῆς σοφίας H. 5 βρενθύομαι] μεγαλοφρονῶ; ἐπαίρομαι gl. A. 17 δῆτα] τοῦτο εἴρηται πρὸς τὸ ὄπισθεν λεχθὲν τό, εἰ δέ τινα σὺ τῶν πολιτῶν τῶν ἡμετέρων οὕτως εὐδαίμονα ὑπολαμβάνεις; μακάριος ἐκεῖνος schol. A. 19 δυσχεραίνοι] δυσχεραίνῃ A.

ἔναγχος ἐπιδημήσας Αἰγύπτιος νεανίσκος, ἀλλ' ἀμαθής b
γε εἶναι ὁμολογεῖ τὴν ὑψηλοτέραν σοφίαν. εἰ δέ τις
ἐκείνην ποιεῖται ἄκρος τε εἶναι καὶ κορυφαῖος, τά τε
σμικρὰ ταῦτα οὐκ ἀξιοῖ καὶ χαμαίζηλα δημιουργεῖν,
οὐκοῦν οὐδ' ἄχρι κόμματος οὐδ' ἐλεγείου. ὥστε οὐδεὶς
ἂν ἐν δίκῃ ἡμῖν χαλεπαίνοι ἐπὶ τῷ λόγῳ οὗ εἴσω κάμπτει καὶ ὁλοκλήρου οὐκ ἐξικνεῖται.

Ὅτι δὲ οἱ σοφισταὶ οὕτω κηλοῦσι τοὺς νέους εἰς
τὰς μεγάλας πόλεις ἰόντες καὶ ἐν ταύταις πείθοντες
τὰς τῶν ἄλλων συνουσίας ἀπολιπόντας καὶ οἰκείων καὶ
ὀθνείων καὶ νεωτέρων καὶ πρεσβυτέρων αὐτοῖς συνεῖναι c
καὶ θυραυλεῖν, ἀμελοῦντας γάμων τε καὶ παιδοποιίας,
οὐκ ἐμὸς οὗτος ὁ μῦθος, ἀλλὰ Πλάτωνος τοῦ σοφοῦ
ἄντικρυς τοῖς ῥήμασιν οἷς ἄρτι εἶπον. καὶ οὐδὲ αὕτη
λοιδορία ἐστὶν, ἀλλὰ καὶ Πλάτων βελτίστους καλεῖ τοὺς
τοιούτους καὶ ἐγὼ χρηστοὺς ὠνόμασα ἐν τῷ λόγῳ, καὶ
τῷ ὄντι νέου αὕτη ἐστὶν ἡ εὐδοκίμησις καὶ ἀρετὴ, ὃν
ἂν ὑπολάβῃ αὐτὸν ἀμείνω ποιήσειν, ὑπὲρ τούτου καὶ
χρήματα ἀναλίσκειν καὶ τῷ σώματι ταλαιπωρεῖσθαι.
καὶ τὸν Καλλίαν οὐδεὶς μέμφεται ἐπὶ τούτῳ, ὅτι μὴ
μόνον Πρωταγόραν ἐθεράπευε καὶ περιεῖπεν, ἀλλὰ καὶ d
Ἀντίμοιρον τὸν Μενδαῖον καὶ τοὺς ἄλλους μαθητὰς
Πρωταγόρου, καὶ ἐκκενώσας τὸ ταμιεῖον τοῖς σοφισταῖς
ξενῶνα κατεσκευάσατο· γεννικῆς γὰρ τοῦτο σημεῖον καὶ
φιλομαθοῦς διανοίας· ἀλλ' ὅτι πρὸς Σωκράτην οὐχ
ἑώρα τὸν Σωφρονίσκου, οὐδὲ ἐτιτρώσκετο ὑπὸ τῶν
λόγων, οὓς θαμὰ εἰώθει λέγειν ἅπασιν Ἀθηναίοις,
τοῦτο ἴσως οὐκ εὔδαιμον πάνυ τῆς Καλλίου φιλη- 348 a
κοΐας. ἐπεὶ καὶ τὸν Κλεινίου Ἀλκιβιάδην οὐ κωμῳδεῖ
Πλάτων ἐν τῷ συνδείπνῳ ἐξομολογούμενον πρὸς τοὺς

419, 1 *Αἰγύπτιος νεανίσκος*] Andronicus, de quo dixit Valesius ad Ammianum Marcell. vol. II. p. 352. ed. Erfurdt. 2 ὁμολογεῖ A. ὁμολογοῖ H. 3 ποιεῖται] προσποιεῖται dubitanter Roulezius p. 74. 6 εἴσω κάμπτει add. A. οὔτινος λόγου ἐλάττων ἐστὶ schol. A. 13 *Πλάτωνος*] Vide Heusd. Spec. p. 11. 22 μενδαῖον A cum Platone in Protag. p. 315 a. Μυνδαῖον H.

συμπάτας ὅτι ἕτοιμος ἦν πάντα χαρίζεσθαι τῷ διδασκάλῳ, ἀλλ' ἐκεῖνος ὁ λόγος ὑπερήφανος ὕμνος ἐστὶ Σωκράτους καὶ Ἀλκιβιάδου· τοῦ μὲν, ὅτι μόνου ἑάλω, τοῦ δὲ, ὅτι μόνος οὐχ ἑάλω Ἀλκιβιάδου. εἰ δὲ ὁ μὲν πρὸς ἅπαντα εἶκεν, ὁ δὲ πρὸς μηδὲν ἐποίει ἀμείνω, Ἀλκιβιάδου μὲν ἔπαινος ἦν, Σωκράτους δὲ κατηγορία.

XXX.

ΘΕΣΙΣ ΕΙ ΓΕΩΡΓΗΤΕΟΝ. b

Ἡσίοδος ὁ Ἀσκραῖος, ὃς μετὰ τῆς δάφνης τὴν μου-
σικὴν παρὰ τῶν Μουσῶν αὐτῶν δέξασθαι λέγεται, c
τὴν ποίησιν διανείμας εἰς ἡρώων τε καὶ Μουσῶν ἐπαί-
νους καὶ τὴν γεωργίαν ἐν ταύτοις ἔταξε, τὴν φύσιν τε
ἐπαινῶν τοῦ πράγματος πᾶσαν καὶ μαθητὰς τῆς τέχνης
ποιούμενος ἡμᾶς, καὶ τοὺς περὶ γεωργίας λόγους τοῖς
περὶ ἀρετῆς καταμίξας, ὡς ταὐτὸν ὂν, γεωργίαν καὶ
ἀρετὴν δι᾽ ἀλλήλων καὶ ἅμα μαθόντας εἰδέναι. δεῖ δὲ
ἤδη καὶ ἡμᾶς Ἡσιόδῳ καὶ Μούσαις ἀκολουθοῦντας
ἐπιδεῖξαι διὰ πλειόνων ὡς ἄρα οὐ μάτην Ἡσίοδος σο-
φὸς ἐνομίσθη, ἀλλ᾽ εἰς τοσοῦτον εὐκλείας διὰ τοὺς εἰς d
γεωργίαν λόγους προῆλθεν, ὥστε καὶ Ὁμήρῳ περὶ σο-
φίας καὶ μουσικῆς ἐν ταφαῖς Ἀμφιδάμαντος εἰς ἀγῶνα
ἐλθὼν παρὰ τῶν κριτῶν τὸν στέφανον καὶ τὴν νίκην
ἔχειν. ὁ μὲν γὰρ πολέμους καὶ μάχας καὶ τὸν συνα-
σπισμὸν τοῖν Αἰάντοιν καὶ ἄλλα τοιαῦτα προσῇδεν, ὁ
δὲ γῆς τε ὕμνησεν ἔργα καὶ ἡμέρας, ἐν αἷς τὰ ἔργα
βελτίω γίνεται· καὶ διὰ ταῦτα πᾶσι τοῖς κριταῖς κρατεῖ.
κεκλήσθων δὲ ἐπίκουροι πρὸς τὸν λόγον οἵ τε ἔφοροι 349a
γεωργίας θεοὶ καὶ μούσης ἁπάσης εἴ δή τι κράτιστον,
καὶ ὁ μουσηγέτης αὐτὸς, ἐπειδὴ καὶ τὰς ἐνιαυσίας
καὶ τὰς] ἀμοιβὰς οὐχ ὑπὲρ τούτου μόνον, ἀλλὰ καὶ
ὑπὲρ πάντων ὧν ἐκ θεοῦ ἔχουσιν ἄνθρωποι παρὰ

421, 2 Ἡσίοδος] Vide Theogon. v. 30. 8 καταμῖξας] καταμίξας Boissonadius ad Philostrati Her. p. 471. 1 ἐπιδεῖξαι] ἀποδεῖξαι Wernsdorfius ad Himerium p. 647. 8 τὰ ἔργα A. τὰ om. H. 23 καὶ τὰς recte delet Harduinus, nisi aliquid excidit. τούτου] ἢ τοῦ λόγου gl. A.

γεωργίας κομίζονται, σπονδὰς καὶ θυσίας καὶ δαῖτας,
καὶ ὅσα φύουσιν ἐκ τῆς γῆς Ὧραι· εἰ δὲ καὶ Διόνυσον
παρακαλοῖμεν καὶ νύμφας καὶ Δήμητρος κόρην ὑέτιόν
τε Δία καὶ Ποσειδῶνα φυτάλμιον, πλησιάζομεν ἤδη
b ταῖς τελεταῖς καὶ τὴν Προδίκου σοφίαν τοῖς λόγοις
ἐγκαταμίξομεν, ὃς ἱερουργίαν πᾶσαν ἀνθρώπων καὶ
μυστήρια καὶ πανηγύρεις καὶ τελετὰς τῶν γεωργίας
καλῶν ἐξάπτει, νομίζων καὶ θεῶν ἔννοιαν ἐντεῦθεν εἰς
ἀνθρώπους ἐλθεῖν καὶ πᾶσαν εὐσέβειαν ἐγγυώμενος.
οὐ μὴν οὐδὲ Ὀρφέως τελετάς τε καὶ ὄργια γεωργίας
ἐκτὸς συμβέβηκεν εἶναι, ἀλλὰ καὶ ὁ μῦθος τοῦτο αἰ-
νίττεται, πάντα κηλεῖν τε καὶ θέλγειν τὸν Ὀρφέα λέ-
c γων, ὑπὸ τῶν καρπῶν τῶν ἡμέρων ὧν γεωργία παρέχει
πᾶσαν ἡμερῶσαι φύσιν καὶ θηρίων δίαιταν, καὶ τὸ ἐν
ταῖς ψυχαῖς θηριῶδες ἐκκόψαι καὶ ἡμερῶσαι. καὶ τὰ
θηρία γὰρ τῷ μέλει κηλεῖν ἐπιστεύθη θυσίας τε πάσας
καὶ τελετὰς διὰ τῶν ἐκ γεωργίας καλῶν εἰς θεοὺς ἀνά-
γων. πάντας γοῦν ἀνθρώπους ἐπῆλθε τῇ δόξῃ καὶ
πάντες ἐδέξαντο γεωργίαν. κἂν εἰς Αἰθίοπας ἔλθῃς
b ἐξ ἀνατολῶν διὰ μεσημβρίας εἰς δύσιν παρατεταμένους,
κἂν Κελτοὺς τὸ ἀρκτῷον κατέχοντας μέρος, κἂν τοὺς
d διὰ μέσου, γεωργοὶ καὶ ἀρόται καὶ φυτοσκάφοι· καὶ
οἷς πλείω τὰ τῆς γεωργίας, οὗτοι μᾶλλον εὐδαίμονες.
εἰ δέ τις ἄξενος Σκυθῶν καὶ ἀνήμερος βίον ἀλήτην
γεωργίας προὐτίμησεν, ἐν οἷς ἁμαρτάνει τὴν δίκην ἔχει,
ἀνέστιος, ἀλήτης, δίαιταν θηρίων μετιών· ὡς κἂν τού-
τῳ γεωργίαν θαυμασιωτέραν εἶναι, τῷ χαλεπώτατα εἶναι
καὶ ἀγριώτατα τῶν ἐθνῶν, εἴπερ ὄντως ἐστίν, ὅσα
350 a γηπονίαν ἐτίμησε. καίτοι καὶ τούτους, εἰ καὶ οὐ
πονοῦσι περὶ τὴν γῆν, τοὺς γεωργίας καρποὺς ἑτέρωθεν
εἰσκομιζομένους λέγουσι διαζῆν. καὶ τις ποιητὴς ὀδύ-

422, 2 φύουσιν — Διόνυσον add. A. 3 παρακαλοῖμεν A. καλοῖμεν H. 15 ἡμερῶσαι] ἡμερώσειν A. 21 κατέχοντας] κατείχοντας A. 28 ἀγριώτατα] ἢ ὅσα τὴν γεωργίαν ἠθέτησαν schol. A. 29 ἐτίμησε] οὐκ ἐτίμησε Harduinus. ἠτίμησε Roulezius p. 5. 30 ἑτέρωθεν Harduinus. Vulgo ἑτέρωθι. 31 ποιητὴς] Dionysius Perieg. v. 194.

ρεῖαι ποιήσας, ὅτι νήπιοι εἶεν ἀστεγάστων καὶ ἀνήκοοι ἀνδράσι τε καὶ θέρους, παράχρημα ἐπαγαγὼν ὅτι τοῖς θηρίοις ἐξ ἴσης ἄνευ γεωργίας καὶ οἴκων διαζῶσιν.

Οἷς δὲ ὁ βίος ἥμερος καὶ ὑπόστεγος, οὗτοι τῆς περὶ τροφὴν ἀνάγκης ἀπαλλαγέντες πρός οὐρανόν τε ἀνέβλεψαν, θεούς τε ἐπίστευσαν καὶ δίκῃ καὶ νόμοις ἐχρήσαντο πρῶτοι, οὐκ ἔτ' οὔσης ἀνάγκης ταῖς ἀναγκαίοις b προσκαρτερεῖν, ἀλλ' εὐπορίᾳ βίου σοφίαν ἀσκοῦντες. οἱ δὲ πόλεις τε ἐδείμαντο καὶ νεὼς ἤγειραν καὶ δίκῃ χρῆσθαι καὶ νόμους ἔθεντο· ὥστε καὶ τῶν νόμων αὐτῇ περίεστι μᾶλλον ἢ τοῖς ἄλλοις πᾶσιν. ἤδη καὶ ἔθηκεν ἀνθρώποις καὶ γράψαι νόμιμα καὶ γραψαμένους κυρῶσαι παρέσχε. καὶ πλείω περὶ ταύτης οἱ νομοθέται σπουδὴν ἢ περὶ τῶν ἄλλων πεποίηνται. καὶ οἷς εἰρήνη δι' ἐπιθυμίας καὶ οἷς πόλεμος ἀναγκαῖον, οἱ μὲν ἀπηχθήναντο τὸν πόλεμον διὰ τὸν νόμον, οἱ δὲ ἐπὶ τῷδε c τὸν πόλεμον συνέταξαν, ἵνα μηδεὶς φθείρῃ τὰ γηπόνων ἔργα, οἱ δὲ τὴν εἰρήνην ἐφύλαξαν, ὅπως ἐν ἀδείᾳ φυτοσκάφος καὶ ἀρότης εἴη, καὶ ταῖς ὥραις ἐξείη τὰ τούτων ἐκτρέφειν. καὶ ἐμπορικοὶ νόμοι τοῦτο βούλονται, τὸ τῶν καρπῶν τοὺς ἐλλείποντας καὶ ἑκάστοις περιττεύοντας ἀδεῶς παρ' ἀλλήλους διακομίζειν.

Ἐκ δὲ τῶν νόμων ἄνθρωποι τὸ δίκαιον εὗρον καὶ εὑρόντες φυλάττουσιν· ὥστε καὶ δικαιοσύνην μάλιστα ἐντεῦθεν εἰκὸς περιγίνεσθαι τοῖς ἀνθρώποις. οὐδὲ γὰρ d σχολὴ γεωργοῖς ἀδικεῖν, οὐ δι' ἔνδειαν ἀναγκαζομένοις, ἀλλ' ἐν ἀφθονίᾳ διάγουσιν. οἷς δὲ σχολὴ ἀπὸ τῶν ἔργων εἰς ἀδικίαν ἀστικοὶ δὲ ἄνδρες καὶ εἰ δή τις ἄλλος γεωργίας ἐκτὸς συκοφαντίαν καὶ ἀδικίαν τιμῶσι. ὁ δὲ γεωργὸς ἁπλοῦν καὶ γενναῖον ἓν ἀγαθὸν εἰδώς, ὃ παρὰ τῆς γῆς σὺν ταῖς ὥραις ἐπιμελούμενος κομίζε-

---

423, 11 ἤδη A. ἢ δὴ H. 15 ἀναγκαῖον A. ἀναγκαῖος H. 16 διὰ τὸν νόμον] τὸν γεωργικὸν καὶ τὸ πονεῖν καὶ ἀσχολεῖσθαι τὴν γῆν schol. A. διὰ τὸν γηπόνον Roulezius p. 33. 28 ἀστικοὶ δὲ] Aut particula δὲ delenda aut eiicienda illa οἷς δὲ σχολὴ ἀπὸ τῶν ἔργων εἰς ἀδικίαν. καὶ εἰ δή — συκοφαντίαν add. A. 31 ἐπιμελούμενος] ἐπιμελουμένης A.

ται, πολυπραγμοσύνην δὲ ἀρχὴν ἀδικίας πεπεισμένος
351 εἶναι καὶ πόρρωθεν φυλαττόμενος. οὕτω δὲ ἀκριβῶς ἀλλότριος ἀδικίας κατὰ φύσιν ἐστὶν ὥστε καθάπερ τὰ φύσει πολέμια τῶν στοιχείων, οἷον ὕδωρ καὶ πῦρ, ἄμικτα πρὸς ἄλληλά ἐστι, κἂν πλησιάσωσι, θάτερον ἀνῄρηται πάντως, οὕτως ἀδικίας ἐγγινομένης πόλεμοί τε αὐτίκα καὶ στάσεις καὶ φθορὰ γεωργίας ἀκολουθεῖ, δικαιοσύνης δὲ καὶ εὐνομίας κρατούσης βρύεται ἡ γῆ τοῖς καρποῖς.

Φησὶ δὲ Ὅμηρος καὶ Ἡσίοδος καὶ τὰ ἐξ οὐρανοῦ τοῖς τοιούτοις ἵλεώ τε εἶναι καὶ σὺν εὐμενείᾳ χωρεῖν, χαλαζῶν μὲν καλινδουμένων ἐπὶ τοὺς ἀδίκους καὶ ὄμ-
b βρων ἀγόνων καὶ λοιμῶν· τοῖς δικαίοις δὲ εἰς γεωργίαν τῆς ἀμοιβῆς οὔσης, ὑετῶν μὲν ἐκ τοῦ Διὸς ἐπιχεομένων ἡμέρων, δρυῶν δὲ καὶ τὰ οἰκεῖα καὶ μέλι φερουσῶν, ἐπειδὴ τὰ κοῖλα τῶν δένδρων καὶ ἅμα ἄκαρπα κηρίων τὰ σμήνη πληροῦσιν.

Ἐκ δὴ τούτων οὐκ ἔτι χαλεπὸν γνωρίζειν ὡς οὐδὲν ἀνθρώποις οὕτω λυσιτελές ἐστιν ὡς γηπονίας τε ἐπιμεληθῆναι καὶ ἐμβιῶναι τῇ τέχνῃ. εἴτε γὰρ τὸ αὔταρκες τίμιον, ἐντεῦθεν ἀφθονία τῶν ἐπιτηδείων, εἴτε εὐπορία διὰ σπουδῆς, Δήμητρος παῖδα τὸν Πλοῦτον οἱ
c ποιηταὶ ᾄδουσιν· ὡς οὐδαμόθεν ἔξωθεν οὕτως αὐξανομένης περιουσίας ὡς διὰ τῶν ἐκ γεωργίας καλῶν. αἱ μὲν γὰρ ἄλλαι τέχναι γηπονίας πᾶσαι προσδέονται, καὶ οὐ μόνον τέχναι, ἀλλὰ καὶ ἐπιτηδεύματα· καὶ οἱ τὰς δυνάμεις ἔχοντες καὶ οἱ τὰ σκῆπτρα κομίζοντες ἐν ἐκείνοις ἔχουσι καὶ τῆς βασιλείας καὶ τῆς δυνάμεως καὶ τῶν ἐπιτηδευμάτων καὶ τῶν τεχνῶν τὰς ἐλπίδας. γεωργία δὲ ἀπὸ τῶν περιττῶν τοῖς λοιποῖς χορηγεῖ. οὐκοῦν οὐδὲ τῷ βασιλεῖ ὄφελος οὐδὲ ἕν, κἂν Ἀχαιμενίδης,

---

424, 16 ἅμα] ἄλλα Iacobsius ad Antholog. Palat. vol. III. p. 224. 18 ἔτι A. ἔστι H. 19 λυσιτελές ἐστιν ὡς Iacobsius ad Ach. Tat. p. 611. Vulgo λυσιτελέστερον. 22 οἱ ποιηταὶ] οἱ om. A. 25 γηπονίας Harduinus. Vulgo ἐπιπονίας. 28 καὶ τῶν Harduinus. Aberat καί. 30 τῶν περιττῶν] τῶν om. A.

κἂν Ἡρακλείδης, κἂν ὁστισοῦν εἶναι αὐχῇ, εἰ μὴ τοῖς ὅπλοις τὰ τῶν τροφῶν τῆς παρασκευῆς ἁπάσης ἡγοῖτο. καὶ ὅστις γραφεύς ἐστιν, ἢ ποιητὴς ἀγαλμάτων, καὶ d ἐμπορία καὶ ναυτιλία, καὶ τί δεῖ πᾶσιν ἐπεξελθεῖν; οὐκ ἔστιν ὃς μὴ γεωργίας προσδεῖται. καὶ παρούσης μὲν καὶ χορηγούσης τὴν ἀφθονίαν ἀνθεῖ τὸ οἰκεῖον ἔργον ἑκάστοις καὶ τὴν σπουδὴν εἰς πέρας ἀγαθὸν προάγει· εἰ δὲ τὰ ἐκεῖθεν ἐλλείποι, οὐδὲ εἰς τὸν βίον ὑπόλοιπον.

XXXI

352a ΠΕΡΙ ΠΡΟΕΔΡΙΑΣ ΕΙΣ ΤΗΝ ΣΥΓΚΛΗΤΟΝ

Πολλάκις ὑμῖν, ὦ πατέρες συγγεγραμμένοι, βουληθεὶς b ἐν κοινῷ διαλεχθῆναι περὶ ὧν ἰδίᾳ τινὲς πρὸς ἐμὲ δυσχεραίνουσι, τοῦτον εἶναι καιρὸν ἐπιτηδειότατον ὑπολαμβάνω, ἐν ᾧ δίδωσιν ἐκεχειρίαν ὁ νόμος καὶ τοῖς σφόδρα ὑπόπτως πρὸς ἀλλήλους διακειμένοις, τὴν ἱερομηνίαν τοῦ ἔτους. ἴσως γὰρ ἂν γένοιντο πρᾳότεροι, καταμαθόντες τὴν ἐμὴν γνώμην ὑπὲρ ὧν ἀμφισβητεῖν με νῦν πρὸς αὐτοὺς ὑπολαμβάνουσιν. ἐρῶ δὲ ὡς ἔνι μάλιστα συντόμως καὶ τοῦ καιροῦ στοχαζόμενος.

Ἐγὼ τοῖς δοκιμωτάτοις τῶν ἀρχαίων φιλοσόφων c ἀκολουθήσας, οἳ δύο εἶναι τῆς φιλοσοφίας ὁδοὺς ἐξηγοῦνται, τὴν μὲν θειοτέραν, τὴν δὲ τοῖς κοινοῖς ὠφελιμωτέραν, τὴν ὑμῖν λυσιτελοῦσαν προετίμησα τῆς μόνον τὸ ἐμὸν ἴδιον ἐξεταζούσης, καὶ ἐν πολιτείᾳ φιλοσοφίαν εἰλόμην, ἑπόμενος Σωκράτει καὶ Ἀριστοτέλει καὶ πρό γε τούτων τοῖς ὑμνουμένοις ἑπτὰ σοφοῖς, οἳ τὰ ἔργα τοῖς λόγοις ἐγκαταμίξαντες οὔτε ἄπρακτον οὔτε ἀσυντελῆ τοῖς κοινοῖς ἐπεδείξαντο φιλοσοφίαν. τούτοις ἅπασιν ἀκολουθήσας τεσσαράκοντα ἔτη ταῦτα σχεδὸν d ἐτέλεσα λειτουργῶν ὑμῖν ἐκ τῶν λόγων καὶ πρεσβειῶν ἐφεξῆς ὁπόσας αὐτοὶ ἴστε πρεσβείας οὐκ ἀτίμως οὐδὲ ἀδόξως οὐδὲ ἀναξίως τῆς ὑμετέρας χειροτονίας, τὰς μὲν καθ' ἑαυτόν, τὰς δὲ τοῖς ἀρίστοις ὑμῶν κοινωνῶν.

Καὶ τὰ κεφάλαια τῶν κατορθωμάτων ἐκείνων ὑμῖν μὲν ἴσως μεμνῆσθαι καλόν, ἡμῖν δὲ ἐπιλελῆσθαι. ἐφ'

426, 16 Ἀριστοτέλει] Platonis nomen in versione posuit Petavius. τῷ Ἀρίστωνος Roulezius p. 12. 24 ἑαυτὸν A. αὐτὸν H.

οἷς ἅπασι τὰς πρεπούσας τιμὰς καὶ παρ' ὑμῶν καὶ 353 a
παρὰ τῶν αὐτοκρατόρων ὥσπερ ἆθλα εὐμενῶς προσιέμην, οὐχ ἐμαυτοῦ χάριν οὐδ' ὡς βελτίων ἐσόμενος, ἀλλὰ τὸ Πλάτωνος ἐννοῶν, καὶ βουλόμενος πολλοὺς ὑμῖν πολίτας τοιούτους γενέσθαι. ἀσκεῖται γὰρ ἀεί, φησί, τὸ τιμώμενον, ἀμελεῖται δὲ τὸ ἀτιμαζόμενον. καὶ διὰ τοῦτο οὐδὲ πρὸς τὰς χαλκᾶς ἐδυσκόλαινα τὰς δύο ταύτας εἰκόνας, οὐδὲ ὁπηνίκα πάροχον ἑαυτῷ κομίσασθαι δεῖν ᾤετό με ὁ αὐτοκράτωρ, οὐδὲ ὅτε τὰς
δέλτους ἐδίδου τὰς πολυθρυλήτους· οἷς μὲν οἷοί τε b
ἦσαν τιμᾶν τοὺς φιλοσοφοῦντας οἱ βασιλεύοντες ἐφιλεῖς, σχολὴν δὲ παντάπασι μὴ ἐπιτρέπειν καὶ μετάγειν ἐπὶ φροντίδας ἐλάττους ἀντὶ μειζόνων.

Εἶτα λέγει τις ὅτι ψευδεῖς αἱ πινακίδες, καὶ ἔστωσαν μὲν αἱ πινακίδες ψευδεῖς τῷ γε [illegible] ἰσχυριζομένῳ πρὸς ὑπεροχὴν ἀρετῆς, ἀλλ' ὅμως πρὸς τοῦτον τὸν λόγον δότε μοι μικρὸν ἀποκρίνασθαι μετὰ παρρησίας. ἐγὼ ψευδῆ τιμὴν ἐκείνην ὑπολαμβάνω, ἣν ἄν τις ὠνησάμενος ἔχοι χρημάτων, ἢ προσαιτήσας πολλὰ
καὶ θυραυλήσας, ἢ μισθὸν αὐλικῆς διακονίας, ἣν δ' c
ἄν τις ἀρετῆς καὶ παιδείας ἆθλον κομίσαιτο, ὡς μόνον ἐνὸν τοῖς διδοῦσι, μήτε πραγματευσάμενος μήτε προθεὶς ἱκετηρίαν, ταύτην ἐγὼ τὴν τιμὴν ἐνδεεστέραν μέν φημι τῆς ἀξίας, ψευδῆ δὲ οὐδαμῶς, εἰ μὴ καὶ τὰς εἰς τὸ θεῖον τιμὰς ψευδεῖς εἶναί τις ὑπολαμβάνει, ὅτι τῆς ἀξίας οὐκ ἐφικνοῦνται.

Ἐμοὶ τῶν ἐπαργύρων ὀχημάτων καὶ τῶν μεγαλο- d
φώνων κηρύκων ὑψηλοτέρα ἀρχὴ ἡ ἀπὸ τῶν λόγων, ἣν οὔτε δοῦναι βασιλεῦσιν ἔστιν οὔτε ἀφελέσθαι. ταύτην γὰρ κἂν ἐπὶ χρυσοῦ καθέζωμαι κἂν ἐπὶ ξύλου κἂν ἐπὶ χαμαιζήλου θρονίδος, ἐμαυτῷ συμπεριφέρω, καὶ τὸ σῶμα ἀπολιπόντι μόνη παραμένει. ταύτην ἄρχει τὴν ἀρχὴν μέχρι νῦν ὁ Ἀρίστωνος, ταύτην Ἀριστοτέλης, ταύτην Σπεύσιππος, ταύτην Ξενοκράτης. ἢ οὐ δο-

---

427, 10 πολυθρυλήτους] Vulgo πολυθρυλλήτους. 20 αὐλικῆς] Vulgo ἀττικῆς. γρ. αὐλικῆς margo A.

κοσμεῖν ἄρχειν ὑμῖν οἱ νομοθετοῦντες τῶν τοὺς νόμους ὑπακουόντων, οἱ διδάσκοντες τῶν μανθανόντων, οἱ
354 πείθοντες ἀρετὴν μεταδιώκειν τῶν πειθομένων; καὶ ταύτην ἄρχουσι τὴν ἀρχὴν πλεῖν ἑπτακόσια ἔτη, καὶ ἄρξουσί γε ἔτι καὶ ἐφεξῆς, ἕως ἂν τίκτωνται ἄνθρωποι διαφέροντες αὐτῶν καὶ τῶν λοιπῶν ζῴων· ὅσον οὐκ ἦρξαν χρόνον Πέρσαι μετὰ Ἀσσυρίους, ὅσον οὐδ' οἱ ἐγγὺς Μακεδόνες, ὅσον οὐδέπω Ῥωμαῖοι. τί γὰρ δεῖ χρόνου γε ἕνεκα τῆς ἀρχῆς ἢ Φίλιππον Πλάτωνι παραβάλλειν, ἢ Ἀλέξανδρον Ἀριστοτέλει; ἐκείνοις τήμερον οὐδεὶς ὑπακούει, ἀλλ' οὐδὲ τὰ δόγματα αὐτῶν οὐδὲ οἱ
b νόμοι ἔχουσί τινα δύναμιν ἐν τοῖς ἀνθρώποις. τὰ δὲ Πλάτωνος δόγματα καὶ Ἀριστοτέλους ἐνεργά ἐστι καὶ ἀκραιφνῆ, καὶ ἐν τοσαύταις μεταβολαῖς αὐτοκρατόρων καὶ ἡγεμόνων ἀμετάβλητα διαμένει καὶ ἀκίνητα καὶ ἀσάλευτα. τίς Ἀλεξάνδρῳ νῦν τὸν ἑαυτοῦ βίον ἐπονομάζει καθάπερ Πλάτωνι; τίς τὸ Φιλίππου νῦν ὄνομα ἐπιγράφεται καθάπερ Ἀριστοτέλους; τούτοις σεμνὸν ἐνάριθμον εἶναι, σὺν τούτοις καθίζειν, καὶ μετὰ τούτους καὶ ταῖς παρὰ τούτων πινακίσιν ἰσχυρίζεσθαι
c ὑψηλόν τε καὶ μεγαλεῖον· δι' ἃς ἔξεστί μοι παρακαλέσαντι τὴν Ἀδράστειαν ὑψηλολογῆσαι, οὔ τί μοι τῆς ἀνθρωπίνης

Χρεὼ τιμῆς, φρονέω δὲ τετιμῆσθαι Διὸς αἴσῃ.

εἰ δ' οὖν καὶ ἀνθρωπίνης τιμῆς δεηθείην, εὐξαίμην ἂν ὑμᾶς, οὓς περὶ πλείστου ποιοῦμαι, βασιλέας εἶναι κριτὰς ἀρετῆς ἄλλως δὲ ἐχόντων

Πάρ' ἔμοιγε καὶ ἄλλοι,
οἵ κέ με τιμήσουσι,

μάλιστα δὲ οἱ πατέρες ὑμῶν καὶ ἀρχηγέται, Ῥωμαῖοι, ἂν ἐπιδείξω ὑμῖν τὰς φωνάς, ἐν αἷς οἱ πρὸς τὸν οὐρανὸν ἁμιλλώμενοι δεῖσθαι τῶν ἡμετέρων ἀγαθῶν ὁμο-
d λογοῦσι, καὶ πρός γε Ῥωμαίοις οἱ αὐτοκράτορες. ἀρκεῖ μοι Κωνστάντιος, ὁ κόσμον τῆς ἑαυτοῦ βασιλείας τὴν

428, 22 ὑψηλολογῆσαι A. ὑψηλογῆσαι H. 24 Χρεὼ] Iliad. ι, 608. 28 Πάρ'] Iliad. α, 174. 34 Κωνστάντιος Harduinus. Vulgo Κωνσταντῖνος.

ἐμὴν φιλοσοφίαν εἰπὼν πολλάκις, ἀρκεῖ βιασθεὶς Ἰουλιανὸς τῆς οἰκουμένης καλέσαι πρεσβευτὴν ἄξιον, οὐ μόνον τῆς καλλιπόλεως, καὶ τὰ πρῶτα φέρεσθαι φιλοσοφίας ἐν γράμμασιν ὁμολογήσας· ἀρκεῖ Οὐάλης, ἡττηθεὶς ὑπὸ τῶν ἐμῶν λόγων πολλάκις· ἱκανός μοι Γρατιανὸς, σεμνυνόμενος πρὸς Ῥωμαίους ὡς αἴτιος αὐτοῖς γεγονὼς τῆς ἐμῆς ἐπιδημίας· ἀντὶ τῶν ὑψηλοτάτων
θρόνων ποιοῦμαι τὰς τοῦ θεοφιλεστάτου Θεοδοσίου 355 a
φωνὰς τὰς πρώην ὑμῖν ἀναγνωσθείσας, ἃς εἰ μὲν μιμοῖσθε καὶ δέχοισθε φιλοσοφίαν τὸν εἰκότα τρόπον, οὐδεμία μοι ψῆφος τῆς παρ' ὑμῶν ἀσμενιστοτέρα· εἰ δέ τινας ὑμῶν συμπείσουσι τῶν ἀρετῇ τεθαρρηκότων ἔμπροσθεν ἄγειν τοὺς τῆς τύχης ἐκκρεμαμένους, οὐκ ἂν ἐγὼ τούτου βουλοίμην τοῦ χοροῦ κοινωνεῖν, ἐν ᾧ τὸ παρὰ μέλος ᾄδειν τοῦ σὺν ταῖς Μούσαις εὐδοκιμώτερον φαίνεται. Μούσαις λέγω· καὶ γὰρ οὐδὲ τοῦτο μικρόν· ἃς καλῶς ποιοῦντες νῦν ἀπεδείξατε τὸ βουλευτήριον καὶ τὰ ἀγάλματα καταστήσαντα τῶν θεῶν ἐν τῷ σηκῷ ἔνθεν καὶ ἔνθεν. οὐδὲ γὰρ ἀπέχρησεν ὑμῖν
εἷς χορὸς τῶν Μουσῶν, ἀλλ' Ὅμηρος μὲν ἐννέα ποιεῖ b
τὰς πάσας Μούσας ἐν τῷ οὐρανῷ, παρ' ὑμῖν δὲ ξενίζονται διπλάσιαι, καὶ μετελήλυθεν ὁ Ἑλικὼν εἰς τὸν Βόσπορον. καὶ οὗτος ἀμείνων κόσμος παρ' ὑμῖν τῆς βουλῆς, ἢ παρὰ τοῖς πάλαι Ῥωμαίοις.

Καὶ τοίνυν ἐγὼ πέποιθα ὑμᾶς οὐκ ἐπίδειξιν ποιουμένους τοῦ κάλλους τῶν ἀγαλμάτων ἐνταῦθα τὰς θεὰς εἰσοικίσασθαι, οὗ μηδὲ εἰσιτητὸν οὐδενὶ πλὴν τῶν ἐγκρίτων, ἀλλ' ὑπὲρ τοῦ δεῖξαι τοῖς κοινωνοῦσι τοῦ καταλόγου εἶναι μάλιστα τῶν ἄθλων τὸν μετέχοντα τῆς γερουσίας πλεῖον ἔχειν τῶν ἄλλων προσήκει· ὅτι μὴ
πλούτῳ μήτε ἀπήναις μήτε ῥάβδοις μήτε πελέκεσιν, c
ἀλλὰ τῇ τῶν Μουσῶν εὐμενείᾳ. ἱδρύσαντες γὰρ τοῦ ὀνόματος, ὃ καλεῖσθε, ὁ νεὼς οὗτος· καλεῖται γὰρ οὐ στρατήγιον οὐδὲ θέατρον οὐδὲ ταμιεῖον, ἀλλὰ γερουσία καὶ βουλευτήριον, ἐν ᾧ τῆς Καλλιόπης ἡ προεδρία καὶ ἀνδρὸς

Ὅντινα τιμήσουσι Διὸς κοῦραι μεγάλοιο.

429, 9 ἃς εἰ μὲν — ἀσμενιστοτέρα add. A. μιμεῖσθε] μιμῆσθε A.

συμπότας ὅτι ἕτοιμος ἦν πάντα χαρίζεσθαι τῷ διδασκάλῳ, ἀλλ' ἐκεῖνος ὁ λόγος ὑπερήφανος ὕμνος ἐστὶ Σωκράτους καὶ Ἀλκιβιάδου· τοῦ μὲν, ὅτι μόνου ἑάλω, τοῦ δὲ, ὅτι μόνος οὐχ ἑάλω Ἀλκιβιάδου. εἰ δὲ ὁ μὲν πρὸς ἅπαντα εἶκεν, ὁ δὲ πρὸς μηδὲν ἐποίει ἀμείνω, Ἀλκιβιάδου μὲν ἔπαινος ἦν, Σωκράτους δὲ κατηγορία.

XXX.

ΘΕΣΙΣ ΕΙ ΓΕΩΡΓΗΤΕΟΝ. b

Ἡσίοδος ὁ Ἀσκραῖος, ὅς μετὰ τῆς δάφνης τὴν μουσικὴν παρὰ τῶν Μουσῶν αὐτῶν δέξασθαι λέγεται, c
τὴν ποίησιν διανείμας εἰς ἡρώων τε καὶ Μουσῶν ἐπαίνους καὶ τὴν γεωργίαν ἐν τούτοις ἔταξε, τὴν φύσιν τε ἐπαινῶν τοῦ πράγματος πᾶσαν καὶ μαθητὰς τῆς τέχνης ποιούμενος ἡμᾶς, καὶ τοὺς περὶ γεωργίας λόγους τοῖς περὶ ἀρετῆς καταμίξας, ὡς ταὐτὸν ὄν, γεωργίαν καὶ ἀρετὴν δι' ἀλλήλων καὶ ἅμα μαθόντας εἰδέναι. δεῖ δὲ ἤδη καὶ ἡμᾶς Ἡσιόδῳ καὶ Μούσαις ἀκολουθοῦντας ἐπιδεῖξαι διὰ πλειόνων ὡς ἄρα οὐ μάτην Ἡσίοδος σοφὸς ἐνομίσθη, ἀλλ' εἰς τοσοῦτον εὐκλείας διὰ τοὺς εἰς d
γεωργίαν λόγους προῆλθεν, ὥστε καὶ Ὁμήρῳ περὶ σοφίας καὶ μουσικῆς ἐν ταφαῖς Ἀμφιδάμαντος εἰς ἀγῶνα ἐλθὼν παρὰ τῶν κριτῶν τὸν στέφανον καὶ τὴν νίκην ἔχειν. ὁ μὲν γὰρ πολέμους καὶ μάχας καὶ τὸν συνασπισμὸν τοῖν Αἰάντοιν καὶ ἄλλα τοιαῦτα προσῇδεν, ὁ δὲ γῆς τε ὕμνησεν ἔργα καὶ ἡμέρας, ἐν αἷς τὰ ἔργα βελτίω γίνεται· καὶ διὰ ταῦτα πᾶσι τοῖς κριταῖς κρατεῖ. κεκλήσθων δὲ ἐπίκουροι πρὸς τὸν λόγον οἵ τε ἔφοροι 349 a
γεωργίας θεοὶ καὶ μούσης ἁπάσης εἴ δή τι κράτιστον, καὶ ὁ μουσηγέτης αὐτός, ἐπειδὴ καὶ τὰς ἐνιαυσίας [καὶ τὰς] ἀμοιβὰς οὐχ ὑπὲρ τούτου μόνον, ἀλλὰ καὶ ὑπὲρ πάντων ὧν ἐκ θεοῦ ἔχουσιν ἄνθρωποι παρὰ

421, 2 Ἡσίοδος] Vide Theogon. v. 30. 8 καταμίξας] ἐγκαταμίξας Boissonadius ad Philostrati Her. p. 471. 11 ἐπιδεῖξαι] ἀποδεῖξαι Wernsdorfius ad Himerium p. 647. 18 τὰ ἔργα A. τὰ om. H. 23 καὶ τὰς recte delet Harduinus, nisi aliquid excidit. τούτου] ἢ τοῦ λόγου gl. A.

XXVIII.

b ## Η ΕΠΙ ΤΩΙ ΛΟΓΩΙ ΔΙΑΛΕΞΙΣ.

Τίκτουσι δὲ οὐχ οἱ φιλόσοφοι μόνον, ἀλλὰ καὶ οἱ ποιηταὶ καὶ οἱ ῥήτορες πάνυ πολλοὺς λόγους· ἀλλ' οἱ μὲν κυδροῦνται ἐπὶ ταύτῃ τῇ παιδείᾳ καὶ ἐγκαλλωπίζονται καὶ ἐναβρύνονται καὶ ἀνακοινοῦνται αὐτοὺς τοῖς ἀνθρώποις, θαμὰ ἐξάγοντες εἰς θέατρα καὶ πανηγύ-
c ρεις, ἐσταλμένους χρυσῷ καὶ πορφύρᾳ καὶ μύρων ὄζοντας καὶ ὑπογεγραμμένους καὶ ἐντετριμμένους, στεφάνοις τε ἀνθέων ἐστεφανωμένους. πρὸς δὲ τῷ κόσμῳ οὕτω λαμπρῷ ὄντι καὶ πολυτελεῖ καὶ αὐτοὶ οἱ λόγοι αἱμύλοι εἰσὶ καὶ ὑπερβάλλουσι δεξιότητι καὶ φιλανθρωπίᾳ, κυδαίνοντες καὶ ἐπαίροντες καὶ ἀσπαζόμενοι τοὺς θεωμένους καὶ πάσας ἱέντες φωνὰς καὶ ᾄσματα ᾄδοντες μεστὰ ἡδονῆς, ὥσπερ Σειρῆνες. ἅτε οὖν οὕτω δεξιοὺς ὄντας καὶ χειροήθεις καὶ οἱ ἄνθρωποι ἀντασπάζονται
d καὶ ἀντεπαινοῦσι, καὶ ἐντεῦθεν πλείη μὲν γαῖα τούτων τῶν ἀνθρώπων, πλείη δὲ θάλασσα.

Οἱ δὲ ἀπὸ τῆς Σωκράτους γενεᾶς εἰκότως ἄρα καὶ ἐν δίκῃ ἀπεφθίκασί τε καὶ ἀπερρυήκασιν ἐν τῷ παρόντι. οὐ γὰρ οἶδα ὅθεν φρίττουσί τε καὶ εὐλαβοῦνται τὰς ἀγορὰς, ἐν αἷς φησιν ὁ ποιητὴς ἀριπρεπέας τελέθειν τοὺς ἄνδρας, καὶ οὐκ ἀνέχονται παρακύπτειν ἔξω τοῦ σκίμποδος καὶ τῆς γωνίας· οὕτως ἐκλελησμένοι εἰσὶ τῶν προγόνων, ὅτι ἐκεῖνοι ἐπὶ τῶν ἐργαστηρίων

412, 10 αὐτοὶ οἱ A. οἱ om. H. 13 μεστὰ Iacobsius ad Anthol. vol. IX. p. 420. Vulgo τά. 17 ἀνθρώπων] ᾀσμάτων Iacobsius in append. ad Porson. Adv. p. 284. λόγων idem ad Anthol. vol. IX. p. 420. 21 τὰς ἀγορὰς A. τὰς om. H.

πρὸς τοὺς πολλοὺς διελέγοντο καὶ ἐν ταῖς στοαῖς καὶ ἐν τοῖς βαλανείοις καὶ ἐν τοῖς θεάτροις. καὶ διὰ τοῦτο 342 a οὐ μόνους τοὺς εἰς τὸ διδασκαλεῖον φοιτῶντας προσήγοντο καὶ ἐχειροῦντο, ἀλλὰ καὶ τὸν σκυτοτόμον ἐξανιστῶν ἀπὸ τῶν σκυτῶν καὶ τὸν ὀβολοστάτην ἀπὸ τῆς τραπέζης καὶ τὸν ἑταιροῦντα ἀπὸ τοῦ οἰκήματος. ἐφοίτων δὲ ὑπὸ φιλανθρωπίας καὶ Ὀλυμπίαζε καὶ Ἰσθμοῖ καὶ εἰς Αἴγιναν καὶ εἰς Ἐλευσῖνα καὶ ἐτέλουν δὲ καὶ αὐτοὶ μητρὶ τῶν θεῶν * τοῖς πολλοῖς ἀνθρώποις. ἐξ οὗ δὲ ὥσπερ οἱ φῶρες καὶ οἱ λωποδύται φεύγουσι τὰ μέσα * τοῦ ὀργάνου οὐκ ἀπεικότως καὶ ἀπιστοῦνται, εἰ b μὴ καὶ τὴν γλῶτταν ἀπολλύουσιν ὑπὸ τῆς σοφίας.

Ἐγὼ δὲ ἐπιχειρῶ μέν, ὦ ἄνδρες, καὶ προθυμοῦμαι εἰς τὴν τάξιν ἐπανάγειν αὐτοὺς τὴν ἀρχαίαν. δέδοικα δὲ αὖ πάλιν καὶ ὑποπτεύω μὴ καὶ διαλέγεσθαι ὑμῖν ἐπιχειρήσαντες ἀτοπώτεροι φανείημεν τῶν σιωπώντων. ἐπίσταμαι γὰρ ἀκριβῶς αὐτῶν τὴν φύσιν, ὅτι σκληρὰ καὶ αὐθέκαστος καὶ ἀτενής· οἵ γε οὐδὲ τὰ ῥήματα ἀνέδην χαρίζεσθαι ὑπομένουσι τοῖς ἀνθρώποις, ἀλλὰ φείδονται ὑπ' ἀγροικίας τῶν ὀνομάτων μᾶλλον ἢ τοῦ χρυσίου, καὶ ἀκριβῶς ἐξετάζουσι καὶ ἐπιμελοῦνται ὅπως c ὅπως ἂν μήτε μεῖζον μήτε ἔλαττον ἀποδοῖεν μηδενὶ τοῦ προσήκοντος. συμβαίνει οὖν αὐτοῖς παρὰ ταύτην τὴν σμικρολογίαν πάνυ ὀλίγους ποιεῖσθαι προσηγόρους τε καὶ εὐμενεῖς. ἀλλ' ὅμως τηλικαύτη αὐτῶν ἡ αὐθάδεια ὥστε αὐτοὶ πιστεύουσι καὶ πρὸς τοὺς ἄλλους ἀπισχυρίζονται ὅτι ὃν μὲν αὐτοὶ ἐπαινοῦσιν οἰκεῖός ἐστιν ὁ ἔπαινος τοῦ ἀνθρώπου, ὃν δ' ἂν οἱ κομψοὶ ἐκεῖνοι καὶ πολυτελεῖς, ἀλλότριός τε καὶ μηδὲν ἐοικώς· καὶ οὐκ ἂν ἐξεύροις ἐκ τούτου τίς ὁ ὑμνούμενος, εἰ μὴ τοὔνομα d ἐγγεγραμμένον εἴη τῇ κολακείᾳ, καθάπερ αἱ τῶν φαυ-

413, 8 ἐτέλουν δὲ] ἐτελοῦντο Lobeckius Aglaoph. p. 15. 9 μητρὶ] μετὰ A. * τοῖς] ὅμοια τοῖς Lobeckius. 11 εἰ μὴ καὶ] εἰ μὴ καὶ τὴν διάλεκτον αὐτήν, φησί, ἀπολλύουσιν ὑπὸ τῆς ἀπαρρησιάστου σοφίας. schol. A. 17 σκληρὰ καὶ A. καὶ om. H. 22 μηδενὶ add. A. 31 τῇ κολακείᾳ A. τοῦ κολακ . . . H. κολακεία ἐνταῦθα τὸν ἔπαινον λέγει. schol. A.

λων ζωγράφων εἰκόνες οὐ γνωρίζονται ἐκ τῆς τέχνης, ἀλλ' ἐκ τοῦ ἐπιγράμματος. ἡ δὲ ἀληθὴς εὐφημία οὕτως ἄρα ἔμπνους ἐστὶ καὶ τῶν Δαιδάλου ἔργων ἐμψυχοτέρα ὥστε κἂν εἰς τὸ μέσον οὕτω ῥιπτῆται, αὕτη προπηδᾷ καὶ προσφύεται ᾧ προσήκει. καὶ οὖν εἰ λέγοι αὐτὴν ὁ λέγων ἀλλαχοῦ ἀποτρέπων τὼ ὀφθαλμώ, ἀλλ'
348 a οἵ γε ἀκροώμενοι ἐκεῖνον ἀπέβλεψαν παραχρῆμα, ᾧ ὁ τοῦ στόματος ἐκπεσὼν λόγος προσέφυ τε καὶ προσηρμόσθη.

Ἰδοὺ οὖν καὶ ἐγὼ τὸν μὲν ἔπαινον ἀφίημι εἰς τὴν ἐκκλησίαν, ὅτι μοι δοκεῖ ὁ ἄρχων ἐκεῖνος ἐπαληθεύειν τοὔνομα τῆς ἀρχῆς, ὅστις δυσάλωτος μὲν ὑπὸ χρυσίου, εὐάλωτος δὲ ὑπὸ λόγου, ἐλευθερίας δὲ ἐραστής, μεγαλοφροσύνην δὲ ἐπαινῶν φυλάττεται ἐγγὺς οὖσαν τὴν αὐθάδειαν. καὶ ἐγὼ μὲν οὐ λέγω ὅντινα λέγω, ἀλλ' οὔτε
b προσορῶ οὔτε προσμειδιῶ, οὐδὲ δείκνυμι τῷ δακτύλῳ, οὐδὲ ἀναστὰς ἅπτομαι ταῖν χεροῖν· ὑμεῖς δὲ ἀπέγνωτε παραχρῆμα καὶ ἐκεῖσε ὑμῶν ἀπηνέχθησαν οἱ ὀφθαλμοί, καὶ οὕτως ἄρα ἰσχυρὸν ἡ ἀλήθεια ὥστ' οὐ παύεσθε κεκραγότες καὶ ἐκβοῶντες καὶ ἐξαλλόμενοι ἀπὸ τῶν πετρῶν, καίτοι λιτὰ ῥήματα προηκάμην, καὶ ταῦτα εἰκῇ οὑτωσὶ καὶ λίαν ἀρχαίως, οὔτε περιστείλας οὔτε κομμώσας. ἀλλ' ἐοίκατε μὴ τὰ ῥήματα θαυμάζειν, ἀλλὰ τὸν ἄνδρα ἐν ᾧ τὰ ῥήματα ἐξέλαμψε καὶ ἐξεφάνη. καὶ
c εὖ οἶδ' ὅτι καὶ ἥσθητε ὑπὲρ τοῦ λόγου, ὅτι οὐκ ἐξηπάτησεν οὐδὲ ἐθώπευσεν, ἀλλ' οἷον ἀγωνιστῇ γενναίῳ καθήμενος ἄνωθεν ἐπεβόησε καὶ ξυνώρμησε καὶ ἐδίδαξεν ᾗ φυλάττεσθαι χρεὼν καὶ προὔκρινεν ἐμμένειν τῇ εὐψυχίᾳ.

414, 8 προσέφυ] προσεφύη A. 10 καὶ ἐγὼ οὖν A. καὶ τοῦτον H. 14 φυλάττεται A. φυλάττηται H. 15 μὲν οὐ A. μὲν οὖν οὐ H. 20 πετρῶν] πτερῶν A. 21 λιτὰ] ὀλίγα Iacobsius apud Goellerum p. 266. 24 ἐν ᾧ A. ἐφ' ᾧ H.

XXIX.

ΠΡΟΣ ΤΟΥΣ ΟΥΚ ΟΡΘΩΣ ΕΞΗΓΟΥΜΕΝΟΥΣ ΤΟΝ ΣΟΦΙΣΤΗΝ. d

Ὡς σχέτλιά γε καὶ ἄτοπος λίαν ἡ φιλοσοφίας τύχη ἐστίν, εἰ μηδὲ ἀπολύσασθαι ἕξει τὰς διαβολὰς ἀπραγμόνως, ἀλλὰ περιτρέπεται αὐτῇ μόνῃ εἰς τοὐναντίον τὰ ἔργα, οἷς ἐγχειρεῖ καὶ προαιρεῖται. καὶ ἐλέγχουσα λοιδορίαν λοιδορεῖσθαι δοκεῖ, καὶ ἐγκαλεῖν, ἔγκλημα διωθουμένη, καὶ οὐδὲν ἄρα πρὸς ταύτην ἐστὶν ἡ τοῦ 345 Αὐτολύκου σοφία. ἐκεῖνος γὰρ τὰ μὲν χρώματα ἤμειβε τῶν βοῶν, λύκους δὲ ἐποίει τοὺς βοῦς καὶ παρδάλεις. ταύτης δὲ πολὺ θαυμασιωτέρα γοητεία ἡ περὶ τοὺς λόγους· τοὺς γὰρ ἐναντίους μεταμορφοῖ εἰς τοὺς ἐναντίους καὶ φεύγειν δοκοῦσα διώκει, καὶ φραγνῦσα ἑαυτήν, ὡς μὴ τιτρώσκοιτο, κεντεῖ καὶ τιτρώσκει. καὶ τοῖς μὲν στρατιώταις, ὡς ἔοικεν, ἄλλα ὅπλα ἐστὶν ὥστε ἀποκρούσασθαι τὰς βολάς, ἄλλα δὲ ὥστε βάλλειν καὶ ἀκοντίζειν, ὁ λόγος δὲ ἄρα ὁ πάντων ἀμηχανώτατον πρᾶγμα ἀπορώτερόν ἐστι τοῦ σιδήρου, καὶ ἀνάγκη αὐτῷ ἀντὶ θώρακος χρῆσθαι καὶ ἀντὶ μαχαίρας. ἢ ὅτι ὁ μὲν λόγος ἕν τι ἐργάζεται, ὁ δὲ οὐκ ὀρθῶς ἀκούων τοῦ λόγου ἕλκει αὐτὸν καὶ ἀναγκάζει οὗ μήποτε προὔθετο μήτε ὥρμησεν ἐξ ἀρχῆς, καὶ ἀπάγχεται αὐτοῦ τῇ φύσει εὐκόλῳ οὔσῃ καὶ εὐαγώγῳ μεθαρμόζεσθαι εἰς ὑπεναντίας μοίρας· αἱ ὅσαι μὲν οὖν κατὰ μικρόν γε ὑπόκεινται b

---

415, 8 ἐστὶν add. A. 10 ἐποίει] οὐκ ἐποίει Harduinus. 14 κεντεῖ] κοντοῖ A. 24 κατὰ add. A. μικρόν γε] μικρόν τε A.

προσεοικυῖαι, συγγνώμη τῷ μεταβιβάζοντι τῆς περιεργίας· ὅταν δὲ δὴ ἐξ ἐναντίας, τοῦτο ἤδη τεράστιον
c
καὶ ἀλλόκοτον. κατηγορίας δὲ καὶ ἀπολογίας οὐδὲν οἶδα ἐγὼ ἐν τοῖς λόγοις ἐναντιώτερον, ὥσπερ οὐδὲ ἐπαίνου καὶ ψόγου, οὐδὲ ἀβουλίας καὶ εὐβουλίας.

Λέγετε οὖν ἡμῖν, ὦ σοφώτατοι χρησμολόγοι τῆς παραδοξότητος τῶν ἐμῶν ῥημάτων, διὰ τί οὕτω πόρρω τὸν πρώην λόγον πολυπραγμονεῖτε καὶ γνωματεύετε. εἰ μὲν γὰρ τοῦτο φατὲ εἶναι κατηγορίαν, ὅτι ἀπέδειξεν ὁ
d λόγος συκοφαντοῦντας καὶ ψευδομένους τοὺς διαβάλλοντας, λέγοιτε ἂν ὀρθῶς, καὶ τῷ ὄντι χαλεπὴ κατηγορία ὁ τοῦ ψεύδους ἔλεγχος τῷ ψευδομένῳ. εἰ δὲ περαιτέρω τι ἐπιζητεῖτε, οὐ τοῦ λόγου αὕτη ἡ κακοήθεια, ἀλλὰ τῶν οὕτως ἀκροωμένων τοῦ λόγου. ὁ μὲν γὰρ λόγος οὐδὲ γινώσκειν ὁμολογεῖ τοὺς σκώπτοντάς με τὸν σοφιστήν, ἀλλ' ὅτι μὴ πάνυ τῷ σκώμματί μου ἐπι-
345 a τυγχάνουσι πειρᾶται ἀποδεικνύναι, καὶ καλεῖ μάρτυρα ἀξιόπιστον Πλάτωνα τὸν Ἀθηναῖον, καὶ ὅσα ἐκεῖνος ἴχνη δίδωσι καὶ σημεῖα τοῦ σοφιστοῦ, πάντα ἀκριβῶς ἀπαριθμεῖται αὐταῖς λέξεσι καὶ αὐτοῖς ῥήμασιν, ὥσπερ οἱ τοὺς νόμους ἀναγινώσκοντες. σὺ δὲ ἀφεὶς νόμους αὐτοὺς αἰτιᾶσθαι, εἰ τοιοῦτοί εἰσιν ὥστε σε δάκνειν καὶ ἀνιᾶν, πράγματα ἐμοὶ παρέχεις τῷ καταφυγόντι ἐπὶ τοὺς νόμους, ὥσπερ οἱ διωκόμενοι ἐπὶ τὰ ἱερὰ πρὸ θεῶν. εἰ δὲ ἐπ' ἄλλῳ τῷ με ἐσυκοφάντουν, ἀλλ' ἅττα ἂν προὐτεινάμην τοῖς καθημένοις καὶ οὐ τὰ αὐτὰ καὶ
b τὸν αὐτὸν τρόπον, ὅτι τούτῳ ὑπεύθυνός ἐστι τῷ ἐγκλήματι ὁ τάδε ποιῶν καὶ τάδε· καὶ ἐγὼ εἰ μὲν ταῦτα ποιῶ, τιμωρεῖσθε, εἰ δὲ μή, ἀλλ' ἀφίετε. καὶ εἴ τις ταῦτα διεξιόντος ἀναστὰς ἀνέκραγεν ὅτι σύ γε τοῦ δεῖνος κατηγορήσων εἰσελήλυθας — ἐκεῖνον γὰρ ἅπαντες ἴσμεν ταῦτα ἃ φὴς ἐργαζόμενον — εἶπον ἂν πρὸς αὐτόν, ὦ λῷστε, ἀλλ' ἐμοὶ καὶ τῷ ἀνθρώπῳ ἐκείνῳ

416, 5 οὐδὲ ἀβουλίας] Vulgo οὔτε ἀβουλίας. εὐβουλίας] συμβουλίας A. 13 τι add. A. 29 ἀφίετε — ἀναστὰς add. A. 33 ἐμοῦ a m. rec. A.

οὐδὲν πρᾶγμά ἐστι, καὶ μὴ διάβαλλε ἡμᾶς πρὸς ἀλλή-
λους μηδὲ προστίθει τοῖς ἐμοῖς λόγοις ἅττα ἂν σὺ
δοξάζῃς, μηδὲ ἐξηγοῦ ἃ ἐγὼ λέγω, ὡς σὺ ξυνίῃς, ἀλλ' c
ὡς ἐγὼ λέγω. ἐγὼ γὰρ τὸ ἐμαυτοῦ μόνον περί του
σκοπῶ, καὶ τοῦτο εὖ θησόμενος παρεκάλεσα τοὺς δικα-
στάς. καὶ νῦν οὐκ ἄλλ' ἅττα ἢ ταῦτα λέγω. οὐκ
ὀρθῶς φημὶ ὀνομάζειν τοὺς ὀνομάζοντάς με σοφιστήν·
οὐδὲ γάρ με ἱκανὸν εἶναι ἐξ ὧν οἱ σοφισταὶ εὐδοκιμοῦσι.
ταῦτα δέ ἐστιν ἃ φησὶν ὁ θεσπέσιος Πλάτων, τά τε
ἄλλα καὶ ὅσα λέγει ἐν τῷ βραχυτέρῳ Ἱππίᾳ πρὸς αὐ-
τὸν ἐκεῖνον Ἱππίαν, αὐτόν τε ἐκεῖνον ἐπιδείκνυσθαι καὶ
τοὺς ἄλλους σοφιστὰς ἐπιτηδεύειν. καὶ τὰ ῥήματα d
ἐκεῖθεν ταῦτά ἐστιν ἀγαμένου δῆθεν Σωκράτους καὶ
ἐκπεπληγμένου, ὅτι ἀφίκετό ποτε εἰς Ὀλυμπίαν Ἱππίας
οὐ μόνον ἄλλ' ἀμήχανα ὅσα ἐπιδεικνύμενος, ἀλλὰ καὶ
ἔπη καὶ τραγῳδίαν καὶ διθυράμβους καὶ πολλοὺς λόγους
καὶ παντοδαποὺς συγκειμένους καὶ περὶ ῥυθμῶν ἁρμο-
νίας καὶ γραμμάτων ὀρθότητος καὶ ἀστρονομίαν καὶ
γεωμετρίαν καὶ μουσικὴν καὶ τὴν περὶ φύσεως θεωρίαν.
ἐμοὶ δέ, ὦ ἄνδρες, τοσοῦτος σωρὸς καὶ ἑσμὸς σοφίας
οὔτε ἐκτήθη ποτὲ οὔτε μὴν κτηθείη, λέγω δὲ οὐδὲ 346 a
ἄλλῳ τῶν ἐν τῇ πόλει. ἴσως γὰρ καὶ ὑπὲρ τὴν φύσιν
ἐστὶ τὴν ἀνθρωπίνην οὕτω δυσαριθμήτων ἀγαθῶν
πλοῦτον καὶ θησαυρὸν μιᾷ ψυχῇ ἐναποκεῖσθαι. εἰ δὲ
σύ τινα οὕτως εὐδαίμονα τῶν ἡμετέρων πολιτῶν ὑπο-
λαμβάνεις, μακάριος μὲν ἐκεῖνος τῆς εὐποτμίας, μακά-
ριοι δὲ οἱ συνόντες αὐτῷ· ἐγὼ μέντοι, ὦ θαυμάσιε,
τοῦ μακαρισμοῦ τούτου πόρρω ἀφέστηκα, καὶ οὐχ ὅτι
τὸ πρᾶγμα ἀδίκημα τοῦτό ἐστι, διὰ τοῦτο ἐξαρνοῦμαι,
οὐδὲ ὅτι ἄξιον φυγῆς ἢ θανάτου, ἀλλ' αὖθίς σοι καὶ b
αὖθις λέγω ὅτι ἐγὼ αὐτοῦ πόρρω ἀφέστηκα.

417, 1 οὐδὲν A. οὐδὲ H. 4 περί του σκοπῶ] περισκοπῶ Iacobsius apud Goellerum p. 249. 8 ἱκανὸν εἶναι] λείπει τὰ τοιαῦτα, ὡς εἶναι τὸν λόγον, οὐδὲ γάρ με ἱκανὸν τὰ τοιαῦτα εἶναι ἐξ ὧν οἱ σοφισταὶ εὐδαιμονοῦσι schol. A. 15 ἄλλ'] ἀλλὰ καὶ A. 22 τῶν] τῷ Iacobsius in append. ad Porsoni Adv. p. 316. 23 ἀγαθῶν A. ἄγεσθαι H. 26 μακάριος — εὐποτμίας add. A. 27 θαυμάσιε A. μακάριε H.

Τί ἂν οὖν τις πρός με ἀγανακτοίη, εἰ ὁμολογῶ δημοσίᾳ ὅτι κένομαι σοφίας καὶ ὀλίγα πάνυ ἐστὶν ἃ ἐπίσταμαι, καὶ ταῦτα ἐν πολλῷ χρόνῳ ἐκμελετῶν καὶ ἄνω καὶ κάτω ἐγκαλινδούμενος; ἐπεὶ καὶ αὐτοῖς τοῖς ὀλίγοις βρενθύομαι ἴσως καὶ αὐθαδίζομαι, καὶ ἐπεστόμισεν ἄν με Σωκράτης ὡς ἀλαζόνα ὄντα, διότι μηδὲ εἶναι σοφὸς ᾤετο καὶ ὡμολόγει ὃν σοφώτατον ἀνεῖπεν
c ὁ θεός. ἀλλὰ σὺ μορμολύττῃ με καὶ ἐρεσχελεῖς. ὅσοι γὰρ νῦν ἐν τῇ πόλει σοφισταὶ ὀνομάζονται, πάντως οἶδα ἐγὼ δεξιοὺς καὶ φιλανθρώπους καὶ οὐδένα αὐτῶν ἀμφισβητοῦντα τῆς Ἱππίου μεγαλαυχίας. οὐκοῦν οὐδείς μοι αὐτῶν πολεμεῖ καὶ δυσμεναίνει, ὅτι οὐ φημὶ σοφιστὴς εἶναι· οὐδὲ γὰρ τῶν ἰατρῶν οὐδείς, ὅτι φημὶ εἶναι κιθαριστής. ἐπεὶ εἰ πάντες μοι πολέ-
d μιοι ἦσαν, ὁπόσοι οὐ τὰς αὐτὰς τέχνας ἐργάζονται, πάλαι φροῦδα ἂν ἦν τὰ ἐμὰ πράγματα ἐξ ἀνθρώπων.

Καὶ δῆτα ἐκεῖνος, ὅστις ποτέ ἐστιν ὃν σὺ ὀνειροπολεῖς καὶ μαντεύῃ, οὐ προσήκει αὐτῷ ὁ λόγος· καὶ τί ἂν ἄχθοιτο καὶ δυσχεραίνοι; ἢ εἰ τὰ μάλιστα δῆλός σοί ἐστιν ἀνιώμενος, οὐ πρὸς τὸν λόγον χρὴ ἀνιᾶσθαι, ἀλλὰ πρὸς τὸ ἔργον, δι' ὃ προσήκων αὐτῷ
347 a ἐφάνη ὁ λόγος. οὐ γὰρ οἱ λόγοι τὰ πράγματα ἡμῖν προστιθέασιν· ὡς οὐδέν γε ἂν ἦν εὐπετέστερον ἀνθρωπίνης εὐδαιμονίας· ἀλλ' ὅταν τὸ πρᾶγμα ὑπάρχῃ, τηνικαῦτα συνομαρτεῖ καὶ ὁ τοῦ πράγματος λόγος. χρὴ οὖν ἐκεῖνο ἀποσκευάσασθαι, καὶ ἡ σκιὰ συναπελήλαται τῷ στερεμνίῳ. ἀλλ', ὅπερ ἐγὼ καὶ ἔμπροσθεν ἔφην, οὐδένα σοφὸν οὕτως ἐξευρίσκω ἐν τῇ πόλει τῇ ἡμετέρᾳ, ὅτῳ ἂν αὐτὴ ἡ προσποίησις ἐφαρμόσαι τοῦ καταλόγου τῶν διδαγμάτων, ἀλλὰ καὶ κολοβοὶ ἅπαντες καὶ ἡμιτελεῖς πρὸς τὸν Ἱππίαν· καὶ εἰ μέν τις οἷός τέ ἐστι ξυντιθέναι τραγῳδίαν καὶ ἔπη καὶ διθυράμβους, ὥσπερ

418, 2 σοφίας A. τῆς σοφίας H. 5 βρενθύομαι] μεγαλοφρονῶ, ἐπαίρομαι gl. A. 17 δῆτα] τοῦτο εἴρηται πρὸς τὸ ὄπισθεν λεχθὲν τό, εἰ δέ τινα σὺ τῶν πολιτῶν τῶν ἡμετέρων οὕτως εὐδαίμονα ὑπολαμβάνεις, μακάριος ἐκεῖνος schol. A. 19 δυσχεραίνοι] δυσχεραίνῃ A.

ἔναγχος ἐπιδημήσας Αἰγύπτιος νεανίσκος, ἀλλ' ἀμαθής b
γε εἶναι ὁμολογεῖ τὴν ὑψηλοτέραν σοφίαν. εἰ δέ τις ἐκείνην ποιεῖται ἄκρος τε εἶναι καὶ κορυφαῖος, τά τε σμικρὰ ταῦτα οὐκ ἀξιοῖ καὶ χαμαίζηλα δημιουργεῖν; οὔκουν οὐδ' ἄχρι κόμματος οὐδ' ἐλεγείου. ὥστε οὐδεὶς ἂν ἐν δίκῃ ἡμῖν χαλεπαίνοι ἐπὶ τῷ λόγῳ οὗ εἴσω κάμπτει καὶ ὁλοκλήρου οὐκ ἐξικνεῖται.

Ὅτι δὲ οἱ σοφισταὶ οὕτω κηλοῦσι τοὺς νέους εἰς τὰς μεγάλας πόλεις ἰόντες καὶ ἐν ταύταις πείθοντες τὰς τῶν ἄλλων συνουσίας ἀπολιπόντας καὶ οἰκείων καὶ ὀθνείων καὶ νεωτέρων καὶ πρεσβυτέρων αὐτοῖς συνεῖναι c
καὶ θυραυλεῖν, ἀμελοῦντας γάμων τε καὶ παιδοποιίας, οὐκ ἐμὸς οὗτος ὁ μῦθος, ἀλλὰ Πλάτωνος τοῦ σοφοῦ ἄντικρυς τοῖς ῥήμασιν οἷς ἄρτι εἶπον. καὶ οὐδὲ αὕτη λοιδορία ἐστίν, ἀλλὰ καὶ Πλάτων βελτίστους καλεῖ τοὺς τοιούτους καὶ ἐγὼ χρηστοὺς ὠνόμασα ἐν τῷ λόγῳ, καὶ τῷ ὄντι νέου αὕτη ἐστὶν ἡ εὐδοκίμησις καὶ ἀρετή, ὃν ἂν ὑπολάβῃ αὐτὸν ἀμείνω ποιήσειν, ὑπὲρ τούτου καὶ χρήματα ἀναλίσκειν καὶ τῷ σώματι ταλαιπωρεῖσθαι. καὶ τὸν Καλλίαν οὐδεὶς μέμφεται ἐπὶ τούτῳ, ὅτι μὴ μόνον Πρωταγόραν ἐθεράπευε καὶ περιεῖπεν, ἀλλὰ καὶ d
Ἀντίμοιρον τὸν Μενδαῖον καὶ τοὺς ἄλλους μαθητὰς Πρωταγόρου, καὶ ἐκκενώσας τὸ ταμιεῖον τοῖς σοφισταῖς ξενῶνα κατεσκευάσατο· γεννικῆς γὰρ τοῦτο σημεῖον καὶ φιλομαθοῦς διανοίας· ἀλλ' ὅτι πρὸς Σωκράτην οὐχ ἑώρα τὸν Σωφρονίσκου, οὐδὲ ἐτιτρώσκετο ὑπὸ τῶν λόγων, οὓς θαμὰ εἰώθει λέγειν ἅπασιν Ἀθηναίοις, τοῦτο ἴσως οὐκ εὔδαιμον πάνυ τῆς Καλλίου φιλη- 348 a
κοΐας. ἐπεὶ καὶ τὸν Κλεινίου Ἀλκιβιάδην οὐ κωμῳδεῖ Πλάτων ἐν τῷ συνδείπνῳ ἐξομολογούμενον πρὸς τοὺς

419, 1 *Αἰγύπτιος νεανίσκος*] Andronicus, de quo dixit Valesius ad Ammianum Marcell. vol. II. p. 352. ed. Erfurdt. 2 ὁμολογεῖ A. ὁμολογοῖ H. 3 ποιεῖται] προσποιεῖται dubitanter Roulezius p. 74. 6 εἴσω κάμπτει add. A. οὗτινος λόγου ἐλάττων ἐστὶ schol. A. 13 *Πλάτωνος*] Vide Heusd. Spec. p. 11. 22 μενδαῖον A cum Platone in Protag. p. 315 a. Μυνδαῖον H.

συμπότας ὅτι ἕτοιμος ἦν πάντα χαρίζεσθαι τῷ διδασκάλῳ, ἀλλ' ἐκεῖνος ὁ λόγος ὑπερήφανος ὕμνος ἐστὶ Σωκράτους καὶ Ἀλκιβιάδου· τοῦ μὲν, ὅτι μόνου ἑάλω, τοῦ δὲ, ὅτι μόνος οὐχ ἑάλω Ἀλκιβιάδου. εἰ δὲ ὁ μὲν πρὸς ἅπαντα εἶκεν, ὁ δὲ πρὸς μηδὲν ἐποίει ἀμείνω, Ἀλκιβιάδου μὲν ἔπαινος ἦν, Σωκράτους δὲ κατηγορία.

XXX.

ΘΕΣΙΣ ΕΙ ΓΕΩΡΓΗΤΕΟΝ. b

Ἡσίοδος ὁ Ἀσκραῖος, ὃς μετὰ τῆς δάφνης τὴν μου-
σικὴν παρὰ τῶν Μουσῶν αὐτῶν δέξασθαι λέγεται, c
τὴν ποίησιν διανείμας εἰς ἡρώων τε καὶ Μουσῶν ἐπαί-
νους καὶ τὴν γεωργίαν ἐν τούτοις ἔταξε, τὴν φύσιν τε
ἐπαινῶν τοῦ πράγματος πᾶσαν καὶ μαθητὰς τῆς τέχνης
ποιούμενος ἡμᾶς, καὶ τοὺς περὶ γεωργίας λόγους τοῖς
περὶ ἀρετῆς καταμίξας, ὡς ταὐτὸν ὄν, γεωργίαν καὶ
ἀρετὴν δι' ἀλλήλων καὶ ἅμα μαθόντας εἰδέναι. δεῖ δὲ
ἤδη καὶ ἡμᾶς Ἡσιόδῳ καὶ Μούσαις ἀκολουθοῦντας
ἐπιδεῖξαι διὰ πλειόνων ὡς ἄρα οὐ μάτην Ἡσίοδος σο-
φὸς ἐνομίσθη, ἀλλ' εἰς τοσοῦτον εὐκλείας διὰ τοὺς εἰς d
γεωργίαν λόγους προῆλθεν, ὥστε καὶ Ὁμήρῳ περὶ σο-
φίας καὶ μουσικῆς ἐν ταφαῖς Ἀμφιδάμαντος εἰς ἀγῶνα
ἐλθὼν παρὰ τῶν κριτῶν τὸν στέφανον καὶ τὴν νίκην
ἔχειν. ὁ μὲν γὰρ πολέμους καὶ μάχας καὶ τὸν συνα-
σπισμὸν τοῖν Αἰάντοιν καὶ ἄλλα τοιαῦτα προσῇδεν, ὁ
δὲ γῆς τε ὕμνησεν ἔργα καὶ ἡμέρας, ἐν αἷς τὰ ἔργα
βελτίω γίνεται· καὶ διὰ ταῦτα πᾶσι τοῖς κριταῖς κρατεῖ.
κεκλήσθων δὲ ἐπίκουροι πρὸς τὸν λόγον οἵ τε ἔφοροι 349 a
γεωργίας θεοὶ καὶ μούσης ἁπάσης εἴ δή τι κράτιστον,
καὶ ὁ μουσηγέτης αὐτός, ἐπειδὴ καὶ τὰς ἐνιαυσίας
[καὶ τὰς] ἀμοιβὰς οὐχ ὑπὲρ τούτου μόνον, ἀλλὰ καὶ
ὑπὲρ πάντων ὧν ἐκ θεοῦ ἔχουσιν ἄνθρωποι παρὰ

421, 2 Ἡσίοδος] Vide Theogon. v. 30. 8 καταμίξας] ἐγκαταμίξας Boissonadius ad Philostrati Her. p. 471. 11 ἐπιδεῖξαι] ἀποδεῖξαι Wernsdorfius ad Himerium p. 647. 18 τὰ ἔργα A. τὰ om. H. 23 καὶ τὰς recte delet Harduinus, nisi aliquid excidit. τούτου] ἢ τοῦ λόγου gl. A.

γεωργίας κομίζονται, σπονδὰς καὶ θυσίας καὶ δαῖτας, καὶ ὅσα φύουσιν ἐκ τῆς γῆς Ὧραι· εἰ δὲ καὶ Διόνυσον παρακαλοῖμεν καὶ νύμφας καὶ Δήμητρος κόρην ὑέτιόν τε Δία καὶ Ποσειδῶνα φυτάλμιον, πλησιάζομεν ἤδη
b ταῖς τελεταῖς καὶ τὴν Προδίκου σοφίαν τοῖς λόγοις ἐγκαταμίξομεν, ὃς ἱερουργίαν πᾶσαν ἀνθρώπων καὶ μυστήρια καὶ πανηγύρεις καὶ τελετὰς τῶν γεωργίας καλῶν ἐξάπτει, νομίζων καὶ θεῶν εὔνοιαν ἐντεῦθεν εἰς ἀνθρώπους ἐλθεῖν καὶ πᾶσαν εὐσέβειαν ἐγγυώμενος. οὐ μὴν οὐδὲ Ὀρφέως τελετάς τε καὶ ὄργια γεωργίας ἐκτὸς συμβέβηκεν εἶναι, ἀλλὰ καὶ ὁ μῦθος τοῦτο αἰνίττεται, πάντα κηλεῖν τε καὶ θέλγειν τὸν Ὀρφέα λέ-
c γων, ὑπὸ τῶν καρπῶν τῶν ἡμέρων ὧν γεωργία παρέχει πᾶσαν ἡμερῶσαι φύσιν καὶ θηρίων δίαιταν, καὶ τὸ ἐν ταῖς ψυχαῖς θηριῶδες ἐκκόψαι καὶ ἡμερῶσαι. καὶ τὰ θηρία γὰρ τῷ μέλει κηλεῖν ἐπιστεύθη θυσίας τε πάσας καὶ τελετὰς διὰ τῶν ἐκ γεωργίας καλῶν εἰς θεοὺς ἀνάγων. πάντας γοῦν ἀνθρώπους ἐπῆλθε τῇ δόξῃ καὶ πάντες ἐδέξαντο γεωργίαν. κἂν εἰς Αἰθίοπας ἔλθῃς
b ἐξ ἀνατολῶν διὰ μεσημβρίας εἰς δύσιν παρατεταμένους, κἂν Κελτοὺς τὸ ἀρκτῷον κατέχοντας μέρος, κἂν τοὺς
d διὰ μέσου, γεωργοὶ καὶ ἀρόται καὶ φυτοσκάφοι· καὶ οἷς πλείω τὰ τῆς γεωργίας, οὗτοι μᾶλλον εὐδαίμονες. εἰ δέ τις ἄξενος Σκυθῶν καὶ ἀνήμερος βίον ἀλήτην γεωργίας προὐτίμησεν, ἐν οἷς ἁμαρτάνει τὴν δίκην ἔχει, ἀνέστιος, ἀλήτης, δίαιταν θηρίων μετιών· ὡς κἂν τούτῳ γεωργίαν θαυμασιωτέραν εἶναι, τῷ χαλεπώτατα εἶναι καὶ ἀγριώτατα τῶν ἐθνῶν, εἴπερ ὄντως ἐστίν, ὅσα
350 a γηπονίαν ἐτίμησε. καίτοι καὶ τούτους, εἰ καὶ οὐ πονοῦσι περὶ τὴν γῆν, τοὺς γεωργίας καρποὺς ἑτέρωθεν εἰσκομιζομένους λέγουσι διαζῆν. καί τις ποιητὴς ὀδύ-

422, 2 φύουσιν — Διόνυσον add. A. 3 παρακαλοῖμεν A. καλοῖμεν H. 15 ἡμερῶσαι] ἡμερώσειν A. 21 κατέχοντας] κατείχοντας A. 28 ἀγριώτατα] ἢ ὅσα τὴν γεωργίαν ἠθέτησαν schol. A. 29 ἐτίμησε] οὐκ ἐτίμησε Harduinus. ἠτίμησε Boulezius p. 5. 30 ἑτέρωθεν Harduinus. Vulgo ἑτέρωθι. 31 ποιητής] Dionysius Perieg. v. 194.

ρικὰς ταύτας, ὅτι νήπιοί εἰσιν ἀσύνετοί τε καὶ ἀνήκοοι ἀνδράσι τε καὶ θέρουσι, παράδειγμα ἐπαγαγὼν ὅτι τοῖς θηρίοις ἐξ ἴσης ἄνευ γεωργίας καὶ οἴκων διαζῶσιν.

Οἷς δὲ ὁ βίος ἥμερος καὶ ὑπόστεγος, οὗτοι τῆς περὶ τροφὴν ἀνάγκης ἀπαλλαγέντες πρὸς οὐρανόν τε ἀνέβλεψαν θεούς τε ἐτίμησαν καὶ δίκῃ καὶ νόμοις ἐχρήσαντο πρῶτοι, οὐκ ἂν οὔσης ἀνάγκης ταῖς ἀναγκαίοις b προσκαρτερεῖν, ἀλλ' εὐπορίᾳ βίου σοφίαν ἀσκοῦντες. οἱ δὲ πόλεις τε ἐδείμαντο καὶ νεὼς ἤγειραν καὶ δίκης κριτήρια καὶ νόμους ἔθεντο· ὥστε καὶ τῶν νόμων αὐτῇ περίεστι μᾶλλον ἢ τοῖς ἄλλοις πᾶσιν. ἤδη καὶ ἔθνη ἀνθρώπους καὶ γράψαι νόμιμα καὶ γραψαμένους κυρῶσαι παράσχῃ. καὶ πλείω περὶ ταύτης οἱ νομοθέται σπουδὴν ἢ περὶ τῶν ἄλλων πεποίηνται. καὶ οἷς εἰρήνη δι' ἐπιθυμίας καὶ οἷς πόλεμος ἀναγκαῖον, οἱ μὲν ἀπεψηφίσαντο τὸν πόλεμον διὰ τὸν νόμον, οἱ δὲ ἐπὶ τῷδε c τὸν πόλεμον συνέταξαν, ἵνα μηδεὶς φθείρῃ τὰ γηπόνων ἔργα, οἱ δὲ τὴν εἰρήνην ἐφύλαξαν, ὅπως ἐν ἀδείᾳ φυτοσκάφος καὶ ἀρότης εἴη, καὶ ταῖς ὥραις ἐξείη τὰ τούτων ἐκτρέφειν. καὶ ἐμπορικοὶ νόμοι ταῦτα ἐκέλευσαν, τὸ τῶν καρπῶν τοὺς ἐλλείποντας καὶ ἑκάστοις περιττεύοντας ἀδεῶς παρ' ἀλλήλους διακομίζειν.

Ἐκ δὲ τῶν νόμων ἄνθρωποι τὸ δίκαιον εὗρον καὶ εὑρόντες φυλάττουσιν· ὥστε καὶ δικαιοσύνην μάλιστα ἐντεῦθεν εἰκὸς περιγίνεσθαι τοῖς ἀνθρώποις. οὐδὲ γὰρ d σχολὴ γεωργοῖς ἀδικεῖν, οὐ δι' ἔνδειαν ἀναγκαζομένοις, ἀλλ' ἐν ἀφθονίᾳ διάγουσιν. οἷς δὲ σχολὴ ἀπὸ τῶν ἔργων εἰς ἀδικίαν ἀστικοὶ δὲ ἄνδρες καὶ εἰ δή τις ἄλλος γεωργίας ἐκτὸς συκοφαντίαν καὶ ἀδικίαν τιμῶσι. ὁ δὲ γεωργὸς ἁπλοῦν καὶ γενναῖον ἓν ἀγαθὸν εἰδώς, ὃ παρὰ τῆς γῆς σὺν ταῖς ὥραις ἐπιμελούμενος κομίζε-

---

423, 11 ἤδη A. ἢ δὴ H. 15 ἀναγκαῖον A. ἀναγκαῖος H. 16 διὰ τὸν νόμον] τὸν γεωργικὸν καὶ τὸ πονεῖν καὶ ἀσχολεῖσθαι τὴν γῆν schol. A. διὰ τὸν γηπόνον Roulezius p. 33. 28 ἀστικοὶ δὲ] Aut particula δὲ delenda aut eiicienda illa οἷς δὲ σχολὴ ἀπὸ τῶν ἔργων εἰς ἀδικίαν. καὶ εἰ δή — συκοφαντίαν add. A. 31 ἐπιμελούμενος] ἐπιμελουμένης A.

ται, πολυπραγμοσύνην δὲ ἀρχὴν ἀδικίας καθεστηκυῖαν 351 εἶναι καὶ πόρρωθεν φυλαττόμενος. οὕτω δὲ ἀκριβῶς ἀλλότριος ἀδικίας κατὰ φύσιν ἐστὶν ὥστε καθάπερ τὰ φύσει πολέμια τῶν στοιχείων, οἷον ὕδωρ καὶ πῦρ, ἄμικτα πρὸς ἄλληλά ἐστι, κἂν πλησιάσωσι, θάτερον ἀνῄρηται πάντως, οὕτως ἀδικίας ἐγγινομένης πόλεμοί τε αὐτίκα καὶ στάσεις καὶ φθορὰ γεωργίας ἀκολουθεῖ, δικαιοσύνης δὲ καὶ εὐνομίας κρατούσης ἔρρωται ἡ γῆ τοῖς καρποῖς.

Φησὶ δὲ Ὅμηρος καὶ Ἡσίοδος καὶ τὰ ἐξ οὐρανοῦ τοῖς τοιούτοις ἵλεώ τε εἶναι καὶ σὺν εὐμενείᾳ χωρεῖν, χαλαζῶν μὲν καλινδουμένων ἐπὶ τοὺς ἀδίκους καὶ ὄμ- b βρων ἀγόνων καὶ λοιμῶν· τοῖς δικαίοις δὲ εἰς γεωργίαν τῆς ἀμοιβῆς οὔσης, ὑετῶν μὲν ἐκ τοῦ Διὸς ἐπιχεομένων ἡμέρων, δρυῶν δὲ καὶ τὰ οἰκεῖα καὶ μέλι φερουσῶν, ἐπειδὴ τὰ κοῖλα τῶν δένδρων καὶ ἅμα ἄκαρπα κηρίων τὰ σμήνη πληροῦσιν.

Ἐκ δὴ τούτων οὐκ ἔτι χαλεπὸν γνωρίζειν ὡς οὐδὲν ἀνθρώποις οὕτω λυσιτελές ἐστιν ὡς γηπονίας τε ἐπιμεληθῆναι καὶ ἐμβιῶναι τῇ τέχνῃ. εἴτε γὰρ τὸ αὔταρκες τίμιον, ἐντεῦθεν ἀφθονία τῶν ἐπιτηδείων, εἴτε εὐπορία διὰ σπουδῆς, Δήμητρος παῖδα τὸν Πλοῦτον οἱ c ποιηταὶ ᾄδουσιν· ὡς οὐδαμόθεν ἔξωθεν οὕτως αὐξανομένης περιουσίας ὡς διὰ τῶν ἐκ γεωργίας καλῶν. αἱ μὲν γὰρ ἄλλαι τέχναι γηπονίας πᾶσαι προσδέονται, καὶ οὐ μόνον τέχναι, ἀλλὰ καὶ ἐπιτηδεύματα· καὶ οἱ τὰς δυνάμεις ἔχοντες καὶ οἱ τὰ σκῆπτρα κομίζοντες ἐν ἐκείνοις ἔχουσι καὶ τῆς βασιλείας καὶ τῆς δυνάμεως καὶ τῶν ἐπιτηδευμάτων καὶ τῶν τεχνῶν τὰς ἐλπίδας. γεωργία δὲ ἀπὸ τῶν περιττῶν τοῖς λοιποῖς χορηγεῖ. οὐκοῦν οὐδὲ τῷ βασιλεῖ ὄφελος οὐδὲ ἕν, κἂν Ἀχαιμενίδης,

424, 16 ἅμα] ἄλλα Iacobsius ad Antholog. Palat. vol. III. p. 224. 18 ἔτι A. ἔστι H. 19 λυσιτελές ἐστιν ὡς Iacobsius ad Ach. Tat. p. 611. Vulgo λυσιτελέστερον. 22 οἱ ποιηταὶ] οἱ om. A. 25 γηπονίας Harduinus. Vulgo ἐπιπονίας. 28 καὶ τῶν Harduinus. Aberat καί. 30 τῶν περιττῶν] τῶν om. A.

κἂν Ἡρακλείδης, κἂν ὁστισοῦν εἶναι αὐχῇ, εἰ μὴ τοῖς
ὅπλοις τὰ τῶν τροφῶν τῆς παρασκευῆς ἁπάσης ἡγοῖτο.
καὶ ὅστις γραφεύς ἐστιν, ἢ ποιητὴς ἀγαλμάτων, καὶ d
ἐμπορία καὶ ναυτιλία, καὶ τί δεῖ πᾶσιν ἐπεξελθεῖν;
οὐκ ἔστιν ὃς μὴ γεωργίας προσδεῖται. καὶ παρούσης
μὲν καὶ χορηγούσης τὴν ἀφθονίαν ἀνθεῖ τὸ οἰκεῖον
ἔργον ἑκάστοις καὶ τὴν σπουδὴν εἰς πέρας ἀγαθὸν
προάγει· εἰ δὲ τὰ ἐκεῖθεν ἐλλείποι, οὐδὲ εἰς τὸν βίον
ὑπόλοιπον.

XXI.

352 ΠΕΡΙ ΠΡΟΕΔΡΙΑΣ ΕΙΣ ΤΗΝ ΣΥΓΚΛΗΤΟΝ.

Πολλάκις ὑμῖν, ὦ πατέρες συγγεγραμμένοι, βουληθεὶς
b *ἐν κοινῷ διαλεχθῆναι περὶ ὧν ἰδίᾳ τινὲς πρὸς ἐμὲ*
δυσχεραίνουσι, τοῦτον εἶναι καιρὸν ἐπιτηδειότατον ὑπο-
λαμβάνω, ἐν ᾧ δίδωσιν ἐκεχειρίαν ὁ νόμος καὶ τοῖς
σφόδρα ὑπόπτως πρὸς ἀλλήλους διακειμένοις, τὴν ἱερο-
μηνίαν τοῦ ἔτους. ἴσως γὰρ ἂν γένοιντο πρᾳότεροι,
καταμαθόντες τὴν ἐμὴν γνώμην ὑπὲρ ὧν ἀμφισβητεῖν
με νῦν πρὸς αὐτοὺς ὑπολαμβάνουσιν. ἐρῶ δὲ ὡς ἔνι
μάλιστα συντόμως καὶ τοῦ καιροῦ στοχαζόμενος.

Ἐγὼ τοῖς δοκιμωτάτοις τῶν ἀρχαίων φιλοσόφων
c *ἀκολουθήσας, οἳ δύο εἶναι τῆς φιλοσοφίας ὁδοὺς ἐξη-*
γοῦνται, τὴν μὲν θειοτέραν, τὴν δὲ τοῖς κοινοῖς ὠφε-
λιμωτέραν, τὴν ὑμῖν λυσιτελοῦσαν προετίμησα τῆς μό-
νον τὸ ἐμὸν ἴδιον ἐξεταζούσης, καὶ ἐν πολιτείᾳ φιλο-
σοφίαν εἱλόμην, ἑπόμενος Σωκράτει καὶ Ἀριστοτέλει
καὶ πρό γε τούτων τοῖς ὑμνουμένοις ἑπτὰ σοφοῖς, οἳ
τὰ ἔργα τοῖς λόγοις ἐγκαταμίξαντες οὔτε ἄπρακτον οὔτε
ἀσυντελῆ τοῖς κοινοῖς ἐπεδείξαντο φιλοσοφίαν. τούτοις
ἅπασιν ἀκολουθήσας τεσσαράκοντα ἔτη ταῦτα σχεδὸν
d *ἐτέλεσα λειτουργῶν ὑμῖν ἐκ τῶν λόγων καὶ πρεσβειῶν*
ἐφεξῆς ὁπόσας αὐτοὶ ἴστε πρεσβείας οὐκ ἀτίμως οὐδὲ
ἀδόξως οὐδὲ ἀναξίως τῆς ὑμετέρας χειροτονίας, τὰς
μὲν καθ' ἑαυτόν, τὰς δὲ τοῖς ἀρίστοις ὑμῶν κοινωνῶν.

Καὶ τὰ κεφάλαια τῶν κατορθωμάτων ἐκείνων ὑμῖν
μὲν ἴσως μεμνῆσθαι καλόν, ἡμῖν δὲ ἐπιλελῆσθαι. ἐφ'

426, 16 *Ἀριστοτέλει*] *Platonis* nomen in versione posuit Petavius. *τῷ Ἀρίστωνος* Roulezius p. 12. 24 *ἑαυτὸν* A. *αὑτὸν* H.

οἷς ἅπασι τὰς πρεπούσας τιμὰς καὶ παρ' ὑμῶν καὶ 353 a παρὰ τῶν αὐτοκρατόρων ὥσπερ ἆθλα εὐμενῶς προσιέμην, οὐκ ἐμαυτοῦ χάριν οὐδ' ὡς βελτίων ἐσόμενος, ἀλλὰ τὸ Πλάτωνος ἐννοῶν, καὶ βουλόμενος πολλοὺς ὑμῖν πολίτας τοιούτους γενέσθαι. ἀσκεῖται γὰρ ἀεί, φησί, τὸ τιμώμενον, ἀμελεῖται δὲ τὸ ἀτιμαζόμενον. καὶ διὰ τοῦτο οὐδὲ πρὸς τὰς χαλκᾶς ἐδυσκόλαινα τὰς δύο ταύτας εἰκόνας, οὐδὲ ὁπηνίκα πάρεχον ἑαυτῷ ποιεῖσθαι δεῖν ᾤετό με ὁ αὐτοκράτωρ, οὐδὲ ὅτε τὰς δέλτους ἐδίδου τὰς πολυθρυλήτους· οἷς μὲν οἷοί τε b ἦσαν τιμᾶν τοὺς φιλοσοφοῦντας οἱ βασιλεύοντες ἐφιείς, σχολὴν δὲ παντάπασι μὴ ἐπιτρίβων καὶ μετάγων ἐπὶ φροντίδας ἐλάττους ἀντὶ μειζόνων.

Εἶτα λέγει τις ὅτι ψευδεῖς αἱ πινακίδες, καὶ ἔστωσαν μὲν αἱ πινακίδες ψευδεῖς τῷ γε πινακίῳ ἰσχυριζομένῳ πρὸς ὑπεροχὴν ἀρετῆς, ἀλλ' ὅμως πρὸς τοῦτον τὸν λόγον δοκεῖ μοι μικρὸν ἀποκρίνασθαι μετὰ παρρησίας. ἐγὼ ψευδῆ τιμὴν ἐκείνην ὑπολαμβάνω, ἣν ἄν τις ὠνησάμενος ἔχοι χρημάτων, ἢ προσαιτήσας πολλὰ καὶ θυραυλήσας, ἢ μισθὸν αὐλικῆς διακονίας· ἣν δ' c ἄν τις ἀρετῆς καὶ παιδείας ἆθλον κομίσαιτο, ὡς μόνον ἐνὸν τοῖς διδοῦσι, μήτε πραγματευσάμενος μήτε προθεὶς ἱκετηρίαν, ταύτην ἐγὼ τὴν τιμὴν ἐνδεεστέραν μὲν φημι τῆς ἀξίας, ψευδῆ δὲ οὐδαμῶς, εἰ μὴ καὶ τὰς εἰς τὸ θεῖον τιμὰς ψευδεῖς εἶναί τις ὑπολαμβάνει, ὅτι τῆς ἀξίας οὐκ ἐφικνοῦνται.

Ἐμοὶ τῶν ἐπαργύρων ὀχημάτων καὶ τῶν μεγαλο- d φώνων κηρύκων ὑψηλοτέρα ἀρχὴ ἡ ἀπὸ τῶν λόγων, ἣν οὔτε δοῦναι βασιλεῦσιν ἔστιν οὔτε ἀφελέσθαι. ταύτην γὰρ κἂν ἐπὶ χρυσοῦ καθέζωμαι κἂν ἐπὶ ξύλου κἂν ἐπὶ χαμαιζήλου θρονίδος, ἐμαυτῷ συμπεριφέρω, καὶ τὸ σῶμα ἀπολιπόντι μόνη παραμένει. ταύτην ἄρχει τὴν ἀρχὴν μέχρι νῦν ὁ Ἀρίστωνος, ταύτην Ἀριστοτέλης, ταύτην Σπεύσιππος, ταύτην Ξενοκράτης. ἢ οὐ δο-

---

427, 10 πολυθρυλήτους] Vulgo πολυθρυλλήτους. 20 αὐλικῆς] Vulgo ἀττικῆς. γρ. αὐλικῆς margo A.

κοὐδὲν ἄρχειν ὑμῖν οἱ νομοθετοῦντες τῶν τοὺς νόμους φυλαττόντων, οἱ διδάσκοντες τῶν μανθανόντων, οἱ
354 πείθοντες ἀρετὴν μεταδιώκειν τῶν πειθομένων; καὶ ταύτην ἄρχουσι τὴν ἀρχὴν πλεῖν ἑπτακόσια ἔτη, καὶ ἄρξουσί γε ἔτι καὶ ἐφεξῆς, ἕως ἂν τίκτωνται ἄνθρωποι διαφέροντες συῶν καὶ τῶν λοιπῶν ζώων· ὅσον οὐκ ἦρξαν χρόνον Πέρσαι μετὰ Ἀσσυρίους, ὅσον οὐδ' οἱ ἐγγὺς Μακεδόνες, ὅσον οὐδέπω Ῥωμαῖοι. τί γὰρ δεῖ χρόνου γε ἕνεκεν τῆς ἀρχῆς ἢ Φίλιππον Πλάτωνι παραβάλλειν, ἢ Ἀλέξανδρον Ἀριστοτέλει; ἐκείνοις τήμερον οὐδεὶς ὑπακούει, ἀλλ' οὐδὲ τὰ δόγματα αὐτῶν οὐδὲ οἱ
b νόμοι ἔχουσί τινα δύναμιν ἐν τοῖς ἀνθρώποις. τὰ δὲ Πλάτωνος δόγματα καὶ Ἀριστοτέλους ἐνεργά ἐστι καὶ ἀκραιφνῆ, καὶ ἐν τοσαύταις μεταβολαῖς αὐτοκρατόρων καὶ ἡγεμόνων ἀμετάβλητα διαμένει καὶ ἀκίνητα καὶ ἀσάλευτα. τίς Ἀλεξάνδρῳ νῦν τὸν ἑαυτοῦ βίον ἐπονομάζει καθάπερ Πλάτωνι; τίς τὸ Φιλίππου νῦν ὄνομα ἐπιγράφεται καθάπερ Ἀριστοτέλους; τούτοις σεμνὸν ἐνάριθμον εἶναι, σὺν τούτοις καθίζειν, καὶ μετὰ τούτους καὶ τοὺς παρὰ τούτων πινακίσιν ἰσχυρίζεσθαι
c ὑψηλόν τε καὶ μεγαλεῖον· δι' ἃς ἔξεστί μοι παρακελεύσαντι τὴν Ἀδράστειαν ὑψηλολογῆσαι, οὔ τέ μοι τῆς ἀνθρωπίνης

Χρειὼ τιμῆς, φρονέω δὲ τετιμῆσθαι Διὸς αἴσῃ.

εἰ δ' οὖν καὶ ἀνθρωπίνης τιμῆς δεηθείην, εὐξαίμην ἂν ὑμᾶς, οὓς περὶ πλείστου ποιοῦμαι, δικαίους εἶναι κριτὰς ἀρετῆς ἄλλως δὲ ἐχόντων

Πάρ' ἔμοιγε καὶ ἄλλοι,
οἵ κέ με τιμήσουσι,

μάλιστα δὲ οἱ πατέρες ὑμῶν καὶ ἀρχηγέται, Ῥωμαῖοι, ἂν ἐπιδείξω ὑμῖν τὰς φωνάς, ἐν αἷς οἱ πρὸς τὸν οὐρανὸν ἁμιλλώμενοι δεῖσθαι τῶν ἡμετέρων ἀγαθῶν ὁμο-
d λογοῦσι, καὶ πρός γε Ῥωμαίοις οἱ αὐτοκράτορες. ἀρκεῖ μοι Κωνστάντιος, ὁ κόσμον τῆς ἑαυτοῦ βασιλείας τὴν

428, 22 ὑψηλολογῆσαι A. ὑψηλογῆσαι H. 24 Χρειὼ] Iliad. ι, 608. 28 Πάρ'] Iliad. α, 174. 34 Κωνστάντιος Harduinus. Vulgo Κωνσταντῖνος.

ἐμὴν φιλοσοφίαν εἰπὼν πολλάκις, ἀρκεῖ βιασθεὶς Ἰουλιανὸς τῆς οἰκουμένης καλέσαι πρεσβευτὴν ἄξιον, οὐ μόνον τῆς καλλιπόλεως, καὶ τὰ πρῶτα φέρεσθαι φιλοσοφίας ἐν γράμμασιν ὁμολογήσας· ἀρκεῖ Οὐάλης, ἡττηθεὶς ὑπὸ τῶν ἐμῶν λόγων πολλάκις· ἱκανός μοι Γρατιανός, σεμνυνόμενος πρὸς Ῥωμαίους ὡς αἴτιος αὐτοῖς γεγονὼς τῆς ἐμῆς ἐπιδημίας· ἀντὶ τῶν ὑψηλοτάτων θρόνων ποιοῦμαι τὰς τοῦ θεοειδεστάτου Θεοδοσίου 355 a
φωνὰς τὰς πρῴην ὑμῖν ἀναγνωσθείσας, ἃς εἰ μὲν μιμεῖσθε καὶ δέχοισθε φιλοσοφίαν τὸν εἰκότα τρόπον, οὐδεμία μοι ψῆφος τῆς παρ' ὑμῶν ἀσμενεστέρα· εἰ δέ τινες ὑμῶν συμπείσουσι τῶν ἀρετῇ τεθαρρηκότων ἐπιστραφῆναι ἄμεινον τοὺς τῆς τύχης ἐπηρμένους, οὐκ ἂν ἐγὼ τούτου βουλοίμην τοῦ χοροῦ κοινωνεῖν, ἐν ᾧ τὸ παρὰ μέλος ᾄδειν τοῦ σὺν ταῖς Μούσαις εὐδοκιμώτερον φαίνεται. Μούσαις λέγω· καὶ γὰρ οὐδὲ τοῦτο μικρόν· οἳ καλῶς ποιοῦντες νεὼν ἀπεδείξατε τὸ βουλευτήριον καὶ τὰ ἀγάλματα κατεστήσατε τῶν θεῶν ἐν τῷ σηκῷ ἔνθεν καὶ ἔνθεν. οὐδὲ γὰρ ἀπεχρήσατε ὑμῖν εἰς χοροὺς τῶν Μουσῶν, ἀλλ' Ὅμηρος μὲν ἐννέα ποιεῖ b
τὰς πάσας Μούσας ἐν τῷ οὐρανῷ, παρ' ὑμῖν δὲ ξενίζονται διπλασίους, καὶ μετελήλυθεν ὁ Ἑλικὼν εἰς τὸν Βόσπορον. καὶ οὕτως ἀμείνων κόσμος παρ' ὑμῖν τῆς βουλῆς, ἢ παρὰ τοῖς πάλαι Ῥωμαίοις.

Καὶ τοίνυν ἐγὼ πέπεισμαι ὑμᾶς οὐκ ἐπίδειξιν ποιουμένους τοῦ κάλλους τῶν ἀγαλμάτων ἐνταῦθα τὰς θεὰς εἰσοικίσασθαι, οὐ μηδὲ εὐσύνετον οὐδενὶ πλὴν τῶν ἐγκρίτων, ἀλλ' ὑπὲρ τοῦ δεῖξαι τοῖς κοινωνοῦσι τοῦ καταλόγου εἶναι μάλιστα τῶν ἄθλων τὸν μετέχοντα τῆς γερουσίας πλεῖον ἔχειν τῶν ἄλλων προσήκει· ὅτι μὴ πλούτῳ μηδὲ ἀσπίσι μήτε ῥάβδοις μήτε πελέκεσιν, c
ἀλλὰ τῇ τῶν Μουσῶν εὐμενείᾳ· ἠκούσατε γὰρ τοῦ ὀνομάσαντος, ὃ καλεῖται ὁ νεὼς οὗτος· καλεῖται γὰρ οὐ στρατήγιον οὐδὲ θέατρον οὐδὲ ταμεῖον, ἀλλὰ γερουσία καὶ βουλευτήριον, ἐν ᾧ τῆς Καλλιόπης ἡ προεδρία καὶ ἀνδρὸς

Ὅντινα τιμήσουσι Διὸς κοῦραι μεγάλοιο.

429, 9 ἃς εἰ μὲν — ἀσμενεστέρα add. A. μιμεῖσθε] μιμεῖσθαι A.

XXXII.

d ## ΜΕΤΡΙΟΠΑΘΗΣ, Η ΦΙΛΟΤΕΚΝΟΣ.

Ὠδῖνες καὶ τόκοι ἀνθρώπων εἰσὶ μέν που καὶ ἐκ τοῦ σώματος, εἰσὶ δὲ καὶ ἐξ αὐτῆς ἕτεροι τῆς ψυχῆς. ἄμφω μὲν δὴ ἡ φύσις ἐμηχανήσατο ἀθανασίαν ἐπισκευαστὴν
356 a τῷ γένει ποριζομένη, τυγχάνει δὲ οὐχ ὁμοίως ἐπ' ἀμφοῖν τοῦ βουλήματος, ἀλλὰ τῶν μὲν τῆς ψυχῆς κυημάτων καὶ τὸ ἀσθενὲς καὶ τὸ ἐρρωμένον ἐν τῇ ἀρετῇ ἀπόκειται τῆς γεννώσης. καὶ δὴ ὅσα μὲν φύεται ἔκγονα ψυχῆς ἀγαθῆς καὶ ἐξ ἀγαθῶν τῶν σπερμάτων ἐρρωμενέστερά ἐστι καὶ ἀνδρικώτερα πάσης ἔξωθεν διολλυούσης ἀνάγκης, καὶ τίκτεται εὐθὺς ἀκμάζοντα ἐκ τῶν ὠδίνων καὶ διαμένει τοιαῦτα εἰς τὸν ἀεὶ χρόνον. ὅσα δὲ ἐκ φαύλης καὶ ἀσθενοῦς ἄγονά τέ ἐστι καὶ ἀνεμιαῖα καὶ οὐ ταμιεύεται αὐτὰ παραλαβοῦσα ἡ μνήμη, ἀλλὰ
b δέχεται ἐκπίπτοντα παραχρῆμα ὁ τῆς λήθης κόλπος. τοὺς δὲ δὴ ἐκ τοῦ σώματος παῖδας οὔτε ἀρετὴ σώζει τῶν γεννώντων οὔτε κακία διόλλυσιν, ἀλλὰ βασιλεύουσιν ἄρα τῶν ὠδίνων τούτων Μοῖραί τε καὶ Ἀνάγκη καὶ τὰ ἄλυτα αὐτῶν καὶ ἀμετάστροφα νήματα. ἐπεὶ εἴ τι καὶ αὐτὴ ἡ γέννα συναπέλαυε τῶν γειναμένων, οὔτ' ἂν Σωκράτει πρὸ ὥρας ἐτελεύτησε Λαμπροκλῆς οὔτε Πεισιστράτου Ἱππίας διεδέξατο τὴν τυραννίδα. ἀλλ', ὥσπερ εἶπον, Κλωθὼ καὶ Ἄτροπος καὶ Λάχεσις αἱ τῆς
c Ἀνάγκης θυγατέρες ταύτην ἔλαχον τὴν ἀρχὴν καὶ τὴν βασιλείαν. ὅσης μὲν οὖν ἐπιδέξια τὸν ἄτρακτον ἐδίνησαν αἱ θεαί, κρείττω γε καίπερ ἀσθενεῖς ὄντες οὗτοι οἱ

430, 14 ἡ μνήμη A. ἡ om. H. 20 συναπέλαυε A. συναπέλαυσε H. 24 ταύτην add. A.

τόκοι καὶ εὐσθενοῦσί τε καὶ εὐθαλοῦσι καὶ ἀποτίκτουσιν ἐξ αὐτῶν αὖθις ἑτέρους, ὥσπερ τὰ σμήνη αἱ μέλιτται, καὶ διδόασι πλείω ὀνόμενα τῷ ἀρχηγέτῃ, πατέρα c καὶ πάππον καὶ προσωτέρω γήρως εὐδαίμονος ἐπωνυμίας· ὅτῳ δὲ ἐπαρίστερά τε καὶ σκολιά, μακρῷ μὲν ἀνολβότερος, τυφλάς τε εὐθὺς καὶ ἀγόνους τὰς ὠδῖνας λαχὼν βαρύνεται· συμφορώτερος δὲ ὅτῳ περὶ τὸν σπόνδυλον τοῦ ἀτράκτου λεπτὸν τὸ λίνον καὶ εὐανθὲς ἐπικλώσασαι κόρας διέρρηξαν καὶ ἀπέκοψαν· γευσάμενοι d γὰρ οἱ τοσοῦτοι πρὸς μικρὸν χρόνον ὑπούλου τε καὶ ὀδυνηρᾶς ἡδονῆς οὐκ εἰς μακρὰν αἰσθάνονται τῆς οὐδενίας τοῦ τόκου, καὶ ὅτι ἀνεμιαίων ἄρα οὐδὲν ἀπέοικε τὰ τοιαῦτα τῆς φύσεως γεννήματα. οἱ δὲ δὴ ἕτεροι παῖδες, οὓς αἱ Μοῦσαι ἐκτρέφουσι καὶ τιθηνοῦνται, πρῶτον μὲν ὑφ' ἑαυτοῖς ἀλύπους ἀεὶ παρέχονται τοὺς πατέρας, ἔπειτα παρασκευάζουσι καρτερωτάτους ὑπομένειν τὰς ἐπὶ τοῖς ἀδελφοῖς συμφοράς. ὅθεν δὲ αὐτοῖς ἡ 357 a δύναμις τῆς παρασκευῆς εἰ βούλοισθε ἀκούειν, ἔχοιμ' ἂν λέγειν.

Φύεταί ἐν τοῖς φιλοσοφίας λειμῶσιν φάρμακον πολύ τε καὶ ἰσχυρόν, ὁποῖον Ὅμηρος λέγει τὴν τοῦ Διὸς θυγατέρα Ἑλένην παρὰ Πολυδάμνης πορίσασθαι τῆς Αἰγυπτίας. ξυλλεξάμενοι οὖν οἱ παῖδες τῆς πόας καὶ ξυναγείραντες πολλὴν μὲν ἐκ τῶν Πλάτωνος περιβόλων, πολλὴν δὲ ἐκ τοῦ Ἀριστοτέλους τοῦ Νικομάχου, καὶ τρίψαντές καὶ ἐγκερασάμενοι τῷ κρατῆρι τῆς Μνημοσύνης, καταχέουσί τε καὶ ἐπαλείφουσι τὸν πατέρα· b τὸ δὲ αὐτίκα διῇξεν ἀπαστράπτεται εὐθὺς καὶ ἀνθάπτεται τῆς καρδίας καὶ ἀφαιρεῖται ἐξελθεῖν τὴν ὀδύνην ἀπρὶξ ἐχομένην τε καὶ εἰσδεδυκυῖαν εἰς αὐτόν που τὸν μυχὸν τῆς ψυχῆς· ἔνθα δὴ καὶ μάλιστα διαφαίνεται τοῦ φαρμάκου ἥ τε ῥώμη καὶ ἡ ἀνδρεία. ἐπειδὰν γὰρ πανταχόθεν αἱ προσβάλλοντα καὶ [illegible] μηδὲν χαλᾷ μηδὲ ὑπείκῃ ἡ λύπη, μηδὲ ἀσπόνδως ἀμύνηται, ἀλλ'

431, 2 ἑτέρους] ἑτέρως A. 5 ὅτῳ δὲ] A: ὅτι δὲ H. μακρῷ] γρ. καὶ [illegible] margo A. 12 ἀεὶ ὄντα A: ἀεὶ om. H. 32 ἀνδρεία] Vulgo ἀνδρία [illegible]

ὑφίστηται καρτερῶς καὶ τὰς προσβολὰς ἀποκρούηται τοῦ λόγου, ἀντιπροϊσχομένη τὰ ἄμαχα κέντρα τῆς φύ-
c σεως, τηνικαῦτα ἀποικοδομεῖ τε αὐτὴν ἔνδον καὶ ἀποσυγκλείει καὶ περιφράγνυσιν ἁπανταχόθεν καὶ ἐπιτίθησι κλεῖθρα ἀδαμάντινα ταῖς ἐξόδοις· ὥστε μήτε ἐξακούεσθαι βοῶσαν μήτε ὁρᾶσθαι ἐξαλλομένην· αὐτὸς δὲ τῶν ἔξω ἐπιμελεῖται καὶ παρασκευάζει εἰρηναῖά τε καὶ ἥμερα,
b ὡς μηδεμίαν παρέχειν αἴσθησιν μηδενὶ τῆς ἔσω πολιορκίας. οὕτω δὲ ἡ μὲν ὀδύνη ἔνδον μένει καθειργμένη τε καὶ σφαδάζουσα καὶ ἀνιῶσα ὑλακτοῦσα, τὰ δὲ ἔξω πολλὴ εἰρήνη καὶ ἐλευθερία· καὶ οὔτε λουτρὰ ἀπο-
d κλείεται οὔτ' εἰλαπίναι κωλύονται, οὔτε σύλλογοι εἰωθότες· ἔστι δὲ ὅτε καὶ γέλως ἐπισκιρτᾷ ἄνω, κοῦφός τε δὴ καὶ ἐπιπολῆς καὶ μετέωρος, ὥστε ἀπιστήσαις ἂν ἐν τῷ τοιούτῳ ἀνθρώπῳ μὴ οὐ πάντα εἶναι ἔμπλεα χαρμονῆς. οὕτω τὰ πρόθυρα αὐτοῦ τὸ φάρμακον τοῦτο
e σκιαγραφεῖ γενναιότητι καὶ εὐψυχίᾳ· ἀλλ' ὅμως προσήκει αὐτῷ τὸ ἔπος ἐκ τῆς κωμῳδίας, Οὗτος μακάριος ἐν ἀγορᾷ νομίζεται, ὅταν δ' ἀνοίξῃ, οὐχὶ τὴν θύραν,
358a ἀλλὰ τὴν ψυχήν, τρισάθλιος. πάσι δὲ ὅμως ἄνδρα τῷ ὄντι φιλόσοφον εἰς τοῦτο αὐτό ποτε τὸ ὄνομα ὑπὸ τῆς τύχης ἐκβιασθῆναι. οὐ μὴν οὐδὲ μακάριος οὐδὲ εὐδαίμων. οὐδὲ γὰρ ἐξαρκεῖ ἡ ἀρετὴ καὶ ἡ σοφία καὶ τὰ χρηστὰ αὐτῷ ὀνόματα διασώσασθαι, ἀλλ' ἱκανὴ μόνοις τὰ δυσώνυμα ἀπωθεῖσθαι.

Καὶ ταῦτα μὲν ἔργῳ ἅπαντες οἱ φιλόσοφοι ὑπομένουσι, τῷ λόγῳ δὲ μόνον συγχωροῦσιν οἱ ἐκ τοῦ Λυκείου. τῷ τοι οὐδὲ ὀφλισκάνουσι γέλωτα, οἷον ὦφλέ ποτε Ἀντιγόνῳ Περσαῖος ὁ Κιτιεύς· Ἀντιγόνῳ γὰρ τῷ
b βασιλεῖ συνδιητᾶτο Περσαῖος ὁ τοῦ Ζήνωνος ἑταῖρος. ἀκούων δὲ αὐτοῦ συνεχῶς ἐξηγουμένου τε καὶ θρυλοῦντος θαμὰ τὰ κομψὰ δὴ ταῦτα τῆς ποικίλης νεανιεύματα, ὅτι ὁ σοφὸς ὑπὸ τῆς τύχης ἀήττητός τέ ἐστι καὶ ἀδούλωτος καὶ ἀκέραιος καὶ ἀπαθής, πᾶσαν ἐπι-

432, 16 αὐτά] Δ: αὐτὸ H. 18 Οὗτος] Inter Menandrea posuit Meinekius p. 402. 20 Κιτιεύς] Vulgo Κιττιεύς et infra Κιττίῳ. 31 θρυλοῦντος Δ: θρυλλοῦντος H.

χείρησιν ἔργῳ ἐλέγξαι τὴν τούτου ἀλαζονείαν. ποιεῖται
δή τινας ἥκειν ἐμπόρους ἀπὸ Κύπρου τε καὶ Φοινίκης,
ἃ χρὴ λέγειν ἐπὶ τοῦ Περσαίου προεκδιδάξας. κἄπειτα
ἀνηρώτα πυνθανόμενος πρῶτον μὲν περὶ τῶν νεῶν καὶ
τοῦ ναυτικοῦ καὶ τῶν ἐν Κύπρῳ στρατιωτῶν, καὶ ὅσα c
δὴ βασιλικὰ ἐρωτήματα· ἔπειτα ἀτρέμα δὴ κατιὼν τῷ
λόγῳ, καὶ ὅπως ἔχοι καὶ τῷ Περσαίῳ τὰ οἴκοι τὰ ἐν
Κιτίῳ. ὡς δὲ τοῦ Περσαίου ἀκούσαντες οἱ ἔμποροι
οὗτοι σκυθρωπάσαντες εὐθὺς κατέβαλον τὰς κεφαλὰς
καὶ δῆλοι ἦσαν οὐ χρηστὰ ἀποκρινούμενοι, ἀπέρρει τε
ἡ θρασύτης ἅπασα τοῦ ἀνδρός, καὶ ἐπειδὴ ἐγκειμένου
τε καὶ ἐκλιπαροῦντος ἀπεκρίναντο μόλις οἱ ἔμποροι
δῆθεν ἐξηνδραποδίσθαι μὲν οἱ τὴν γυναῖκα εἰς ἀγρὸν
βαδίζουσαν σὺν ταῖς ἄβραις ὑπὸ δή τινων λῃστῶν Αἰ- d
γυπτίων, ἀπεσφάχθαι δὲ τὸν ἀγαπητὸν νεανίσκον, καὶ
τὰ χρήματα δὲ ἔρρειν καὶ τὰ ἀνδράποδα, τοὐντεῦθεν
δὲ φροῦδος μὲν τῷ Περσαίῳ ὁ Ζήνων, φροῦδος δὲ ὁ
Κλεάνθης· ἤλεγξε δὲ ἡ φύσις τὰ λογάρια, ὅτι τῷ ὄντι
λογάρια ἦν κενὰ καὶ ἀσθενῆ καὶ οὐ μαρτυρούμενα ὑπὸ
τῶν πραγμάτων.

Ἐγὼ μὲν οὖν, ὦ ἄνδρες, τὰ ἄλλα ἀγάμενος Ἀρι-
στοτέλους ταύτῃ μάλιστα ἄγαμαι καὶ ζηλῶ τοῦ ἀνδρὸς 359 a
τὴν σοφίαν, ὅτι οἱ λόγοι αὐτῷ οὐκ ἀπολιμπάνουσι τὴν
φύσιν ὑπὲρ ἧς λέγονται, ἀλλ' ἐπαμύνουσι μὲν τῇ ἀσθε-
νείᾳ καὶ ἐπανορθοῦσι τὸ ἐνδεὲς καὶ πᾶσαν μηχανὴν
μηχανῶνται, ὅπως ἂν πρὸς τὸ ἄριστον ἐξικνῶνται· οὐ
μὴν ὑπεράλλονταί γε αὐτῆς τὸ μέτρον οὐδὲ ὑπερφρο-
νοῦσιν, οὐδὲ οὕτως ἄγαν σοφοί εἰσιν ὥστε ἐκλανθάνε-
σθαι ὑπὸ τῆς σοφίας τοῦ ζῴου, περὶ οὗ τὴν φροντίδα
ποιοῦνται, ὅτι πολὺ μὲν αὐτῷ τὸ χθόνιόν τε καὶ γεη-
ρόν, σμικρὸν δὲ τὸ θεῖόν τε καὶ οὐράνιον. ἀγαπῶσιν
οὖν εἰ τὰ μὲν πολλὰ καὶ οὐκ ἀναγκαῖα, ὧν ἀπολαύει b
τοῦ θνητοῦ τὸ ἀθάνατον, παρακρούσειάν τε καὶ ἀπο-
καθάρειαν παντελῶς, τὰ δὲ ὅσα ἀμήχανον ἔκπλυτα καὶ

433, 12 ἀγρὸν A. Ἄργος H. 14 ἄβραις Harduinus.
vulgo αὔραις. 20 πραγμάτων A. ἔργων H.

ἐξίτηλα ποιῆσαι, ἃ δ' ἐγκεχάρακται καὶ ἐνδέδυκεν ἐν τῷ βάθει, ταῦτα δὲ ἐπικοσμήσειάν τε καὶ ἐπικαλλύνειαν καὶ τὸ σφόδρα ἐκφανὲς αὐτῶν ἐξαλείψειαν. ἐπεὶ τοῖς γε παντάπασιν αὐτὰ πειρωμένοις ἀφανίσαι τε καὶ ἀϊστῶσαι λέγει Αἴσωπος ὁ μυθοποιὸς ταὐτὸν ξυμβήσεσθαι ῥᾳδίως, ὅπερ τῷ πριαμένῳ τὸν Ἰνδὸν οἰκέτην. λέγει δὲ ὅτι ὁ πριάμενος τὸν Ἰνδὸν ἐδυσχέραινε πρὸς τὴν χρόαν· ἀπονίζειν οὖν αὐτὸν ἐπειρᾶτο
c καὶ ἀποσμήχειν, περιάγων κρήνας καὶ ποταμοὺς καὶ ῥύμμασι χρώμενος καὶ χαλάστραις. ὡς δὲ αὐτῷ τὸ μὲν χρῶμα ἔμενεν ἀκραιφνές, τὸ δέρμα δὲ ἐξετρίβετο, φιλονεικῶν δὲ κατέμαθε μόλις ὅτι ἡ χροιὰ φύσις ἦν τῷ Ἰνδῷ, καὶ ὅτι ῥᾷον αὐτοῦ τὴν ψυχὴν ἢ τὴν μελανίαν ἀφαιρήσεσθαι· οὕτω δὲ καὶ τῷ ἀνθρώπῳ ἐγκεχρῶσθαί ἐστιν ἀναγκαῖον ἡδονὴν καὶ λύπην καὶ ξύμπαντα τὰ ἄλλα παθήματα, πλείω δὲ καὶ ἐμμονωτέραν τὴν λύπην.

d Καὶ τοῦτο αὖ πάλιν Αἴσωπος λέγει· τὸν γὰρ πηλὸν αὐτῷ ὁ Προμηθεύς, ἀφ' οὗ τὸν ἄνθρωπον διεπλάσατο, οὐκ ἐφύρασεν ὕδατι, ἀλλὰ δακρύοις. οὐχὶ οὖν ἐκκόπτειν αὐτὰ πειρᾶσθαι χρεών· ἀμήχανον γάρ· ἀλλ', εἴπερ ἄρα εἴη, ἐπικόπτειν τε καὶ πραΰνειν, κοιμίζειν τε ἐφ' ὅσον δυνατὸν καὶ νουθετεῖν· ταύτην γὰρ εὐμενῶς προσίεται τὴν ἐπιμέλειαν· καὶ οὕτω σοι αὐτὰ παιδαγωγοῦντι ἀναφανήσεται χρήσιμά τε καὶ ὠφέλιμα
360 ἀντὶ ἀχρήστων καὶ βλαβερῶν. οὐ γὰρ ὁ θεὸς αὐτὰ ἐνεκεράσατο τῷ ἀνθρώπῳ, ὅπως λώβην τε καὶ αἶσχος αὐτῷ προσθείη, ἀλλὰ καὶ ταῦτα πρὸς διαμονὴν καὶ σωτηρίαν τοῦ γένους προσύφηνέ τε καὶ προσῳκοδόμησε τῇ ψυχῇ· θυμὸν μέν, ὅπως ἂν τὰ βλάπτοντα ἀμυνώμεθα, ἐπιθυμίαν δὲ ἐδωδῆς καὶ ποτῶν πρὸς τὴν ξύμφυτον καὶ ἀναγκαίαν ἀπορροήν. καὶ οὕτω δὴ ἄλλο

434, 1. ἐγκεχάρακται] γρ. καὶ ἃ δ' ἐγκέκαυται margo A. 3 ἐξαλείψειαν] ἐπαλείψειαν A. 5 μυθοποιὸς A. μυθογράφος H. 10 χαλάστραις] χαλαστραίοις Ruhnkenius ad Timaeum p. 272. 16 τὰ ἄλλα] τὰ om. A. 24 σοὶ αὐτὰ A et Stobaeus Floril. I, 87. τοιαῦτα H.

πρὸς ἄλλην τινὰ τεταγμένον τοῦ σώματος χώρα. μένειν δὲ ἕκαστον χρὴ ἐν τῷ μέτρῳ, καὶ τὸ μέτρον τοῦτο ἑκάστου γίνεται ἀρετή· τοῦ μὲν θυμοειδοῦς ἀνδρεία, τοῦ δὲ ἐπιθυμητικοῦ σωφροσύνη, τοῦ δ' αὖ φιλοχρημάτου b καὶ φιλοκερδοῦς ἐλευθεριότης τε καὶ μεγαλοπρέπεια· ὅσα δὲ ἐπτόηται περὶ τιμὰς καὶ δυνάμεις καὶ προεδρίας, τούτων ἐστὶ τὸ μέτρον μεγαλοψυχία. εἰ δὲ ἀκόσμητα ἐκθείη καὶ ἀθεράπευτα ὑπὸ τοῦ λόγου, καθάπερ φυτὰ καὶ ἥμερα καὶ χρηστά, ἐξαμελήσαντος γεωργοῦ ἀπαγριοῦται εὐθὺς καὶ ἐξυβρίζει καὶ παραβλαστάνει τὰς κακίας, καθάπερ ἀκάνθας χαλεπάς τε καὶ φαρμακώδεις τοῖς τε ἄλλοις καὶ μάλιστα τῷ κεκτημένῳ. ἔστι δ' ἐφ' ὧν ἔμπαλιν καταφθίνει καὶ ἀπομαραίνεται c εἴσω τῆς ἀκμῆς. καὶ δέονται οὗτοι λόγου οὐ τοῦ κωλύοντος καὶ πιέζοντος, ἀλλὰ τοῦ ἐπάρδοντός τε καὶ ἐπανάγοντος καὶ ἐρεθίζοντος πρὸς τὴν αὔξην τὴν οἰκείαν.

Καὶ διὰ τοῦτο ἄρα ἑκάστην ἀρετὴν περικάθηνται ἔνθεν καὶ ἔνθεν δύο κακίαι, ἡ μὲν τὸ ἐνδεὲς τοῦ παθήματος ἀγαπῶσα, ἡ δὲ τὸ πλεονάζον ἀσπαζομένη. δεῖ δ' οὐ πρὸς τὰ φαῦλα καὶ διεστραμμένα ὁρῶντας ἅπαντα ὁμοίως ὑποπτεύειν καὶ διεξελαύνειν, ἀλλὰ τὸ βούλημα ἐξετάζειν τῆς φύσεως, καὶ πρὸς ὅ τι ἕκαστον d τῶν παθημάτων ἐνεφύτευσέ τε καὶ ἐνεσημήνατο τῇ ψυχῇ. αὐτίκα ἐφ' ὧν νῦν ὁ λόγος, εἰ μὴ σφόδρα ξυνειχόμεθα ἡδονῇ καὶ ξυνεδεδέμεθα πρὸς τὰ ἔκγονα, ἀλλὰ ἄρτι γεννώμενα περιεωρῶμεν γυμνὰ καὶ ἔρημα καὶ ἀσθενῆ καὶ ἀμήχανα ἑαυτοῖς πορίζειν τὴν σωτηρίαν, οὐ πάλαι ἂν ἄϊστον καὶ φροῦδον τὸ γένος ἦν τὸ ἀνθρώπειον; νῦν δὲ ἐκεῖνο τὸ δέλεαρ ἐμφυόμενον ἡμῖν 361 a ἀδιδάκτως καὶ ἐντρεφόμενον μαίας τε ἀναγκάζει θερα-

435, 3 ἀνδρεία] Vulgo ἀνδρία. 6 ὅσα — τούτων] ὅσον — τούτου Stobaeus. 9 καὶ ἥμερα] καὶ om. Stobaeus. 10 γεωργοῦ A et Stobaeus. τοῦ γεωργοῦ H. 14 οὐ τοῦ κωλύοντος] οὐ κολούοντος καὶ θλίβοντος Stobaeus. 22 διεξελαύνειν] ἐξελαύνειν Stobaeus. 27 περιεωρῶμεν] Vulgo περιωρῶμεν. 30 τὸ δέλεαρ A. τὸ om. H.

πεύειν καὶ τροφέας παρακαλεῖν καὶ τιτθὰς ἤδη καὶ παιδαγωγοὺς καὶ παιδοτρίβας, ῥητόρων δὲ αὖ δεῖσθαι καὶ γραμματιστῶν, καὶ χρήματα τὰ μὲν ἀναλίσκειν, τὰ δὲ αὖ ξυναγείρεσθαι, σπείροντας καὶ φυτεύοντας καὶ στρατευομένους καὶ πλέοντας καὶ παραβαλλομένους σὺν ἀμηχάνῳ προθυμίᾳ πρὸς ἅπαντας πόνους, ὅπως τὰ ἔκγονα μηδενὸς ἐνδεῆ καταλίποιμεν τελευτῶντες· καὶ ἑνὶ δὴ λόγῳ δι᾽ ἐκείνην τὴν γοητείαν παιδοτροφίαν ὑπομένο-
b μεν, δύσκολον φροντίδα καὶ ἀλγεινήν. μέγα δὲ ἐρῶ σημεῖον τῆς δυσκολίας. συμβάσης τῷ παιδὶ ἀρρωστίας ὁ μὲν παῖς τὴν κεφαλὴν ὀδυνᾶται ἢ τὸν ὀφθαλμὸν ἢ τὴν χεῖρα, ὁ πατὴρ δὲ πρὸς ὅλῳ τῷ σώματι ὅλην τὴν ψυχήν.

Ταῦτα δὲ ὑμῖν, ὦ ἄριστοι, ἕνεκα τοῦδε ἐμήκυνα, ὑποπτεύων ὑμᾶς τῶν φιλοσόφων καταγελᾶν τε καὶ καταφρονεῖν, ὅταν ἴδητε ὁμοίως τοῖς πολλοῖς ἐξεχομένους τῶν υἱέων καὶ τῶν θυγατέρων· λέγω οὖν ὑμῖν ὅτι καὶ τοῦτο αὐτῶν φιλοσοφώτατον τὸ πάθος, καὶ εἰ πολλοὶ
c αὐτὸ ὑπομένουσιν, οὐκ ἄλλοθέν ποι αὐτὸ ὑπομένουσιν ἢ ὅτι ἡ φύσις παντὶ ἀνθρώπῳ ἴχνος τι ἐγκατέσπειρε φιλοσοφίας. ἢ οὐ φιλόσοφον πρὸς θεῶν καὶ κομιδῇ θεῖον ὀριγνᾶσθαι ἀθανασίας; ὥστε ὅτι οὐδ᾽ ἐν τούτῳ ἀνὴρ φιλόσοφος ὅμοιος τοῖς πολλοῖς, ἀλλὰ ταύτῃ κρείττων πολὺ καὶ ἀμείνων. καὶ ἐρῶ ὑμῖν τοὐναντίον οὗ προσδοκᾶτε· κρείττων γάρ ἐστι καὶ ἀμείνων ὅτι ὑπερβάλλει τοὺς πολλοὺς τῇ φιλοτεκνίᾳ. ἐπεὶ τούς γε σκυτοτόμους καὶ τοὺς βαλανέας καὶ τοὺς τέκτονας καὶ τοὺς χαλκοτύπους ῥᾳδίως ἔστιν ἰδεῖν ὑπερορῶντας τῆς
d φύσεως καὶ τὰ δεσμὰ οὐ χαλεπῶς ἀπορρηγνύντας, οἷς ἐκείνη πρὸς τὰ ἔκγονα αὐτοὺς συνεδήσατο. καὶ ὥσπερ αἱ κύνες τὰ σκυλάκια θεραπεύουσι, μέχρι ἂν δέηται τῶν μαστῶν, μικρὸν δὲ ὕστερον δάκνουσι καὶ σπαράττουσι καὶ διακρίνονται ἀπὸ τῆς θοίνης, καὶ δῆλον ποιοῦσιν ὅτι καὶ ἡνίκα αὐτὰ ἐθεράπευον, οὐκ αὐτοὶ

436, 2 ῥητόρων A. ῥήτορος H. 15 ὑποπτεύων A. ὑποπτεύω H. 30 ἐκείνη πρὸς A. ἐκείνη τὰς H. 31 μέχρι] Vulgo μέχρις.

ἐθεράπευσαν, ἀλλ' ἡ φύσις τῆς ἀσθενείας τῶν νεογνῶν
ζῴων ἐπεμελεῖτο. οὕτω δὲ καὶ οἱ πολλοὶ ἄνθρωποι τοὺς
παῖδας ἕως μὲν ἂν ὦσι πάνυ μειράκια καὶ φθέγγηται 362 a
κολοβὰ καὶ συγκεχυμένα, ὑπερασπάζονταί τε καὶ προ-
τιμῶσιν οὐ μόνον τῶν χρημάτων, ἀλλὰ καὶ τῆς ψυχῆς.
ὅταν δὲ οἱ παῖδες ἐκβαίνωσι τῶν μειρακίων, συνεκβαί-
νουσι καὶ οἱ πατέρες τοῦ ἔρωτος καὶ ἅμα τε εἰς ἄνδρας
ἐγγράφουσιν καὶ ἐχθροὺς ποιοῦνται. καὶ τηνικαῦτα αὐ-
τοῖς οὐ μόνον ὁ ἀγρὸς τιμιώτερος τοῦ υἱέως, οὐδὲ τὸ
ἀργύριον οὐδὲ τὸ χρυσίον, ἀλλὰ καὶ ὁ μάγειρος καὶ
ἡ θεράπαινα, τυχὸν δὲ καὶ ὁ ἵππος καὶ τὸ χιτώνιον.
καὶ ταῦτα οὔπω χαλεπά ἐστιν, ἀλλὰ καὶ μικρόν τι ἐξ- b
αμαρτάνοντα καὶ παροξύναντα εἰς δικαστήριον ἄγει τὸν
παῖδα ὁ πατὴρ καὶ θανάτου τιμᾶται, καὶ οὐ δέδοικε
προσῆψαι τὴν δίκην.

Εἰ δὲ μὴ σεμνὸν τῶν ἐμπόρων καὶ τῶν γεωργῶν
ἀμείνους εἶναι τοὺς φιλοσόφους, ἐγὼ δὲ ὑμῖν ἐρῶ σα-
τράπας καὶ τυράννους, Ἀριοβαρζάνην τὸν Μιθριδάτου
καὶ Περίανδρον τὸν Κυψέλου, ὧν ὁ μὲν ἐξεδίωξε τὸν
υἱὸν καὶ εὐφράνθη ἑαυτὸν κατακναίων, Περίανδρος δὲ
Λυκόφρονα πυρὸς καὶ ὕδατος εἶρξεν. εἰ δὲ καὶ ταῦτα
οὔπω μεγάλα ἡμῖν τὰ ὀνόματα ὁ σατράπης καὶ ὁ τύ-
ραννος, ἀλλ' ἐκεῖνό γε ἤδη λαμπρὸν καὶ μέγα, βασι-
λεὺς ὁ τῆς γῆς τῆς ἡμισείας δεσπότης Ἀρταξέρξης, ὁ c
Δαρείου καὶ Παρυσάτιδος. ἢ οὐκ ἴστε ὅτι οὗτος ὁ
Ἀρταξέρξης τὸν μὲν ἀπέσφαξε τῶν υἱέων, τὸν δὲ ἑκόντα
ἀποθανεῖν κατηνάγκασεν. Εὐριπίδου δὲ ἀκούετε ἐν ταῖς
τραγῳδίαις οἷα κατεύξασθαι λέγει Θησέα τῷ πατρὶ Πο-
σειδῶνι κατὰ τοῦ παιδὸς Ἱππολύτου; καὶ αὖ καὶ τοῦτο
ἀκούετε, ὅτι σωφροσύνης τε καὶ δικαιοσύνης αὕτη ἦν
ἡ ἀρὰ τιμωρία. ὁ μὲν γὰρ Ἀμύντωρ ὁ θαυμαστὸς
σφόδρα ἂν εἴη θαυμαστὸς ἐπὶ τηλικῇδε ἐξαμαρτίᾳ
παροξυνθεὶς τῷ Φοίνικι ἐπαράσασθαι ἀγονίαν τε καὶ d

437, 3 φθέγγηται] Vulgo φθέγγεται. 8 ἐχθροὺς] ἐχθρὸν A. 18 καὶ τυράννους -- Μιθριδάτου add. A. 19 Κυψέλου] Vulgo Κυψέλλου. 20 κατακναίων Iacobsius. Vulgo κατακναίοντα. 27 Εὐριπίδου] Vid. Valckenar. Diatr. p. 269.

ἀτεκνίαν καὶ τὸ μὴ φῦναι ἐκείνῳ μὲν παῖδας, αὐτῷ δὲ ἐκγόνους, ὅτι καταιδεσθεὶς τὴν μητέρα διαβαλεῖν ὑπέμεινεν αὐτῷ τὴν παλλακίδα.

Μῶν οὖν ἔτι σμικρολογοῦμαι εἰ ἐπαινοίην τοὺς φιλοσόφους, ὅτι μηδὲ ἐν τῷ τοιῷδε ἐξαμαρτάνουσιν, ἐν ᾧ φαίνονται πλημμελοῦντες καὶ ἰδιῶται καὶ δυνάσται καὶ βασιλεῖς καὶ ἥρωες καὶ θεῶν παῖδες, οἱ μὲν χρήματα τῶν υἱέων περὶ πλείονος ποιούμενοι, οἱ δὲ τιμάς, οἱ δὲ τυραννίδας, οἱ δὲ ἀκόλαστον ἡδονήν. ὀκνῶ δὲ ἐγὼ
363a πιστεύειν πάνυ τοῖς ποιηταῖς, ἐπεί τοι οὐδὲ τοὺς θεοὺς αὐτοὺς ἐξαιροῦνται τοῦ ἀρρωστήματος, οὐδὲ τὸν πρεσβύτατον τῶν θεῶν· καὶ δῆλον ὅτι μεστοὶ καὶ ὑμεῖς ἐστὲ Ἡσιόδου καὶ ὧν λέγει ἐκεῖνος περὶ τοῦ Κρόνου, ὅτι ἐσιτεῖτο ἐπιπολὺ ἃ γεννῴη· μόλις δὲ ἐξέθρεψεν ἡ Ῥέα τὸν Δία. ἀλλ' Ἡσίοδος μὲν χαιρέτω ταῦτα ᾄδων περὶ τῶν θεῶν, εἰ μὴ ὅτι ὁ Κρόνος αὐτῷ ἄλλο τι ἐστὶ, καὶ λόγον τινὰ ἁπλοῦν τε καὶ ἀρχαῖον λέγων, ἀτὰρ αὐτὸν ἐπικρύπτεται παραπετάσματι. ἔστι δὲ ὁ λόγος
b — οὐ γὰρ ἀνέξομαι ὑμᾶς ὑπὸ τῶν ποιητῶν ἐξαπατᾶσθαι — οὐδὲν σεμνὸν ἔχων οὐδὲ μεγαλεῖον, ἀλλ' ὅτι ὁ χρόνος οὑτοσί· τοῦτον λέγω, οὗ ἐν μέρει καὶ ἐγὼ καὶ ὑμεῖς καὶ τὰ ἄλλα ζῷα καὶ τὰ φυτά· πρεσβύτατός ἐστι τῶν ἄλλων ἁπάντων καὶ σὺν ἀπαύστῳ ῥοῇ τὰ μὲν ἄλλα ὅσα φύει καὶ ἀφανίζει, μόνος δὲ αὐτοῦ γίνεται κρείττων ὁ λόγος καὶ μένει αὐτός τε ἀπαθὴς ὑπὸ τοῦ χρόνου καὶ τὰ φθαρέντα τῇ μνήμῃ ἀνακομίζεται. εἴπερ καὶ ὅλως τὰ τοιαῦτα ψεύδεσθαι συγχωρητέον τοῖς
c ποιηταῖς, πολλῷ τὸ Ὁμήρου ψεῦδος ὠφελιμώτερον τοῖς ἀνθρώποις, ὅτι τὸν Δία ποιήσας πατέρα τοῦ Σαρπηδόνος δυσχεραίνειν τε ὅμως φησὶν ἐπὶ τῷ παιδὶ καὶ ἀνιᾶσθαι μέλλοντι ἀποσφαγήσεσθαι ὑπὸ τοῦ Πατρόκλου. καὶ οὐχ οἷός τε ἦν ἀναλύειν τὴν πεπρωμένην.

Ἵν' οὖν μὴ πολλὰ τοιαῦτα λέγω, εὖ ἴστε, ὦ ἄνδρες, ὅτι ὁ φιλότεκνος ἀξιέπαινον πάθος ἐστὶ καὶ οὐχ

438, 6 καὶ ἰδιῶται — ἥρωες add. A. 19 ἐξαπατᾶσθαι A. ἐξαπατῆσθαι H. 32 ἀναλύειν A. ἀναλύσασθαι H.

ἔοικε τῷ φιλοχρημάτῳ ἢ τῷ φιλαργύρῳ. ἐκεῖνα μὲν γὰρ τὰ ὀνόματα εἰκότως παρὰ τοῖς ἀνθρώποις ὀνείδη λέγεται καὶ ἔστιν· οὐ γὰρ ποιεῖ αὐτὰ ἡ φύσις, ἀλλ' ἡ d
μοχθηρία ἡ ἡμετέρα. τοῦτο δὲ ἄνωθεν αὐτῇ ἐνδέδοται ἐκ τοῦ οὐρανοῦ καὶ ἐξῆπται ἐκείνης ἀτεχνῶς τῆς χρυσῆς καὶ ἀρρήκτου σειρᾶς, δι' ἧς ξυρράπτουσα ἀεὶ καὶ ξυγκολλῶσα τῷ φθίνοντι τὸ φυόμενον οὐκ ἀπολισθαίνειν ἐᾷ εἰς τὸ μὴ εἶναι.

Ὥστε οὐκ αἰσχύνεται ὁ φιλόσοφος τῇ φιλοτεκνίᾳ, ὥσπερ οὐδὲ τῇ φιλοσοφίᾳ τε καὶ φιλολογίᾳ, ἐπεὶ καὶ τῶν λόγων αὐτῶν ἐκείνους μάλιστα ἀγαπᾷ, οὓς ἂν αὐτὸς κεκυήσῃ τε καὶ ἐκθρέψηται, καὶ αὕτη γνησία ἐστὶν 364 a
αὐτῷ ἡ παιδοποιία, καθάπερ ἡ τῆς Ἀθηνᾶς τῷ Διί.

439, 4 ἐνδέδοται] ἐνδέδεται Stobaeus Flor. LXXXIII, 24. 6 δι' ἧς] ἧς Stobaeus, δι' ἧς Gaisfordus. 7 ἀπολισθαίνειν ἐᾷ] ἀπολισθεῖν Stobaeus.

XXXIII.

b Ἀριστόξενος ὁ μουσικὸς θηλυνομένην ἤδη τὴν μουσικὴν ἐπειρᾶτο ἀναρρωννύναι, αὐτός τε ἀγαπῶν τὰ ἀνδρικώτερα τῶν κρουμάτων καὶ τοὺς μαθητὰς ἐπικελεύων τοῦ μαλθακοῦ ἀφεμένους φιλεργεῖν τὸ ἀρρενωπὸν ἐν τοῖς μέλεσιν. ἐπειδὴ οὖν τις ἤρετο αὐτὸν τῶν συνήθων, τί δ' ἂν μοι γένοιτο πλέον ὑπεριδόντι μὲν τῆς νέας καὶ ἐπιτερποῦς ἀοιδῆς, τὴν δὲ παλαιὰν διαπονήσαντι; ᾄσῃ, φησί, σπανιώτερον ἐν τοῖς θεάτροις· ὡς οὐχ οἷόν τε ὂν πλήθει τε ἅμα ἀρεστὸν εἶναι καὶ ἀρχαίαν

c τὴν ἐπιστήμην. Ἀριστόξενος μὲν οὖν, καὶ ταύτην ἐπιτήδευσιν μετιὼν δημοτικήν, παρ' οὐδὲν ἐποιεῖτο δήμου καὶ ὄχλου ὑπεροψίαν, καὶ εἰ μὴ ὑπάρχοι ἅμα τοῖς τε νόμοις τῆς τέχνης ἐμμένειν καὶ τοῖς πολλοῖς ᾄδειν κεχαρισμένα, τὴν τέχνην εἵλετο ἀντὶ τῆς φιλανθρωπίας. ἐγὼ δὲ ἀνθ' ὅτου προοίμιον ἐποιησάμην τὴν Ἀριστοξένου ἀπόκρισιν; ἐνεθυμήθην κατ' ἐμαυτόν, ὦ φίλοι Ἕλληνες, ἐξ ὅτου πρὸς ὑμᾶς ἐπὶ συνουσίᾳ λόγων δευρὶ ἀφικόμην, καὶ ὑπώπτευον ὅτι με ἐρήσεσθε τὴν αἰτίαν,

d τυχὸν μὲν ἅπαντες, τυχὸν δὲ καὶ οὐδείς· ἐμοὶ δὲ ἀποκριτέον ὅτι ἐγώ, φίλοι ἑταῖροι, φιλῶ μὲν ὑμᾶς καὶ περὶ πλείστου ποιοῦμαι, καὶ ἥδιστα ἂν καὶ ὅσαι ἡμέραι διαλεγοίμην ἀθρόως ὑμῖν συγκαθημένοις· ἣν μέντοι ἀγαπῶ ἐπιστήμην, οὐ πάνυ ἀσμενίζει τὰ θέατρα· οὐ γὰρ θέλει εἶναι λίαν ἡδεῖα καὶ πρὸς ἡδονὴν λέγειν ἅττ' ἂν λέγῃ, ὥστε καὶ τιτρώσκει ἐνίοτε τοὺς ἀκροωμένους καὶ ὀδυνᾷ καὶ ἀποπέμπει κατηφεστέρους ποιήσασα ἐκ

440, XXXIII. Hanc orationem inscripsit Harduinus, Περὶ τῶν ὀνομάτων τοῦ βασιλέως καὶ τοῦ ὑπάτου. 3 τοὺς μαθητὰς A. τοῖς μαθηταῖς H. 8 ᾄσῃ] ἴσῃ A.

τῆς συνουσίας. ὅταν γὰρ ἀφίκηταί μέν τις ἐπὶ τὸν σύλλογον ὑψηλόφρων τε καὶ γεγαυρωμένος, ἐπειδὴ πολ- 367 a λὰς μὲν κέκτηται οἰκίας, πολλοὺς δὲ ἀγρούς, πολλὰς δὲ ἀγέλας οὐ μόνον προβάτων καὶ ἵππων, ἀλλὰ καὶ ἀνθρώπων, σιτῆται δὲ ἐκ τῆς γῆς καὶ τῆς θαλάσσης καὶ τοῦ ἀέρος ἀγείρων τὴν εὐπάθειαν, ἡ πόλις δὲ αὐτὸν ἡ βασιλεύουσα περιβλέπῃ αὐτὸν ἐν ταῖς ἀγυιαῖς καὶ ἐπικροτῇ φανέντι καὶ ἐπιβοᾷ ἄλλος ἄλλοθεν εὐδαίμονα καὶ ὄλβιον καὶ μακάριον, ὅταν ταῦτα ὑπὸ τῶν πολλῶν πεπεισμένος ἀφίκηται ἐπὶ τὸν σύλλογον, λαβοῦσα δὲ αὐτὸν ἡ φιλοσοφία ὑπὸ τῶν λόγων μεταδιδάξῃ οὐ χαλεπῶς, εἰ μὴ παντάπασιν εἴη διεφθαρμένος, δῆλον ὅτι b ἐξαπατῶσιν αὐτὸν οἱ ἄνθρωποι αὐτοὶ πρότερον ἐξηπατημένοι. οὐ γὰρ ἐν ἀργύρῳ τὸ εὔδαιμον καὶ μακάριον οὐδὲ ἐν πυροῖς καὶ σιτίοις, ὧν τὰ ταμιεῖα ἐμπεπλησμένα καὶ βεβυσμένους τοὺς θησαυροὺς πολλοὶ κεκτημένοι οἰμώζουσι μᾶλλον τῶν ἐν ταῖς ὁδοῖς ἐρριμμένων. ἢ οὐκ ἀκούετε τοῦ Μενέλεω τοῦ βασιλέως τῆς Σπάρτης, ᾧ χρυσοῖ μὲν ἦσαν οἱ τοῖχοι, χρυσοῦς δὲ ἐπὶ τῶν τοίχων ὄροφος, ἠλέκτρου δὲ ἔλαμπεν ἡ αὐλή, ὁ δὲ ἄργυρος τὸ ἀτιμότατον ἦν τῶν κτημάτων; οὐκ ἀκούετε ἐκεί- c νου ὀδυρομένου,

Ὡς οὔτι χαίρων τοῖσδε κτεάτεσσιν ἀνάσσω
οὔτ' ἐπιτερπόμενος;

καὶ τί πλέον ἐπιζητεῖς, ὦ μακάριε, οἰκῶν μὲν χρυσῆν οἰκίαν, συνοικῶν δὲ τῇ καλλίστῃ τῶν γυναικῶν, γαμβρὸς δὲ τοῦ Διὸς ὀνομαζόμενος, ἄρχων δὲ τῆς μεγάλης Λακεδαίμονος; τῷ γὰρ ὄντι, ὁπόσοις ἡ τύχη κεχορήγηται, ἄνευ τῆς τέχνης οὐκ ἔχει τοσαύτῃ κεχρῆσθαι ὥστε μὴ ἐπιδεὴς νομισθῆναι. οὐκ ἄρα ἐν κτήσει ἀμέ- d τρῳ, ἀλλὰ ψυχῇ ἐμμέτρῳ τὸ ὄλβιον εἶναι καὶ ἐν τῷ πεπαιδεῦσθαι παιδείαν, ἧς τοῦτό ἐστιν ἔργον, τὰ τῆς ψυχῆς b ἀγαθὰ τοῦ κεκτημένου ποιῆσαι. ὅσῳ γὰρ τὰ ὄργανα σφαλερώτερα, τοσούτῳ ἀκριβεστέρας δεῖ ἐπιστήμης.

441, 2 πολλὰς μὲν — ἀγροὺς add. A. 3 οἰκίας] ἄλλας A. 23 sq.] Odyss. δ, 93. οὔτι A. οὔτοι H. 31 ψυχῆς] τύχης Harduinus.

Ταύτῃ οὖν ὅταν λέγω φιλοσοφία καὶ ἀφαιρῆται ἐπιθυμοῦσαν ἣν πάνυ ᾤετο ἔχειν εὐδαιμονίαν, καὶ τοὔνομα ταὐτὸ τοῦτο πρὸς τί ἐπισκοπῇ καὶ ἐξετάζῃ, ὡς
366 παρὰ τὸ εὖ τὸν δαίμονα ἔχειν, ὅ ἐστι τὴν ψυχήν, ἢ παρὰ τὴν δαημοσύνην καὶ τὴν ἐπιστήμην, ἆρα οὐκ ἐπαινοῦμεν μὲν μάλα αὐτὸν ἐκεῖνον, ἅμα δὲ οὐδέν τι μᾶλλον καὶ τοὺς τοὔνομα αὐτῷ δωρουμένους, καὶ ἀχθέσονται ἀγανακτοῦντες καὶ δυσχεραίνοντες ἀκροώμενοι, εἰ μὴ ἐξέσται αὐτοῖς χαρίζεσθαι τὰ ῥήματα ἐπ' ἐξουσίας, ἀλλὰ ἀφαιρεῖσθαί τις αὐτοὺς ἐπιχειρήσει ταύτης τῆς ἀδείας, καὶ ταῦτα εἰς τὸν πολλοὺς καὶ ἰσχυροὺς τὴν φωνήν, ἂν
d οὕτω τύχῃ, μέγα κεκραγότας καὶ ἀνέχονται ἐπαινέσαντας
b καὶ ἀνακαθαίροντας τὰς φωνὰς καὶ ἐξηγουμένου ἑκάστου ὄνομα, ὥσπερ οἱ γενεαλόγοι, ὅθεν μὲν αὐτῷ ἡ γένεσις ἢ ἀνέκαθεν· καὶ πρὸς ἥν δή τινα αἰτίαν ὑπὸ τῶν πάλαι πατέρων καὶ γεννητόρων ἐνεζεύχθη ἐπὶ τῷδε τῷ πράγματι· ὅπως δὲ ὕστερον ὑπὸ τοῦ χρόνου μετερρύη ἐπ' ἄλλ' ἄττα οὐδὲν ἐοικότα.

Ἵν' οὖν μὴ καὶ ὑμεῖς τὰ αὐτὰ ὑπομένητε καὶ ἀνιῴην ἐγὼ συνεχῶς ἄνδρας φίλους τε καὶ συνηκόους οὐδὲν δεόμενος, οἰκουρῶ τὰ πολλὰ ἔνδον καὶ ἐμαυτῷ,
c φασί, καὶ ταῖς Μούσαις ᾄδω καὶ ἐργάζομαι τὴν μουσικήν. νεανίσκοι δὲ οὗτοι ὁποσοιοῦν ἀποχρώντως μοι καὶ ἱκανῶς ἡσυχῇ ὑπακούοντες ἀντὶ μυρίων ἐκβαλλομένων καὶ ἐκβοώντων.

Μὴ θαυμάζετε οὖν, εἰ Πλάτωνι συνὼν τῷ θεσπεσίῳ καὶ Ἀριστοτέλει συνδιαιτώμενος, Ὁμήρου δὲ ἔχων δυσαπαλλάκτως, οὐ θαμίζω ὑμῖν ἐπὶ τὸ βῆμα καὶ τοὺς συλλόγους· ἀνάγκη γὰρ ἢ ἐκείνοις προσέχοντα
b ἀφαιρεῖσθαι ὑμῶν τὴν ἐπὶ τοῖς ῥήμασιν ἐξουσίαν, ἢ συγχωροῦντα ἀνεξετάστους ὑμῖν τὰς φωνάς, παραλύειν
d τὰ τῶν πατέρων νομοθετήματα. ἐπεὶ καὶ νῦν, ἐὰν μὴ πρὸ τοῦ λόγου ὁμολογήσητε μὴ χαλεπανεῖν μηδὲ θορυβήσειν, εἰ ἀποστεροίμην τινῶν ὀνόματα λίαν περιβοήτων

442, 1 ἀφαιρεῖται A. / ἀφαιρῆται H. 3 πρὸς τί] προσέτι Harduinus. 4 παρὰ] περὶ A. 18 ἐπ'] ὑπ' A. 24 ὑπακούοντες] ὑπακούονται A. 34 ὀνόματα] ὀνομάτων A.

καὶ εὐδοκίμων, καὶ δεικνύοιμι αὐτῶν τὴν γνώμην, καθ' ἥντινα ἐξ ἀρχῆς τῇ διαλέκτῳ ἐπεφοίτησε τῇ Ἑλληνίδι· ἔπειθ' ὅτι οἱ πολλοὶ αὐτὰ τῶν κτησαμένων ψευδῶς καὶ πρὸς οὐδένα λόγον περιηνέγκαντο· ἐὰν μὴ συμβῇτέ μοι ἀτρέμα τοῦ λόγου ἀνέξεσθαι, ἕως ἂν ξυμπεράνηται ἃ 367 a προαιρεῖται, ἄπειμι ὑμᾶς καταλιπὼν τοσούτους ἀθρόους, οὐδὲν φροντίσας ὅτι ἥκετε ὑπ' ἐμοῦ παρακεκλημένοι. ἥκετε γὰρ δήπου ὧν ἐγὼ βούλομαι ἀκουσόμενοι, οὐχ ἃ ὑμεῖς ἐπιζητεῖτε. οὐδὲ γὰρ τοὺς ἑστιάτορας ἀπαναγκάζουσιν οἱ δεξιώτεροι τῶν δαιτυμόνων ἄλλ' ἄττα παραφέρειν ἐπὶ τὴν θοίνην ἢ ὅσα ἂν εὐτρεπίσωνται. τί οὖν φατέ; καρτερήσετε ὅπως ποιῶμεν; ἀκούετε δὴ μικρὸν ἄνωθεν· ἴσως γὰρ καὶ ῥάους ὑμᾶς ποιήσει τὸ προοίμιον τοῦ λόγου.

Τὰ ὀνόματα τοῖς ἀνθρώποις ταὐτὸν ὑπομένει πολλάκις ὅπερ καὶ τὰ νομίσματα, καὶ οὐ δύναται ἴσον b ἀεὶ τὸν ἅπαντα χρόνον οὐδὲ ὁπηλίκον τὴν ἀρχὴν ἐξυνήθη· ὥσπερ δὴ κἀκεῖνα τὰ πρώην, ἃ ἔναγχος ἐξελήλαται τῆς ἀγορᾶς. ἢ οὐ μέμνησθε ὡς αὐτίκα μὲν ἡνίκα τὸ πρῶτον ἐξεφοίτησε τῶν χαλκοτύπων σεμνόν τι χρῆμα ἦν καὶ μεγάλη ἡ δύναμις, καὶ πολλὰ ἂν ὀλίγου ἐπρίω; προϊὸν δέ, καὶ ταῦτα ἐν οὐ πολλῷ χρόνῳ οὐδ' ἰσαρίθμως, οὕτως ἀχρείως εἰς τὰ πωλητήρια ἀφικνεῖται. τοιοῦτον δή τι πέπονθεν ἄντικρυς καὶ τὰ περικλεέστατα c καὶ περιβόητα τῶν ὀνομάτων ὁ βασιλεὺς καὶ ὁ ὕπατος, τοῦτο δὴ τὸ ἀγαπητὸν ὅσα ἔτη ἡ διπλῆ τοῦ αὐτοῦ ἐπωνυμία. καὶ ταῦτα προχειρισάμενος ὑμῖν ἥκει ὁ λόγος ἐκκαλύψαι τε καὶ ἑρμηνεῦσαι, ἐφ' ὅτου μόγις ἀνθρώπου ξυνέλθοι ἀληθινῶς καὶ ἄνευ θωπείας, καὶ ὅτι τούτῳ ἐντυχεῖν σπανιώτερον τῷ ἀνθρώπῳ ἢ τῷ φοίνικι τῷ ὀρνέῳ, ὃ λέγει Ἡρόδοτος ὁ μυθογράφος δι' ἐτῶν πεντακοσίων φαίνεσθαι Αἰγυπτίοις περὶ τὸν νεὼν ****.

443, 10 παραφέρειν Harduinus. Vulgo περιφέρειν.

XXXIV.

ΠΡΟΣ ΤΟΥΣ ΑΙΤΙΑΣΑΜΕΝΟΥΣ ΕΠΙ ΤΩΙ ΔΕΞΑΣΘΑΙ ΤΗΝ ΑΡΧΗΝ.

14 ed.M. I. Ὅτι μὲν τηλικούτων τινὸς φιλοσοφίαν ἀξίαν
ἡγοῦνται, ὥστε καὶ τὴν ἀρχὴν τὴν μεγίστην καταδε-
εστέραν αὐτῆς ὑπολαμβάνειν, λίαν ἐπαινῶ τοὺς ἄνδρας
d καὶ φιλῶ. τὸ γὰρ περὶ τοῦ θειοτάτου τῶν ἀνθρωπί-
νων ἐπιτηδευμάτων τὰ μέγιστα διανοεῖσθαι σημεῖον οὐκ
ἀγεννοῦς τίθεμαι φύσεως. ὅτι δὲ μήτε ἐπισκεψάμενοι
πώποτε ὑπὲρ τῶν προσηκόντων ἔργων τῇ τέχνῃ μήτε
μαθεῖν ἀξιώσαντες, ὅμως τὸ δοκοῦν ἀποφαίνονται,
τοῦτο οὐκ ἄξιον ἡγοῦμαι τῆς δόξης ἣν ἔχειν ὑπὲρ αὐ-
τῆς σχηματίζονται. καὶ εἰ μὲν κατ' ἐμοῦ μόνου ταύτην
ἐποιοῦντο τὴν ἐπιτίμησιν, ἀπέχρησεν ἄν μοι πρὸς αὐ-
16 τοὺς ἑτέρωθι διαλεχθῆναι. ἐπεὶ δὲ τῷ λαβόντι μὴ
a προσηκόντως συναπολαύειν τῆς αἰτιάσεως καὶ τὸν δεδω-
κότα ἀνάγκη, * * ὑπὸ σοὶ κριτῇ τὸ κοινὸν ἔγκλημα
ἀπολύσασθαι. ἢ γὰρ ἐσφήλαμεν ἄμφω φιλοσοφίαν εἰς
τὰ ἔργα ἐκ τῶν λόγων κατάγοντες, ἢ ἄμφω καταβε-

444, 2 *ΑΡΧΗΝ*] Nempe Constantinopolitanae urbis Praefecturam, de qua suscepta agit Themistius etiam tota Oratione XVII. (editionis Harduinianae) quam Orationem siquis cum hac contulerit, miram sensuum consensionem deprehendet. Mai.
16 *κριτῇ*] Intellige praecipuum adversarium Palladam qui huic Orationi scribendae occasionem praebuit. De eo nos egimus in praefatione p. 7. et rursus acturi sumus in calce Orationis. Porro vocabulum *βούλομαι* [ante *ὑπὸ σοὶ*] ipse supplevi: nam in Codice vacuum spatiolum est. Mai. *ἀνάγκη* supplet Iacobsius.
17 *ἄμφω*] Nempe ego qui recepi et Theodosius qui obtulit dignitatem. Mat.

βλέψαιμεν. ἀνάγκη δὲ πρὸ ἁπάντων παρὰ κοινὸν τῷ ὑμῖν τε τοῖς νῦν ἀκροωμένοις καὶ ὅσοι μετὰ ταῦτα τῷ λόγῳ περιτεύξονται, τί τὸ ἔργον φιλοσοφίας ἡγεῖσθαι προσήκει καὶ τί βουλομένη παρελήλυθεν εἰς τὸν ἀνθρώπινον βίον, καὶ ὅπως τὴν ἀρχὴν ηὐξήθη τε καὶ ἠγαπήθη, καὶ ὅση πρὸς τὴν βασιλείαν ἡ συγγένεια καὶ οἰκειότης καὶ ὅση πρὸς τυραννίδα ἀλλοτριότης. οὕτω γὰρ ἐμοῦ μάθοιτε ἂν εἴτε ἐφύλαττον ἐγὼ τοὺς πατρίους ὅρους τὴν ἀρχὴν ὑποστὰς εἴτε ἐξέβην.

II. Εἰ τοίνυν τις ἔροιτο ὑμᾶς ὅτῳ μάλιστα τῶν λοιπῶν ζῴων ἄνθρωπος διενήνοχε καὶ διὰ τί τῶν ἄλλων ζῴων ἄρχει τε καὶ κρατιστεύει, τίς οὕτω πόρρω καθέστηκε λόγου ὥστε μὴ ἐννοεῖν ὅτι λόγος ἐστὶ τὸ πρεσβεῖον αὐτῆς τῆς φύσεως; οὐ γὰρ δὴ ἰσχὺς τοῦ σώματος οὐδὲ αὐτῆς οὐδὲ τῆς αἰσθήσεως ἀρετή· ἀλλὰ τούτοις ἅπασιν οὐδὲ ἔστιν εἰπεῖν ὅσον ἀπολειπόμεθα 18
τῶν θηρίων καὶ τῶν ὀρνίθων. τοῦτο τοίνυν τὸ πλεονέκτημα τοῦ ἀνθρώπου εἰ μὲν καλῆς τύχῃ παιδαγωγίας, παρέχει ζῷον ἐπὶ τῆς γῆς θεοειδές, εἰ δὲ κακῆς, παντὸς θηρίου ἄρκτων δυσμαχώτερον καὶ συῶν. κακία γὰρ

445, 19 παντὸς θηρίου ἄρκτων δυσμαχώτερον] Orat. XX. p. 240 A. In Themistii scriptis hoc in primis notandum, multos esse locos aut similes inter se, aut plane iteratos. Qua enim v. gr. allocutione usus fuerat Themistius in Orat. IX. p. 123. C. ad Valentinianum puerum, eadem deinceps in Orat. XVIII. p. 224. D. Arcadium item puerum affatus est. Unum eundemque Homeri versum usurpat Themistius Or. I. p. 6. D. Orat. II. p. 34. C. Orat. VIII. p. 102. A. Orat. XI. p. 141. D. Saepe item Platonis sententiam urget, oportere nimirum aut philosophos regnare aut reges philosophari. Masinissae, Xerxis, Darii, Alexandri aliorumque gesta, eadem aut dicta haud raro commemorat. Porro in hac inedita Oratione quum eundem morem iterandi seu potius imitandi scriptorum suorum particulas Themistius prae se ferat, visum mihi est locorum eiusmodi cum Harduinianae editionis collationem in margine adiungere. Nemo tamen suspicetur hanc Orationem e Themistianis aliis quodammodo consarcinatam: neque enim haec illis similior est quam illae ipsae inter se. Et sane idem sua repetendi studium ego ipse in praestantissimo oratore graeco Isocrate memini

λόγος ὑπηρετῶν ὅπλον ἐστὶ λίαν δυσκαταγώνιστον. ταύτης ἕνεκεν τῆς παιδαγωγίας ἐζητήθη μὲν νόμος, ἐζητήθη δὲ τέχνη νόμου εὑρέτις· καὶ εἴπερ τὴν πρώτην γένεσιν ἐξιχνεύοις φιλοσοφίας ἐπὶ μήκιστον ἀνιών, ὥσπερ οἱ τῶν ὑδάτων τὰς πηγὰς ἐρευνῶντες, οὐκ ἄλλην ἢ ταύτην εὑρήσεις, καὶ τοὺς ἄρτι φυομένης αὐτῆς ἐκλάμψαντας καὶ ἀνθήσαντας ἐπὶ τούτῳ πρώτῳ καὶ μόνῳ τῷ ἔργῳ κλεινοὺς καὶ περιβοήτους γεγενημένους.

III. Ὁ γὰρ Σόλων ἐκεῖνος καὶ ὁ Λυκοῦργος καὶ ὁ Πιττακὸς καὶ ὁ Βίας καὶ ὁ Κλεόβουλος ἀνερρήθησαν
20 σοφοὶ παρὰ τῶν τότε ἀνθρώπων, οὐχ ὅτι συλλογισμοὺς ἔστρεφον ἄνω καὶ κάτω, οὐδὲ ὅτι περὶ τῶν ἰδεῶν διελέγοντο, οὐδ' ὅτι τοὺς ἐγκεκαλυμμένους ἀνεκάλυπτον καὶ τοὺς κερατίνας, σοφίσματα δυσμήχανα καὶ κακοῦργα, καὶ ὧν χαλεπὴ μὲν ἡ εὕρεσις, ἀχρεῖος δὲ ἡ ἐπιστήμη, ἀλλ' οὐδὲ ὅτι τὸν ἥλιον ἀνεμετροῦντο, οὐδὲ ὅτι τῆς σελήνης ἐγνωμάτευον τὴν πορείαν, ἀλλ' ὅτι νόμους ἐτίθεσαν, καὶ τὸ ποιητέον καὶ τὸ μὴ ποιητέον ἐδίδασκον, καὶ τί μὲν αἱρεῖσθαι προσήκει, τί δὲ ἀποφυγγάνειν, καὶ ὅτι τὸ ζῶον τοῦτο οὐ μονῆρες καὶ αὐθέκαστον, ἀλλὰ κοινωνικὸν καὶ πολιτικόν, καὶ διὰ τοῦτο αὐτῷ καὶ πατρίδος ἐπιμελεῖσθαι προσήκει καὶ νόμων καὶ πολιτείας. καὶ ταῦτα οὐ διδάσκειν μόνον, ἀλλὰ καὶ αὐτουργεῖν οὐκ ἀπώκνουν. ὥστε καὶ τὰ μὲν συγγράμματα ἐκείνων ἑκάστου εὑρήσεις ἐνδύναμα ῥήμασιν, ἔργῳ δὲ ἀμήχανα ὅσα πρεσβείας καὶ στρατηγίας, ἐλευθερώσεις πατρίδος, γῆς ἐπικτήσεις.

---

me olim observare in praefatione mea ad Orationem *de Permutatione* editionis Mediolanensis p. IX. tum in ea ipsa Oratione p. 48. n. 1. et in Appendice prima, et passim in notis ad eandem Orationem. Mai.

446, 10 *Πιττακὸς — Κλεόβουλος*] XVII. p. 215 C. Ut sileam de notissimis legumlatoribus Solone et Lycurgo, Pittaci bellica gesta et leges, Biantis liberalitatem et strategemata, Cleobuli et praedictorum sapientiae effata narrat Laertius in eorum *Vitis*. Mai. 11 *συλλογισμοὺς*] II. p. 30 B. Mai. 22 *μονῆρες — αὐθέκαστον*] XXXII. p. 359 C. Mai. 26 *ἔργῳ*] Videtur scribendum *ἔργα*. Mai.

IV. Καὶ ἡ μὲν πρώτη γένεσις φιλοσοφίας αὕτη καὶ τοιαύτη. προϊόντος δὲ τοῦ χρόνου ταὐτὸν ὑπέμεινε καὶ φιλοσοφία ταῖς ἄλλαις τέχναις. καὶ ὥσπερ ἐκείνας χρείας ἑκάστην παραγαγούσης οὐκ ἔστησαν ἐπὶ τῆς χρείας, οὐδὲ ἄχρι τῶν τοίχων καὶ τοῦ ὀρόφου προῆλθεν ἡ οἰκοδομική, οὐδὲ ἄχρι μόνου τοῦ σκέπειν τὸ σῶμα ὑφαντική, ἀλλὰ προὔβησαν περαιτέρω, καὶ τὸ 22
καλὸν τῷ ἀναγκαίῳ προσεξειργάσαντο, καὶ τοῦ προσεῖναι κόσμον ἐν τοῖς ἔργοις ἐπεμελήθησαν, οὕτω καὶ φιλοσοφία τὸ γνῶθι σαυτὸν καὶ τὸ γνῶθι καιρὸν, καὶ τὸ μηδὲν ἄγαν οὐκ ἀγαπήσασα, οὐδὲ ἀρκεσθεῖσα τοῖς ἀναγκαίοις πρὸς τὸν ἀνθρώπινον βίον ἔργοις καὶ νοήμασι, περιβέβληται πολὺν τὸν ἔξωθεν κόσμον, τὴν τῆς φύσεως ἱστορίαν καὶ τὴν τοῦ λόγου ἀπεργασίαν· ὥσπερ οἰκία πρὸ τοῦ ἀνδρῶνος καὶ τοῦ θαλάμου προπύλαια καὶ στόμα καὶ ποικίλματα καὶ ἀγάλματα, ἃ τὴν μὲν χρείαν οὐ συμπληροῖ, κόσμος δέ ἐστι τῆς χρείας καὶ ἐγκαλλώπισμα.

V. Καὶ διὰ τοῦτο ὁ μὲν παλαιὸς ἐκεῖνος Σωκράτης, ὃν ἄν τις πατέρα προσείποι καὶ ἀρχηγέτην τῆς πολυτελεστέρας σοφίας, τὰ μὲν ἄλλα ὅμως οὐκ ᾤετο δεῖν ἐρευνᾶν — τὰ μὲν γὰρ οὐδὲν ἡμῖν διαφέρειν, τῶν δὲ ὑπὲρ ἡμᾶς εἶναι τὴν γνῶσιν — ἅπασαν δὲ ἐποιεῖτο τὴν σκέψιν περὶ ἀγαθῶν καὶ κακῶν, καὶ πόθεν ἄνθρωπος γένοιτο ἂν εὐδαίμων καὶ πόθεν οἰκία καὶ πόθεν πόλις, καὶ ἐπῄνει τὸν Ὅμηρον πρὸ ἁπάντων σκοπεῖν ἀξιοῦντα·

Ὅττι τοι ἐν μεγάροισι κακόν τ' ἀγαθόν τε τέτυκται·

ἐπὶ δὲ τούτων διέμεινε τῶν ὅρων ὁ γνήσιος Σωκράτους 24
χορὸς, ὁ Κέβης, ὁ Φαίδων, ὁ Ἀρίστιππος, ὁ Αἰσχίνης. Πλάτων δὲ ὁ θεσπέσιος μόνος, ἅτε μεγαλοφυὴς

447, 5 προῆλθεν Iacobsius: προσῆλθεν ed. Med. 16 στόμα] στοὰς Iacobsius. 20 προσείποι] προσείπη ed. Med. 23 ἅπασαν δὲ —] Eadem plane de Socrate narrat Cicero Academ. I. 4. Mai. 28 Ὅττι] Odyss. δ, 392.

φιλότιμος καὶ μεγαλοπρεπέστατος γενόμενος, ἐκόσμησε πρῶτος φιλοσοφίαν τοῖς πολλοῖς ἀναθήμασι, καὶ προσπαρέλαβε τὰς ἐπιστήμας, ἀριθμητικὴν μουσικὴν ἀστρονομίαν. προϊὼν δὲ καὶ αὐτὸν ὑπερέβη τὸν οὐρανὸν καὶ ἐθάρρησε προσεγχειρήσασθαι μὴ καὶ αὐτῆς τῆς φύσεως ἐστὶν ἀνώτερον, οὐ μὴν ὥστε ἀσύμβολον πρὸς πολιτείαν ταύτην ἀποφῆναι τὴν περιουσίαν, ἀλλὰ τοῦτο καὶ μάλιστα ἴδιον τῆς Πλάτωνός ἐστι περινοίας ἀνάψασθαι τῶν θείων ἀγαθῶν τὰ ἀνθρώπινα, καὶ πρὸς τὴν τοῦ παντὸς πολιτείαν ὡς οἷόν τε μορφῶσαι τὴν ἀνθρωπίνην. τοῦτο γὰρ βούλονται αἱ Πολιτεῖαι καὶ οἱ κλεινοὶ Νόμοι καὶ οἱ Φαῖδροι καὶ οἱ Γοργίαι, καὶ ἐν ὅσοις ἀγωνιστικώτατος ἑαυτοῦ πρὸς τὸ δεῖξαι δικαιοσύνην μὲν δι' αὑτὸ αἱρετὸν, κακίαν δὲ δι' αὑτὸ φευκτὸν τοῖς ἀνθρώποις, κἂν τῇ μὲν μηδὲν πρόκειται ἆθλον, ἡ δὲ πᾶσαν τιμωρίαν ἀποφυγγάνῃ. ἄρα οὖν
26 Πλάτων μὲν τοῦτον, (VI.) Ἀριστοτέλης δὲ ἕτερον; καίτοι πλείων μὲν τοῦ ἀνδρὸς ἡ πολυπραγμοσύνη καὶ ἡ λεπτουργία, ὅμως δὲ αὐτοῦ ἡ σύμπασα πραγματεία καὶ ὁ πολὺς κύκλος οὐκ ἐκνένευκε τὸ ἀνθρώπινον ἀγαθὸν, ἀλλ' εἰς τοῦτο συντέταται καὶ ἀνήρτηται. τὸ γὰρ κεφάλαιον αὐτοῦ τῆς ἀνθρωπίνης εὐδαιμονίας χρῆσίς ἐστιν ἀρετῆς ἐπὶ βίῳ τελείῳ καὶ ψυχῆς ἐνέργεια κατ' ἀρετὴν ἐν προηγουμένοις. καὶ οὐχ ἵνα εἰδῶμεν, φησὶ, τὰ δίκαια, φιλοσοφοῦμεν, ἀλλ' ἵνα, ὥσθ' οἷόν τε, ἐργαζώμεθα. καὶ νενέμηται αὐτῷ τὸ ἀγαθὸν εἰς ψυχὴν, εἰς

448, 3 *ἀριθμητικὴν* —] Arithmeticae, musicae et astronomiae commendationem videsis apud Platonem praesertim in *Epinomide*. Mai. 4 *ὑπερέβη* —] De Platone eadem paene scribit Cicero *Academ.* I. 4. et 5. Mai. 11 *τοῦτο γὰρ*] II. p. 32 C. Vide Platonis praesertim *Theaetetum* et Librum IX. *de Republica*. Mai. 17 *τοῦτον*] τοῦτο Iacobsius.
21 *συντέταται*] Legebatur *συντέτακται*. *τὸ γὰρ κεφάλαιον αὐτοῦ*] „Conf. Stobaei Ecl. Phys. II. 7. p. 68. ed. Heer." Iacobsius. 24 *καὶ οὐχ ἵνα εἰδῶμεν* —] II. p. 31 C. Mai.
26 *καὶ νενέμηται*] „Conf. Arist. de Mor. I. c. 8. Magnor. Mor. I. c. 3." Iacobsius.

σῶμα, εἰς τὰ ἐκτός. καὶ τὴν εὐδαιμονίαν συμπληροῖ τὴν ἀνθρωπίνην ἐκ πρώτης καὶ δευτέρας καὶ τρίτης κρατῆρος, ἀγαπητὴν μὲν λέγων καὶ ἐφ' ἑνός, μείζω δὲ καὶ τελειοτέραν καὶ ἐφ' ὅλης πόλεως. διὸ καὶ τὴν μέθοδον πολιτικὴν ὀνομάζει καὶ τὸ εὖ πράττειν φησὶν ἄνευ τοῦ πράττειν μὴ ἐγχωρεῖν, καὶ τὸν ἄγοντα θεὸν τόδε τὸ πᾶν καὶ τοὺς ἐκείνῳ συμπεριπόλους πρακτικήν τε καὶ πολιτικὴν φιλοσοφίαν, φιλοσοφεῖν, ῥυομένους τὴν ὅλην φύσιν ἀκλινῆ καὶ ἀκέραιον δι' αἰῶνος. τοσαῦτα οὖν καὶ τηλικαῦτα ἔργα τε καὶ ἐγχειρήματα ὑποστάσης ταύτης τῆς τέχνης ἀνθρώπου χάριν καὶ ἀνθρωπίνης [28] εὐδαιμονίας οὔτε εἰδότες οὔτε μαθεῖν οἱ πολλοὶ προαιρούμενοι, τοὺς προδόμους αὐτῆς τεθαυμάκασι καὶ τὰ θριγκία καὶ τοὺς περιβόλους καὶ τὰ ἄλση καὶ τοὺς λειμῶνας· ὅτι δὲ κέκτηται καταλύσεις ἀλεξανέμους καὶ δυσπαθεῖς ὑπὸ τῶν τύχης πνευμάτων οὐκ ἀγαπῶσιν.

VII. Ἀλλ' οὐχ ὅ γε θεοειδέστατος αὐτοκράτωρ, ἀλλ' ἑπόμενος ἐκείνοις τοῖς κλεινοῖς ἀνδράσιν οἰκουροῦσαν ἐν πολλῷ χρόνῳ φιλοσοφίαν εἰς τὰ πάτρια καὶ δημόσια προήγαγεν ἀγωνίσματα, καὶ ὥσπερ ἄγαλμα κεκτημένος τῆς ἀρχαίας τέχνης ἀντὶ τοῦ μόνος ἀπολαύειν εἰς τὸ κοινὸν ἐξενήνοχε. καὶ εἴ τινα χρὴ καλεῖν κληρονόμον τῶν Πλάτωνος τοῦ θείου δογμάτων, οὐχ

449, 3 κράσεως] Codex habet manifesto κρατῆρος pro κράσεως. De loci ergo lectione pro suo quisque libito statuat. Mai. „Propius ad codicis lectionem accederet κατηγορίας: sed loci similes VI. p. 77 d. XXVII. p. 388 b. faciunt ut alia vitii sedes esse videatur." Iacobsius. ἀγαπητὴν μὲν λέγων] Aristotelem de Mor. I. c. 1. T. II. p. 4 c. ed. Laemar. comparat Iacobsius.

4 διὸ καὶ — αἰῶνος] Quod attinet ad totam hanc Aristotelis doctrinam, operae pretium erit conferre *Moralium magnorum* I. 3. 4. *Eudem.* II. 1. *Ad Nicomachum* I. 1. 2. 6. *De Republica* VII. 1. 3. Mai. 5 εὖ πράττειν] εὐπράττειν ed. Med.

14 θριγκία] θριγγία ed. Med. Conf. p. 138 a. d. 235 d. 257 d. 20 καὶ ὥσπερ —] Hac ipsa sententia exorditur Themistius Orationem XVII. quam habuit cum praefectus Urbis creatus est. Mai.

οὔτω Σπεύσιππον χρὴ καλεῖν ἢ Ξενοκράτην, ἀλλὰ τὸν γνώμην αὐτοῦ βεβαιώσαντα ἣν πάντων μάλιστα ἐκεῖνος ἐποιήσατο ἂν εἰς ἔργον ἐκβῆναι, καὶ ἰδεῖν εἰς ταὐτὸν συντρέχουσαν δύναμιν πολιτικὴν καὶ φιλοσοφίαν, καὶ μὴ πορευομένας χωρὶς δὴ φρόνησιν καὶ ἐξουσίαν. τοῦτο γὰρ οὐκ ἔτι προσδοκώμενον τὸ θέαμα ἐπέδειξε βασιλεὺς τοῖς νῦν ἀνθρώποις, βραβεύουσιν τὰ δίκαια φιλοσοφίαν μετὰ τῆς μεγίστης δυνάμεως, καὶ τοὺς λόγους ἐμπνους ἐπιδεικνυμένην καὶ ἐνεργούς, οὓς τέως ἐν τοῖς γράμμασιν ὑποτίθεται. καὶ ὑμνήσουσιν οἱ ἐφεξῆς ἄνθρωποι τὸν Θεοδόσιον ἐπὶ τῇ κλήσει τῆς πρὸς τὰ κοινὰ φιλοσοφίας, ὡς τὸν Ἀδριανὸν, ὡς τὸν Μάρκον, ὡς τὸν Ἀντωνῖνον τοὺς προπάτορας ἑαυτοῦ καὶ πολίτας καὶ ἀρχηγέτας, οὓς οὐκ ἠγάπησεν ἄχρι τῆς ἁλουργίδος κληρονομῆσαι, ἀλλὰ τὰς εἰκόνας αὐτῶν ἐπαναγαγὼν εἰς τὴν βασιλίδα διὰ μακροῦ χρόνου καὶ φιλοσοφίαν ἑαυτῷ καθάπερ ἐκεῖνοι συμπαρεστήσατο.

450, 1 Σπεύσιππον] *Speusippum* (inquit Cicero *Academ.* I. 4.) *sororis filium Plato philosophiae quasi heredem reliquit: duos autem praestantissimos studio atque doctrina, Xenocratem Chalcedonium et Aristotelem Stagiritem.* Mai. 2 γνώμην Iacobsius. γνώμῃ ed. Med. 4 συντρέχουσαν] Codex συμπρέπουσαν. Correctum ex XVII. p. 214 a. συντρέχουσαν aut συμπνέουσαν etiam Iacobsius. 10 γράμμασιν Iacobsius. πράγμασιν ed. Med. 12 Ἀδριανὸν] Hadrianum utique et Marcum ex Hispania originem generis trahere uti Theodosium, exploratum est. Sed Antonini Pii paternum certe genus Nemauso gallica urbe ductum dicitur a Capitolino in eius *Vita*. Themistius tamen non heic solum sed et in Oratione XIX. p. 229 C. dicit etiam Pium popularem Theodosii: quo loco haeret aqua Petavio adnotanti, qui quidem frustra suspicatur corruptum locum; namque is ab hac nova Oratione confirmatur. Vel igitur peccat Themistius, vel confugiendum est ad ius adoptionum, quo in patriam quoque adoptantis transisse videntur adoptati. Sic Fronto Epistola 6. Libri 2. *ad Amicos* ait Aufidium Victorinum fieri municipem Cirtensem, quum ducta eius unica filia in gentem Corneliam Frontonis Cirtensis transiret. Mai. Μάρκον] VIII. p. 115 C. Mai. 15 ἐπαναγαγὼν] V. p. 63 C. Mai.

VIII. *Ταύτην οὐκ ἔσχε φιλοτιμήσασθαι τὴν φιλοτιμίαν ὁ Κῦρος ὁ Πέρσης, οὐκ Ἀλέξανδρος ὁ μέγας, ἀλλὰ τὸν καθηγέτην Ἀριστοτέλην πολλῶν καὶ μεγάλων ἀξιώσας καὶ τὰ Στάγειρα αὐτῷ συνοικίσας, ὅμως οὐκ ἔστησεν ὄγκῳ τηλικαύτης ἀρχῆς. οὐδὲ τὸν Ἄρειον ὁ Σεβαστός, οὐδὲ τὸν Παναίτιον ὁ Σκηπίων, οὐδὲ τὸν Θρασύλλον Τιβέριος, ἀλλὰ θεατὰς κέκτηνται μόνον τῶν* 32 *οἰκείων ἀγωνισμάτων, ἑλκύσαι δὲ ἐπὶ τὸ στάδιον καὶ τὴν κονίστραν, καίτοι σφόδρα ἂν βουληθέντες, οὐκ ἠδυνήθησαν. ἀλλ᾽ οὐχ οἵ γε τοῦ βασιλέως πατέρες καὶ ἀρχηγέται, ὧν τὰ μεγάλα ὀνόματα· ἀλλὰ τὸν Ἀρριανὸν καὶ τὸν Ῥούστικον τῶν βιβλίων ἐξαναστήσαντες οὐκ*

451, 1 VIII. Conf. X. p. 130 B. XIII. p. 166 B. V. p. 63 D. Mai. 4 *Στάγειρα*] Stagira in gratiam Aristotelis restaurata ab Alexandro ait heic Themistius cum Ammonio in *Aristotelis vita*. At Plutarchus in *Alexandro* edit. Lond. 1723. T. IV. p. 12. itemque Dio Chrysostomus Orat. II. *de regno* in fine l. 2., narrant id factum a Philippo, a quo eadem Stagira excisa fuerant. Alteram hanc sententiam fortasse prae se fert etiam Themistius Orat. XI. p. 145 B. Mai. *συνοικίσας* Iacobsius. *συνοικήσας* ed. Med. 5 *Ἄρειον*] Propter Arium, cuius philosophia et contubernio utebatur, parcere se Alexandrinis testatus est Augustus. V. Cassium Dionem Lib. LI, 16. et Themistium Orat. VIII. p. 108 B. XIII. p. 173 C. Mai. 6 *Σκηπίων*] Symmachus in *Paneg. Gratiani* Cap. VII. ait: *Africanum illum terra marique victorem lectionis particeps et laboris Panaetius non reliquit.* Mai. 7 *Θρασύλλον*] *Θράσυλλον* ed. Med. *Θράσυλλον*] Suetonius in *Tiberio* Cap. 14. ait: *Thrasyllum mathematicum ut sapientiae professorem, contubernio admoverat* (Tiberius). Mai. 9 *κονίστραν*] „Conf. XVIII. p. 213 d." Iacobsius. 11 *Ἀρριανὸν*] Praesidem Cappadociae, Hadriano imperante, dicit Arrianum Cassius Dio LXIX. 15. eiusque terrore Albanos compressos. Consulatum eius memorat Photius Cod. 58. p. 54. Mai. 12 *Ῥουστικὸν*] De hoc Capitolinus in Marci Aurelii vita (edit. Paris. an. 1603. p. 33 C.): *Audivit* (Marcus) *praecipue Iunium Rusticum, quem et reveritus est et sectatus, qui domi militiaeque pollebat, stoicae disciplinae peritissimum, cum quo omnia communicavit publica privataque consilia, quem et consulem iterum designavit.* Mai. *Ῥουστικὸν* ed. Med. *Ῥούστικον* recte scriptum XVII. p. 215 a.

εἴασαν ἄχρι τοῦ μέλανος καὶ τοῦ καλάμου φιλοσοφεῖν, οὐδὲ γράφειν μὲν ὑπὲρ ἀνδρείας, οἴκοι δὲ καθῆσθαι, οὐδὲ συντάττειν μὲν ὑπὲρ νόμων, φεύγειν δὲ τὰ κοινά, ὑπὲρ ὧν οἱ νόμοι, οὐδὲ κρίνειν μὲν τίς ἀρίστη τῶν πολιτειῶν, πολιτείας δὲ ἐξίστασθαι πάσης. τοιγαροῦν οὐκ ἄχρι τοῦ βήματος μόνου προήγαγον τοὺς ἄνδρας, ἀλλὰ μέχρι τοῦ στρατηγίου, καὶ διέβαινον μὲν στρατηγοὶ Ῥωμαίων Πύλας Κασπίας, ἐξήλαυνον δὲ Ἀλανοὺς ἐξ Ἀρμενίας, ἔταττον δὲ Ἴβηρσιν ὅρους καὶ Ἀλβανοῖς· ἐπὶ τούτοις ἅπασι τὴν ἐπώνυμον τῶν ὑπάτων ἀρχὴν ἐκαρποῦντο, καὶ τὴν πόλιν ἥρμοζον τὴν μεγάλην, καὶ
34 προήδρευον τῆς ἀρχαίας βουλῆς. ᾔδεσαν γὰρ οὗτοι οἱ αὐτοκράτορες, καθάπερ σῶμα τὴν ἀρχήν, ὅσῳπερ ἂν μείζων ᾖ καὶ γενναιοτέρα, τοσούτῳ μᾶλλον ἐκκεκαθάρθαι προσήκει, καὶ τοὺς πάλαι Ῥωμαίους ἔγνων οὕτω φρονοῦντας, παρ' οἷς Κάτων ὁ φιλόλογος ταμίας ἦν καὶ Βροῦτος ἐστρατήγει καὶ Φαβώνιος ἐδημάρχει καὶ Βά-

---

452, 1 τοῦ καλάμου] τῆς καλαμίδος VII. p. 86 c. 6 προήγαγον] Cod. προήγαγε. Item inferius στρατ abrupto vocabulo pro στρατηγοί. Conf. XI. p. 149. B. Mai. 11 ἥρμοζον] Praefectus romanae Urbis sine dubio intelligendus est Rusticus. Nam et ante hanc editam Themistii Orationem luculenta mentio extabat Rustici Urbis praefecti in Rescripto divorum Fratrum *Digest.* Lib. 49. Tit. 1. Leg. 1. §. 3. et apud Epiphanium *Haeres.* 26. seu 46. et in Actis D. Iustini et Soc. MM. apud Bolland. T. I. Iunii p. 18—21, ubi et locus Epiphanii expenditur. Quod vero Corsinus *de Praefectis Urbis* ad annum Ch. 167. Rusticum M. Aurelii praeceptorem a Rustico praefecto Urbis distinguendum censet, id mihi quidem nullo fere iure ab eo fieri videtur. Mai.
12 προήδρευον] Ad Arrianum senatus fortasse principem scribit Plinius Epist. 11. Lib. 2. Verum alius et paulo iunior videtur fuisse philosophus Nicomediensis, de quo in hac Oratione sermo est. Mai. 13 καθάπερ] ὅτι aut ὡς καθάπερ Iacobsius, nisi προσήκει in προσήκειν mutandum sit. σῶμα] VIII. p. 117. C. Mai. ἀρχήν, ἣν] Videbatur supplendum ἣν. Mai. 14 τοσούτῳ] τοσοῦτο ed. Mediol. 15 ἔγνων Iacobsius. ἐγνωκὼς ed. Med. οὕτω] Videbatur item supplendum οὕτω. Mai.
16 Κάτων] De Catonis maioris quaestura vide Nepotem in illius vita cap. 1. Mai. 17 Φαβώνιος] Favonium tribunum pl. videsis apud Pighium ad annum U. C. 698. Catonis aemulus dicitur

Βάρων τὴν ἐξαπέλεκυν ἦρχεν ἀρχὴν καὶ Ῥουτίλιος ὑπάτευεν. ἐῶ τὸν Πρίσκον καὶ τὸν Θρασέαν καὶ τοὺς ἐκ τῆς αὐτῆς ἰδέας, ὡς ἐμπλήσωσί σε οἱ συγγραφεῖς, εἰ προέλοιο. οὐδὲ γὰρ αὐτὸς ὁ Μάρκος ἄλλο τι ἦν ἢ φιλόσοφος ἐν ἁλουργίδι, οὐδὲ ὁ Ἀδριανὸς, οὐδὲ ὁ Ἀντωνῖνος, οὐδέ γε ὁ νῦν Θεοδόσιος.

IX. *Ἀλλ' εἰ μὲν τὴν ζώνην καὶ τὴν χλαμύδα αὐτοῦ ἐπισκοποίης, μετὰ πολλῶν βασιλέων αὐτὸν ἀριθμήσεις· εἰ δὲ εἰς τὴν ψυχὴν ἐκκύψειας καὶ τὴν γνώμην, μετὰ τῆς ἐκείνης τριάδος. ἐν γὰρ τοῖς ὁμοίως φρο-* 36
νοῦσι τακτέος, οὐκ ἐν τοῖς ὁμοίως ἠμφιεσμένοις. καὶ οὗτος οὖν μόνος ἤρκει σοι, ὁ βασιλεὺς ζῆλον ἀρετῆς προκαλέσασθαι, οὐκ ἀργῆς οὐδὲ ἀπράκτου οὐδὲ σημαινομένης καὶ προτάσεις ἀνελιττούσης, ἀλλ' ἔργα ὁσημέραι μετὰ τῶν τῆς ἀκαδημίας παραγγελμάτων. εἶτα λέγεις ὅτι κατέβην ἐκ φιλονεικίας τὴν ἀρχὴν ὑποστὰς τῆς

---

a Suetonio Favonius in *Octav*. 13. qui quum post bellum Philippense produceretur catenatus, Octavianum victorem convicio proscidit. Favonii mentio etiam in Epist. Coelii inter Tullianas *ad Famil*. VIII. 9. ad quem locum consule praeclaram P. Manutii notam de Favonio. Vide et Sallust. *de Rep. ord*. Orat. II. 55. Val. Max. VI. 2. 7. MAI.

453. 1 *Βάρων*] De M. Terentii Varronis praetura urbana videsis Pighium ad an. U. C. 695. de provinciali ad an. 696. Et quidem vox *ἐξαπέλεκυς* praeturae magis provinciali convenit. In Urbe enim ne consulibus quidem, iam inde a Valerio Poplicola, secures praeferebantur. Vide Dion. Halic. V. 19. MAI. *ἐξαπέλεκυν* ed. Med. *Ῥουτέλιος*] Hic est summus ille vir P. Rutilius Rufus qui consulatum gessit cum C. Manilio anno U. C. DCXLIX. et a romanis scriptoribus magnopere commendatur. Is a Tullio in *Bruto* XXX. dicitur *doctus vir et graecis litteris eruditus, Panaetii auditor, prope perfectus in Stoicis*. MAI. *Ῥουτέλιος* ed. Med.
2 *Θρασέα*] Thrasea, Paetus philosophus stoicus et vir egregius celebratur apud Tacitum Annal. XIV. XV. XVI. Extinctus est sub Nerone, dato mortis arbitrio XVI. 33. Priscus Helvidius huius gener, virtute par; pulsus est Italia a Nerone. V. Tacit. Hist. IV. 5. MAI. *Θρασέαν*] *Θρασέα* ed. Mediol. Conf. orat. XVII. p. 215 b. 3 *ὡς*] *ἧς* Iacobsius. 4 *οὐδὲ γὰρ* —] X. p. 130. B. XIII. p. 166. B. MAI. 10 Transponendum *μετ' ἐκείνης τῆς τριάδος*, nisi aliquid excidit. *tribus nuper dictis adiunges* Maius in interpretatione Latina.

καλλιπόλεως; εἰ μὲν ἔξω τι τῶν ἐκείνης ἔπραξα παραγγελμάτων, κατέβην· εἰ δὲ πανταχόθεν τοὺς ἐκεῖθεν ἐτήρησα νόμους, οὐ κατέβην, ὦ φίλος, ἀλλὰ κατὰ χώραν ἀναβέβηκα.

X. Οὐδὲ γὰρ Σωκράτης ἐκεῖνος ἐκ φιλοσοφίας κατέβη πρυτανεύσας Ἀθήνησιν· ἀντέσχε γὰρ τοῖς τριάκοντα· οὐδὲ ὁ πάγκαλος Ξενοφῶν στρατηγήσας τῶν μυρίων ἐκ φιλοσοφίας κατέβη· ἔσωσε γὰρ τοὺς Ἕλληνας ἐκ τῶν ἐσχάτων κινδύνων. οὐδὲ Παρμενίδης κατέβη νομοθετῶν Ἰταλιώταις· ἐνέπλησε γὰρ εὐνομίας τὴν με-
38 γάλην καλουμένην Ἑλλάδα. καίτοι νῦν εἴ τι χρηστὸν τῆς ἐμῆς ἀρχῆς, οὐκ ἐμόν, ἀλλ' ἐκμέμακται ἐκ τοῦ παραδείγματος. εἰ κέρδους κρείττων ἐγενόμην, ἐζήλωσα τὸν ὁσημέραι πλουτοδοτοῦντα. εἰ τὸν θυμὸν ἐχαλίνουν, πρὸς τὸν χειροτονήσαντα ἀφεώρων. εἰ προὔστην ὀρφανῶν, τὸν κοινὸν ἐμιμούμην πατέρα. εἰ τὸ σιτηρέσιον οὐκ εἴων τὸ πολιτικὸν κακουργεῖσθαι, καὶ τοῦτο ἀπὸ

454, 1 καλλιπόλεως] Constantinopolim dicit *Callipolim*, id est *pulchram urbem*, constanter Themistius, bis quidem in hac Oratione, tum in Oratt. III. p. 41. bis A—D. et p. 44. item bis B. V. 70. C. VI. 83. B. XI. 151. B. XIV. 181. D. XXI. 248. A. XXXI. 354. D. Et quidem eius urbis pulchritudinem, Theodosio imperante, describit Themistius Orat. XVIII. p. 222—223. Tum eandem sub Iuliano Himerius Orat. VII. Mai. 5 Σωκράτης]. Socratem fuisse prytanin suae tribus Antiochidis ait Plato in *Apolog. Socratis* (edit. Francofurt. an. 1602. p. 25.) quo in loco et eius constantia adversus XXX. Tyrannos narratur, de qua vide etiam Laertium Lib. 2. Segm. 34. Conf. XVII. p. 215. B. Mai. 6 ἀντέσχε Iacobsius. ἀνέσχε ed. Med.: unde Maius suspicabatur ἀνέσχε γὰρ τοὺς λ. τριάκοντα] λ ed. Med. 9 Παρμενίδης] Parmenides Eleae seu Veliae, quae fuit Lucaniae urbs, ortus, et inter Eleaticae sectae doctores satis celebris, floruit, teste Laertio, circa Olympiadem LXIX. id est quingentis circiter ante Ch. annis. Iamvero leges ab eo scriptas civibus quidem suis dixerant Laertius ex Speusippo et Plutarchus *contra Coloten* (edit. Paris. an. 1624. T. 2. p. 1126.) qui addit, cives Eleates quotannis coactos a magistratibus iurare in Parmenidis leges. Nunc Themistius leges Parmenidis ad universam magnam Graeciam pertinuisse testis est. Mai. 13 εἰ κέρδους —] Conf. XVII. p. 214. D. 216. A. Mai.

τῆς αὐτῆς ἠρυόμην πηγῆς. εἰ τὰς δίκας ἐδίκαζον κατὰ νόμους, πρὸς τὸν ἔμψυχον ἔβλεπον νόμον. τοιγαροῦν πρὸς τοῦτον τὸν ζῆλον συντεταμένος, καλῶ δὲ Ἀδράστειαν ἐπὶ τῷ μέλλοντι λόγῳ καὶ τὴν ὑμετέραν μαρτύρομαι ψῆφον. (XI.) οὐκ ἀτιμοτέρους ἀπέφηνα μῆνας πολλῶν ἐνιαυτῶν, οὐδὲ κατέλιπον τοὺς ἀρχομένους βαρυνομένους τὴν ἐμὴν ἀρχὴν, ἀλλὰ διψῶντας. χρόνος γὰρ ὑπηκόων εὔνοιαν οὐ ποιεῖ, ἀλλὰ προμήθεια καὶ φιλοπονία καὶ τὸ μηδὲν τοῦ κοινῇ λυσιτελοῦντος προὔργου ποιεῖσθαι, μὴ φιλοδοξίαν, μὴ δυναστείαν, μὴ τὸ πρὸς ἀπέχθειαν καὶ τὸ πρὸς χάριν. ὁ τούτους φυλάττων τοὺς θεσμοὺς οὐ δεῖται πλήθους ἐτῶν, ἀλλὰ καὶ ὀρρωδεῖ. χαλεπὸν γὰρ ἀνθρώπῳ τὸ καλὸν ἀκέραιον ἐπὶ πολὺ διασώσασθαι· πρὸς δὲ ἀρετῆς ἐπίδειξιν ἀπο- 40
χρῶσι καὶ μῆνες ὀλίγοι καὶ ἡμέρα. οὐδὲ γὰρ ἄλλης τέχνης οὐδεμιᾶς τὸ πλῆθος τῶν ἔργων ἐπιζητοῦμεν, ἀλλὰ τὸ κάλλος καὶ τὴν ἀκρίβειαν. καὶ τὸν Φειδίαν τεθαύμακα ἐπὶ τῷ Διὶ τῷ Πισαίῳ, καὶ τὸν Πολύγνω-

---

455, 1 ἠρυόμην] De congiariis atque annona Cpolitanae urbi a Theodosio liberaliter suppeditatis, praeter Themistium in Orat. XVIII. p. 222. vide etiam Cod. Theod. Lib. 14. Tit. 17. Leg. 14. Mai. 2 τοιγαροῦν —] Conf. XXXI. p. 354. B. Mai. Ibi τὴν Ἀδράστειαν cum articulo. 3 πρὸς — τὸν ζῆλον συντεταμένος] XVI. p. 734. comparat Iacobsius. 5 μῆνας] ὀλίγους addit Iacobsius. 6 πολλῶν ἐνιαυτῶν] Themistius iniit urbis Cpolitanae praefecturam anno post Ch. natum 384. circa Kal. Septembres, uti recte adnotavit Harduinus ad Orat. XVII., adeoque nonnisi paucorum mensium magistratum gessit. Porro hoc ipso anno 384. vertente Q. etiam Aur. Symmachus romanae Urbis praefecturam suscepit (V. Corsinum *de Praefec. Urbis*). Quare duo principes oratores duabus principibus urbibus eodem tempore praefuerunt. Mai. 18 *Πισαίως*] Iupiter Pisaeus dictus etiam Olympius. Vide Plinium Hist. Lib. XXXIV. Sect. 19. Themistius Or. XVI. p. 202. B. scribit *Πισαίῳ*, at hic *Πισαίως*. Mai. Reposui *Πισαίῳ*. *Πολύγνωτον*] De hac Polygnoti Pictura ita Lucianus *Imag.* cap. 7. *Ὁ Πολύγνωτος ὀφρύων τὸ εὐπρεπὲς καὶ παρειῶν τὸ ἐπιανθὲς οἵαν τὴν Κασάνδραν ἐν τῇ λέσχῃ ἐποίησε τοῖς Δελφοῖς. Polygnotus superciliorum decorem et ruborem suffusum genis* (det), *qualem Casandram in exhedra Delphis fecit.* Mai.

τον ἐπὶ τῇ λέσχῃ, καὶ τὸν Μύρωνα ἐφ' ἑνὶ βοιδίῳ· πόσῳ πλείω τὰ Παύσωνος ἔργα τῶν Ζεύξιδος ἢ τῶν Ἀπελλοῦ; τίς οὖν οὐ προτιμᾷ πινάκιον ἐν ἐκείνοιν τοῖν ἀνδροῖν ἢ πᾶσαν ὁμοῦ τὴν Παύσωνος τέχνην; . . .

XII. Εἰ δέ σοι λίαν ὁ χρόνος δοκεῖ σεμνόν τι εἶναι καὶ περισπούδαστον, ὑπάρχει σοι καὶ χρόνῳ σεμνύνεσθαι ὅσον πεπολίτευμαι τῇ καλλιπόλει. οὐδὲ γὰρ ἐξ ἀρχῆς νέος ὢν τὴν ἐν ταῖς γωνίαις φιλοσοφίαν εἱλόμην, ἀλλ' ἐκ παίδων εἰς ἐφήβους καὶ ἐξ ἐφήβων εἰς ἄνδρας καὶ ἐξ ἀνδρῶν εἰς τουτὶ τὸ γῆρας τῇ τῆς πόλεως εὐνοίᾳ συνδιελήλακα. καὶ οὐκ ἀνίπτοις χερσὶ, τὸ τοῦ λόγου, τῶν ἡνιῶν αὐτῆς ἐλαβόμην, ἀλλ' ἀρχαίαν μελέτην καὶ συνεχῆ ταύτην ἐξετέλουν καὶ ἀτρέμας ἐκ τῶν προπόδων τῆς πολιτικῆς ἀρετῆς ἐπὶ τὴν κορυφὴν ἀνελήλυθα.

XIII. Ἐξ ἐκείνου τῆς προστασίας ταύτης ἡπτό- 42 μην, ἐξ ὅτου με πρεσβεύειν εἰς τὴν ἀοίδιμον Ῥώμην ἐχειροτονεῖτε καὶ πρὸς τὸν παῖδα ἐστέλλετε τὸν Κωνσταντίνου. ἐξ ἐκείνου προεκηδόμην τοῦ δήμου, ἐξ ὅτου τὸ σιτηρέσιον ἐπανήγαγον. ἐξ ἐκείνου τῆς γερουσίας προὐνόουν, ἐξ ὅτου τὸν κατάλογον τῶν ὁμογενῶν ἀντὶ μόλις τριακοσίων ἐπλήρουν εἰς δισχιλίους· ἐφ' ὧν δύο

456, 1 Μύρωνα] *Myronem*, inquit Plinius Lib. XXXIV. Sect. 19. *bucula maxime nobilitavit*. Id Myronis opus poetae graeci et latini passim celebrarunt. Mai. 2 Παύσωνος] Πάσωνος ed. Med. hic et paullo post. 3 τίς] Cod. τί. Mai. 4 Πάσωνος τέχνην] Pasonis seu Pausonis picturis anteponit Polygnoteas etiam Aristoteles *Politic*. VIII. 5, *Poetic*. 2. Mai. 6 σοι] τοι Iacobsius. 7 πεπολίτευμαι] XXIII. 298. B. XXXI. 352. C. D. Mai. 8 φιλοσοφίαν εἱλόμην] Conf. XVII. 213. D. 214. A. Mai. 18 τὸν Κωνσταντίνου] Reapse tertia Themistii Oratio scripta fuit legationis causa ad Constantium. Mai. 21 τῶν ὁμογενῶν] Themistium praefuisse senatui Cpolitano constabat hactenus ex Orat. XXXI. Iam apparet praefuisse etiam annonae et censui. Porro ut bene intelligamus vocabulum ὁμογενῶν videtur respiciendum ad Suidam voc. ὁμόγνια et γεννῆται. Nam γένη vocabantur subdivisiones curiarum in graecis urbibus. Mai.

μὲν. εἴ γε χαλκαῖ παρὰ δυοῖν αὐτοκρατόροιν εἰκόνες, τιμαὶ δὲ ἐν γράμμασι διωλύγιοι, παρακλήσεις δὲ ἐπὶ τὴν ἀρχὴν ταύτην οὐχ ἅπαξ οὐδὲ δίς, ἀλλὰ πολλάκις, καὶ προσείδει τούτοις ἅπασιν ὅπως καὶ ὁπότε· ὅτι μήτε ἐπιλιπαρήσαντος μήτε ἐπ' ἄλλῳ τῳ, ἀλλ' ἐπὶ τοῖς λόγοις. καὶ ἡνίκα ὀσπρίων οὐκ ἦν ἀμητὸς καὶ παρὰ ἀνδρὸς ἥκιστα εὐμαροῦς, ὃς ἐπιστέλλων πρὸς τὴν γερου- 44
σίαν αὐτὸ τοῦτο διαρρήδην ὁμολογεῖ, μέρος μέν τι συμπαῖσαι μόλις, τὰ σύμπαντα δὲ μὴ παιδευθῆναι, καὶ ὅτι μηδὲν προσείληφεν τοσοῦτον ὅσον προστέθεικεν σεμνότερον ἀποφῆναι τοὔνομα τῆς ἀρχῆς τῇ κοινωνίᾳ.

XIV. Καὶ εἰ μέν τις ἔροιτο τὴν αἰτίαν δι' ἣν τότε μὲν ἀπώκνησα, νῦν δὲ οὐκέτι, ἐρῶ μηδὲν ὑπο-

---

457, 1 εἰκόνες] Statuam aeream a Constantio imp. donari meruit Themistius ob Panegyricum ei dictum. Vide Orat. IV. p. 54. B. Sed et altera item aerea statua honoratum constat ex Oratt. XVII. p. 214. B. XXXI. 353. B. Confer et Or. XI. p. 146. B. In hac autem, quae nunc editur, Oratione, dicit Themistius se a duobus Impp. duas illas statuas consecutum. Quoniam igitur priorem a Constantio retulit, superest quaerendum quisnam imperator alteram ei decreverit. Iam et carmen ubi ex his statuis fuisse additum testis est Libanius. Epist. 64. Edit. Amstel. an. 1738. Mai. 2 ἐν γράμμασι] Intellige primum duas Constantii imp. Epistolas ad Senatum, alteram prolixam in Ed. Themistii (p. 18. et seqq.); alteram breviorem in Cod. Th. Lib. 6. Tit. 4. Leg. 12. qua in utraque Themistius ad obtinendos honores amplissime commendatur. Sed et Iuliani extat longissima ad Themistium Epistola qua nimirum Themistiano cuidam scripto respondetur, quod indidem constat, huic quam nunc edimus Orationi multo fuisse simillimum. Themistius scriptum aliud de se Iuliani memorat Or. XXXI. p. 354. D. Codicillis denique ac a quodam imperatore donatum confirmat Themistius Or. nuper citata p. 353. A. Mai. 4 ὅπως. ὅτι Iacobsius. ὁπότε ἐστὶ ed. Med. 6 ὀσπρίων] Locum mihi certe obscurum: nisi forte est adagium, quod pro suo quisque ingenio lectores intelligant. Ceterum σπρίων ab Hesychio explicatur etiam ἀγοράζων, ex quo rursus, siquis potest, commodiorem sensum procudat. Mai. Recepi Iacobsii emendationem ἐσπρίων. Hesychii glossa ex Aristoph. Acharn. v. 36. petita. 13 ἀπώκνησα] Themistium praefectum fuisse urbi Cpolitanae, Theodosio imperante, patet

φιλόσοφος καὶ μεγαλοπρεπέστατος γεγονὼς, ἐκόσμησε πρῶτος φιλοσοφίαν τοῖς πολλοῖς μαθήμασι, καὶ προσπαρέλαβε τὰς ἐπιστήμας, ἀριθμητικὴν, μουσικὴν, ἀστρονομίαν. προϊὼν δὲ καὶ αὐτὸν ὑπερέβη τὸν οὐρανὸν καὶ ἐθάρρησε παρακινδυνεύσασθαι μὴ καὶ αὐτῆς τῆς φύσεως ἐστὶν ἀνώτερον, οὐ μὴν ὥστε ἀσύμβολον πρὸς πολιτείαν ταύτην ἀποφῆναι τὴν περιουσίαν, ἀλλὰ τοῦτο καὶ μάλιστα ἴδιον τῆς Πλάτωνός ἐστι περινοίας ἀνάψασθαι τῶν θείων ἀγαθῶν τὰ ἀνθρώπινα, καὶ πρὸς τὴν τοῦ παντὸς πολιτείαν ὡς οἷόν τε μορφῶσαι τὴν ἀνθρωπίνην. τοῦτο γὰρ βούλονται αἱ Πολιτεῖαι καὶ οἱ πολλοὶ Νόμοι καὶ οἱ Φαῖδροι καὶ οἱ Γοργίαι, καὶ ἐν ὅσοις ἀγωνιστικώτατος ἑαυτοῦ πρὸς τὸ δεῖξαι δικαιοσύνην μὲν δι' αὑτὸ αἱρετὸν, κακίαν δὲ δι' αὑτὸ φευκτὸν τοῖς ἀνθρώποις, κἂν τῇ μὲν μηδὲν πρόκειται ἆθλον, ἡ δὲ πᾶσαν τιμωρίαν ἀποφυγγάνῃ. ἆρα οὖν
26 Πλάτων μὲν τοῦτον, (VI.) Ἀριστοτέλης δὲ ἕτερον; καίτοι πλείων μὲν τοῦ ἀνδρὸς ἡ πολυπραγμοσύνη καὶ ἡ λεπτουργία, ὅμως δὲ αὐτοῦ ἡ σύμπασα πραγματεία καὶ ὁ πολὺς κύκλος οὐκ ἐκνένευκε τὸ ἀνθρώπινον ἀγαθὸν, ἀλλ' εἰς τοῦτο συντέταται καὶ ἀνήρτηται. τὸ γὰρ κεφάλαιον αὐτοῦ τῆς ἀνθρωπίνης εὐδαιμονίας χρῆσίς ἐστιν ἀρετῆς ἐπὶ βίῳ τελείῳ καὶ ψυχῆς ἐνέργεια κατ' ἀρετὴν ἐν προηγουμένοις. καὶ οὐχ ἵνα εἰδῶμεν, φησὶ, τὰ δίκαια, φιλοσοφοῦμεν, ἀλλ' ἵνα, ὥσθ' οἷόν τε, ἐργαζώμεθα. καὶ νενέμηται αὐτῷ τὸ ἀγαθὸν εἰς ψυχὴν, εἰς

448, 3 ἀριθμητικὴν —] Arithmeticae, musicae et astronomiae commendationem videsis apud Platonem praesertim in *Epinomide*. MAI. 4 ὑπερέβη —] De Platone eadem paene scribit Cicero *Academ.* I. 4. et 5. MAI. 11 τοῦτο γὰρ] II. p. 32 C. Vide Platonis praesertim *Theaetetum* et Librum IX. *de Republica*. MAI. 17 τοῦτον] τοῦτο Iacobsius.
21 συντέταται] Legebatur συντέτακται. τὸ γὰρ κεφάλαιον αὐτοῦ] „Conf. Stobaei Ecl. Phys. II. 7. p. 68. ed. Heer.“ Iacobsius. 24 καὶ οὐχ ἵνα εἰδῶμεν —] II. p. 31 C. MAI.
26 καὶ νενέμηται] „Conf. Arist. de Mor. I. c. 8. Magnor. Mor. I. c. 3.“ Iacobsius.

σῶμα, εἰς τὰ ἐκτός. καὶ τὴν εὐδαιμονίαν συμπληροῖ τὴν ἀνθρωπίνην ἐκ πρώτης καὶ δευτέρας καὶ τρίτης κρατῆρος, ἀγαπητὴν μὲν λέγων καὶ ἐφ' ἑνός, μείζω δὲ καὶ τελειοτέραν καὶ ἐφ' ὅλης πόλεως. διὸ καὶ τὴν μέθοδον πολιτικὴν ὀνομάζει καὶ τὸ εὖ πράττειν φησὶν ἄνευ τοῦ πράττειν μὴ ἐγχωρεῖν, καὶ τὸν ἄγοντα θεὸν τόδε τὸ πᾶν καὶ τοὺς ἐκείνῳ συμπεριπόλους πρακτικήν τε καὶ πολιτικὴν φιλοσοφίαν, φιλοσοφεῖν, ῥυομένους τὴν ὅλην φύσιν ἀκλινῆ καὶ ἀκέραιον δι' αἰῶνος. τοσαῦτα οὖν καὶ τηλικαῦτα ἔργα τε καὶ ἐγχειρήματα ὑποστάσης ταύτης τῆς τέχνης ἀνθρώπου χάριν καὶ ἀνθρωπίνης 28
εὐδαιμονίας οὔτε εἰδότες οὔτε μαθεῖν οἱ πολλοὶ προαιρούμενοι, τοὺς προδόμους αὐτῆς τεθαυμάκασι καὶ τὰ θριγκία καὶ τοὺς περιβόλους καὶ τὰ ἄλση καὶ τοὺς λειμῶνας· ὅτι δὲ κέκτηται καταλύσεις ἀλεξανέμους καὶ δυσπαθεῖς ὑπὸ τῶν τύχης πνευμάτων οὐκ ἀγαπῶσιν.

VII. Ἀλλ' οὐχ ὅ γε θεοειδέστατος αὐτοκράτωρ, ἀλλ' ἑπόμενος ἐκείνοις τοῖς κλεινοῖς ἀνδράσιν οἰκουροῦσαν ἐν πολλῷ χρόνῳ φιλοσοφίαν εἰς τὰ πάτρια καὶ δημόσια προήγαγεν ἀγωνίσματα, καὶ ὥσπερ ἄγαλμα κεκτημένος τῆς ἀρχαίας τέχνης ἀντὶ τοῦ μόνος ἀπολαύειν εἰς τὸ κοινὸν ἐξενήνοχε. καὶ εἴ τινα χρὴ καλεῖν κληρονόμον τῶν Πλάτωνος τοῦ θείου δογμάτων, οὐχ

449, 3 κράσεως] Codex habet manifesto κρατῆρος pro κράσεως. De loci ergo lectione pro suo quisque libito statuat. Mai. „Propius ad codicis lectionem accederet κατηγορίας: sed loci similes VI. p. 77 d. XXVII. p. 338 b. faciunt ut alia vitii sedes esse videatur.“ Iacobsius. ἀγαπητὴν μὲν λέγων] Aristotelem de Mor. I. c. 1. T. II. p. 4 c. ed. Laemar. comparat Iacobsius.

4 διὸ καὶ — αἰῶνος] Quod attinet ad totam hanc Aristotelis doctrinam, operae pretium erit conferre *Moralium magnorum* I. 3. 4. *Eudem.* II. 1. *Ad Nicomachum* I. 1. 2. 6. *De Republica* VII. 1. 3. Mai. 5 εὖ πράττειν] εὐπράττειν ed. Med.

14 θριγκία] θριγγία ed. Med. Conf. p. 138 a. d. 235 d. 257 d. 20 καὶ ὥσπερ —] Hac ipsa sententia exorditur Themistius Orationem XVII. quam habuit cum praefectus Urbis creatus est. Mai.

οὕτω Σπεύσιππον χρὴ καλεῖν ἢ Ξενοκράτην, ἀλλὰ τὸν γνώμην αὐτοῦ βεβαιώσαντα ἣν πάντων μάλιστα ἐκεῖνος ἐποιήσατο ἂν εἰς ἔργον ἐκβῆναι, καὶ ἰδεῖν εἰς ταὐτὸν συντρέχουσαν δύναμιν πολιτικὴν καὶ φιλοσοφίαν, καὶ μὴ πορευομένας χωρὶς δὴ φρόνησιν καὶ ἐξουσίαν. τοῦτο γὰρ οὐκ ἔτι προσδοκώμενον τὸ θέαμα ἐπέδειξε βασιλεὺς τοῖς νῦν ἀνθρώποις, βραβεύουσαν τὰ δίκαια φιλοσοφίαν μετὰ τῆς μεγίστης δυνάμεως, καὶ τοὺς λόγους
30 ἐμπνοῦς ἐπιδεικνυμένην καὶ ἐνεργούς, οὓς τέως ἐν τοῖς γράμμασιν ὑποτίθεται. καὶ ὑμνήσουσιν οἱ ἐφεξῆς ἄνθρωποι τὸν Θεοδόσιον ἐπὶ τῇ κλήσει τῆς πρὸς τὰ κοινὰ φιλοσοφίας, ὡς τὸν Ἀδριανόν, ὡς τὸν Μάρκον, ὡς τὸν Ἀντωνῖνον τοὺς προπάτορας ἑαυτοῦ καὶ πολίτας καὶ ἀρχηγέτας, οὓς οὐκ ἠγάπησεν ἄχρι τῆς ἁλουργίδος κληρονομῆσαι, ἀλλὰ τὰς εἰκόνας αὐτῶν ἐπαναγαγὼν εἰς τὴν βασιλίδα διὰ μακροῦ χρόνου καὶ φιλοσοφίαν ἑαυτῷ καθάπερ ἐκεῖνοι συμπαρεστήσατο.

450, 1 Σπεύσιππον] *Speusippum* (inquit Cicero *Academ.* I. 4) *sororis filium Plato philosophiae quasi heredem reliquit; duos autem praestantissimos studio atque doctrina, Xenocratem Chalcedonium et Aristotelem Stagiritem.* Mai. 2 γνώμην Iacobsius. γνώμῃ ed. Med. 4 συντρέχουσαν] Codex συμπρέπουσαν. Correctum ex XVII. p. 214 a. συντρέχουσαν aut συμπνέουσαν etiam Iacobsius. 10 γράμμασιν Iacobsius. πράγμασιν ed. Med. 12 Ἀδριανὸν] Hadrianum utique et Marcum ex Hispania originem generis trahere uti Theodosium, exploratum est. Sed Antonini Pii paternum certe genus Nemauso gallica urbe ductum dicitur a Capitolino in eius *Vita*. Themistius tamen non hic solum sed et in Oratione XIX. p. 229 C. dicit etiam Pium popularem Theodosii: quo loco haeret aqua Petavio adnotanti, qui quidem frustra suspicatur corruptum locum; namque is ab hac nova Oratione confirmatur. Vel igitur peccat Themistius, vel confugiendum est ad ius adoptionum, quo in patriam quoque adoptantis transisse videntur adoptati. Sic Fronto Epistola 6. Libri 2. *ad Amicos* ait Aufidium Victorianum fieri municipem Cirtensem, quem ducta eius unica filia in gentem Corneliam Frontonis Cirtensis transiret. Mai. Μάρκον] VIII. p. 115 C. Mai. 15 ἐπαναγαγὼν] V. p. 63 C. Mai.

VIII. Ταύτην οὐκ ἔσχε φιλοτιμήσασθαι τὴν φιλοτιμίαν ὁ Κῦρος ὁ Πέρσης, οὐκ Ἀλέξανδρος ὁ μέγας, ἀλλὰ τὸν καθηγέτην Ἀριστοτέλην πολλῶν καὶ μεγάλων ἀξιώσας καὶ τὰ Στάγειρα αὐτῷ συνοικίσας, ὅμως οὐκ ἐπῆρεν ὄγκῳ τηλικαύτης ἀρχῆς. οὐδὲ τὸν Ἄρειον ὁ Σεβαστός, οὐδὲ τὸν Παναίτιον ὁ Σκηπίων, οὐδὲ τὸν Θρασύλλον Τιβέριος, ἀλλὰ θεατὰς κέκτηνται μόνον τῶν 32 οἰκείων ἀγωνισμάτων, ἑλκύσαι δὲ ἐπὶ τὸ στάδιον καὶ τὴν κονίστραν, καίτοι σφόδρα ἂν βουληθέντες, οὐκ ἠδυνήθησαν. ἀλλ' οὐχ οἵ γε τοῦ βασιλέως πατέρες καὶ ἀρχηγέται, ὧν τὰ μεγάλα ὀνόματα· ἀλλὰ τὸν Ἀρριανὸν καὶ τὸν Ῥούστικον τῶν βιβλίων ἐξαναστήσαντες οὐκ

451, 1 VIII. Conf. X. p. 130 B. XIII. p. 166 B. V. p. 63 D. Mai. 4 Στάγειρα] Stagira in gratiam Aristotelis restaurata ab Alexandro ait heic Themistius cum Ammonio in *Aristotelis vita*. At Plutarchus in *Alexandro* edit. Lond. 1723. T. IV. p. 12. itemque Dio Chrysostomus Orat. II. *de regno* in fine I. 2., narrant id factum a Philippo, a quo eadem Stagira excisa fuerant. Alteram hanc sententiam fortasse prae se fert etiam Themistius Orat. XI. p. 145 B. Mai. συνοικίσας Iacobsius. συνοικήσας ed. Med. 5 Ἄρειον] Propter Arium, cuius philosophia et contubernio utebatur, parcere se Alexandrinis testatus est Augustus. V. Cassium Dionem Lib. LI. 16. et Themistium Orat. VIII. p. 108 B. XIII. p. 173 C. Mai. 6 Σκηπίων] Symmachus in *Paneg. Gratiani* Cap. VII. ait: *Africanum illum terra marique victorem lectionis particeps et laboris Panaetius non reliquit.* Mai. 7 Θρασύλλον] Θράσυλλον ed. Med. Θράσυλλον] Suetonius in *Tiberio* Cap. 14. ait: *Thrasyllum mathematicum ut sapientiae professorem, contubernio admoverat* (Tiberius). Mai. 9 κονίστραν] „Conf. XVIII. p. 213 d." Iacobsius. 11 Ἀρριανὸν] Praesidem Cappadociae, Hadriano imperante, dicit Arrianum Cassius Dio LXIX. 15. eiusque terrore Albanos compressos. Consulatum eius memorat Photius Cod. 58. p. 54. Mai. 12 Ῥουστικὸν] De hoc Capitolinus in Marci Aurelii vita (edit. Paris. an. 1603. p. 88 C.): *Audivit* (Marcus) *praecipue Iunium Rusticum, quem et reveritus est et sectatus, qui domi militiaeque pollebat, stoicae disciplinae peritissimum, cum quo omnia communicavit publica privataque consilia, quem et consulem iterum designavit.* Mai. Ῥουστικὸν ed. Med. Ῥούστικον recte scriptum XVIII. p. 215 a.

εἴασαν ἄχρι τοῦ μέλανος καὶ τοῦ καλάμου φιλοσοφεῖν, οὐδὲ γράφειν μὲν ὑπὲρ ἀνδρείας, οἴκοι δὲ καθῆσθαι, οὐδὲ συντάττειν μὲν ὑπὲρ νόμων, φεύγειν δὲ τὰ κοινά, ὑπὲρ ὧν οἱ νόμοι, οὐδὲ κρίνειν μὲν τίς ἀρίστη τῶν πολιτειῶν, πολιτείας δὲ ἐξίστασθαι πάσης. τοιγαροῦν οὐκ ἄχρι τοῦ βήματος μόνου προσήγαγον τοὺς ἄνδρας, ἀλλὰ μέχρι τοῦ στρατηγίου, καὶ διέβαινον μὲν στρατηγοὶ Ῥωμαίων Πύλας Κασπίας, ἐξήλαυνον δὲ Ἀλανοὺς ἐξ Ἀρμενίας, ἔταττον δὲ Ἴβηρσιν ὅρους καὶ Ἀλβανοῖς· ἐπὶ τούτοις ἅπασι τὴν ἐπώνυμον τῶν ὑπάτων ἀρχὴν ἐκαρποῦντο, καὶ τὴν πόλιν ἥρμοζον τὴν μεγάλην, καὶ
34 προήδρευον τῆς ἀρχαίας βουλῆς. ᾔδεσαν γὰρ οὗτοι οἱ αὐτοκράτορες, καθάπερ σῶμα τὴν ἀρχήν, ὅσῳπερ ἂν μείζων ᾖ καὶ γενναιοτέρα, τοσούτῳ μᾶλλον ἐκκεκαθάρθαι προσήκει, καὶ τοὺς πάλαι Ῥωμαίους ἔγνων οὕτω φρονοῦντας, παρ' οἷς Κάτων ὁ φιλόλογος ταμίας ἦν καὶ Βροῦτος ἐστρατήγει καὶ Φαβώνιος ἐδημάρχει καὶ Βά-

---

452, 1 τοῦ καλάμου] τῆς καλαμίδος VII. p. 86 c. 6 προσήγαγον] Cod. προσήγαγε. Item inferius στρατ abrupto vocabulo pro στρατηγοί. Conf. XI. p. 149. B. Mai. 11 ἥρμοζον] Praefectus romanae Urbis sine dubio intelligendus est Rusticus. Nam et ante hanc editam Themistii Orationem luculenta mentio extabat Rustici Urbis praefecti in Rescripto divorum Fratrum *Digest.* Lib. 49. Tit. 1. Leg. 1. §. 3. et apud Epiphanium *Haeres.* 26. seu 46. et in Actis D. Iustini et Soc. MM. apud Bolland. T. I. Iunii p. 18—21. ubi etiam Epiphanii expenditur. Quod vero Corsinus *de Praefectis Urbis* ad annum Ch. 167. Rusticum M. Aurelii praeceptorem a Rustico praefecto Urbis distinguendum censet, id mihi quidem nullo fere iure ab eo fieri videtur. Mai. 12 προήδρευον] Ad Arrianum senatus fortasse principem scribit Plinius Epist. 11. Lib. 2. Verum alius et paulo iunior videtur fuisse philosophus Nicomediensis, de quo in hac Oratione sermo est. Mai. 13 καθάπερ] ὅτι aut ὡς καθάπερ Iacobsius, nisi προσήκει in προσήκειν mutandum sit. σῶμα] VIII. p. 117. C. Mai. ἀρχήν, ἣν] Videbatur supplendum ἣν. Mai. 14 τοσούτῳ] τοσοῦτο ed. Mediol. 15 ἔγνων Iacobsius. ἐγνωκὼς ed. Med. οὕτω] Videbatur item supplendum οὕτω. Mai. 16 Κάτων] De Catonis maioris quaestura vide Nepotem in illius vita cap. 1. Mai. 17 Φαβώνιος] Favonium tribunum pl. videsis apud Pighium ad annum U. C. 698. Catonis aemulus dicitur

Βάρων τὴν ἐξαπέλεκυν ἦρχεν ἀρχὴν καὶ Ῥουτίλιος ὑπάτευεν. ἐῶ τὸν Πρίσκον καὶ τὸν Θρασέαν καὶ τοὺς ἐκ τῆς αὐτῆς ἰδέας, ὡς ἐμπλήσωσί σε οἱ συγγραφεῖς, εἰ προέλοιο. οὐδὲ γὰρ αὐτὸς ὁ Μάρκος ἄλλο τι ἦν ἢ φιλόσοφος ἐν ἀλουργίδι, οὐδὲ ὁ Ἀδριανός, οὐδὲ ὁ Ἀντωνῖνος, οὐδέ γε ὁ νῦν Θεοδόσιος.

IX. Ἀλλ' εἰ μὲν τὴν ζώνην καὶ τὴν χλαμύδα αὐτοῦ ἐπισκοποίης, μετὰ πολλῶν βασιλέων αὐτὸν ἀριθμήσεις· εἰ δὲ εἰς τὴν ψυχὴν ἐγκύψειας καὶ τὴν γνώμην, μετὰ τῆς ἐκείνης τριάδος. ἐν γὰρ τοῖς ὁμοίως φρο- 36 νοῦσι ταμεῖος, οὐκ ἐν τοῖς ὁμοίως ἠμφιεσμένοις. καὶ αὐτὸς οὐ μόνος ἤρκει σοι ὁ βασιλεὺς ζῆλον ἀρετῆς προκαλέσασθαι, οὐκ ἀργῆς οὐδὲ ἀπράκτου οὐδὲ σημαινομένης καὶ προτάσεις ἀνελιττούσης, ἀλλ' ἔργα δρωμένας μετὰ τῶν τῆς ἀκαδημίας παραγγελμάτων. εἶτα λέγεις ὅτι κατέβην ἐκ φιλονεικίας τὴν ἀρχὴν ὑποστὰς τῆς

a Suetonio Favonius in *Octav.* 13. qui quum post bellum Philippense produceretur catenatus, Octavianum victorem convicio proscidit. Favonii mentio etiam in Epist. Coelii inter Tullianas *ad Famil.* VIII. 9. ad quem locum consule praeclaram P. Manutii notam de Favonio. Vide et Sallust. *de Rep. ord.* Orat. II. 56. Val. Max. VI. 2. 7. Mai.

453, 1 Βάρων] De M. Terentii Varronis praetura urbana videsis Pighium ad an. U. C. 695. de provinciali ad an. 696. Et quidem vox ἐξαπέλεκυς praeturae magis provinciali convenit. In Urbe enim ne consulibus quidem, iam inde a Valerio Poplicola, secures praeferebantur. Vide Dion. Halic. V. 19. Mai. ἐξαπέλεκυν ed. Med. Ῥουτίλιος] Hic est summus ille vir P. Rutilius Rufus qui consulatum gessit cum C. Manilio anno U. C. DCXLIX. et a romanis scriptoribus magnopere commendatur. Is a Tullio in *Bruto* XXX. dicitur *doctus vir et graecis litteris eruditus, Panaetii auditor, prope perfectus in Stoicis.* Mai. Ῥουτέλιος ed. Med.
2 Θρασέα] Thrasea Paetus philosophus stoicus et vir egregius celebratur apud Tacitum Annal. XIV. XV. XVI. Extinctus est sub Nerone, dato mortis arbitrio XVI. 33. Priscus Helvidius huius gener, virtute par, pulsus est Italia a Nerone. V. Tacit. Hist. IV. 5. Mai. Θρασέαν] Θρασέα ed. Mediol. Conf. orat. XVII. p. 215 b. 3 ὡς] ἧς Iacobsius. 4 οὐδὲ γὰρ —] X. p. 130. B. XIII. p. 166. B. Mai. 10 Transponendum μετ' ἐκείνης τῆς τριάδος, nisi aliquid excidit. *tribus nuper dictis adiunges* Maius in interpretatione Latina.

καλλιπόλεως; εἰ μὲν ἔξω τι τῶν ἐκείνης ἔπραξα παραγγελμάτων, κατέβην· εἰ δὲ πανταχόθεν τοὺς ἐκεῖθεν ἐτήρησα νόμους, οὐ κατέβην, ὦ φίλος, ἀλλὰ κατὰ χώραν ἀναβέβηκα.

X. Οὐδὲ γὰρ Σωκράτης ἐκεῖνος ἐκ φιλοσοφίας κατέβη πρυτανεύσας Ἀθήνησιν· ἀντέσχε γὰρ τοῖς τριάκοντα· οὐδὲ ὁ πάγκαλος Ξενοφῶν στρατηγήσας τῶν μυρίων ἐκ φιλοσοφίας κατέβη· ἔσωσε γὰρ τοὺς Ἕλληνας ἐκ τῶν ἐσχάτων κινδύνων. οὐδὲ Παρμενίδης κατέβη νομοθετῶν Ἰταλιώταις· ἐνέπλησε γὰρ εὐνομίας τὴν μεγάλην καλουμένην Ἑλλάδα. καίτοι νῦν εἴ τι χρηστὸν τῆς ἐμῆς ἀρχῆς, οὐκ ἐμὸν, ἀλλ' ἐκμέμακται ἐκ τοῦ παραδείγματος. εἰ κέρδους κρείττων ἐγενόμην, ἐζήλωσα τὸν ὁσημέραι πλουτοδοτοῦντα. εἰ τὸν θυμὸν ἐχαλίνουν, πρὸς τὸν χειροτονήσαντα ἀφεώρων. εἰ προὔστην ὀρφανῶν, τὸν κοινὸν ἐμιμούμην πατέρα. εἰ τὸ σιτηρέσιον οὐκ εἴων τὸ πολιτικὸν κακουργεῖσθαι, καὶ τοῦτο ἀπὸ

38

454, 1 καλλιπόλεως] Constantinopolim dicit *Callipolim*, id est *pulchram urbem*, constanter Themistius, bis quidem in hac Oratione, tum in Oratt. III. p. 41. bis A—D. et p. 44. item bis B. V. 70. C. VI. 83. B. XI. 151. B. XIV. 181. D. XXI. 248. A. XXXI. 354. D. Et quidem eius urbis pulchritudinem, Theodosio imperante, describit Themistius Orat. XVIII. p. 222—223. Tum eamdem sub Iuliano Himerius Orat. VII. Mai. 5 Σωκράτης]. Socratem fuisse prytanin suae tribus Antiochidis ait Plato in *Apolog. Socratis* (edit. Francofurt. an. 1602. p. 25.) quo in loco et eius constantia adversus XXX. Tyrannos narratur, de qua vide etiam Laertium Lib. 2. Segm. 34. Conf. XVII. p. 215. B. Mai. 6 ἀντέσχε Iacobsius. ἀνέσχε ed. Med.: unde Maius suspicabatur ἀνέσχε γὰρ τοὺς λ. τριάκοντα] λ ed. Med. 9 Παρμενίδης] Parmenides Eleae seu Veliae, quae fuit Lucaniae urbs, ortus, et inter Eleaticae sectae doctores satis celebris, floruit, teste Laertio, circa Olympiadem LXIX. id est quingentis circiter ante Ch. annis. Iamvero leges ab eo scriptas civibus quidem suis dixerant Laertius ex Speusippo et Plutarchus *contra Coloten* (edit. Paris. an. 1624. T. 2. p. 1126.) qui addit, cives Eleates quotannis coactos a magistratibus iurare in Parmenidis leges. Nunc Themistius leges Parmenidis ad universam magnam Graeciam pertinuisse testis est. Mai. 13 εἰ κέρδους —] Conf. XVII. p. 214. D. 216. A. Mai.

τῆς αὐτῆς ἀρυόμενοι πηγῆς. εἰ τὰς δίκας ἐδίκαζον κατὰ νόμους, πρὸς τὸν ἔμψυχον ἔβλεπον νόμον. τοιγαροῦν πρὸς τοῦτον τὸν ζῆλον συντεταμένος, καλῶ δὲ Ἀδράστειαν ἐπὶ τῷ μέλλοντι λόγῳ καὶ τὴν ὑμετέραν μαρτύρομαι ψῆφον, (XI.) οὐκ ἀτιμοτέρους ἀπέφηνα μῆνας πολλῶν ἐνιαυτῶν, οὐδὲ κατέλιπον τοὺς ἀρχομένους βαρυνομένους τὴν ἐμὴν ἀρχήν, ἀλλὰ διψῶντας. χρόνος γὰρ ὑπηκόων εὔνοιαν οὐ ποιεῖ, ἀλλὰ προμήθεια καὶ φιλοπονία καὶ τὸ μηδὲν τοῦ κοινῇ λυσιτελοῦντος προὔργου ποιεῖσθαι, μὴ φιλοδοξίαν, μὴ δυναστείαν, μὴ τὸ πρὸς ἀπέχθειαν καὶ τὸ πρὸς χάριν. ὁ τούτους φυλάττων τοὺς θεσμοὺς οὐ δεῖται πλήθους ἐτῶν, ἀλλὰ καὶ ὀρρωδεῖ. χαλεπὸν γὰρ ἀνθρώπῳ τὸ καλὸν ἀνέπαφον ἐπὶ πολὺ διασώσασθαι· πρὸς δὲ ἀρετῆς ἐπίδειξιν ἀπο- 40
χρῶσι καὶ μῆνες ὀλίγοι καὶ ἡμέρα. οὐδὲ γὰρ ἄλλης τέχνης οὐδεμιᾶς τὸ πλῆθος τῶν ἔργων ἐπιζητοῦμεν, ἀλλὰ τὸ κάλλος καὶ τὴν ἀκρίβειαν. καὶ τὸν Φειδίαν τεθαύμακα ἐπὶ τῷ Διὶ τῷ Πισαίῳ, καὶ τὸν Πολύγνω-

---

455, 1 ἀρυόμενοι] De congiariis atque annona Cpolitanae urbi a Theodosio liberaliter suppeditatis, praeter Themistium in Orat. XVIII. p. 222. vide etiam Cod. Theod. Lib. 14. Tit. 17. Leg. 14. Mai. 2 τοιγαροῦν —] Conf. XXXI. p. 354. B. Mai. Ibi τὴν Ἀδράστειαν cum articulo. 3 πρὸς — τὸν ζῆλον συντεταμένος] XVI. p. 73 d. comparat Iacobsius. 5 μῆνας] ὀλίγους addit Iacobsius. 6 πολλῶν ἐνιαυτῶν] Themistius iniit urbis Cpolitanae praefecturam anno post Ch. natum 384. circa Kal. Septembres, uti recte adnotavit Harduinus ad Orat. XVII., adeoque nonnisi paucorum mensium magistratum gessit. Porro hoc ipso anno 384. vertente Q. etiam Aur. Symmachus romanae Urbis praefecturam suscepit (V. Corsinum de Praefec. Urbis). Quare duo principes oratores duabus principibus urbibus eodem tempore praefuerunt. Mai. 18 Πισαίως] Iupiter Pisaeus dictus etiam Olympius. Vide Plinium Hist. Lib. XXXIV. Sect. 19. Themistius Or. XVI. p. 202. B. scribit Πισαίῳ, at hic Πισαίως. Mai. Reposui Πισαίῳ. Πολύγνωτον] De hac Polygnoti Pictura ita Lucianus Imag. cap. 7. Ὁ Πολύγνωτος ὀφρύων τὸ ἐκπρεπὲς καὶ παρειῶν τὸ ἐνερευθὲς οἵαν τὴν Κασάνδραν ἐν τῇ λέσχῃ ἐποίησε τοῖς Δελφοῖς. *Polygnotus superciliorum decorem et ruborem suffusum genis* (det), *qualem Casandram in exhedra Delphis fecit.* Mai.

τὸν ἐπὶ τῇ λέσχῃ, καὶ τὸν Μύρωνα ἐφ' ἑνὶ βοιδίῳ· πόσῳ πλείω τὰ Παύσωνος ἔργα τῶν Ζεύξιδος ἢ τῶν Ἀπελλοῦ; τίς οὖν οὐ προτιμᾷ πινάκιον ἓν ἐκείνοιν τοῖν ἀνδροῖν ἢ πᾶσαν ὁμοῦ τὴν Παύσωνος τέχνην; ....

XII. Εἰ δέ σοι λίαν ὁ χρόνος δοκεῖ σεμνόν τι εἶναι καὶ περισπούδαστον, ὑπάρχει σοι καὶ χρόνῳ σεμνύνεσθαι ὅσον πεπολίτευμαι τῇ καλλιπόλει. οὐδὲ γὰρ ἐξ ἀρχῆς νέος ὢν τὴν ἐν ταῖς γωνίαις φιλοσοφίαν εἱλόμην, ἀλλ' ἐκ παίδων εἰς ἐφήβους καὶ ἐξ ἐφήβων εἰς ἄνδρας καὶ ἐξ ἀνδρῶν εἰς τουτὶ τὸ γῆρας τῇ τῆς πόλεως ἐξουσίᾳ συνδιελήλακα. καὶ οὐκ ἀνίπτοις χερσὶ, τὸ τοῦ λόγου, τῶν ἡνιῶν αὐτῆς ἐλαβόμην, ἀλλ' ἀρχαίαν μελέτην καὶ συνεχῆ ταύτην ἐξετέλουν καὶ ἀτρέμας ἐκ τῶν προπόδων τῆς πολιτικῆς ἀρετῆς ἐπὶ τὴν κορυφὴν ἀνελήλυθα.

XIII. Ἐξ ἐκείνου τῆς προστασίας ταύτης ἡπτό- 42
μην, ἐξ ὅτου με πρεσβεύειν εἰς τὴν ἀοίδιμον Ῥώμην ἐχειροτονεῖτε καὶ πρὸς τὸν παῖδα ἐστέλλετε τὸν Κωνσταντίνου. ἐξ ἐκείνου προεκηδόμην τοῦ δήμου, ἐξ ὅτου τὸ σιτηρέσιον ἐπανήγαγον. ἐξ ἐκείνου τῆς γερουσίας προὐνόουν, ἐξ ὅτου τὸν κατάλογον τῶν ὁμογενῶν ἀντὶ μόλις τριακοσίων ἐπλήρουν εἰς δισχιλίους· ἐφ' ὧν δύο

456, 1 *Μύρωνα*] *Myronem*, inquit Plinius Lib. XXXIV. Sect. 19. *bucula maxime nobilitavit*. Id Myronis opus poetae graeci et latini passim celebrarunt. Mai. 2 *Παύσωνος*] *Πάσωνος* ed. Med. hic et paullo post. 3 *τίς*] Cod. *τί*. Mai.
4 *Πάσωνος τέχνην*] Pasonis seu Pausonis picturis anteponit Polygnoteas etiam Aristoteles *Politic.* VIII. 5; *Poetic.* 2. Mai.
6 *σοι*] *τοι* Iacobsius. 7 *πεπολίτευμαι*] XXIII. 298. B. XXXI. 352. C. D. Mai. 8 *φιλοσοφίαν εἱλόμην*] Conf. XVII. 213. D. 214. A. Mai. 18 *τὸν Κωνσταντίνου*] Reapse tertia Themistii Oratio scripta fuit legationis causa ad Constantium. Mai.
21 *τῶν ὁμογενῶν*] Themistium praefuisse senatui Cpolitano constabat hactenus ex Orat. XXXI. Jam apparet praefuisse etiam annonae et censui. Porro ut bene intelligamus vocabulum *ὁμογενῶν* videtur respiciendum ad Suidam voc. *ὁμόγνια* et *γεννῆται*. Nam *γένη* vocabantur subdivisiones curiarum in graecis urbibus. Mai.

μὲν εἰκόνες χαλκαῖ παρὰ δυοῖν αὐτοκρατόροιν, εἰκόνες τιμαὶ δὲ ἐν γράμμασι διωλύγιοι, παρακλήσεις δὲ ἐπὶ τὴν ἀρχὴν ταύτην οὐχ ἅπαξ οὐδὲ δίς, ἀλλὰ πολλάκις καὶ προστίθει τούτοις ἔπαινον, ὅπως καὶ ὁπότε ὅτι μήτε ἐπιλιπαρήσαντες μήτε ἐπ' ἄλλῳ τῳ, ἀλλ' ἐπὶ τοῖς λόγοις. καὶ ἡνίκα ὀσπρίων οὐκ ἦν ἀμητὸς καὶ παρὰ ἀνδρὸς ἥκιστα εὐμαροῦς, ὃς ἐπιστέλλων πρὸς τὴν γερου- 44
σίαν αὐτὸ τοῦτο διαρρήδην ὁμολογεῖ, μέρος μέν τι συμπαῖσαι μόλις, τὰ σύμπαντα δὲ μὴ παιδευθῆναι, καὶ ὅτι μηδὲν προσείληφε τοσοῦτον ὅσον προστέθεικε σεμνότερον ἀποφῆναι τοὔνομα τῆς ἀρχῆς τῇ κοινωνίᾳ.

XIV. Καὶ εἰ μέν τις ἔροιτο τὴν αἰτίαν δι' ἣν τότε μὲν ἀπώκνησα, νῦν δὲ οὐκ ἔτι, ἐρῶ μηδὲν ὑπο-

---

457, 1 εἰκόνες] Statuam aeream a Constantio imp. donari meruit Themistius ob Panegyricum ei dictum. Vide Orat. IV. p. 54. B. Sed et altera item aerea statua honoratum constat ex Oratt. XVII. p. 214. B. XXXI. 353. B. Confer et Or. XI. p. 146. B. In hac autem, quae nunc editur, Oratione digit Themistius se a duobus Impp. duas illas statuas consecutum. Quoniam igitur priorem a Constantio retulit, superest quaerendum quisnam Imperator alteram ei decreverit. Iam et carmen uni ex his statuis fuisse additum testis est Libanius Epist. 64. Edit. Amstel. an. 1738. Mai. 2 ἐν γράμμασι] Intellige primum duas Constantii imp. Epistolas ad Senatum, alteram prolixam in Ed. Themistii (p. 18. et seqq.): alteram breviorem in Cod. Th. Lib. 6. Tit. 4. Leg. 12. qua in utraque Themistius ad obtinendos honores amplissime commendatur. Sed et Iuliani extat longissima ad Themistium Epistola qua nimirum Themistiano cuidam scripto respondetur, quod indidem constat, huic quam nunc edimus Orationi multo fuisse simillimum. Themistius scriptum aliud de se Iuliani memorat Or. XXXI. p. 354. D. Codicillis denique se a quodam Imperatore donatum confirmat Themistius Or. nuper citata p. 353. A. Mai. 4 ὅπότε· ὅτι Iacobsius. ὁπότε ἐστὶ ed. Med. 6 ὁ σπρίων] Locus mihi certe obscurus nisi forte est adagium, quod pro sue quisque ingenio lectores intelligant. Ceterum σπρίων ab Hesychio explicatur etiam ἀγοράζων, ex quo rursus, siquis potest, commodiorem sensum procudat. Mai. Recepi Iacobsii emendationem ὀσπρίων. Hesychii glossa ex Aristoph. Acharn. v. 36. petita. 13 ἀπώκνησα] Themistium praefectum fuisse urbi Cpolitanae, Theodosio imperante, patet

46 [illegible] μέχρι ἐνδοιάσας. [illegible] μὲν ἀμφὶ ἐκείνης

---

invicte ex hac Oratione, tum etiam ex XVII. et loco ex XVIII. p. 224. A. Sed quoniam nonnulli Veteres Themistium sub Iuliano, iterum etiam sub Valentiniano et Valente impp. praefecturam gessisse innuerunt; hinc Petavius in notis ad Or. XVIII. p. 488. saepius eo magistratu insignitum Themistium suspicatus est; Harduinus autem in Indice chronologico diserte statuit ter eum fuisse Urbi Cpolitanae praefectum, nempe anno CCCLXII. sub Iuliano, iterum anno CCCLXVIII. sub Valentiniano et Valente, denique anno CCCLXXXIV. sub Theodosio. Et praefecturam quidem saltem sub Iuliano administratam esse a Themistio recentiores passim scriptores sibi persuaserunt, quos inter paene novissimus cl. Wernsdorfius ad Himerii Orationem VII. cap. 15. et 16. rem sibi confecisse visus est. Ea porro opinio manavit ab inscriptione graeci epigrammatis (quod nos in calce Orationis exhibebimus) qualem dedit eam Aldus in editione Themistii, [illegible] Ad quam inscriptionem vel respexit Suidas cum idem in Lexico adfirmavit, vel viceversa ad Suidam auctor inscriptionis. Sed enim eius inscriptionis et Suidae auctoritatis satis infirmatur a contrario eius epigrammatis titulo, ut est in Planudea Lib. 2. cap. 52. ep. 7. quocum congruunt codices duo Anthologiae Ambrosiani part. sup. A. 114. et 161. [illegible] εἰς Θεμίστιον τὸν φιλόσοφον γενόμενον ὕπαρχον Κωνσταντινουπόλεως ἐπὶ Οὐαλεντινιανοῦ καὶ Οὐάλεντος. Cui titulo innititur etiam opinio de Themistii praefectura sub Valentiniano et Valente impp. Mihi iam firmo exploratum est, Themistium numquam, nisi sub Theodosio, in praefecturae dignitate fuisse constitutum. Nam. 1. hoc Orationis loco, in quo de [illegible] plane sermo esse videtur, ait Themistius se quidem olim ad id munus saepe invitatum, verum [illegible] quod nunc recepit. 2. Tota hac Oratione et praeterea XVII. quam Themistius de sua sub Theodosio praefectura conscripsit, unam dumtaxat commemorat praefecturam, quum tamen et alias nominandi, si eas gessisset, plurima esset occasio. 3. [illegible] Themistius in Orationis XVIII. exordio prorsus negare videtur, se ante Theodosii imperium fuisse praefectum. Ait enim ab hoc Principe philosophiam tandem aliquando ad reip. administrationem esse revocatam, seque a prioribus impp. ob eloquentiam tantummodo honoratum, ad [illegible] vero munera invitatum saepe quidem [illegible]; itaque ipsos legationibus obeundis operam dedisse. Quo ex loco iure olim conclusit Tillemontius (Hist. des Emp. Paris. 1720. T. 5. p. 170.) Themistium nonnisi sub Theodosio praefectura functum esse. 4. Denique

ὁ αὐτοκράτωρ καὶ πάσης ἀξίας μνήμης εὐφημῆσαι· οὔτε γὰρ σμικρὸν οὔτε μέγα ἐκλέλοιπεν οὐδὲν τῶν ὑπὲρ φιλοσοφίαν αἰρόντων, ἀλλὰ καὶ σύνεδρον πολλάκις ἐποιήσατο ἐν τῷ τριβωνίῳ καὶ συντράπεζον καὶ συνοδοιπόρον, καὶ πράως ἤνεγκε νουθετοῦντα καὶ καθαπτόμενον οὐκ ἐβαρύνθη· ὡς τἀμὰ ἴδια μόνον, ἀλλὰ καὶ στεγανὸς καὶ σταθερὸς καὶ τοῦ καθ' ἕκαστον κοινῇ κεχαρισμένου τὸ συμφέρον προεξετάζων. πολλὰ δὲ οἱ καιροὶ τῶν ἀνθρωπίνων ποιοῦσιν ἑτέρως ἢ ὡς πέπρακται νομισθῆναι. ἀλλὰ πρὸς τὸ γαληνὸν τοῦτο καὶ πρᾷον καὶ πρὸς τὴν ἐπικεχυμένην παιδείαν τίς οὕτως ἀδάμαντος στερεώτερος ὥστε ἀντισχεῖν, καὶ μὴ νομίσαι

Iulianus post imperium initum (quod brevissimo tempore tenuit) in Epistola sua ad Themistium (edit. Iuliani Petaviana Lips. 1696. T. I. p. 260.) negat diserte Themistium eo tempore ulli urbi praeesse. Itaque et Suidas et qui epigrammati titulum inscripsit (aut horum alteruter) visis fortasse litteris aliquibus Iuliani aut etiam Valentis, quae Themistio eam dignitatem offerebant, rem designatam pro conlata habuerunt. Porro ex hactenus dictis argumenta etiam Wernsdorfii licet per se ingeniosa et probabilia, satis everti videntur; praesertim quum vocabulum *κυβερνήτην* in loco Himerii hiante ipse Wernsdorfius suppleat, et quidem ex genere coniecturali plane incerto nec temere obtrudendo. Confer eius praefationem p. XXI.—XXII. Mai. Si quis toto capite XIV. censeat Themistium de Theodosio loqui, non magnopere repugnabo. Mai. in Addendis. Aut *μηδὲ* scribendum aut *μήτε* ante *ὑποστειλάμενος* inserendum.

459, 1 *αὐτοκράτωρ*] Iulianum intelligendum puto, cuius eximium philosophandi studium testatur Mamertinus in eius Paneg. cap. 23. et ipse Iulianus in Epist. ad Themistium. De Iuliani comitate vide item Mamertinum capp. 12. et 26. Emendari se, quum deviaret a fruge bona, permisisse Iulianum ait Ammianus Marcellinus XXV. 4. qui tamen ibidem, nedum taciturnum aut arcanum, dicit eum linguae fusioris et admodum raro silentis. Porro Themistius se imperatoribus assedisse memorat etiam Or. XVII. p. 214. B. XXXI. 353. A. Convivam etiamdum adhibitum imperatoriae mensae ait Libanius Epist. 64. Mai. 2 *ἐκλέλοιπεν οὐδὲν* Iacobsius collato loco simili XVII. p. 200. B. *ἐλλέλοιπεν οὔτε* ed. Med. 6 *τἀμὰ*] *οὐ τἀμὰ* Iacobsius, coll. XVI. p. 208 b.

φιλοσοφίαν αὐτὴν προκαθημένην, προτείνουσαν τὰς δέλτους; παρ' αὐτῆς ἐδεξάμην τῆς χειρὸς τὰς πινακίδας, παρ' ἧς οὐ κεκύρωται ἡ μέλαινα ψῆφος, παρ' ἧς ὁσημέραι ἐκφοιτῶσιν ἀγαθῶν πηγαὶ, κακῶν ἐπισχέσεις.

XV. Καλῶς Πλάτων οὐκ ἐκοινώνει Διονυσίῳ· κατεδουλοῦτο γὰρ Σικελίαν. καλῶς ἔφευγε Πεισίστρατον Σόλων· ἀφῃρεῖτο γὰρ τὴν ἐλευθερίαν τῶν πολιτῶν. καλῶς Νέρωνα ἀπεστρέφετο Μουσώνιος κιθαρῳδοῦντα. καλῶς Δομετιανὸν ἐξέκλινε Δημήτριος μελαγχολῶντα. ἐμὲ δὲ τίνα ἂν ἔσχον ἀπολογίαν πρὸς τοὺς ἐγκαλοῦντας, εἰ μὴ ὑπήκουσα; ὅτι χαλεπὸς ἦν ὁ καλῶν; ἀλλ' ὅτι αὐθάδης; ἀλλ' ὅτι δυσμεταχείριστος λόγῳ; ἀλλ' ὅτι δυσήνιος νουθεσίαις; ἀλλ' ὅτι ἐξωθῶν παρρησίαν; ἢ ταῦτα μὲν οὐχὶ, ὅτι δὲ κακοήθης, ὅτι βάσκανος, ὅτι χρηματιστής; ἀλλὰ τί πρὸς θεῶν; 48

XVI. Πῶς δ' ἂν ἔτι τῆς ἀχρηστίας τῶν φιλοσόφων ἐκελεύομεν αἰτιᾶσθαι τοὺς μὴ χρωμένους, εἰ καλούμενος εἰς προστασίαν τῆς θρεψαμένης με πόλεως ὑπὸ ἀνδρὸς θεῖον ἔρωτα ἐρασθέντος φιλοσοφίας μὴ συνεξώρμησα; ἐγώ σοι Πλάτωνα παρέξομαι μαρτυροῦντα ὅτι τοῖς ἐκείνου νόμοις ἀκολουθῶν εἶξα τῷ βασιλεῖ.

460, 1 τὰς δέλτους] XVIII. 224. B. Mai. 3 ἡ μέλαινα ψῆφος] Themistius Or. XV. p. 190. B. ait a Theodosio tertium iam annum imperante nondum prolatam capitalem sententiam. Idem adfirmare videtur Themistius in hac Oratione quam certe non ante sextum Theodosii imperantis annum conscripsit. Mai. 5 Πλάτων] VI. 72. D. VII. 94. A. VIII. 105. A. 110. C. XVIII. 219. A. Mai. Διονυσίῳ] Platonis iurgium cum Dionysio seniore videbis apud Laertium Lib. III. Segm. 18. Mai. 7 Σόλων] Quam praeclare Solon Pisistrati tyrannidi adversatus sit narrat Laertius Lib. I. Segm. 49. et seqq. Mai. 8 Μουσώνιος] De Musonio philosopho stoico Tacitus Hist. III. 81. Hunc a Nerone relegatum in insulam narrat Philostratus in *Vita Apollonii* VII. 16. Mai. 9 Δημήτριος] Hic videtur Demetrius ille cynicus a Vespasiano in insulam relegatus, teste Suetonio *Vesp.* 13. Mai. μελαγχολοῦντα ed. Mediol. 17 ἐκελεύομεν] ἐκελευόμην Iacobsius. 18 πόλεως] Etiam in Orat. XVII. p. 214. C. ait Themistius se educatum Cpoli. Mai.

ὃν γὰρ ἐν τοῖς συγγράμμασιν αἰτεῖ βασιλέα παρὰ τῶν θεῶν τοῖς ἀνθρώποις νέον, εὐμαθῆ, μεγαλοπρεπῆ, 50
μεγαλόφρονα· καὶ εἰ μὴ τοὔνομα λέγει, ταὐτόν φησι καὶ τοῦτον εὔχεται ἐπιφανῆναι· οὐ γὰρ ἄλλου οἰκειότερα τὰ γνωρίσματα· εἶτα ὃν μὲν εὔχεται οὗτός ἐστι, τυχὼν δὲ τῆς εὐχῆς οὐκ ἂν ἥρπασε τὴν κοινωνίαν; καὶ πῶς οὐκ ἀλλότριον Πλάτωνος, ὃν λίαν ζητεῖ, φανέντα μὴ χρῆσθαι; ἐπὶ τίνος ἂν μᾶλλον τοὺς νόμους οὓς ἔγραψεν ἐβεβαιώσατο; ἐπὶ τίνος ἂν ἐκφανέστερον ἄριστα ἔδειξεν εἰρημένον τὸ πειθοῖ μᾶλλον ἢ φόβῳ χρηστέον ἐπὶ τῆς μεγίστης ἀρχῆς, καὶ τὸν σίδηρον ὡς ἥκιστα παραληπτέον; ταῦτα μέντοι ὁρῶμεν ὁσημέραι καὶ ἀκούομεν. οὐκ οἰμωγὴ ἐξελήλαται τῶν ἀρχείων, οἱ δήμιοι δὲ ὄνομα φροῦδον. τὸ δὲ ἐπιδεικνύναι καὶ φαίνειν καὶ προσαγγέλλειν οὐ συνετὰ ῥήματα ἤδη.

XVII. Δέδοικε δὲ οὐδεὶς οὐ παλαμναῖον λογιστήν, οὐκ ἀλιτήριον ἐκλογέα, οὐ τοὺς καταράτους πευθῆνας, οὐ τοὺς κακῶς βλέποντας ὀφθαλμούς. διαθρυλεῖται ἡμῶν τὰ ὦτα, ὁδὶ μὲν ἐπανῆκεν ἐκ τῆς φυγῆς, τόνδε τοῦ νόμου θανατοῦντος ἐξήρπασεν, ὁδὶ δὲ ἐκομίσατο τὰς οἰκίας, τῷ δὲ τροφὴν ἐτήσιον ἐχορήγησε, τῷ δὲ 52
συνεξέδωκε θυγατέρας, τῷ δὲ ξυνέτισε χρέος ἀναγκαῖον. καὶ παρὰ μὲν Πέρσαις τοῖς πάλαι προὔκειτο δωρεὰ τῷ καινὴν ἡδονὴν ἐξευρόντι, βασιλικὰ δὲ προτεθήσεται ἆθλα τῷ καινὴν εὐεργεσίας ἀφορμὴν παρασχομένῳ. τί δ' ἂν καινότερον χρυσοῦ τὴν αὐτὴν ὁδὸν ἐκ τῶν ταμιείων

461, 2 νέον — μεγαλόφρονα] Platonis locum, quem hoic et Orat. XVII. p. 215. B. Themistius ad Theodosium trahit, idem pari laudandi studio ductus recitaverat olim de Constantio Orat. III. p. 46 A. et IV. 62. A. nec non de Valente Orat. VIII. pag. 105. B. Mai. 10 πειθοῖ μᾶλλον] III. 48. B. XVI. 208. A. Mai. 18 διαθρυλεῖται Iacobsius ex Platon. de Rep. II. p. 358 c. διαθρυλλεῖ τε ed. Med. 19 ὁδὶ μὲν —] XV. 190. B. 192 D. XIX. 227 D. Mai. 22 συνεξέδωκε Maius. Codex συνέδωκε. 23 τοῖς Iacobsius. καὶ τοῖς ed. Med. 24 προτεθήσεται Iacobsius; προτιθήσεται ed. Mediol. 26 ταμείων ed. Mediol. ταμιείων XVI. p. 212 c. XIX. p. 227 d.

ἐπανιόντας πρὸς τὸν ἀδίκως εἰσπεπραγμένον; τοῦτο γὰρ οὐκ ἤνεγκε τὸ ἄκουσμα ὁ πολὺς αἰών, ἀλλ' ἦν ἂν ἀπάστροφος ἡ ζημία τοῖς ἠδικημένοις. τὸ δὲ καὶ τοῖς χρήσασθαι δεηθεῖσι δοῦναι δωρεὰν καὶ πλείονός γε δοῦναι δωρεὰν ἢ ὅσου χρῆσθαι ᾔτησε, καὶ προσέτι γε ἀφανίσαι τὴν αἴτησιν, ὅπως ἂν αὐτογνώμων ἡ δωρεὰ νομισθῇ, τίνα Ἀλκιβιάδην οὐχ ὑπερβαίνει; τίνα Κίμωνα οὐκ ἀποφαίνει Σμικρίνην;

XVIII. Ἀλλ' ἔγωγε ὁρῶν τουτουσὶ τοὺς νεανίσκους, καίτοι μὴ συγχωρούσης τῆς ὑποθέσεως τοῖς καθ' ἕκαστον ἐνδιατρίβειν, οὐχ οἷός τέ εἰμι σιγῇ παρελθεῖν. παῖδες ὀρφανικοὶ καὶ θυγατέρες οἰκίας εὐδόξου πατρῴας, καὶ ταύτην οὐκ ἔχουσιν οὐ δίκην διδόντες, ἁπάντων ἐστερημένοι τῶν ὄντων, καὶ πρὸς ἀλλοτρίας θύρας κεχηνότες διήντλησαν τοσούτους ἐνιαυτούς, ὥστε ἐν ταῖς συμ-
54 φοραῖς ἀνδρωθῆναι. ἐπιφανέντος δὲ αὐτοῖς τοῦ βασιλέως ὥσπερ ἐκ μηχανῆς ἅπαντα τὰ δεινὰ ἀφανῆ. οὐκέτι μὲν ἀπάτορες, οὐκέτι δὲ ἐνδεεῖς, οὐκέτι δὲ ἰδιῶται. καὶ ἆρα τούτους εἴασεν εὐπαθεῖν τὰ πατρῷα κομισαμένους, ὧν δὲ ἀφελόμενος ἀπέδωκε, τούτους συνεχώρησεν ἀπᾶσθαι; οὐδαμῶς, ἀλλ' ἐπρίατο τὴν φιλανθρωπίαν, ἀπηρίθμησε χρυσίον τῆς εὐσεβείας, ὠνήσατο παρὰ τῶν ἐχόντων ὡς ἰδιώτης, ἐδωρήσατο τοῖς ἀπολωλεκόσιν ὡς βασιλεύς. καὶ νῦν ἀμφότεροι πλουτοῦσιν ἀμώμητον πλοῦτον, οἱ μὲν κομισάμενοι τὰ ἑαυτῶν, οἱ δὲ ἀνθ' ὧν εἶχον κτήματα ἀδίκως, δικαίως χρυσὸν πολὺν κεκτημένοι.

